ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

21

Υ Π Ο Μ Ν Η Μ Α

1. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
(Ὁμιλίαι ΙΒ΄–ΚΔ΄)

2. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
(Ὁμιλίαι Α΄–ΙΒ΄)



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1980

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

21

ΥΠΟΜΝΗΜΑ

1. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
   ('Ομιλίαι ΙΒ'—ΚΔ')
2. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
   ('Ομιλίαι Α'—ΙΒ')

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ — ΣΧΟΛΙΑ

'Υπό

ΣΠΥΡΙΔΩΝΟΣ ΜΟΥΣΤΑΚΑ

Θεολόγου - Φιλολόγου

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ

1. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

ΟΜΙΛΙΑ ΙΒ΄
Ἐφ. Κεφ. 4, 17

«Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ».

1. Τὸν διδάσκαλον, οὐ μόνον συμβουλεύοντα καὶ διδάσκοντα δεῖ καταρτίζειν καὶ ὀρθοῦν τὰς τῶν μαθητευομένων ψυχάς, ἀλλὰ καὶ φοβοῦντα καὶ τῷ Θεῷ παραδιδόντα. Ἐπειδὴ γὰρ τὰ παρὰ τῶν ἀνθρώπων λεγόμενα, ὡς παρὰ ὁμοδούλων, οὐχ ἱκανὰ καθάψασθαι ψυχῆς, ἀναγκαῖον τῷ Κυρίῳ παραδιδόναι λοιπόν. Τοῦτο οὖν καὶ ὁ Παῦλος ποιεῖ. Περὶ ταπεινοφροσύνης γὰρ καὶ ἑνώσεως διαλεχθείς, καὶ τοῦ μὴ δεῖν ἕτερον κατεξανίστασθαι τοῦ ἑτέρου, ἄκουσον τί φησι· «Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ». Οὐ εἶπε, Μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς περιπατεῖτε· πληκτικώτερος γὰρ ὁ λόγος· ἀλλὰ τὸ αὐτὸ μὲν ἐδήλωσεν, ἀπὸ δὲ ἑτέρων τὸ παράδειγμα ἤγαγε. Καὶ πρὸς Θεσσαλονικέας δὲ γράφων, τὸ αὐτὸ τοῦτο ποιεῖ λέγων· «Μὴ ἐν πάθει ἐπιθυμίας, καθὼς καὶ τὰ λοιπὰ ἔθνη». Διεστήκατε, φησί, τοῖς δόγμασιν αὐτῶν, ἀλλὰ τὸ ὅλον γέγονε τοῦ Θεοῦ· ἐγὼ δὲ ζητῶ τὰ παρ᾽ ὑμῶν, τὸν βίον καὶ τὸν περίπατον τὸν κατὰ τὸν Θεόν· τοῦτο ὑμέ-

1. Ἐφ. 4, 17.
2. Α΄ Θεσ. 4, 5.

ΟΜΙΛΙΑ ΙΒ΄
Ἐφ. Κεφ. 4, 17

«Τοῦτο λοιπὸν λέγω καὶ διαμαρτύρομαι ἐνώπιον τοῦ Κυρίου, νὰ μὴ συμπεριφέρεσθε πλέον σεῖς ὅπως συμπεριφέρονται καὶ οἱ ἄλλοι ἐθνικοί, ποὺ βαδίζουν σύμφωνα μὲ τὴν ματαιότητα τοῦ νοῦ των, καὶ εἶναι σκοτισμένοι εἰς τὴν διάνοιαν»[1].

1. Ὁ διδάσκαλος πρέπει νὰ ἐκπαιδεύῃ καὶ νὰ κατευθύνῃ τὰς ψυχὰς τῶν μαθητῶν, ὄχι μόνον μὲ τὸ νὰ συμβουλεύῃ καὶ διδάσκῃ, ἀλλὰ καὶ μὲ τὸ νὰ ἐμβάλλῃ εἰς αὐτὰς τὸν φόβον καὶ τὰς παραδίδῃ εἰς τὸν Θεόν. Ἐπειδὴ βέβαια τὰ λεγόμενα ἀπὸ τοὺς ἀνθρώπους, ὡς λεγόμενα ἀπὸ ὁμοδούλους, δὲν ἠμποροῦν νὰ ἐγγίσουν τὴν ψυχήν, εἶναι ἀνάγκη νὰ παραδίδῃ ἔπειτα αὐτοὺς εἰς τὸν Κύριον. Αὐτὸ λοιπὸν κάνει καὶ ὁ Παῦλος. Διότι, ἀφοῦ ὡμίλησε περὶ τῆς ταπεινοφροσύνης καὶ τῆς ἑνότητος καὶ περὶ τοῦ ὅτι δὲν πρέπει ὁ ἕνας νὰ ἐξεγείρεται ἐναντίον τοῦ ἄλλου, ἄκουσε τί λέγει· «Τοῦτο λοιπὸν λέγω καὶ διαμαρτύρομαι ἐνώπιον τοῦ Κυρίου, νὰ μὴ συμπεριφέρεσθε πλέον σεῖς ὅπως συμπεριφέρονται καὶ οἱ ἄλλοι ἐθνικοί». Δὲν εἶπε, Νὰ μὴ συμπεριφέρεσθε πλέον σεῖς ὅπως συμπεριφέρεσθε, καθ' ὅσον αὐτὸς ὁ λόγος εἶναι προσβλητικώτερος, ἀλλὰ τὸ ἴδιο μὲν τὸ ἐδήλωσε, τὸ παράδειγμα ὅμως ἔφερεν ἀπὸ ἄλλους. Καὶ πρὸς τοὺς Θεσσαλονικεῖς δὲ γράφων, τὸ ἴδιο κάνει ὅταν λέγῃ· «Νὰ μὴ εἶσθε αἰχμάλωτοι εἰς τὸ πάθος τῆς ἐπιθυμίας, καθὼς εἶναι καὶ οἱ ἄλλοι ἐθνικοί»[2]. Ἔχετε ἀποχωρισθῆ, λέγει, ἀπὸ τὰ δόγματα αὐτῶν, καὶ ἀνήκετε ἐξ ὁλοκλήρου εἰς τὸν Θεόν. Ἐγὼ ὅμως ζητῶ πᾶν ὅ,τι προέρχεται ἀπὸ σᾶς, τὴν ζωὴν καὶ τὴν συμπεριφοράν, ποὺ εἶναι σύμφωνος μὲ τὸ θέλημα τοῦ Θεοῦ. Τοῦτο ἐξαρτᾶται ἀπὸ σᾶς.

τερόν ἐστι. Μάρτυρα δὲ τὸν Κύριον καλῶ τῶν εἰρημένων ἐμοί, ὅτι οὐχ ὑπεστειλάμην, ἀλλ' εἶπον πῶς δεῖ περιπατεῖν. «Ἐν ματαιότητι», φησί, «τοῦ νοὸς αὐτῶν». Τί ἐστι νοῦ ματαιότης; Τὸ περὶ τὰ μάταια ἠσχολῆσθαι. Τίνα δέ ἐστι μάταια, ἀλλ' ἢ τὰ παρόντα ἅπαντα; περὶ ὧν φησιν ὁ Ἐκκλησιαστής· «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης».

Ἀλλ' ἐρεῖ τις· Εἰ μάταια καὶ ματαιότης, τίνος ἕνεκεν γέγονεν; εἰ τοῦ Θεοῦ ἔργα, πῶς μάταια; καὶ πολὺς περὶ τούτων ὁ λόγος. Ἀλλ' ἄκουε, ἀγαπητέ· Οὐ τὰ τοῦ Θεοῦ ἔργα εἶπε μάταια, μὴ γένοιτο· οὐκ οὐρανὸς μάταιος, οὐδὲ γῆ ματαία, μὴ γένοιτο· οὐχ ἥλιος, οὐδὲ σελήνη καὶ ἄστρα, οὐδὲ τὸ σῶμα τὸ ἡμέτερον· πάντα γὰρ ταῦτα καλὰ λίαν· ἀλλὰ τί μάταιον; Ἀκούσωμεν αὐτοῦ λέγοντος τοῦ Ἐκκλησιαστοῦ· «Ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, ἐγένετό μοι ποίμνια καὶ βουκόλια, συνήγαγον χρυσίον καὶ ἀργύριον· καὶ εἶδον ὅτι πάντα ματαιότης»· καὶ πάλιν, «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης». Ἄκουε καὶ τοῦ προφήτου λέγοντος· «Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά». Κατὰ τοῦτο ματαιότης ματαιοτήτων, αἱ λαμπραὶ οἰκοδομαί, ὁ πολὺς καὶ περιρρέων χρυσός, τῶν ἀνδραπόδων αἱ ἀγέλαι, κατὰ τὴν ἀγορὰν σοβοῦσαι, ὁ τῦφος καὶ ἡ κενοδοξία, τὰ φρονήματα καὶ ὁ κόμπος. Ταῦτα γὰρ πάντα μάταια· οὐ γὰρ παρὰ Θεοῦ γεγένηται, ἀλλὰ παρ' ἡμῶν δεδημιούργηται. Τί δήποτε δὲ μάταια; Ὅτι οὐδὲν ἔχει τέλος χρηστόν.

Τὰ χρήματα μάταια, ὅταν εἰς τρυφὴν ἀναλίσκηται· οὐ μάταια δὲ γίνεται, ὅταν εἰς πένητας σκορπίζονται. Ὅταν δὲ

---

3. Ἐκκλ. 1, 2.
4. Ἐκκλ. 2, 5 ἑ.
5. Ψαλμ. 38, 7.

Ἐπικαλοῦμαι δὲ τὸν Κύριον μάρτυρα τῶν λόγων μου, ὅτι δὲν ἀπεσιώπησα, ἀλλ' εἶπα πῶς πρέπει νὰ συμπεριφέρεσθε. «Σύμφωνα μὲ τὴν ματαιότητα τοῦ νοῦ των», λέγει. Τί σημαίνει ματαιότης τοῦ νοῦ; Τὸ νὰ ἀπασχολῆσαι μὲ τὰ μάταια. Ποῖα δὲ εἶναι τὰ μάταια, παρὰ τὰ ἐπίγεια ὅλα; διὰ τὰ ὁποῖα λέγει ὁ Ἐκκλησιαστής· «Ματαιότης ματαιοτήτων, τὰ πάντα εἶναι ματαιότης»[3].

Ἀλλὰ θὰ ἐρωτήσῃ κάποιος· "Ἐὰν εἶναι τὰ πάντα μάταια καὶ ματαιότης, διὰ ποῖον λόγον ἔχουν γίνει; ἐὰν εἶναι ἔργα τοῦ Θεοῦ, πῶς εἶναι μάταια;' καὶ γίνεται δι' αὐτὰ πολὺς λόγος. Ἀλλ' ἄκουε, ἀγαπητέ· Δὲν εἶπε τὰ ἔργα τοῦ Θεοῦ μάταια· εἴθε νὰ μὴ συμβῇ νὰ μᾶς περάσῃ ἀπὸ τὸν νοῦν κάτι τέτοιο. Δὲν εἶναι ὁ οὐρανὸς μάταιος, οὔτε ἡ γῆ ματαία, μὴ γένοιτο. Δὲν εἶναι μάταιος ὁ ἥλιος, οὔτε ἡ σελήνη καὶ τὰ ἄστρα, οὔτε τὸ ἰδικόν μας σῶμα, διότι ὅλα αὐτὰ εἶναι πάρα πολὺ καλά. Τί σημαίνει ὅμως μάταιον; Ἂς ἀκούσωμεν τὸν ἴδιον τὸν Ἐκκλησιαστὴν ποὺ λέγει· «Ἐφύτευσα διὰ τὸν ἑαυτόν μου ἀμπέλια, ἐξεπαίδευσα διὰ τὸν ἑαυτόν μου ἀοιδούς, ἄνδρας καὶ γυναῖκας, κατεσκεύασα διὰ τὸν ἑαυτόν μου δεξαμενὰς ὑδάτων, εἶχα διὰ τὸν ἑαυτόν μου πρόβατα καὶ ἄλλα ζῶα, συνέλεξα χρυσὸν καὶ ἄργυρον· καὶ εἶδα ὅτι ὅλα εἶναι ματαιότης»· καὶ πάλιν, «Ματαιότης ματαιοτήτων, τὰ πάντα εἶναι ματαιότης»[4]. Ἄκουε καὶ τὸν Προφήτην ποὺ λέγει· «Θησαυρίζει καὶ δὲν γνωρίζει διὰ ποῖον θὰ τὰ συγκεντρώσῃ αὐτά»[5]. Σύμφωνα πρὸς αὐτὰ ματαιότης ματαιοτήτων εἶναι αἱ πολυτελεῖς οἰκοδομαί, ὁ πολὺς καὶ ἄφθονος χρυσός, τὸ πλῆθος τῶν αἰχμαλώτων, ποὺ βαδίζουν κατὰ πομπώδη τρόπον εἰς τὴν ἀγοράν, ἡ ἀλαζονεία καὶ ἡ ματαιοδοξία, αἱ φιλοδοξίαι καὶ ἡ ὑπερηφάνεια. Αὐτὰ λοιπὸν εἶναι ὅλα μάταια, διότι δὲν ἔχουν γίνει ἀπὸ τὸν Θεόν, ἀλλ' ἔχουν δημιουργηθῆ ἀπὸ μᾶς. Διατί ὅμως τέλος πάντων εἶναι μάταια; Διότι δὲν ἔχουν κανένα χρήσιμον ἀποτέλεσμα.

Τὰ χρήματα εἶναι μάταια, ὅταν ἐξοδεύωνται εἰς τὰς ἀπολαύσεις· δὲν γίνονται ὅμως μάταια, ὅταν διανέμωνται εἰς τοὺς πτωχούς. Ἐὰν ὅμως τὰ ἐξοδεύσῃς εἰς τὰς ἀπο-

εἰς τρυφὴν ἀναλώσῃς, ἴδωμεν αὐτῶν τὸ τέλος τί ποτέ ἐστι· λιπασμὸς σώματος, ἐρυγαί, πνεύματα, κόπρου πλῆθος, καρηβαρία, μαλακία σαρκός, καὶ θερμότης καὶ ἔκλυσις. Ὡς γὰρ ἂν εἴ τις τετρημένον πίθον ἐπαντλῶν ματαιοπονεῖ, οὕτω καὶ ὁ τρυφῶν εἰς πίθον τετρημένον ἀντλεῖ. Ἄλλως δέ, μάταιον λέγεται τὸ προσδοκηθὲν μὲν ἔχειν τιμήν, μὴ ἐσχηκὸς δέ· ὅπερ καὶ κενὸν λέγουσι, καὶ κενὰς ἐλπίδας, καὶ τὸ εἰκῆ. Καὶ ἁπλῶς δὲ μάταιον λέγεται τὸ πρὸς μηδὲν χρήσιμον. Ἴδωμεν οὖν, εἰ μὴ τοιαῦτα τὰ ἀνθρώπινα. «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν». Τί οὖν τὸ τέλος, εἰπέ μοι; Φθορά. Ἐνδυσώμεθα καὶ περιβαλώμεθα, καὶ τί τὸ πέρας; Οὐδέν. Τοιαῦτά τινες τῶν Ἑλλήνων ἐφιλοσόφησαν, ἀλλὰ μάτην· τὸν σκληρὸν βίον ἐπεδείξαντο, ἀλλ' ἁπλῶς, οὐ πρός τι τέλος χρήσιμον ὁρῶντες, ἀλλὰ πρὸς κενοδοξίαν καὶ τὴν παρὰ τῶν πολλῶν τιμήν. Τί δὲ ἡ παρὰ τῶν πολλῶν τιμή; Οὐδέν. Εἰ γὰρ αὐτοὶ οἱ τὴν τιμὴν παρεχόμενοι ἀπόλλυνται, πολλῷ μᾶλλον ἡ τιμή. Ὁ τιμὴν παρέχων ἑτέρῳ, ἑαυτῷ πρότερον ὀφείλει παρασχεῖν· εἰ δὲ μὴ παρέχοι ἑαυτῷ, πῶς ἂν ἑτέρῳ παρέξοι; Νῦν δὲ καὶ τὰς τιμὰς ζητοῦμεν ἐξ εὐτελῶν καὶ εὐκαταφρονήτων ἀνδρῶν, ἀτίμων ὄντων καὶ ἐπονειδίστων. Ποία οὖν αὕτη τιμή;

2. Ὁρᾷς ὅτι ματαιότης ματαιοτήτων τὰ πάντα; Διὰ τοῦτο ἔλεγεν· «Ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν». Ἀλλ' ἡ θρησκεία αὐτῶν οὐ τοιαύτη; Τί δαί; ἆρα οὐ ξύλα καὶ λίθοι τὰ προσκυνούμενα; Ἥλιον φαίνειν ἡμῖν ἐποίησεν ἀντὶ λύχνου· τίς τὸν λύχνον τὸν ἑαυτοῦ προσκυνεῖ; Ἥλιος παρέχει τὸ φῶς· ἀλλ' ὅταν ἐκεῖνος μὴ δύνηται, λύχνος δύνηται· τί τοίνυν οὐ προσκυνεῖς τὸν λύχνον; Ναί, φησί, προσκυνῶ τὸ

6. Α΄ Κορ. 15, 32.

λαύσεις, ἂς ἰδοῦμεν ποῖον θὰ εἶναι κάποτε τὸ ἀποτέλεσμα αὐτῶν· ἡ πάχυνσις τοῦ σώματος, τὰ ρεψίματα, τὰ ἀέρια εἰς τὸ στομάχι, τὰ πολλὰ περιττώματα, ἡ κεφαλαλγία, ἡ μαλθακότης τοῦ σώματος, ἡ ἔξαψις καὶ ἡ παράλυσις. Διότι ὅπως ματαιοπονεῖ κανεὶς ὅταν χύνῃ νερὸ μέσα εἰς διάτρητον πυθάρι, ἔτσι καὶ ἐκεῖνος ποὺ κάνει τρυφηλὸν βίον ἀντλεῖ εἰς διάτρητον πυθάρι. Μὲ ἄλλα λόγια δέ, μάταιον λέγεται αὐτὸ ποὺ νομίζεται μὲν ὅτι ἔχει τιμή, ἀλλ᾽ ὅμως δὲν ἔχει, ἐκεῖνο ποὺ ὀνομάζουν καὶ κενόν, καὶ κενὰς ἐλπίδας, καὶ τὸ χωρὶς σκοπόν. Καὶ ἁπλῶς δὲ μάταιον λέγεται αὐτὸ ποὺ δὲν εἶναι χρήσιμον εἰς τίποτε. Ἂς ἐξετάσωμεν λοιπόν, μήπως δὲν εἶναι τέτοια τὰ ἀνθρώπινα. «Ἂς φάγωμεν καὶ ἂς πίωμεν, διότι αὔριον πεθαίνομεν»[6]. Ποῖον λοιπὸν εἶναι τὸ ἀποτέλεσμα; εἰπέ μου. Ἡ φθορά. Ἂς ἐνδυθοῦμεν καὶ ἂς περιβληθοῦμεν ἐνδύματα, καὶ ποῖον τὸ ἀποτέλεσμα; Κανέν. Αὐτὰ ἐφιλοσόφησαν μερικοὶ Ἕλληνες, ἀλλὰ μάταια. Ὑπέδειξαν τὸν σκληρὸν τρόπον ζωῆς, χωρὶς ὅμως ν᾽ ἀποβλέπουν πρὸς ἕνα χρήσιμον σκοπόν, ἀλλ᾽ ἁπλῶς πρὸς τὴν ματαιοδοξίαν καὶ τὴν τιμὴν ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους. Καὶ τί εἶναι ἡ τιμὴ ἐκ μέρους τῶν πολλῶν; Τίποτε. Διότι, ἂν ἀφανίζωνται αὐτοὶ ποὺ παρέχουν τὴν τιμήν, πολὺ περισσότερον ἀφανίζεται ἡ τιμή. Ἐκεῖνος ποὺ παρέχει τιμὴν εἰς ἄλλον ὀφείλει προηγουμένως νὰ παρέχῃ τιμὴν εἰς τὸν ἑαυτόν του· ἂν ὅμως δὲν παρέχῃ εἰς τὸν ἑαυτόν του, πῶς θὰ παρέχῃ εἰς ἄλλον; Τώρα βέβαια ἐπιδιώκομεν καὶ τὰς τιμὰς ἀπὸ τοὺς εὐτελεῖς καὶ εὐκαταφρονήτους ἀνθρώπους, οἱ ὁποῖοι εἶναι περιφρονημένοι καὶ ἐπονείδιστοι. Ποίαν ἀξίαν ἔχει λοιπὸν ἡ τιμὴ αὐτή;

2. Βλέπεις ὅτι τὰ πάντα εἶναι ματαιότης ματαιοτήτων; Διὰ τοῦτο ἔλεγε· «Μὲ τὴν ματαιότητα τοῦ νοῦ των». Ἀλλ᾽ ἡ θρησκεία των δὲν εἶναι ματαία; Τί λοιπόν; Μήπως δὲν εἶναι ξύλα καὶ λίθοι αὐτὰ ποὺ προσκυνοῦν; Ἐδημιούργησεν ὁ Θεὸς ἀντὶ τοῦ λύχνου τὸν ἥλιον νὰ μᾶς φωτίζῃ. Ποῖος προσκυνεῖ τὸν ἰδικόν του λύχνον; Ὁ ἥλιος παρέχει τὸ φῶς. Ὅταν ὅμως ἐκεῖνος δὲν ἠμπορῇ, ὁ λύχνος ἠμπορεῖ. Διατί λοιπὸν δὲν προσκυνεῖς τὸν λύχνον; Ναὶ θὰ εἴπῃ

πῦρ. Ὦ τοῦ γέλωτος! τοσαύτη ἡ ὕβρις, καὶ οὐκ αἰσχύνῃ; Ὅρα δὲ καὶ ἑτέραν πάλιν· Τὸ προσκυνούμενον τί σβεννύεις; τί ἀπολλύεις; τί ἀναιρεῖς σου τὸν Θεόν; διὰ τί μὴ συγχωρεῖς τὴν οἰκίαν ἐμπεπλῆσθαι αὐτοῦ; Εἰ γὰρ θεός ἐστι τὸ πῦρ, ἐπινεμέσθω σου τὸ σῶμα, μὴ τῷ πυθμένι τῆς χύτρας καὶ τοῦ λέβητος τὸν θεὸν ὑποβάλῃς· εἴσαγε εἰς τὰ ταμεῖα, εἴσαγε εἰς τὰ σηρικὰ ἱμάτια. Σὺ δὲ οὐ μόνον οὐκ εἰσάγεις, ἀλλὰ κἂν διὰ περιπέτειάν τινος ἐπεισέλθῃ, πάντοθεν ἐλαύνεις, πάντας συγκαλεῖς, καὶ ὥσπερ θηρίου τινὸς ἐπεισελθόντος, ὀδύρῃ καὶ στένεις, καὶ συμφορὰν τὸ πρᾶγμα καλεῖς ὑπερβάλλουσαν τὸ τὸν θεόν σου παρεῖναι. Ἔχω ἐγὼ Θεόν, καὶ πάντα ποιῶ, ὥστε αὐτὸν ἐνστερνίσασθαι, καὶ μακαριότητα ἐμαυτοῦ ἡγοῦμαι, οὐχ ὅταν τὴν οἰκίαν ἐπισκέπτηται τὴν ἐμήν, ἀλλ' ἂν εἰς τὴν καρδίαν αὐτὸν ἑλκύσω τὴν ἐμήν. Ἕλκυσον καὶ σὺ τὸ πῦρ εἰς τὴν καρδίαν τὴν σήν. Γέλως ταῦτα καὶ ματαιότης. Καλὸν τὸ πῦρ εἰς χρῆσιν, οὐκ εἰς προσκύνησιν· εἰς διακονίαν, εἰς ὑπηρεσίαν, εἰς τὸ δουλεύειν ἐμοί, οὐκ εἰς τὸ κρατεῖν ἐμοῦ· ἐκεῖνο δι' ἐμὲ γέγονεν, οὐκ ἐγὼ δι' αὐτό. Εἰ προσκυνεῖς τὸ πῦρ, τί αὐτὸς μὲν ἐπὶ τῆς κλίνης κατάκεισαι, μαγείρῳ δὲ κελεύεις παρεστάναι σου τῷ Θεῷ; Αὐτὸς ἀνάδεξαι τὴν μαγειρικήν, καὶ ἀρτοκόπος γενοῦ, εἰ βούλει, καὶ χαλκεύς. Οὐδὲν γὰρ τούτων τῶν τεχνῶν τιμιώτερον, ἐπειδὴ ταῦτα ὁ σὸς ἐπισκέπτεται θεός. Τί ὕβριν ἡγῇ τὴν τέχνην, ἔνθα σου πολὺς ὁ θεός; τί τοῖς δούλοις ἐπιτάττεις, αὐτὸς δὲ οὐ καταξιοῖς;

Καλὸν τὸ πῦρ, ἐπειδὴ καὶ καλοῦ δημιουργοῦ, ἀλλ' οὐ θεός· ἔργον γὰρ Θεοῦ, οὐ θεὸς ἐκλήθη. Οὐχ ὁρᾷς αὐτοῦ τὸ ἄτακτον; πῶς ὅταν ἐπιλάβηται οἰκίας, οὐδαμοῦ ἵσταται; ἀλλ' ἐὰν σχῇ συνεχῆ τινα, πάντα καθαιρεῖ, κἂν μὴ τεκτό-

κάποιος, προσκυνῶ τὸ πῦρ. Πόσον ἀλήθεια ἄξιον γέλωτος εἶναι αὐτό! Ἡ ὕβρις εἶναι τόσον μεγάλη, καὶ δὲν ἐντρέπεσαι; Πρόσεχε ὅμως καὶ τὴν ἄλλην ὕβριν πάλιν. Διατί σβήνεις τὸ προσκυνούμενον; διατί τὸ καταστρέφεις; διατί ἀφανίζεις τὸν θεόν σου; διατί δὲν ἐπιτρέπεις νὰ εἶναι ἡ οἰκία σου γεμάτη ἀπ' αὐτόν; Ἐὰν πράγματι τὸ πῦρ εἶναι θεός, ἂς πλησιάζῃ τὸ σῶμα σου, μὴ τοποθετήσῃς τὸν Θεὸν κάτω ἀπὸ τὸν πυθμένα τῆς χύτρας καὶ τοῦ λέβητος· νὰ τὸν φέρῃς εἰς τὰ ταμεῖα, εἰς τὰ μεταξωτὰ ἐνδύματα. Σὺ ὅμως, ὄχι μόνον δὲν τὸν φέρεις, ἀλλὰ καὶ ἂν ἀκόμη εἰσέλθῃ εἰς τὴν οἰκίαν ἐξ αἰτίας τῆς ἀπροσεξίας κάποιου, τὸ ἀπομακρύνεις ἀπὸ παντοῦ, ὅλους τοὺς προσκαλεῖς, καὶ ὡσὰν νὰ εἰσῆλθε κάποιο θηρίον ὀδύρεσαι καὶ στενάζεις, καὶ ἀποκαλεῖς μεγάλην συμφορὰν τὸ ὅτι ὁ Θεός σου εἶναι παρών. Ἔχω ἐγὼ Θεόν, καὶ κάνω τὰ πάντα, ὥστε νὰ ἐνστερνηθῶ αὐτόν, καὶ θεωρῶ εὐτυχίαν μου, ὄχι ὅταν ἐπισκέπτεται τὴν ἰδικήν μου οἰκίαν, ἀλλ' ἂν ἑλκύσω αὐτὸν μέσα εἰς τὴν καρδίαν μου. Ἕλκυσε καὶ σὺ τὸ πῦρ εἰς τὴν ἰδικήν σου καρδίαν. Αὐτὰ εἶναι γελοῖα καὶ ματαιότης. Τὸ πῦρ εἶναι καλὸν διὰ νὰ τὸ χρησιμοποιῶ, ὄχι διὰ νὰ τὸ προσκυνῶ· διὰ νὰ διακονῇ, διὰ νὰ ὑπηρετῇ, διὰ νὰ ἐργάζεται εἰς ἐμέ, ὄχι διὰ νὰ μὲ ἐξουσιάζῃ. Ἐκεῖνο ἔχει γίνει δι' ἐμέ, ὄχι ἐγὼ δι' αὐτό. Ἐὰν προσκυνῇς τὸ πῦρ, διατί σὺ μὲν ὁ ἴδιος εἶσαι ἐξηπλωμένος ἐπάνω εἰς τὸ κρεββάτι, εἰς τὸν μάγειρον δὲ διατάσσεις νὰ στέκεται πλησίον τοῦ θεοῦ σου; Σὺ ὁ ἴδιος ν' ἀναλάβῃς τὴν μαγειρικὴν καὶ νὰ γίνῃς ἀρτοποιός, ἐὰν θέλῃς, καὶ σιδηρουργός. Διότι δὲν εἶναι τίποτε τιμιώτερον ἀπὸ τὰς τέχνας αὐτάς, ἐπειδὴ τὰς ἐπισκέπτεται ὁ ἰδικός σου θεός. Διατί θεωρεῖς προσβολὴν τὴν τέχνην, ὅπου εὑρίσκεται παρὼν ἐπὶ πολὺν χρόνον ὁ θεός σου; διατί διατάσσεις τοὺς δούλους, σὺ ὅμως ὁ ἴδιος δὲν καταδέχεσαι;

Καλὸν εἶναι τὸ πῦρ, ἐπειδὴ εἶναι ἔργον καὶ καλοῦ δημιουργοῦ, ἀλλὰ δὲν εἶναι θεός· διότι εἶναι ἔργον τοῦ Θεοῦ, δὲν ὠνομάσθη θεός. Δὲν βλέπεις τὸ ἀκατάστατον αὐτοῦ; πῶς, ὅταν ἐπιτεθῇ εἰς οἰκίαν, δὲν σταματᾷ πουθενά; ἀλλ'

πῦρ. Ὢ τοῦ γέλωτος! τοσαύτη ἡ ὕβρις, καὶ οὐκ αἰσχύνῃ; Ὅρα δὲ καὶ ἑτέραν πάλιν· Τὸ προσκυνούμενον τί σβεννύεις; τί ἀπολλύεις; τί ἀναιρεῖς σου τὸν Θεόν; διὰ τί μὴ συγχωρεῖς τὴν οἰκίαν ἐμπεπλῆσθαι αὐτοῦ; Εἰ γὰρ θεός ἐστι τὸ πῦρ, ἐπινεμέσθω σου τὸ σῶμα, μὴ τῷ πυθμένι τῆς χύτρας καὶ τοῦ λέβητος τὸν θεὸν ὑποβάλῃς· εἴσαγε εἰς τὰ ταμεῖα, εἴσαγε εἰς τὰ σηρικὰ ἱμάτια. Σὺ δὲ οὐ μόνον οὐκ εἰσάγεις, ἀλλὰ κἂν διὰ περιπέτειάν τινος ἐπεισέλθῃ, πάντοθεν ἐλαύνεις, πάντας συγκαλεῖς, καὶ ὥσπερ θηρίου τινὸς ἐπεισελθόντος, ὀδύρῃ καὶ στένεις, καὶ συμφορὰν τὸ πρᾶγμα καλεῖς ὑπερβάλλουσαν τὸ τὸν θεόν σου παρεῖναι. Ἔχω ἐγὼ Θεόν, καὶ πάντα ποιῶ, ὥστε αὐτὸν ἐνστερνίσασθαι, καὶ μακαριότητα ἐμαυτοῦ ἡγοῦμαι, οὐχ ὅταν τὴν οἰκίαν ἐπισκέπτηται τὴν ἐμήν, ἀλλ' ἂν εἰς τὴν καρδίαν αὐτὸν ἑλκύσω τὴν ἐμήν. Ἕλκυσον καὶ σὺ τὸ πῦρ εἰς τὴν καρδίαν τὴν σήν. Γέλως ταῦτα καὶ ματαιότης. Καλὸν τὸ πῦρ εἰς χρῆσιν, οὐκ εἰς προσκύνησιν· εἰς διακονίαν, εἰς ὑπηρεσίαν, εἰς τὸ δουλεύειν ἐμοί, οὐκ εἰς τὸ κρατεῖν ἐμοῦ· ἐκεῖνο δι' ἐμὲ γέγονεν, οὐκ ἐγὼ δι' αὐτό. Εἰ προσκυνεῖς τὸ πῦρ, τί αὐτὸς μὲν ἐπὶ τῆς κλίνης κατάκεισαι, μαγείρῳ δὲ κελεύεις παρεστάναι σου τῷ Θεῷ; Αὐτὸς ἀνάδεξαι τὴν μαγειρικήν, καὶ ἀρτοκόπος γενοῦ, εἰ βούλει, καὶ χαλκεύς. Οὐδὲν γὰρ τούτων τῶν τεχνῶν τιμιώτερον, ἐπειδὴ ταῦτα ὁ σὸς ἐπισκέπτεται θεός. Τί ὕβριν ἡγῇ τὴν τέχνην, ἔνθα σου πολὺς ὁ θεός; τί τοῖς δούλοις ἐπιτάττεις, αὐτὸς δὲ οὐ καταξιοῖς;

Καλὸν τὸ πῦρ, ἐπειδὴ καὶ καλοῦ δημιουργοῦ, ἀλλ' οὐ θεός· ἔργον γὰρ Θεοῦ, οὐ θεὸς ἐκλήθη. Οὐχ ὁρᾷς αὐτοῦ τὸ ἄτακτον; πῶς ὅταν ἐπιλάβηται οἰκίας, οὐδαμοῦ ἵσταται; ἀλλ' ἐὰν σχῇ συνεχῇ τινα, πάντα καθαιρεῖ, κἂν μὴ τεκτό-

κάποιος, προσκυνῶ τὸ πῦρ. Πόσον ἀλήθεια ἄξιον γέλωτος εἶναι αὐτό! Ἡ ὕβρις εἶναι τόσον μεγάλη, καὶ δὲν ἐντρέπεσαι; Πρόσεχε ὅμως καὶ τὴν ἄλλην ὕβριν πάλιν. Διατί σβήνεις τὸ προσκυνούμενον; διατί τὸ καταστρέφεις; διατί ἀφανίζεις τὸν θεόν σου; διατί δὲν ἐπιτρέπεις νὰ εἶναι ἡ οἰκία σου γεμάτη ἀπ' αὐτόν; Ἐὰν πράγματι τὸ πῦρ εἶναι θεός, ἂς πλησιάζῃ τὸ σῶμα σου, μὴ τοποθετήσῃς τὸν Θεὸν κάτω ἀπὸ τὸν πυθμένα τῆς χύτρας καὶ τοῦ λέβητος· νὰ τὸν φέρῃς εἰς τὰ ταμεῖα, εἰς τὰ μεταξωτὰ ἐνδύματα. Σὺ ὅμως, ὄχι μόνον δὲν τὸν φέρεις, ἀλλὰ καὶ ἂν ἀκόμη εἰσέλθῃ εἰς τὴν οἰκίαν ἐξ αἰτίας τῆς ἀπροσεξίας κάποιου, τὸ ἀπομακρύνεις ἀπὸ παντοῦ, ὅλους τοὺς προσκαλεῖς, καὶ ὡσὰν νὰ εἰσῆλθε κάποιο θηρίον ὀδύρεσαι καὶ στενάζεις, καὶ ἀποκαλεῖς μεγάλην συμφορὰν τὸ ὅτι ὁ Θεός σου εἶναι παρών. Ἔχω ἐγὼ Θεόν, καὶ κάνω τὰ πάντα, ὥστε νὰ ἐνστερνηθῶ αὐτόν, καὶ θεωρῶ εὐτυχίαν μου, ὄχι ὅταν ἐπισκέπτεται τὴν ἰδικήν μου οἰκίαν, ἀλλ' ἂν ἑλκύσω αὐτὸν μέσα εἰς τὴν καρδίαν μου. Ἕλκυσε καὶ σὺ τὸ πῦρ εἰς τὴν ἰδικήν σου καρδίαν. Αὐτὰ εἶναι γελοῖα καὶ ματαιότης. Τὸ πῦρ εἶναι καλὸν διὰ νὰ τὸ χρησιμοποιῶ, ὄχι διὰ νὰ τὸ προσκυνῶ· διὰ νὰ διακονῇ, διὰ νὰ ὑπηρετῇ, διὰ νὰ ἐργάζεται εἰς ἐμέ, ὄχι διὰ νὰ μὲ ἐξουσιάζῃ. Ἐκεῖνο ἔχει γίνει δι' ἐμέ, ὄχι ἐγὼ δι' αὐτό. Ἐὰν προσκυνῇς τὸ πῦρ, διατί σὺ μὲν ὁ ἴδιος εἶσαι ἐξηπλωμένος ἐπάνω εἰς τὸ κρεββάτι, εἰς τὸν μάγειρον δὲ διατάσσεις νὰ στέκεται πλησίον τοῦ θεοῦ σου; Σὺ ὁ ἴδιος ν' ἀναλάβῃς τὴν μαγειρικὴν καὶ νὰ γίνῃς ἀρτοποιός, ἐὰν θέλῃς, καὶ σιδηρουργός. Διότι δὲν εἶναι τίποτε τιμιώτερον ἀπὸ τὰς τέχνας αὐτάς, ἐπειδὴ τὰς ἐπισκέπτεται ὁ ἰδικός σου θεός. Διατί θεωρεῖς προσβολὴν τὴν τέχνην, ὅπου εὑρίσκεται παρὼν ἐπὶ πολὺν χρόνον ὁ θεός σου; διατί διατάσσεις τοὺς δούλους, σὺ ὅμως ὁ ἴδιος δὲν καταδέχεσαι;

Καλὸν εἶναι τὸ πῦρ, ἐπειδὴ εἶναι ἔργον καὶ καλοῦ δημιουργοῦ, ἀλλὰ δὲν εἶναι θεός· διότι εἶναι ἔργον τοῦ Θεοῦ, δὲν ὠνομάσθη θεός. Δὲν βλέπεις τὸ ἀκατάστατον αὐτοῦ; πῶς, ὅταν ἐπιτεθῇ εἰς οἰκίαν, δὲν σταματᾷ πουθενά; ἀλλ'

νων χεῖρες ἢ καὶ ἄλλων τινῶν σβέσωσιν αὐτοῦ τὴν μανίαν, οὐ φίλους οἶδεν, οὐ πολεμίους, ἀλλ' ὁμοίως πᾶσι κέχρηται. Τοῦτο οὖν θεός, καὶ οὐκ αἰσχύνεσθε; Ὄντως καλῶς εἶπεν· «Ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν». Ἀλλ' ὁ ἥλιος, φησί, θεός. Τοῦτο γάρ, εἰπέ μοι, πόθεν, καὶ διὰ τί; ὅτι φῶς ἀφίησι πολύ; Ἀλλ' οὐχ ὁρᾷς αὐτὸν νικώμενον ὑπὸ τῶν νεφῶν, καὶ ἀνάγκῃ δουλεύοντα φύσεως, καὶ ἐκλείποντα καὶ ὑπὸ σελήνης καὶ νέφους κρυπτόμενον; Καίτοι γε νέφος ἀσθενέστερον ἡλίου, ἀλλ' ὅμως πολλαχοῦ κρατεῖ, καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστίν. Ὁ Θεὸς παναρκὴς εἶναι ὀφείλει οὗτος δὲ πολλῶν ἐστιν ἐνδεής· τοῦτο δὲ οὐκ ἔστι Θεοῦ. Δεῖται γὰρ ἀέρος πρὸς τὸ φᾶναι, καὶ ἀέρος λεπτοῦ· ὡς ὅ γε σφόδρα πυκνωθεὶς οὐκ ἀφίησι τὴν ἀκτῖνα διαδῦναι· δεῖται καὶ ὕδατος, καὶ ἑτέρου τοῦ ἐπέχοντος, ὥστε μὴ καταφλέξαι. Εἰ γὰρ μὴ πηγαὶ καὶ λίμναι καὶ ποταμοὶ καὶ θάλασσαι τινὰ ὑγρότητα διὰ τῆς τῶν ἀτμῶν συνέστησαν ἀναδόσεως, οὐδὲν ἂν ἐκώλυσεν ἐκπυρωθῆναι τὰ πάντα.

Ὁρᾷς οὖν, φησίν, ὅτι θεός; Ὢ τῆς μανίας! ὢ τοῦ γέλωτος! ἐπειδή, φησί, βλάψαι δύναται, θεός. Καὶ μὴν διὰ τοῦτο οὐ θεός, ὅτι ἐν οἷς μὲν βλάπτει, οὐδενὸς δεῖται, ἐν οἷς δὲ ὠφελεῖ, πολλῶν ἑτέρων χρῄζει· Θεοῦ δὲ τὸ μὲν βλάπτειν, πόρρω· τὸ δὲ ὠφελεῖν, οἰκεῖον. Ὅταν οὖν τὸ ἐναντίον ᾖ, πῶς θεός; Οὐχ ὁρᾷς, ὅτι τὰ δηλητήρια φάρμακα καταβλάπτει, καὶ οὐδενὸς δεῖται, ὅταν δὲ ὠφελῇ, πολλῶν; Διὰ σὲ τοίνυν ἐστὶ τοιοῦτος, καὶ καλὸς καὶ ἀσθενής· καλὸς

ἐὰν συναντήσῃ συνεχιζόμενα πράγματα τὰ καταστρέφει ὅλα, καὶ ἂν δὲν σβήσουν τὴν μανίαν του τὰ χέρια τῶν οἰκοδόμων ἢ ἄλλων, δὲν γνωρίζει φίλους, οὔτε ἐχθρούς, ἀλλ' ὅλους τοὺς μεταχειρίζεται μὲ ὅμοιον τρόπον. Αὐτὸ λοιπὸν εἶναι Θεός, καὶ δὲν ἐντρέπεσθε; Πράγματι καλῶς εἶπε· «Μὲ τὴν ματαιότητα τοῦ νοῦ των». Ἀλλὰ θὰ εἰπῇ κάποιος· ὁ ἥλιος εἶναι Θεός. Αὐτὸ λοιπόν, εἰπέ μου, ἀπὸ ποῦ καὶ διατί; ἐπειδὴ ἐκπέμπει πολὺ φῶς; Δὲν βλέπεις ὅμως αὐτὸν νὰ νικᾶται ἀπὸ τὰ σύννεφα καὶ νὰ ὑποτάσσεται εἰς τὴν ἀνάγκην τῆς φύσεως, νὰ ὑφίσταται ἔκλειψιν καὶ νὰ κρύπτεται ἀπὸ τὴν σελήνην καὶ τὸ σύννεφον; Ἂν καὶ βέβαια τὸ σύννεφον εἶναι ἀσθενέστερον ἀπὸ τὸν ἥλιον, ἐν τούτοις ὑπερτερεῖ εἰς πολλά, καὶ αὐτὸ δὲ εἶναι ἔργον τῆς σοφίας τοῦ Θεοῦ. Ὁ Θεὸς πρέπει νὰ εἶναι ἐπαρκὴς εἰς ὅλα, ὁ ἥλιος ὅμως ἔχει ἀνάγκην ἀπὸ πολλά. Ἀλλ, αὐτὸ δὲν εἶναι χαρακτηριστικὸν τοῦ Θεοῦ. Διότι διὰ νὰ γίνῃ ὁρατὸς ὁ ἥλιος ἔχει ἀνάγκην ἀπὸ ἀέρα, καὶ μάλιστα ἀέρα ἀραιόν· ὅταν αὐτὸς πυκνωθῇ ὑπερβολικά, δὲν ἐπιτρέπει τὴν ἀκτῖνα του νὰ διεισδύσῃ. Ἔχει ἀνάγκην καὶ ἀπὸ τὸ ὕδωρ καὶ ἀπὸ ἄλλο ποὺ τὸν συγκρατεῖ, ὥστε νὰ μὴ κατακαύσῃ. Διότι, ἐὰν αἱ πηγαὶ καὶ αἱ λίμναι καὶ οἱ ποταμοὶ καὶ αἱ θάλασσαι δὲν ἐσχημάτιζαν μὲ τὴν ἀνύψωσιν τῶν ἀτμῶν κάποιαν ὑγρασίαν, τίποτε δὲν θὰ ἠμπόδιζε διὰ νὰ κατακαοῦν τὰ πάντα.

Βλέπεις λοιπόν, θὰ εἰπῇ κάποιος, ὅτι εἶναι Θεός; Τί παραφροσύνη! Πόσον γελοῖον εἶναι αὐτό! ἐπειδὴ ἠμπορεῖ νὰ βλάψῃ, ἰσχυρίζεται ὅτι εἶναι Θεός. Ἀλλὰ πρὸ πάντων διὰ αὐτὸ δὲν εἶναι Θεός, διότι εἰς ἐκεῖνα μὲν ποὺ βλάπτει δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε, εἰς ἐκεῖνα ὅμως ποὺ ὠφελεῖ, ἔχει ἀνάγκην ἀπὸ πολλὰ ἄλλα. Ἀλλὰ εἰς τὸν Θεὸν εἶναι ἄγνωστον τὸ νὰ βλάπτῃ, τὸ νὰ ὠφελῇ ὅμως εἶναι οἰκεῖον γνώρισμα. Ὅταν λοιπὸν συμβαίνῃ τὸ ἀντίθετον, πῶς εἶναι Θεός; Δὲν βλέπεις ὅτι τὰ δηλητήρια φάρμακα προκαλοῦν μεγάλην βλάβην καὶ δὲν ἔχουν ἀνάγκην ἀπὸ τίποτε, εἰς τὴν περίπτωσιν ὅμως ὠφελείας ὅτι ἔχουν ἀνάγκην ἀπὸ πολλά; Πρὸς χάριν σου εἶναι ὁ ἥλιος καὶ κα-

μέν, ἵνα ἐπιγινώσκῃς τὸν Δεσπότην· ἀσθενὴς δέ, ἵνα μὴ Δεσπότην αὐτὸν εἶναι λέγῃς.

Ἀλλὰ τρέφει, φησί, τὰ φυτὰ καὶ τὰ σπέρματα. Τί οὖν μὴ παρὰ τοῦτο καὶ ἡ κόπρος θεός; καὶ γὰρ καὶ ἐκείνη τρέφει. Τί μὴ παρὰ τοῦτο καὶ τὸ δρέπανον, καὶ αἱ τοῦ γεωργοῦ χεῖρες; Δεῖξόν μοι μόνον τρέφοντα τὸν ἥλιον, καὶ μηδενὸς δεόμενον, μήτε γῆς, μήτε ὕδατος, μήτε γεωργίας· ἀλλὰ βαλλέσθω τὰ σπέρματα, καὶ τὴν ἀκτῖνα ἀφεὶς δεικνύτω τοὺς ἀστάχυας. Εἰ δὲ οὐκ αὐτοῦ μόνου, ἀλλὰ καὶ τῶν ὑετῶν ἐστι, διὰ τί μὴ καὶ τὸ ὕδωρ θεός; Ἀλλὰ μήπω περὶ τούτου. Διὰ τί μὴ καὶ ἡ γῆ θεός; διὰ τί μὴ καὶ ἡ κόπρος καὶ ἡ δίκελλα; Πάντα οὖν, εἰπέ μοι, προσκυνήσομεν; Ὢ τῆς ληδωρίας! Καίτοι μᾶλλον ἄνευ ἡλίου γένοιτο ἄσταχυς, ἢ ἄνευ γῆς καὶ ὕδατος, καὶ φυτὰ καὶ τὰ ἄλλα ἅπαντα. Γῆς μὲν οὖν οὐκ οὔσης, οὐκ ἄν ποτε τούτων τι φανείη· εἰ δέ τις ἐν κεραμίῳ, οἷα τὰ παιδία ποιοῦσι καὶ αἱ γυναῖκες, γῆν ἐναποθέμενος, ὑπὸ τὸν ὄροφον καταθοῖτο, κέραμον ἐμπλήσας κόπρου πολλῆς, ἀσθενῆ μέν, ἀναδίδοται δὲ ὅμως τὰ φυτά. Ὥστε πλείων ἡ παρὰ τῆς γῆς καὶ τῆς κόπρου συντέλεια, καὶ ταῦτα μᾶλλον ἐκείνου χρὴ προσκυνεῖν. Οὐρανοῦ δεῖται, ἀέρος δεῖται, ὑδάτων δεῖται τούτων, ὥστε μὴ βλάπτειν καθάπερ χαλινῶν κατεχόντων αὐτοῦ τὴν τῆς δυνάμεως ἀγριότητα, καὶ οὐκ ἐώντων ἐπαφεῖναι πανταχοῦ τὴν ἀκτῖνα, ὥσπερ τινὰ ἵππον ἄγριον. Εἰπὲ δή μοι, ποῦ ἡμῖν ἐστιν οὗτος κατὰ τὴν νύκτα; ποῦ θεὸς ἀποδεδήμηκεν; οὐ γὰρ θεοῦ τοῦτο τὸ περικλείεσθαι

λὸς καὶ ἀνίσχυρος· καλὸς μὲν διὰ ν' ἀναγνωρίζῃς τὸν Κύριον, ἀνίσχυρος δέ, διὰ νὰ μὴ λέγῃς ὅτι αὐτὸς εἶναι ὁ Κύριός σου.

Ἀλλ' ὅμως τρέφει, θὰ εἰπῇ κάποιος, τὰ φυτὰ καὶ τὰ σπέρματα. Τί λοιπόν· μήπως ἐξ αἰτίας αὐτοῦ καὶ ἡ κοπριὰ εἶναι θεός; καθ' ὅσους καὶ ἐκείνη τρέφει. Τί δὲ μήπως ἐξ αἰτίας αὐτοῦ καὶ τὸ δρεπάνι εἶναι Θεὸς καὶ τὰ χέρια τοῦ γεωργοῦ; Ἀπόδειξέ μου νὰ τρέφῃ ὁ ἥλιος μόνος του, χωρὶς νὰ ἔχῃ ἀνάγκην ἀπὸ τίποτε, οὔτε ἀπὸ τὸ χῶμα, οὔτε ἀπὸ τὸ ὕδωρ, οὔτε ἀπὸ τὴν καλλιέργειαν τῆς γῆς, ἀλλὰ νὰ σπείρῃ τὰ σπέρματα καὶ ἀφοῦ ἐκπέμψῃ τὰς ἀκτῖνας του νὰ φέρῃ εἰς φῶς τὰ στάχυα. Ἐὰν ὅμως δὲν ἐξαρτᾶται μόνον ἀπ' αὐτόν, ἀλλὰ καὶ ἀπὸ τὴν βροχήν, διατί δὲν εἶναι θεὸς καὶ τὸ ὕδωρ; Ἀλλὰ δὲν θὰ ἀναφερθῶ ἀκόμη εἰς αὐτό. Διατί δὲν εἶναι καὶ ἡ γῆ θεός; διατί δὲν εἶναι καὶ ἡ κοπριὰ καὶ τὸ δικέλλι; Ὅλα λοιπόν, εἰπέ μου, θὰ τὰ προσκυνήσωμεν; Τί ἀνοησία! Ἂν καὶ βέβαια θὰ ἦτο δυνατὸν μᾶλλον νὰ ἀναπτύσσωνται τὰ στάχυα χωρὶς ἥλιον, παρὰ χωρὶς χῶμα καὶ ὕδωρ, καθὼς ἐπίσης καὶ τὰ φυτὰ καὶ ὅλα τὰ ἄλλα. Ἐὰν λοιπὸν δὲν ὑπῆρχεν ἡ γῆ δὲν θὰ ἐγίνετο ποτὲ τίποτε ἀπ' αὐτά, ἐὰν ὅμως βάλῃ κάποιος χῶμα ἐπάνω εἰς κεραμίδα, ὅπως κάνουν τὰ παιδιὰ καὶ αἱ γυναῖκες, καὶ τὴν τοποθετήσῃ κάτω ἀπὸ τὴν στέγην, ἀφοῦ γεμίσῃ τὴν κεραμίδα μὲ πολλὴν κοπριάν, τότε τὰ φυτὰ θὰ βλαστήσουν ὁπωσδήποτε, ἔστω καὶ ἂν εἶναι καχεκτικά. Ὥστε μεγαλυτέρα εἶναι ἡ συμβολὴ τοῦ χώματος καὶ τῆς κοπριᾶς, καὶ αὐτὰ πρέπει νὰ προσκυνοῦμεν περισσότερον ἀπὸ τὸν ἥλιον. Ἐκεῖνος ἔχει ἀνάγκην ἀπὸ τὸν οὐρανόν, τὸν ἀέρα, ἀπὸ τὰ ἄδια τὰ ὕδατα, διὰ νὰ μὴ βλάπτῃ, ὡσὰν νὰ εἶναι αὐτὰ οἱ χαλινοὶ ποὺ συγκρατοῦν τὴν ἀγριότητα τῆς δυνάμεώς του καὶ δὲν ἐπιτρέπουν νὰ ἐκπέμψῃ παντοῦ τὴν ἀκτῖνά του, ὡσὰν κάποιον ἄγριον ἵππον. Εἰπέ μου λοιπόν, ποῦ εἶναι αὐτὸς κατὰ τὴν διάρκειαν τῆς νυκτός; Ποῦ ἔχει ἀποδημήσει ὁ Θεός; διότι δὲν εἶναι τοῦτο ἰδιότης τοῦ Θεοῦ. τὸ νὰ περικλείεται δηλαδὴ ἐντὸς ὁρίων καὶ νὰ ἔχῃ τέλος· διότι αὐτὸ πράγματι εἶναι γνώρισμα μόνον τῶν σωμάτων.

καὶ περατοῦσθαι· σωμάτων γὰρ ὄντως τοῦτο μόνον. Ἀλλὰ καὶ δύναμίς τίς ἐστιν ἐν αὐτῷ, φησί, καὶ κινεῖται. Αὕτη οὖν ἡ δύναμις, εἰπέ μοι, θεός; τί οὖν αὕτη δεῖται, καὶ μὴ κατέχει τὸ πῦρ; πάλιν γὰρ ὁ αὐτός μοι λόγος. Τί δὲ ἡ δύναμις ἐκείνη; φωτιστική τίς ἐστιν, ἢ διὰ τούτου φωτίζει, αὐτὴ μετέχουσα τούτων μηδενός; Οὐκοῦν μείζων αὐτῆς ὁ ἥλιος. Μέχρι τίνος ἀνελίττομεν λαβύρινθον;

3. Τί δὲ τὸ ὕδωρ; οὐχὶ καὶ αὐτὸ θεός, φασί; Τοῦτο ὄντως γέλωτος πάλιν φιλονείκου. Οὐχὶ θεός, φησίν, ᾧ πρὸς τοσαῦτα κεχρήμεθα; Καὶ περὶ τῆς γῆς πάλιν ὁμοίως. Ὄντως, «Ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τὴν διάνοιαν». Ἀλλὰ περὶ βίου ταῦτά φησι νῦν· Πορνεύουσι καὶ μοιχεύουσιν Ἕλληνες. Εἰκότως· οἱ γὰρ τοιούτους ὑπογράφοντες ἑαυτοῖς θεούς, πάντα ἀκολούθως ἐργάζονται· κἂν τοὺς τῶν ἀνθρώπων δυνηθῶσι λαθεῖν ὀφθαλμούς, οὐδεὶς ὁ καθέξων αὐτούς. Τί γὰρ δυνήσεται ὁ περὶ ἀναστάσεως λόγος, μῦθος αὐτοῖς εἶναι δοκῶν; Ἀλλὰ περὶ τῶν ἐν ᾅδου; Ἀλλὰ καὶ ταῦτα μῦθοι· καὶ θέα τὴν σατανικὴν ἔννοιαν. Ὅταν μὲ λέγωσιν αὐτοῖς θεοὺς πόρνους, οὔ φασιν εἶναι μύθους, ἀλλὰ πείθονται· ὅταν δὲ περὶ κολάσεως διαλέγονται, Ποιηταί, φασίν, εἰσί, καὶ πάντα μυθεύουσιν, ἵνα πάντοθεν ἀνατρέπηται τῆς εὐζωΐας ἡ κατάστασις.

Ἀλλ' οἱ φιλόσοφοι, φησίν, ἐφεῦρον τι σεμνὸν πάντως, καὶ τούτων κρεῖττον. Πῶς; οἱ τὴν εἱμαρμένην ἐπεισάγοντες, καὶ ἀπρονόητα εἶναι λέγοντες τὰ πάντα, καὶ μηδενὶ μέλειν μηδενός, ἀλλ' ἐξ ἀτόμων συνεστάναι; ἀλλ' ἕτεροι οἱ σῶμα τὸν θεὸν εἰπόντες; Ἀλλὰ τίνες, εἰπέ μοι; οἱ τὰς ἀνθρωπίνας ψυχὰς κυνείας ποιοῦντες, καὶ τοὺς ἀνθρώπους πείθοντες, ὅτι καὶ κύων ἐγένετό ποτέ τις, καὶ λέων καὶ ἰχθύς; Μέχρι τίνος οὐ παύεσθε ληροῦντες, ἐσκοτισμένοι τῇ

'Αλλ' ὅμως, θὰ εἰπῇ κάποιος, ὑπάρχει εἰς αὐτὸν καὶ κάποια δύναμις καὶ κινεῖται. Αὐτὴ λοιπὸν ἡ δύναμις, εἰπέ μου, εἶναι θεός; Καὶ τί εἶναι ἐκεῖνο ποὺ ἔχει αὐτὴ καὶ δὲν τὸ κατέχει τὸ πῦρ; πάλιν βέβαια θὰ εἰπῶ τὰ ἴδια λόγια. Καὶ τί εἶναι ἡ δύναμις ἐκείνη; εἶναι φωτιστικὴ ἢ διὰ τοῦ ἡλίου φωτίζει, ἐνῷ αὐτὴ δὲν μετέχει εἰς τίποτε ἀπ' αὐτά; Λοιπὸν εἶναι μεγαλύτερος ἀπ' αὐτὴν ὁ ἥλιος. Μέχρι ποίου σημείου θὰ ἐκτυλίσσωμεν τὸν λαβύρινθον;

3. Καὶ τί εἶναι τὸ ὕδωρ; δὲν εἶναι καὶ αὐτὸ θεός; θὰ εἰπῇ κάποιος. Αὐτὸ πράγματι εἶναι πάλιν ἄξιον γέλωτος φιλονείκου. Δὲν εἶναι θεός, θὰ εἰπῇ κάποιος, αὐτὸ ποὺ μεταχειριζόμεθα τόσον πολύ; Καὶ περὶ τοῦ χώματος πάλιν ὁμοίως. 'Αληθῶς, «Μὲ τὴν ματαιότητα τοῦ νοῦ των, εἶναι σκοτισμένοι εἰς τὴν διάνοιαν». 'Αλλ' αὐτὰ τώρα τὰ λέγει ἀναφορικὰ μὲ τὴν ζωὴν ποὺ κάνουν. Πορνεύουν καὶ μοιχεύουν οἱ Ἕλληνες. Καὶ εἶναι πολὺ φυσικόν˙ διότι οἱ λατρεύοντες τέτοιους θεούς, διαπράττουν κατὰ συνέπειαν τὰ πάντα˙ καὶ ἂν ἠμπορέσουν νὰ διαφύγουν τὴν προσοχὴν τῶν ἀνθρώπων, δὲν ὑπάρχει κανεὶς ποὺ νὰ τοὺς συγκρατήσῃ. Διότι τί θὰ ἠμπορέσῃ νὰ προσφέρῃ τὸ κήρυγμα περὶ τῆς ἀναστάσεως τὴν στιγμὴν ποὺ θεωρεῖται μῦθος ἀπὸ αὐτούς; Μήπως τὰ λεγόμενα σχετικὰ μὲ τὸν Ἅδην; 'Αλλὰ καὶ αὐτὰ εἶναι μῦθοι Ὅταν μὲν λέγουν εἰς αὐτοὺς ὅτι οἱ θεοὶ εἶναι πόρνοι, δὲν λέγουν ὅτι εἶναι μῦθοι, ἀλλὰ πείθονται, ὅταν ὅμως ὁμιλοῦν περὶ τῆς κολάσεως, ποιηταί, λέγουν, εἶναι καὶ τὰ πάντα μυθολογοῦν, διὰ νὰ ἀνατρέπεται ἀπὸ παντοῦ ἡ κατάστασις τῆς εὐζωίας.

'Αλλά, θὰ εἰπῇ κάποιος, οἱ φιλόσοφοι ἐφεῦρον κάτι ὁπωσδήποτε σπουδαῖον καὶ ἀνώτερον ἀπ' αὐτά. Ποῖοι; αὐτοὶ ποὺ εἰσάγουν τὴν εἱμαρμένην καὶ λέγουν ὅτι τὰ πάντα εἶναι χωρὶς πρόνοιαν καὶ κανεὶς δὲν προνοεῖ διὰ τίποτε, ἀλλὰ σχηματίζονται ἀπὸ ἄτομα; ἢ μήπως ἄλλοι ποὺ ἀπεκάλεσαν τὸν Θεὸν σῶμα; 'Αλλὰ εἰπέ μου, ποῖοι; ἐκεῖνοι ποὺ μετατρέπουν τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς ψυχὰς σκύλων καὶ πείθουν τοὺς ἀνθρώπους, ὅτι καὶ σκύλος ἔγινε κάποιος κάποτε καὶ λεοντάρι καὶ ἰχθύς; Μέχρι πότε δὲν

διανοίᾳ· καθάπερ γὰρ ὄντες ἐν σκότῳ πάντα καὶ λέγουσι καὶ πράττουσι, καὶ τὰ περὶ δογμάτων καὶ τὰ περὶ βίου. Οὐδὲν γὰρ ὁρᾷ τῶν ἐν μέσῳ κειμένων, ὅς ἐστιν ἐσκοτισμένος, ἀλλὰ σχοινίον πολλάκις ἰδών, ὄφιν ἐνόμισεν αὐτόματον· ὑπὸ φραγμοῦ πάλιν κατασχεθείς, ἐνόμισεν ἄνθρωπόν τινα ἢ δαίμονα κατέχειν αὐτόν· καὶ πολὺς ὁ θόρυβος, πολλὴ ἡ ταραχή. Τοιαῦτά τινα φοβοῦνται· «Φοβηθήσονται», φησί, «φόβον, οὗ οὐκ ἦν φόβος»· τὰ δὲ ἄξια φόβου οὐ δεδοίκασιν. Ἀλλὰ καθάπερ τὰ παιδία τῷ μὲν πυρὶ τὰς χεῖρας ἀπρονοήτως καὶ τῷ λύχνῳ τολμηρῶς ἐπαφιᾶσιν ὑπὸ τῶν τιτθῶν βασταζόμενα, σάκκον δὲ ἄνδρα ἐνδεδυμένον φοβοῦνται, οὕτω δὴ καὶ οὗτοι οἱ Ἕλληνες, καθάπερ ὄντως ἀεὶ παιδία (ὥς καί τις τῶν παρ' αὐτοῖς εἶπεν· ‘Ἕλληνες ἀεὶ παῖδες’), τὰ μὲν οὐκ ὄντα ἁμαρτήματα δεδοίκασιν, οἷον ῥύπον σώματος, κῆδος, λέχος, καὶ ἡμερῶν παρατηρήσεις, καὶ ὅσα τοιαῦτα, ἃ δέ ἐστιν ὄντως ἁμαρτήματα, παιδεραστία, μοιχεία, πορνεία, τούτων οὐδὲ λόγον ἔχουσιν.

Ἀλλ' ἴδοις ἂν αὐτὸν ἀπὸ μὲν νεκροῦ λουόμενον, ἀπὸ δὲ νεκρῶν ἔργων, οὐκέτι· καὶ χρημάτων μὲν ἕνεκεν πολλὴν ποιούμενον σπουδήν, ἑνὶ δὲ ἀλεκτρυόνι τὸ πᾶν διαλελύσθαι νομίζοντα· οὕτως ἐσκοτισμένοι εἰσὶ τῇ διανοίᾳ. Πολλῶν δειμάτων αὐτοῖς ἡ ψυχὴ μεστή, οἷον, Ὁ δεῖνά μοι πρῶτος ἐνέτυχε, φησίν, ἐξιόντι τῆς οἰκίας· πάντως μυρία δεῖ κακὰ συμπεσεῖν. Νῦν ὁ οἰκέτης ὁ μιαρὸς τὰ ὑποδήματα ἐπιδιδούς, πρῶτον ὤρεξε τὸ ἀριστερόν· συμφοραὶ δειναὶ καὶ ὕβρεις. Ἐγὼ αὐτὸς ἐξιών, τῷ ἀριστερῷ προτέρῳ προὔβην ποδί· καὶ τοῦτο συμφορῶν σημεῖον. Καὶ ταῦτα μὲν περὶ τὴν οἰ-

7. Ψαλμ. 52, 6.

θὰ παύσετε νὰ λέγετε ἀνοησίας, σκοτισμένοι εἰς τὴν διάνοιαν; καθ' ὅσον εὑρισκόμενοι ὡσὰν εἰς τὸ σκοτάδι λέγουν καὶ πράττουν τὰ πάντα, καὶ τὰ περὶ τῶν δογμάτων καὶ τὰ περὶ τῆς ζωῆς. Διότι ἐκεῖνος ποὺ εἶναι σκοτισμένος δὲν βλέπει τίποτε ἀπὸ τὰ εὑρισκόμενα εἰς τὸ μέσον, ἀλλὰ πολλάκις, ἐνῷ βλέπει ἕνα σχοινί, νομίζει ὅτι εἶναι φίδι κινούμενον μόνον του· ὅταν πάλιν συνέβη νὰ ἐκρατήθη ἀπὸ φράκτην, ἐνόμισεν ὅτι κατακρατεῖ αὐτὸν κάποιος ἄνθρωπος ἢ δαίμων· καὶ εἶναι πολὺς ὁ θόρυβος καὶ μεγάλη ἡ ταραχή. Τέτοιοι περίπου εἶναι οἱ φόβοι των. «Θὰ αἰσθάνωνται φόβον», λέγει, «ἐκεῖ ὅπου κανεὶς φόβος δὲν θὰ ὑπάρχῃ»[7]· δὲν φοβοῦνται ὅμως τὰ ἄξια φόβου. Ἀλλ' ὅπως ἀκριβῶς τὰ παιδιὰ ἁπλώνουν μὲν τὰ χέρια των ἀπερίσκεπτα εἰς τὸ πῦρ καὶ χωρὶς φόβον εἰς τὸν λύχνον, βασταζόμενα ἀπὸ τὰς τροφούς των, φοβοῦνται δὲ τὸν ἄνδρα ποὺ ἔχει ἐνδυθῆ ἕνα σάκκον, ἔτσι λοιπὸν καὶ αὐτοὶ οἱ Ἕλληνες, ὡσὰν πράγματι νὰ εἶναι πάντοτε παιδιὰ (ὅπως καὶ κάποιος ἀπ' αὐτοὺς εἶπεν· Οἱ Ἕλληνες εἶναι πάντοτε παιδιά'), φοβοῦνται μὲν ἐκεῖνα ποὺ δὲν εἶναι ἁμαρτήματα, ὅπως τὴν ἀκαθαρσίαν τοῦ σώματος, τὸν γάμον, τὴν σύζυγον, τὰς παρατηρήσεις ἡμερῶν, καὶ ὅλα τὰ παρόμοια, ἐκεῖνα ὅμως ποὺ εἶναι πράγματι ἁμαρτήματα, ἡ παιδεραστία, ἡ μοιχεία, ἡ πορνεία, δι' αὐτὰ οὔτε λόγον ἔχουν νὰ εἰποῦν.

Θὰ ἦτο δυνατὸν νὰ ἰδῇς αὐτὸν νὰ νίπτῃ τὰ χέρια του ἀπὸ νεκρόν, ὄχι ὅμως καὶ ἀπὸ νεκρὰ ἔργα· καὶ νὰ καταβάλλῃ πολλὴν μὲν φροντίδα διὰ τὴν ἀπόκτησιν χρημάτων, νὰ νομίζῃ ὅμως ὅτι τὸ πᾶν διαλύεται μὲ ἕνα πετεινόν· ἔτσι εἶναι σκοτισμένοι εἰς τὴν διάνοιαν. Ἡ ψυχή των εἶναι γεμάτη ἀπὸ πολλοὺς φόβους, ὅπως· ὁ τάδε μὲ συνήντησε πρῶτος, λέγει κάποιος, ὅταν ἐξῆλθα ἀπὸ τὴν οἰκίαν· ὁπωσδήποτε πρέπει νὰ μοῦ συμβοῦν πολλὰ κακά. Τώρα ὁ μιαρὸς ὑπηρέτης, ὅταν μοῦ ἔδωσε τὰ ὑποδήματα, πρῶτον ἔδωσε τὸ ἀριστερόν· θὰ ἐπακολουθήσουν φοβεραὶ συμφοραὶ καὶ ὕβρεις. Ἐγὼ ὁ ἴδιος, καθὼς ἔβγαινα, ἐβάδισα πρῶτα μὲ τὸ ἀριστερὸν πόδι· καὶ αὐτὸ εἶναι προμήνυμα συμφορῶν. Καὶ αὐτὰ μὲν εἶναι τὰ κακὰ τὰ σχετικὰ μὲ τὴν οἰκίαν, ἐνῷ ἔξω

κίαν τὰ κακά· ἔξω δὲ ἐξελθόντι ὁ ὀφθαλμός μοι ὁ δεξιὸς κάτωθεν ἀναπηδᾷ· δακρύων τοῦτο τεκμήριον. Καὶ αἱ γυναῖκες δέ, ὅταν τῷ ἱστόποδι προσαρασσόμενοι κροτῶσιν οἱ κάλαμοι, ἢ ὅταν αὐταὶ τῷ κτενὶ σπαθῶσι, σημεῖον καὶ τοῦτο ποιοῦνται. Πάλιν ὅταν τὴν κρόκην τῷ κτενὶ κατακρούωσι, καὶ σφοδρότερον τοῦτο ἐργάζωνται, εἶτα οἱ ἄνωθεν κάλαμοι ὑπὸ τῆς ἐντόνου πληγῆς κροτῶσι προαρασσόμενοι τῷ ἱστόποδι, σημεῖον καὶ τοῦτο ποιοῦνται· καὶ μυρία ἕτερα γέλωτος ἄξια. Κἂν ὄνος ἀνακράξῃ, κἂν ἀλεκτρυών, κἂν πτάρῃ τις, κἂν ὁτιοῦν συμβῇ, καθάπερ μυρίοις δεδεμένοι δεσμοῖς, ὅπερ ἔφην, καθάπερ ἐν σκότῳ κατεχόμενοι, πάντα ὑποπτεύουσι, καὶ μυρίων εἰσὶν ἀνδραπόδων δουλικώτεροι.

Ἀλλὰ μὴ καὶ ἡμεῖς· ἀλλὰ πάντων τούτων καταγελάσαντες, ἅτε ἐν φωτὶ ζῶντες, καὶ ἐν οὐρανῷ πολιτευόμενοι, καὶ πρὸς τὴν γῆν οὐδὲν ἔχοντες κοινόν, ἓν μόνον ἡγώμεθα εἶναι φοβερόν, τὴν ἁμαρτίαν καὶ τὸ προσκροῦσαι Θεῷ. Τούτου δὲ οὐκ ὄντος, πάντων καταγελάσωμεν τῶν ἄλλων, καὶ τοῦ ταῦτα εἰσενεγκόντος διαβόλου. Ὑπὲρ δὴ τούτων εὐχαριστῶμεν τῷ Θεῷ· σπουδάσωμεν, μηδέποτε μήτε αὐτοὶ ταύτῃ ἁλῶναι τῇ δουλείᾳ, καὶ εἴ τις ἡμῖν τῶν φίλων ἑάλωκε, διαρρήξωμεν αὐτοῦ τὰ δεσμά, ἀπολύσωμεν αὐτὸν τῆς χαλεπωτάτης καὶ καταγελάστου ταύτης εἱρκτῆς, εὔλυτον αὐτὸν ἐργασώμεθα πρὸς τὸν δρόμον τὸν εἰς τὸν οὐρανόν, τὰ πτερὰ βαρούμενα ἀνορθώσωμεν, καὶ βίου καὶ δόγματος ἕνεκεν διδάσκωμεν φιλοσοφεῖν. Εὐχαριστῶμεν τῷ Θεῷ πάντων ἕνεκεν· παρακαλῶμεν αὐτόν, μὴ ἀναξίους ἡμᾶς ἀποφανθῆναι τῆς παρασχεθείσης δωρεᾶς· καὶ αὐτοὶ μετὰ τούτων σπουδάζωμεν τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, ἵνα μὴ μόνον λέ-

ὅταν ἐξέλθω ὁ δεξιός μου ὀφθαλμὸς παίζει ἐπάνω κάτω˙ τοῦτο εἶναι σημάδι δακρύων. Καὶ αἱ γυναῖκες δέ, ὅταν οἱ κάλαμοι ριπτόμενοι μὲ ὁρμὴν εἰς τὸ στημόνι κάνουν κρότον ἢ ὅταν αἱ ἴδιαι κτυποῦν εἰς τὸ κτένι, θεωροῦν καὶ τοῦτο ὡσὰν κάποιο προμήνυμα. Πάλιν ὅταν μὲ τὴν σαΐτα κτυποῦν τὸ κτένι καὶ ἐργάζονται τοῦτο ἐντονώτερον, καὶ ἐν συνεχείᾳ οἱ κάλαμοι, ποὺ εἶναι ἐπάνω, ἀπὸ τὸ ἰσχυρὸν κτύπημα κάνουν κρότον προσκρούοντες εἰς τὸ στημόνι, θεωροῦν καὶ αὐτὸ κακὸν σημάδι, καθὼς καὶ ἄπειρα ἄλλα ἄξια διὰ γέλια. Εἴτε ὁ ὄνος ἐκβάλλει ἰσχυρὰν φωνὴν εἴτε ὁ πετεινὸς λαλήσῃ, εἴτε πταρνισθῇ κάποιος, εἴτε συμβῇ ὅ,τιδήποτε ἄλλο παρόμοιον ὡσὰν νὰ εἶναι δεμένοι εἰς πολλὰ δεσμά, καὶ καθὼς εἶπα, εὑρισκόμενοι ὡσὰν εἰς τὸ σκοτάδι, τὰ πάντα ὑποψιάζονται, καὶ εἶναι περισσότερον δοῦλοι ἀπὸ πολλοὺς δούλους.

Ἄλλως ἂς μὴ συμβαίνῃ αὐτὸ καὶ μὲ ἡμᾶς, ἀλλ', ἀφοῦ περιγελάσωμεν ὅλα αὐτά, καθόσον ζῶμεν εἰς τὸ φῶς καὶ πολιτευόμεθα εἰς τὸν οὐρανὸν καὶ δὲν ἔχομεν τίποτε κοινὸν πρὸς τὴν γῆν, ἂς θεωροῦμεν ὅτι ἕνα μόνον εἶναι φοβερόν, ἡ ἁμαρτία καὶ ἡ σύγκρουσις μὲ τὸν Θεόν. Ὅταν δὲ δὲν ὑπάρχῃ αὐτό, ἂς περιγελάσωμεν ὅλα τὰ ἄλλα καὶ τὸν διάβολον, ποὺ εἰσήγαγεν αὐτά. Δι' αὐτὰ λοιπὸν ἂς εὐγνωμονοῦμεν τὸν Θεόν. Ἂς φροντίσωμεν νὰ μὴ συλληφθῶμεν εἰς καμμίαν περίπτωσιν οὔτε καὶ ἡμεῖς οἱ ἴδιοι εἰς αὐτὴν τὴν δουλείαν, καὶ ἂν κανεὶς φίλος μας ἔχῃ συλληφθῇ, ἂς σπάσωμεν τὰ δεσμά του, ἂς τὸν ἀπαλλάξωμεν ἀπὸ τὴν φοβερωτάτην καὶ καταγέλαστον αὐτὴν φυλακήν, ἂς καταστήσωμεν αὐτὸν εὐκίνητον πρὸς τὸν δρόμον ποὺ ὁδηγεῖ εἰς τὸν οὐρανόν, ἂς ἀνορθώσωμεν τὰ πτερά του ποὺ τὸν βαρύνουν, καὶ ἂς τὸν διδάσκωμεν νὰ φιλοσοφῇ ὡς πρὸς τὴν ζωὴν καὶ τὸ δόγμα. Ἂς εὐχαριστοῦμεν τὸν Θεὸν ἐξ αἰτίας ὅλων˙ ἂς παρακαλοῦμεν αὐτὸν νὰ μὴ μᾶς καταστήσῃ ἀναξίους τῆς παρασχεθείσης εἰς ἡμᾶς δωρεᾶς. Καὶ ἡμεῖς οἱ ἴδιοι μαζὶ μὲ αὐτοὺς ἂς προσπαθοῦμεν νὰ εἰσφέρωμεν ὅσα ἐξαρτῶνται ἀπὸ ἡμᾶς τοὺς ἰδίους, διὰ νὰ μὴ διδάσκωμεν μόνον μὲ λόγους, ἀλλὰ καὶ μὲ ἔργα.

γοντες, ἀλλὰ καὶ ποιοῦντες διδάσκωμεν. Οὕτω γὰρ δυνησόμεθα τῶν μυρίων ἀγαθῶν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀμήν.**

Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τὰ μεγάλα ἀγαθά, τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ΄
Ἐφ. Κεφ. 4, 17 - 24

«Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ».

1. Οὐ πρὸς Ἐφεσίους ταῦτα εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς ὑμᾶς νῦν λέγεται, καὶ οὐ παρ' ἡμῶν, ἀλλὰ καὶ παρὰ Παύλου, μᾶλλον δὲ οὔτε παρ' ἡμῶν, οὔτε παρὰ Παύλου, ἀλλὰ παρὰ τῆς τοῦ Πνεύματος χάριτος. Ὡς οὖν αὐτῆς ταῦτα φθεγγομένης, οὕτω διακεῖσθαι χρή. Ἄκουε δὲ καὶ τί φθέγγεται· «Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν». Εἰ οὖν ἄγνοιά ἐστιν, εἰ πώρωσίς ἐστι, τί ἐγκαλεῖς; τὸν γὰρ ἀγνοοῦντα οὐ κακῶς πάσχειν, οὐδὲ ἐγκαλεῖσθαι, ἀλλὰ μανθάνειν δίκαιόν ἐστιν ἅπερ ἀγνοεῖ. Ἀλλ' ὅρα πῶς αὐτοὺς εὐθέως ἀφαιρεῖται τῆς συγγνώμης. «Οἵτινες», φησίν,

---

1. Ἐφ. 4, 17 - 19.

ΟΜΙΛΙΑ ΙΓ΄
'Εφ. Κεφ. 4, 17-24

«Τοῦτο λοιπὸν λέγω καὶ διαμαρτύρομαι ἐνώπιον τοῦ Κυρίου, νὰ μὴ συμπεριφέρεσθε πλέον σεῖς, ὅπως συμπεριφέρονται καὶ οἱ ἄλλοι ἐθνικοί, ποὺ βαδίζουν σύμφωνα μὲ τὴν ματαιότητα τοῦ νοῦ των, εἶναι σκοτισμένοι εἰς τὴν διάνοιαν, ἔχουν ἀποξενωθῆ ἀπὸ τὴν ζωὴν τοῦ Θεοῦ ἐξ αἰτίας τῆς ἀγνοίας των, ἐξ αἰτίας τῆς πωρώσεως τῆς καρδίας των, οἱ ὁποῖοι, καταντήσαντες εἰς ἀναλγησίαν, παρέδωκαν τοὺς ἑαυτούς των εἰς τὴν ἀκολασίαν, διὰ νὰ ἐργάζωνται μὲ ἀπληστίαν κάθε εἶδος ἀκαθαρσίας»[1]

1. Αὐτὰ τὰ λόγια δὲν ἔχουν λεχθῆ μόνον πρὸς τοὺς 'Εφεσίους, ἀλλὰ τώρα λέγονται καὶ πρὸς σᾶς, καὶ ὄχι μόνον ἀπὸ ἡμᾶς, ἀλλὰ καὶ ἀπὸ τὸν Παῦλον, μᾶλλον δὲ οὔτε ἀπὸ ἡμᾶς, οὔτε ἀπὸ τὸν Παῦλον, ἀλλὰ ἀπὸ τὴν χάριν τοῦ ἁγίου Πνεύματος. 'Εφ' ὅσον λοιπὸν ἡ χάρις λέγει αὐτά, πρέπει καὶ σεῖς νὰ συμπεριφέρεσθε ἔτσι. Ἄκουε δὲ καὶ τί λέγει· «Τοῦτο λοιπὸν λέγω καὶ διαμαρτύρομαι ἐνώπιον τοῦ Κυρίου, νὰ μὴ συμπεριφέρεσθε πλέον σεῖς, ὅπως συμπεριφέρονται καὶ οἱ ἄλλοι ἐθνικοί, ποὺ βαδίζουν σύμφωνα μὲ τὴν ματαιότητα τοῦ νοῦ των, εἶναι σκοτισμένοι εἰς τὴν διάνοιαν, ἔχουν ἀποξενωθῆ ἀπὸ τὴν ζωὴν τοῦ Θεοῦ, ἐξ αἰτίας τῆς ἀγνοίας των, ἐξ αἰτίας τῆς πωρώσεως τῆς καρδίας των». 'Εὰν λοιπὸν ὑπάρχῃ ἄγνοια, ἐὰν ὑπάρχῃ πώρωσις, διατί κατηγορεῖς; διότι ἐκεῖνος ποὺ ἔχει ἄγνοιαν δὲν πρέπει νὰ ὑφίσταται κακὴν μεταχείρισιν, οὔτε νὰ κατηγορῆται, ἀλλ' εἶναι δίκαιον νὰ διδάσκεται ἐκεῖνα, ποὺ ἀγνοεῖ. Πρόσεχε ὅμως πῶς τοὺς ἀποστερεῖ ἀμέσως τὴν συγγνώμην. «Οἱ ὁποῖοι», λέγει, «ἔχουν καταντήσει εἰς

«ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, καὶ τῇ ἐργασίᾳ τῆς ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν». Δείκνυσιν ἐνταῦθα ὅτι τῆς πωρώσεως ὁ βίος γέγονε ῥαθυμίας καὶ ἀναλγησίας. «Οἵτινες», φησίν, «ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν». Ὅταν οὖν ἀκούσῃς, ὅτι «Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν», τούτου μέμνησο τοῦ ῥήματος, ὅτι ἑαυτοὺς παρέδωκαν. Εἰ οὖν ἑαυτοὺς παρέδωκαν, πῶς ὁ Θεὸς παρέδωκεν; εἰ δὲ ὁ Θεὸς αὐτοὺς παρέδωκε, πῶς ἑαυτοὺς παρέδωκαν;

Ὁρᾷς τὴν δοκοῦσαν ἐναντίωσιν; Τὸ οὖν, «Παρέδωκε», τοῦτό ἐστι, συγκεχώρηκεν. Ὁρᾷς ὅτι οὗ μὴ καθαρὸς βίος, καὶ δογμάτων τοιούτων ἐστὶν ὑπόθεσις; «Πᾶς», φησίν, «ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς». Πῶς γὰρ ἂν δύναιτο μιαρὸς ἀνήρ, καὶ μᾶλλον τῶν ἐγκαλινδουμένων βορβόρῳ χοίρων τοῖς ἁπασῶν τῶν γυναικῶν σώμασιν ἐμφυρόμενος, καὶ χρημάτων ἐρῶν, καὶ οὐδὲ ὅλως σωφροσύνης ἐφιέμενος, τοῦτον ἀναδέξασθαι τὸν βίον; Ἐργασίαν, φησίν, ἔθεντο τὸ πρᾶγμα. Ἀπὸ τούτου ἡ πώρωσις, ἀπὸ τούτου ἡ σκοτομήνη τῆς διανοίας. Ἔστι καὶ φωτὸς λάμψαντος ἐσκοτίσθαι, ὅταν οἱ ὀφθαλμοὶ ἀσθενεῖς ὦσιν· ἀσθενεῖς δὲ γίνονται, ἢ χυμῶν ἐπιρροῇ πονηρῶν, ἢ ῥεύματος πλημμύρᾳ. Οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ἡ πολλὴ ῥύμη τῶν βιωτικῶν πραγμάτων τὸ διορατικὸν ἡμῶν ἐπικλύσῃ τῆς διανοίας, ἐν σκοτώσει γίνεται· καὶ καθάπερ ἐν ὕδατι κατὰ βάθους κείμενοι, τὸν ἥλιον οὐκ ἂν δυνηθείημεν ὁρᾶν, ὥσπερ τινὸς διαφράγματος τοῦ πολλοῦ ἄνωθεν ἐπικειμένου ὕδατος· οὕτω δὴ καὶ ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας γίνε-

2. Ἐφ. 4, 19 - 20.
3. Ρωμ. 1, 28.
4. Ἰω. 3, 20

ἀναλγησίαν καὶ παρέδωκαν τοὺς ἑαυτούς των εἰς τὴν ἀκολασίαν, διὰ νὰ ἐργάζωνται μὲ ἀπληστίαν κάθε εἶδος ἀκαθαρσίας. Σεῖς ὅμως δὲν ἐδιδάχθητε περὶ τοῦ Χριστοῦ κατ᾽ αὐτὸν τὸν τρόπον»[2]. Ἀποδεικνύει ἐδῶ ὅτι ὁ τρόπος τῆς ζωῆς των ἔχει γίνει εἰς αὐτοὺς αἰτία τῆς πωρώσεως· αὐτὸς δὲ ὁ τρόπος τῆς ζωῆς των προῆλθεν ἀπὸ τὴν ἰδικήν των ραθυμίαν καὶ ἀναλγησίαν. «Οἱ ὁποῖοι», λέγει, «ἔχουν καταντήσει εἰς ἀναλγησίαν καὶ παρέδωκαν τοὺς ἑαυτούς των». Ὅταν λοιπὸν ἀκούσῃς, ὅτι «ὁ Θεὸς τοὺς παρέδωκεν εἰς νοῦν ἀνίκανον»[3], νὰ ἐνθυμηθῇς αὐτὸν τὸν λόγον, ὅτι δηλαδὴ παρέδωκαν τοὺς ἑαυτούς των. Ἐὰν λοιπὸν παρέδωκαν τοὺς ἑαυτούς των, πῶς ὁ Θεὸς παρέδωκεν αὐτούς; καὶ ἐὰν ὁ Θεὸς παρέδωκεν αὐτούς, πῶς παρέδωκαν τοὺς ἑαυτούς των;

Βλέπεις τὴν φαινομενικὴν ἀντίθεσιν; Τὸ «παρέδωκε» λοιπὸν σημαίνει ὅτι τὸ ἔχει ἐπιτρέψει. Βλέπεις ὅτι ὅπου δὲν εἶναι καθαρὸς ὁ τρόπος ζωῆς, εἶναι ὑπόθεσις καὶ τέτοιων δογμάτων; «Ὁ καθένας», λέγει, «ποὺ πράττει ἔργα πονηρά, μισεῖ τὸ φῶς καὶ δὲν ἔρχεται εἰς τὸ φῶς»[4]. Διότι πῶς θὰ ἠμποροῦσε ἄνθρωπος μιαρός, ποὺ ἔχει σχέσεις μὲ τὰ σώματα ὅλων τῶν γυναικῶν περισσότερον καὶ ἀπὸ τοὺς κυλιομένους εἰς τὸν βόρβορον χοίρους καὶ ἀγαπᾷ τὰ χρήματα καὶ καθόλου δὲν ἀποβλέπει εἰς τὴν ἐγκράτειαν, νὰ ἀποδεχθῇ αὐτὸν τὸν τρόπον ζωῆς; Ἐθεώρησαν, θὰ εἴπῃ κάποιος, τὸ πρᾶγμα αὐτὸ ὡς ἐργασίαν. Ἀπ᾽ αὐτὸ προέρχεται ἡ πώρωσις, ἀπ᾽ αὐτὸ τὸ σκοτάδι τῆς διανοίας. Εἶναι δυνατὸν καὶ ὅταν τὸ φῶς λάμψῃ νὰ εἶναι σκοτισμένοι, ὅταν οἱ ὀφθαλμοὶ εἶναι ἀσθενεῖς· καὶ γίνονται ἀσθενεῖς ἀπὸ τὴν ὑπεραφθονίαν τῶν κακῶν χυμῶν ἢ ὅταν τὸ συνάχι γίνεται ὑπερβολικόν. Ἔτσι λοιπὸν καὶ εἰς τὴν περίπτωσιν αὐτήν, ὅταν ἡ μεγάλη ὁρμὴ τῶν βιωτικῶν πραγμάτων πλημμυρίσῃ τὴν διορατικότητα τῆς διανοίας μας, καθίσταται σκοτισμένη. Καὶ ὅπως ἀκριβῶς, ὅταν εὑρισκώμεθα εἰς τὸ βάθος τοῦ ὕδατος, δὲν ἠμποροῦμεν νὰ βλέπωμεν τὸν ἥλιον, ὡσὰν τὸ εὑρισκόμενον ἐπάνω μας πολὺ ὕδωρ νὰ εἶναι κάποιο διάφραγμα, ἔτσι λοιπὸν καὶ εἰς τοὺς

ται πώρωσις τῆς καρδίας, ὅταν μηδεὶς τὴν ψυχὴν κατασείῃ φόβος. «Οὐκ ἔστι φόβος Θεοῦ», φησίν, «ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ»· Καὶ πάλιν· «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός».

Πώρωσις δὲ οὐδαμόθεν γίνεται, ἀλλ' ἢ ἀπὸ ἀναισθησίας· τοῦτο διαφράττει τοὺς πόρους. Ὅταν γὰρ ῥεῦμα πεπηγὸς εἰς ἕνα συνάγηται τόπον, νεκρὸν γίνεται τὸ μέλος καὶ ἀναίσθητον· κἂν καύσῃς, κἂν τέμῃς, κἂν ὁτιοῦν ποιῇς, οὐκ αἰσθάνεται. Οὕτω καὶ ἐκεῖνοι ἅπαξ ἑαυτοὺς δόντες τῇ ἀσελγείᾳ, κἂν πυρὸς δίκην, κἂν σιδήρου ἐπαγάγῃς αὐτοῖς τὸν λόγον, οὐδὲν καθάπτεται, οὐδὲν καθικνεῖται αὐτῶν· νενέκρωται γὰρ αὐτῶν ἅπαξ τὸ μέλος· κἂν μὴ τὴν ἀναισθησίαν ἀνέλῃς, ὥστε ὑγιαινόντων ἅψασθαι μελῶν, πάντα εἰκῇ ποιεῖς. «Ἐν πλεονεξίᾳ», φησίν. Ἐνταῦθα μάλιστα αὐτῶν τὴν ἀπολογίαν ἀφείλετο. Ἐξῆν γὰρ αὐτοῖς, εἴ γε ἐβούλοντο, μήτε πλεονεκτεῖν, μήτε ἀσελγαίνειν, μήτε γαστρίζεσθαι, καὶ τῶν ἐπιθυμιῶν ἀπολαύειν· ἐξῆν καὶ χρημάτων, ἐξῆν καὶ ἡδονῆς καὶ τρυφῆς μετέχειν μετὰ συμμετρίας· ἀλλ' ἐπειδὴ ἀμέτρως ἐχρήσαντο τῷ πράγματι, πάντα διέφθειραν. «Εἰς ἐργασίαν ἀκαθαρσίας», φησίν. Ὁρᾷς πῶς αὐτούς, ἀποστερεῖ συγγνώμης, ἐργασίαν ἀκαθαρσίας εἰπών; Οὐ παραπεσόντες, φησίν, ἥμαρτον, ἀλλ' εἰργάζοντο αὐτὰ τὰ δεινά, καὶ μελέτῃ τῷ πράγματι ἐκέχρηντο. Ἐν πάσῃ ἀκαθαρσίᾳ.

Ἀκαθαρσία πᾶσα μοιχεία, πορνεία, παιδεραστία, φθόνος, πᾶσα ἀκολασία καὶ ἀσέλγεια. «Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν», φησίν, «εἴ γε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ». Τό, «Εἴ

---

5. Ψαλμ. 13, 31.
6. Ἐφ. 4, 20 - 21.

ὀφθαλμοὺς τῆς διανοίας γίνεται ἡ πώρωσις τῆς καρδίας, ὅταν κανεὶς φόβος δὲν τρομάζῃ τὴν ψυχήν. «Δὲν ὑπάρχει ὁ φόβος τοῦ Θεοῦ», λέγει, «ἐνώπιον τῶν ὀφθαλμῶν του». Καὶ πάλιν· «Εἶπεν ὁ ἄφρων εἰς τὴν καρδίαν του· 'δὲν ὑπάρχει Θεός'»[5].

Ἡ πώρωσις δὲ δὲν προέρχεται ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ ἀπὸ τὴν ἀναισθησίαν· αὐτὴ ἀποφράσσει τοὺς πόρους. Διότι ὅταν συγκεντρώνεται εἰς ἕνα σημεῖον ρεῦμα παγωμένον, τὸ μέλος αὐτὸ καθίσταται νεκρὸν καὶ ἀναίσθητον, καὶ ἂν τὸ καύσῃς ἢ τὸ κόψῃς ἢ τὸ κάνῃς ὅ,τιδήποτε, δὲν αἰσθάνεται τίποτε. Ἔτσι καὶ ἐκεῖνοι, ὅταν παραδώσουν τοὺς ἑαυτούς των μίαν φορὰν εἰς τὴν ἀσέλγειαν, καὶ ἐὰν ἀκόμη καταφέρῃς εἰς αὐτοὺς τὸν λόγον ὡσὰν πῦρ ἢ ὡσὰν σίδηρον, δὲν τοὺς προσβάλλει καθόλου, δὲν ἐγγίζει καθόλου αὐτούς, διότι ἔχει νεκρωθῆ διὰ παντὸς τὸ μέλος αὐτῶν· καὶ ἐὰν δὲν ἐξαλείψῃς τὴν ἀναισθησίαν των, ὥστε νὰ προσβάλῃς ὡς μέλη ὑγιῆ, τὰ πάντα κάνεις εἰς μάτην. «Μὲ ἀπληστίαν», λέγει. Ἐδῶ κατ' ἐξοχὴν τοὺς ἀφήρεσε τὴν ἀπολογίαν των. Διότι ἦτο δυνατὸν εἰς αὐτούς, ἐὰν βέβαια ἤθελαν, νὰ μὴ εἶναι οὔτε πλεονέκται, οὔτε ἀσελγεῖς, οὔτε γαστρίμαργοι καὶ νὰ ἀπολαμβάνουν τὰς ἐπιθυμίας των· ἦτο δυνατὸν νὰ συμμετέχουν μὲ τὸν πρέποντα τρόπον εἰς τὰ χρήματα καὶ εἰς τὴν ἡδονὴν καὶ εἰς τὰς ἀπολαύσεις· ἐπειδὴ ὅμως μετεχειρίσθησαν τὸ πρᾶγμα ὑπερβολικά, κατέστρεψαν τὰ πάντα. «Διὰ νὰ ἐργάζωνται τὴν ἀκαθαρσίαν», λέγει. Βλέπεις πῶς τοὺς ἀποστερεῖ τὴν συγγνώμην, μὲ τὸ νὰ εἴπῃ, ἐργασίαν ἀκαθαρσίας; Δὲν ἡμάρτησαν, λέγει, ἐπειδὴ παρεσύρθησαν, ἀλλ' εἰργάζοντο αὐτὰ τὰ κακά, καὶ μετεχειρίζοντο τὸ πρᾶγμα μὲ μελέτην. Μὲ κάθε ἀκαθαρσίαν.

Ἀκαθαρσία εἶναι ἡ κάθε μοιχεία, ἡ πορνεία, ἡ παιδεραστία, ὁ φθόνος, κάθε ἀκολασία καὶ ἀσέλγεια. «Σεῖς ὅμως δὲν ἐδιδάχθητε περὶ τοῦ Χριστοῦ ἔτσι», λέγει, «ἐὰν βεβαίως ἠκούσατε τὸ ἀληθινὸν περὶ αὐτοῦ κήρυγμα καὶ ἐὰν ἑνωμένοι διὰ τῆς πίστεως μὲ αὐτὸν ἐδιδάχθητε τὴν ἀλήθειαν, ἡ ὁποία ὑπάρχει εἰς τὸν Ἰησοῦν»[6]. Τό, «Ἐὰν βε-

γε αὐτὸν ἠκούσατε», οὐκ ἀμφιβάλλοντός ἐστιν, ἀλλὰ καὶ σφόδρα διαβεβαιουμένου, καθάπερ καὶ ἀλλαχοῦ φησιν· «Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν». Τουτέστιν, Οὐκ ἐπὶ τούτοις ἐμάθετε τὸν Χριστόν. «Εἴ γε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν Χριστῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον». Ἄρα καὶ τοῦτο μαθεῖν ἐστι τὸν Χριστόν, τὸ ὀρθῶς βιοῦν. Ὁ γὰρ πονηρῶς βιῶν, ἀγνοεῖ τὸν Θεόν, καὶ ἀγνοεῖται παρ᾽ αὐτοῦ. Ἄκουε γὰρ αὐτοῦ ἀλλαχοῦ λέγοντος· «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. «Καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον». Τουτέστιν, Οὐκ ἐπὶ τούτοις συνέθου. Οὐ ματαιότης τὰ παρ᾽ ἡμῖν, ἀλλ᾽ ἀλήθεια· ὥσπερ τὰ δόγματα ἀληθῆ, οὕτω καὶ ὁ βίος. Ματαιότης γὰρ ἡ ἁμαρτία ἐστὶ καὶ ψεῦδος· ὁ δὲ βίος ὁ ὀρθός, ἀλήθεια· ἔχει γὰρ καὶ τέλος μέγα· ἡ δὲ ἀκολασία εἰς οὐδὲν τελευτᾷ. «Τὸν φθειρόμενον», φησίν, «κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης αὐτοῦ». Ὥσπερ αἱ ἐπιθυμίαι αὐτοῦ φθείρονται, οὕτω καὶ αὐτός.

2. Πῶς ἄρα αἱ ἐπιθυμίαι αὐτοῦ φθείρονται; Τῷ θανάτῳ πάντα λύεται· ἄκουε γὰρ τοῦ Προφήτου λέγοντος· «Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ». Καὶ οὐ τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ ἄλλοις πολλοῖς· οἷον τὸ κάλλος, καὶ νόσου καὶ γήρως ἐπελθόντος, ὑπεξέστη καὶ ἀπέθανε καὶ ἐφθάρη· ἡ ῥώμη τοῦ σώματος τοῖς αὐτοῖς πάλιν ἁλίσκεται· ἡ τρυφὴ οὐδὲ αὕτη τὴν αὐτὴν ἔχει ἐν γήρᾳ ἡδο-

7. Β΄ Θεσ. 1, 6.
8. Ἐφ. 4, 20-21.
9. Τίτ. 1, 16.
10. Ἐφ. 4, 22.
11. Ψαλμ. 145, 4.

βαίως ἠκούσατε τὸ ἀληθινὸν περὶ αὐτοῦ κήρυγμα», δὲν λέγεται ἀπὸ τὸν Παῦλον ἐπειδὴ ἀμφιβάλλει, ἀλλ' ἐπειδὴ εἶναι πολὺ βέβαιος, ὅπως ἀκριβῶς λέγει καὶ ἀλλοῦ. «Ἐὰν βεβαίως εἶναι δίκαιον ἐνώπιον τοῦ Θεοῦ νὰ ἀνταποδώσῃ θλῖψιν εἰς ἐκείνους ποὺ σᾶς θλίβουν»[7]. Δηλαδὴ δὲν ἐδιδάχθητε περὶ τοῦ Χριστοῦ σύμφωνα μὲ αὐτά. «Ἐὰν βεβαίως ἠκούσατε τὸ ἀληθινὸν περὶ αὐτοῦ κήρυγμα, καὶ ἐὰν ἑνωμένοι διὰ τῆς πίστεως μὲ αὐτὸν ἐδιδάχθητε, καθὼς ἡ ἀλήθεια ὑπάρχει ἐν τῷ Ἰησοῦ Χριστῷ, νὰ ἀποθέσετε τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, ὅπως ἐξεδηλώνετο αὐτὸς εἰς τὴν προηγουμένην σας διαγωγήν»[8]. Ἑπομένως καὶ τοῦτο σημαίνει, ὅτι ἐδιδάχθημεν τὸν Χριστόν, τὸ νὰ ζῶμεν δηλαδὴ ὀρθῶς. Διότι ἐκεῖνος ποὺ ζῇ κακῶς, ἀγνοεῖ τὸν Θεόν, καὶ ὁ Θεὸς ἀγνοεῖ αὐτόν. Ἄκουε καὶ τὸν Παῦλον, ὁ ὁποῖος ἀλλοῦ λέγει· «Ὁμολογοῦν, ὅτι γνωρίζουν τὸν Θεόν, μὲ τὰ ἔργα των ὅμως τὸν ἀρνοῦνται. Καθὼς ἡ ἀλήθεια ὑπάρχει ἐν τῷ Ἰησοῦ, νὰ ἀποθέσετε τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, ὅπως ἐξεδηλώνετο αὐτὸς εἰς τὴν προηγουμένην σας διαγωγήν»[9]. Δηλαδή, δὲν συνεφώνησες ὑπὸ τοὺς ὅρους αὐτούς. Δὲν εἶναι μάταια τὰ ἰδικά μας, ἀλλ' ἀληθινά· ὅπως τὰ δόγματα εἶναι ἀληθινά, ἔτσι καὶ ὁ τρόπος τῆς ζωῆς μας. Διότι ἡ ἁμαρτία εἶναι ματαιότης καὶ ψεῦδος· ὁ δὲ ὀρθὸς τρόπος ζωῆς εἶναι ἀλήθεια, διότι ἔχει καὶ τέλος ἐξαίρετον, ἡ δὲ ἀκολασία πουθενὰ δὲν καταλήγει. «Ὁ ὁποῖος διαφθείρεται ὁλονέν», λέγει, «ἀπὸ τὰς ἐπιθυμίας, ποὺ προκαλεῖ ἡ ἀπάτη τῆς ἁμαρτίας του»[10]. Ὅπως φθείρονται αἱ ἐπιθυμίαι του, ἔτσι φθείρεται καὶ αὐτός.

2. Πῶς λοιπὸν φθείρονται αἱ ἐπιθυμίαι τοῦ παλαιοῦ ἀνθρώπου; Μὲ τὸν θάνατον τὰ πάντα διαλύονται, διότι ἄκουε τὸν προφήτην ποὺ λέγει· «Κατ' ἐκείνην τὴν ἡμέραν θὰ ἐξαφανισθοῦν ὅλοι οἱ διαλογισμοί του»[11]. Καὶ ὄχι μόνον μὲ τὸν θάνατον, ἀλλὰ καὶ μὲ πολλὰ ἄλλα· ὅπως ἡ ὀμορφιά, ὅταν ἔλθῃ ἀσθένεια καὶ τὰ γηρατεῖα, ὑποχωρεῖ καὶ πεθαίνει καὶ διαλύεται· ἡ δύναμις τοῦ σώματος μὲ τὸν ἴδιον τρόπον πάλιν καταστρέφεται· οὔτε αὐτὴ ἡ ἀπόλαυσις ἔχει κατὰ τὰ γηρατεῖα τὴν ἰδίαν ἡδονήν. Καὶ τοῦτο μᾶς εἶναι

νήν. Καὶ δῆλον ἡμῖν τοῦτο ἀπὸ τοῦ Βερζελλῆ. Ἴστε πάντως τὴν ἱστορίαν. Ἢ ἑτέρως πάλιν τοῦτον αὐτὸν φθείρει καὶ ἀπόλλυσιν ἡ ἐπιθυμία. Καθάπερ γὰρ τὸ ἔριον, ἀφ᾽ ὧν τίκτεται, ὑπὸ τούτων καὶ ἀπόλλυται, οὕτω καὶ ὁ παλαιὸς ἄνθρωπος. Καὶ γὰρ δόξης ἔρως ἀπόλλυσι, καὶ ἡδοναὶ πολλάκις ἀπώλεσαν, καὶ ἐπιθυμία ἐξηπάτησεν. Οὐ γάρ ἐστιν ὄντως ἡδονή, ἀλλὰ πικρία καὶ ἀπάτη τὸ πρᾶγμα, ὑπόκρισις καὶ σκηνή· καὶ τὸ μὲν πρόσωπον λαμπρὸν τῶν πραγμάτων, αὐτὰ δὲ τὰ πράγματα οὐδὲν ἕτερον, ἢ ταλαιπωρίας καὶ πολλῆς πτωχείας γέμοντα καὶ ἀηδίας καὶ πολλῆς τῆς πενίας· κἂν ἀφέλῃς τὸ προσωπεῖον, καὶ γυμνώσῃς τὴν ὄψιν, ὄψει τὴν ἀπάτην. Ἀπάτη γὰρ τοῦτό ἐστιν, ὅταν ὅπερ τί ἐστι, μὴ φαίνηται, ἀλλ᾽ ὅπερ μή ἐστι, δείκνυται. Οὕτω καὶ οἱ παραλογισμοὶ γίνονται. Τέσσαρας δὲ ἡμῖν ἀνθρώπους ἐνταῦθα ὑπογράφει· καί, εἰ βούλεσθε, τούτων ἤδη τὴν ἀπόδειξιν παρέχω· Ἐνταῦθα μὲν δύο, οὕτω λέγων· «Ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, ἀνανεοῦσθε τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον». Ἐν δὲ τῇ πρὸς Ρωμαίους ἄλλους δύο, ὡς ὅταν λέγῃ· «Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου». Καὶ οὗτοι πρὸς ἐκείνους ἔχουσι τὴν συγγένειαν, πρὸς μὲν τὸν ἔσω ὁ καινός, πρὸς δὲ τὸν ἔξω ὁ παλαιός· ἀλλ᾽ ὅμως οἱ τρεῖς διεφθάρησαν. Μᾶλλον δὲ τρεῖς εἰσι καὶ νῦν, καινὸς καὶ παλαιός, καὶ οὗτος ὁ οὐσιώδης καὶ φυσικός.

«Ἀνανεοῦσθε» δέ, φησί, «τῷ πνεύματι τοῦ νοὸς ὑμῶν». Ἵνα μή τις νομίσῃ, ὅτι ἐπεισάγει ἄνθρωπον ἕτερον, εἰπὼν παλαιὸν καὶ καινόν, ὅρα τί φησιν· «Ἀνανεοῦσθε». Ἀνανεοῦ-

---

12. Προβλ. Β΄ Βασ. 19, 32. 40.
13. Ἐφ. 4, 22. 23. 24.
14. Ρωμ. 7, 23.

γνωστὸν ἀπὸ τὸν Βερζελλῆ[12]. Γνωρίζετε βέβαια τὴν ἱστορίαν του. Ἢ καὶ μὲ ἄλλον τρόπον τὸν φθείρει αὐτὸν τὸν ἴδιον καὶ τὸν καταστρέφει ἡ ἐπιθυμία. Διότι ὅπως ἀκριβῶς τὸ μαλλί, ἀπὸ τὰ ζῶα ἀπὸ τὰ ὁποῖα γίνεται, ἀπὸ τὰ αὐτὰ καὶ καταστρέφεται, ἔτσι καὶ ὁ παλαιὸς ἄνθρωπος τῆς ἁμαρτίας. Καὶ εἶναι ἀλήθεια ὅτι ἡ ἐπιθυμία τῆς δόξης καταστρέφει, καὶ αἱ ἡδοναὶ πολλάκις κατέστρεψαν καὶ ἡ ἐπιθυμία ἐξηπάτησε. Διότι δὲν ὑπάρχει ἀληθινὴ ἡδονή, ἀλλὰ τὸ πρᾶγμα εἶναι πικρία καὶ ἀπάτη, προσποίησις καὶ θέατρον· καὶ τὸ μὲν προσωπεῖον τῶν πραγμάτων εἶναι λαμπρόν, τὰ ἴδια δὲ τὰ πράγματα τίποτε ἄλλο δὲν εἶναι παρὰ γεμᾶτα ἀπὸ ταλαιπωρίαν καὶ μεγάλην πτωχείαν καὶ ἀηδίαν καὶ μεγάλην πενίαν· καὶ ἂν ἀφαιρέσῃς τὸ προσωπεῖον καὶ γυμνώσῃς τὴν ὄψιν των, θὰ ἰδῇς τὴν ἀπάτην. Διότι αὐτὸ σημαίνει ἀπάτη, ὅταν δὲν φαίνεται ἐκεῖνο ποὺ εἶναι πράγματι, ἀλλὰ φαίνεται ἐκεῖνο ποὺ δὲν εἶναι. Ἔτσι γίνονται καὶ οἱ παραλογισμοί. Ἐδῶ μᾶς περιγράφει τέσσαρας ἀνθρώπους, καί, ἐὰν θέλετε, σᾶς δίδω ἤδη τὴν ἀπόδειξιν αὐτῶν. Ἐδῶ μὲν δύο, ὅταν λέγῃ τὰ ἑξῆς· «Ἀφοῦ ἀποθέσετε τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, ἀνακαινίζεσθε κατὰ τὸ πνευματικὸν βάθος τοῦ νοῦ σας, καὶ ἐνδύεσθε τὸν νέον ἄνθρωπον»[13]. Εἰς δὲ τὴν πρὸς Ρωμαίους ἐπιστολήν του περιγράφει ἄλλους δύο, καθὼς ὅταν λέγῃ· «Βλέπω ὅμως νὰ κυριαρχῇ ἄλλος νόμος εἰς τὰ μέλη μου, ὁ νόμος τῆς ἁμαρτίας, ὁ ὁποῖος μάχεται εἰς ὅσα ὁ νοῦς μου ἀναγνωρίζει ὡς νόμον ὀρθόν, καὶ μὲ κάνει δοῦλον αἰχμάλωτον εἰς τὸν νόμον τῆς ἁμαρτίας, ποὺ κυριαρχεῖ εἰς τὰ μέλη μου»[14]. Καὶ αὐτοὶ ὁμοιάζουν πρὸς ἐκείνους, πρὸς μὲν τὸν ἐσωτερικὸν ἄνθρωπον ὁ νέος, πρὸς δὲ τὸν ἐξωτερικὸν ὁ παλαιὸς ἄνθρωπος· ἀλλ' ὅμως οἱ τρεῖς κατεστράφησαν ἐντελῶς. Μᾶλλον δὲ τρεῖς εἶναι καὶ τώρα, ὁ νέος καὶ ὁ παλαιός, καὶ αὐτὸς ὁ πραγματικὸς καὶ φυσικός.

«Ἀνακαινίζεσθε δέ, λέγει, κατὰ τὸ πνευματικὸν βάθος τοῦ νοῦ σας». Διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι παρουσιάζει ἄλλον ἄνθρωπον, ἀφοῦ εἶπε παλαιὸν καὶ νέον, πρόσεχε τί λέγει· «Ἀνακαινίζεσθε». Ἀνακαίνισις σημαίνει, ὅταν

σθαί ἐστιν, ὅταν αὐτὸ τὸ γεγηρακὸς ἀνανεῶται, ἄλλο ἐξ ἄλλου γινόμενον. Ὥστε τὸ μὲν ὑποκείμενον τὸ αὐτό, ἡ δὲ μεταβολὴ περὶ τὸ συμβεβηκός. Καθάπερ τὸ μὲν σῶμά ἐστι τὸ αὐτό, ἡ δὲ μεταβολὴ περὶ τὸ συμβεβηκός, οὕτω δὴ καὶ ἐνταῦθα. Πῶς δ' ἂν γένοιτο ἡ ἀνανέωσις; «Ἐν τῷ πνεύματι τοῦ νοὸς ὑμῶν», φησίν, Ὃς ἐὰν οὖν ἔχῃ πρᾶγμα παλαιόν, οὐδὲν ἐργάσεται· οὐ γὰρ ἀνέξεται τὸ πνεῦμα παλαιῶν πράξεων. «Τῷ πνεύματι», φησί, «τοῦ νοὸς ὑμῶν»· τουτέστι, τῷ πνεύματι τῷ ἐν τῷ νῷ. «Καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον». Ὁρᾷς ὅτι τὸ μὲν ὑποκείμενον ἕν ἐστι, τὸ δὲ ἐνδύματα δύο, τό τε ἐκδυόμενον καὶ τὸ ἐνδυόμενον; «Τὸν καινὸν ἄνθρωπον», φησί, «τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας». Διὰ τί δὲ ἄνθρωπον καλεῖ τὴν ἀρετήν, καὶ διὰ τί ἄνθρωπον τὴν κακίαν; Ὅτι χωρὶς ἐνεργείας οὐκ ἂν δειχθείη ἄνθρωπος. Ὥστε οὐχ ἧττον τῆς φύσεως ταῦτα ἄνθρωπον δείκνυσιν, εἴτε καλόν, εἴτε πονηρόν.

Ὥσπερ δὲ τὸ ἀποδύσασθαι, εὔκολον, οὕτω καὶ ἐπὶ ἀρετῆς καὶ κακίας ἐστὶν ἰδεῖν. Ὁ νέος ἰσχυρός ἐστιν· οὐκοῦν καὶ ἡμεῖς ἰσχυροὶ γενώμεθα πρὸς τὴν ἐνέργειαν τῶν ἀγαθῶν πράξεων. Ὁ νέος ῥυτίδα οὐκ ἔχει· οὐκοῦν μηδὲ ἡμεῖς. Ὁ νέος οὐ περιφέρεται, οὐδέ ἐστιν εὐάλωτος τοῖς νοσήμασιν· οὐκοῦν μηδὲ ἡμεῖς. «Τὸν κτισθέντα». Ὅρα ἐνταῦθα πῶς κτίσιν καλεῖ τὴν οὐσίωσιν τῆς ἀρετῆς, τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραχθεῖσαν. Τί δέ; ἐκείνη οὐ κατὰ Θεὸν ἡ κτίσις; Οὐδαμῶς, ἀλλὰ κατὰ τὸν διάβολον· αὐτὸς δημιουργὸς τῆς ἁμαρτίας. Πῶς; Ὁ γὰρ ἄνθρωπος οὐκ ἀπὸ ὕδατος, οὐδὲ ἀπὸ γῆς ἐκτίσθη λοιπόν, ἀλλ' ἐν δικαιοσύνῃ

15. Ἐφ. 4, 24.

αὐτό, ποὺ ἔχει γηράσει, ἀνακαινίζεται καὶ γίνεται κάτι ἄλλο ἀπὸ ἄλλο πρᾶγμα. Ὥστε τὸ μὲν ὑποκείμενον παραμένει τὸ αὐτό, ἡ δὲ μεταβολὴ δὲν γίνεται εἰς τὴν οὐσίαν του. Ὅπως ἀκριβῶς τὸ μὲν σῶμα εἶναι τὸ αὐτό, ἡ δὲ μεταβολὴ γίνεται εἰς τὴν οὐσίαν του˙ ἔτσι συμβαίνει καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Καὶ πῶς θὰ γίνῃ ἡ ἀνακαίνισις αὐτή; «Κατὰ τὸ πνευματικὸν βάθος τοῦ νοῦ σας», λέγει. Ἐὰν λοιπὸν κανεὶς ἔχῃ κάτι παλαιόν, δὲν θὰ κάμῃ τίποτε, διότι τὸ Πνεῦμα δὲν θὰ ἀνεχθῇ τὰς παλαιὰς πράξεις. «Κατὰ τὸ πνευματικὸν βάθος τοῦ νοῦ σας», λέγει˙ δηλαδή, κατὰ τὸ εὑρισκόμενον μέσα εἰς τὸν νοῦν σας πνευματικὸν βάθος. «Καὶ νὰ ἐνδυθῆτε τὸν νέον ἄνθρωπον». Βλέπεις ὅτι τὸ μὲν ὑποκείμενον εἶναι ἕνα, τὰ δὲ ἐνδύματα δύο, ἀφ' ἑνὸς τὸ ἐκδυόμενον καὶ ἀφ' ἑτέρου τὸ ἐνδυόμενον; «Τὸν νέον ἄνθρωπον, ὁ ὁποῖος ἐκτίσθη σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, διὰ νὰ πολιτεύεσθε μὲ δικαιοσύνην καὶ μὲ ἀφοσίωσιν εἰς τὴν ἀλήθειαν»[15]. Διατί δὲ καλεῖ ἄνθρωπον τὴν ἀρετήν, καὶ διατί ἄνθρωπον τὴν κακίαν; Διότι χωρὶς τὴν ἐνέργειαν δὲν θὰ ἠμποροῦσε νὰ ἀποδειχθῇ ὁ ἄνθρωπος. Ὥστε λοιπὸν αὐτὰ ἀποδεικνύουν τὸν ἄνθρωπον, εἴτε τὸ καλόν, εἴτε τὸ πονηρόν.

Ὅπως δὲ εἶναι εὔκολον τὸ νὰ ἀποβάλωμεν τὰ ἐνδύματα, ἔτσι εἶναι δυνατὸν νὰ ἰδοῦμεν νὰ συμβαίνῃ καὶ εἰς τὴν περίπτωσιν τῆς ἀρετῆς καὶ τῆς κακίας. Ὁ νέος κατὰ τὴν ἡλικίαν ἄνθρωπος εἶναι ἰσχυρός˙ ἂς γίνωμεν λοιπὸν καὶ ἡμεῖς ἰσχυροὶ ὡς πρὸς τὸ νὰ πράττωμεν τὰς ἀγαθὰς πράξεις. Ὁ νέος δὲν ἔχει ρυτίδα, λοιπὸν ἂς μὴ ἔχωμεν οὔτε καὶ ἡμεῖς. Ὁ νέος δὲν εἶναι ἀσταθής, οὔτε εὐάλωτος εἰς τὰς ἀσθενείας˙ ἂς μὴ εἴμεθα οὔτε ἡμεῖς. «Ὁ ὁποῖος ἐκτίσθη». Πρόσεξε πῶς κτίσιν ἐδῶ καλεῖ τὴν πραγμάτωσιν τῆς ἀρετῆς, ἡ ὁποία ἀπὸ τὸ μηδὲν ἐδημιουργήθη εἰς τὸ εἶναι. Τί συμβαίνει λοιπόν; ἐκείνη ἡ κτίσις δὲν εἶναι σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ; Ἀσφαλῶς ὄχι, ἀλλὰ κατὰ τὸ θέλημα τοῦ διαβόλου˙ αὐτὸς εἶναι δημιουργὸς τῆς ἁμαρτίας. Πῶς; Διότι ὁ ἄνθρωπος δὲν ἐκτίσθη ἀπὸ ὕδωρ, οὔτε ἀπὸ χῶμα, ἀλλὰ μὲ δικαιοσύνην καὶ ἀφοσίωσιν εἰς τὴν ἀλήθειαν.

καὶ ὁσιότητι τῆς ἀληθείας. Τί ἐστι τοῦτο; Υἱὸν εὐθέως, φησίν, αὐτὸν ἔκτισα· τοῦτο γὰρ ἀπὸ τοῦ βαπτίσματος γίνεται· αὕτη ἐστὶν ἡ οὐσία. Καλῶς εἶπεν· «Ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας». Ἦν ποτε δικαιοσύνη, ἦν καὶ ὁσιότης ἐπὶ Ἰουδαίων, ἀλλ' οὐ τῆς ἀληθείας, ἀλλὰ τοῦ τύπου ἡ δικαιοσύνη ἐκείνη. Τὸ γὰρ καθαρὸν εἶναι σώματι τύπος καθαρότητος ἦν, οὐχὶ ἀλήθεια καθαρότητος· τύπος δικαιοσύνης ἦν, οὐχὶ ἀλήθεια δικαιοσύνης. «Ἐν ὁσιότητι», φησί, «καὶ δικαιοσύνῃ τῆς ἀληθείας». Τάχα καὶ πρὸς τὸ ψευδὲς εἴρηται τοῦτο, ὅτι εἰσὶ πολλοὶ παρὰ τοῖς ἔξωθεν δοκοῦντες εἶναι δίκαιοι, ἀλλὰ ψευδεῖς.

Δικαιοσύνη δέ, ἡ καθολικὴ ἀρετὴ λέγεται. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· «Ἐὰν μὴ περισσεύῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· καὶ πάλιν, «Δίκαιος λέγεται ὁ μηδεμίαν ἔχων λαβήν». Ἐπεὶ καὶ ἐν τοῖς δικαστηρίοις ἐκεῖνόν φαμεν δίκαιον, τὸν ἀδικηθέντα, καὶ μὴ ἀνταδικήσαντα. Ἂν τοίνυν καὶ ἡμεῖς ἐπὶ τοῦ φρικτοῦ δικαστηρίου δυνηθῶμεν δίκαιοι πρὸς ἀλλήλους ὀφθῆναι, δυνησόμεθα φιλανθρωπίας τινὸς τυχεῖν. Πρὸς μὲν γὰρ τὸν Θεὸν ἀδύνατον, ὅσα ἂν ἐπιδειξώμεθα· πανταχοῦ γὰρ αὐτὸς τοῖς δικαίοις νικᾷ, καθὼς καὶ ὁ Προφήτης λέγει· «Καὶ νικήσεις ἐν τῷ κρίνεσθαί σε». Ἀλλὰ τὰ πρὸς ἀλλήλους δίκαια ἂν μὴ διαφθείρωμεν, τότε ἐσόμεθα δίκαιοι· ἂν δυνηθῶμεν δεῖξαι, ὅτι ἠδικήθημεν, τότε ἐσόμεθα δίκαιοι. Πῶς ἐνδεδυμένοις αὐτοῖς πάλιν, λέγει, «Ἐνδύσασθε»; Ἀπὸ τοῦ βίου νῦν φησι καὶ τῶν ἔργων. Τότε γέγονεν ἀπὸ τοῦ βαπτίσματος τὸ ἔνδυμα, νῦν δὲ ἀπὸ τῆς πολιτείας καὶ τῶν ἔργων, οὐκέτι κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀλλὰ κατὰ τὸν Θεόν. Τὸ δὲ ὅσιον τί ἐστι; Τὸ καθαρόν, τὸ ὀφειλόμενον. Διὰ τοῦτο

---

16. Ματθ. 5, 20.
17. Α' Ἰω. 3, 9.
18. Ψαλμ. 50, 6.

Τί σημαίνει αὐτό; Ἔκτισε αὐτὸν ἀμέσως υἱόν, λέγει· διότι τοῦτο γίνεται ἀπὸ τὸ βάπτισμα· αὐτὴ εἶναι ἡ οὐσία. Πολὺ σωστὰ εἶπε· «Μὲ τὴν δικαιοσύνην καὶ μὲ τὴν ἀφοσίωσιν εἰς τὴν ἀλήθειαν». Ὑπῆρχε κάποτε δικαιοσύνη, ὑπῆρχε καὶ ἀφοσίωσις ἐκ μέρους τῶν Ἰουδαίων, ὄχι ὅμως εἰς τὴν ἀλήθειαν, ἀλλ᾽ ἡ δικαιοσύνη ἐκείνη ἦτο τυπική. Διότι ἡ καθαρότης κατὰ τὸ σῶμα ἦτο τύπος καθαρότητος, ὄχι πραγματικὴ καθαρότης· τύπος δικαιοσύνης ἦτο, ὄχι πραγματικὴ δικαιοσύνη. «Μὲ ἀφοσίωσιν καὶ μὲ δικαιοσύνην τῆς ἀληθείας», λέγει. Ἴσως ἔχει λεχθῇ τοῦτο διὰ νὰ δηλώσῃ τὸ ψευδές, διότι ὑπάρχουν πολλοὶ μεταξὺ τῶν ἐθνικῶν ποὺ νομίζουν ὅτι εἶναι δίκαιοι, εἰς τὴν πραγματικότητα ὅμως εἶναι ψευδεῖς.

Δικαιοσύνη δὲ λέγεται ἡ ἀρετὴ εἰς τὸ σύνολόν της. Διότι ἄκουε τὸν Χριστὸν ποὺ λέγει· «Ἐὰν ἡ ἀρετή σας δὲν περισσεύσῃ καὶ δὲν ὑπερτερήσῃ κατὰ πολὺ τὴν ἐξωτερικὴν ἀρετὴν τῶν γραμματέων καὶ Φαρισαίων, δὲν θὰ εἰσέλθετε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν»[16]. Καὶ πάλιν, «Δίκαιος λέγεται ἐκεῖνος ποὺ δὲν δίδει καμμίαν ἀφορμήν»[17]. Καὶ εἰς τὰ δικαστήρια ἀκόμη λέγομεν δίκαιον ἐκεῖνον, πού, ἐνῷ ἔχει ἀδικηθῇ, δὲν ἀπέδωσε τὴν ἀδικίαν. Ἂν λοιπὸν καὶ ἡμεῖς ἠμπορέσωμεν νὰ φανῶμεν δίκαιοι μεταξύ μας εἰς τὸ φοβερὸν δικαστήριον, θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν κάποιαν φιλανθρωπίαν. Διότι πρὸς μὲν τὸν Θεὸν τοῦτο εἶναι ἀδύνατον, ὅσα καὶ ἂν θὰ ἐπιδείξωμεν, ἀφοῦ παντοῦ αὐτὸς νικᾷ τοὺς δικαίους, καθὼς καὶ ὁ προφήτης λέγει· «Καὶ θὰ νικήσῃς, ὅταν ἐκφέρῃς κρίσιν»[18]. Ἀλλ᾽ ἐὰν δὲν παραβαίνωμεν τοὺς κανόνας δικαίου, ποὺ ἰσχύουν μεταξύ μας, τότε θὰ εἴμεθα πράγματι δίκαιοι· ἂν ἠμπορέσωμεν νὰ ἀποδείξωμεν, ὅτι ἠδικήθημεν, τότε θὰ εἴμεθα δίκαιοι. Διατί, ἐνῷ εἴμεθα ἐνδεδυμένοι τὰ ἐνδύματά μας, πάλιν λέγει, «Νὰ ἐνδυθῆτε»; Ἐδῶ ἐννοεῖ ἀπὸ τὸν τρόπον ζωῆς καὶ τὰ ἔργα. Τότε εἶχε γίνει ἀπὸ τὸ ἔνδυμα τοῦ βαπτίσματος, τώρα δὲ ἀπὸ τὸ ἔνδυμα τῆς συμπεριφορᾶς καὶ τῶν ἔργων, σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ ὄχι πλέον σύμφωνα μὲ τὰς ἐπιθυμίας, ποὺ προκαλεῖ ἡ ἀπάτη τῆς ἁμαρτίας. Τὸ δὲ ὅσιον τί σημαίνει; Σημαίνει τὸ καθαρόν, τὸ

καὶ τὴν ὁσίαν ἐπὶ ἀπελθόντων φαμέν· τουτέστιν, Οὐδὲν ὀφείλω αὐτοῖς λοιπόν, οὐκ εἰμὶ ὑπεύθυνος. Οὕτως ἔθος ἡμῖν λέγειν καὶ τό, Ἀφωσιωσάμην, καὶ ὅσα τοιαῦτα τουτέστι τό, Μηδὲν ὀφείλω.

3. Ἡμῶν τοίνυν ἐστὶ μὴ ἀποδύσασθαι τὸ τῆς δικαιοσύνης ἱμάτιον, ὃ καὶ ὁ Προφήτης ἱμάτιον σωτηρίου καλεῖ, ἵνα τῷ Θεῷ ὁμοιωθῶμεν· καὶ γὰρ αὐτὸς δικαιοσύνην ἐνδέδυται. Τοῦτο ἐνδυσώμεθα τὸ ἱμάτιον. Τὸ δέ, ἐνδύσασθαι, οὐδὲν ἄλλο δηλοῖ, ἢ τὸ μηδέποτε ἀποθέσθαι. Ἄκουε γὰρ τοῦ Προφήτου λέγοντος· «Ἐνδύσατο κατάραν ὡς ἱμάτιον, καὶ ἥξει αὐτῷ». Καὶ πάλιν, «Ὁ περιβαλλόμενος φῶς ὡς ἱμάτιον». Καὶ πάλιν ἡμῖν ἔθος λέγειν ἐπὶ τῶν ἀνθρώπων. Ὁ δεῖνα τὸν δεῖνα ἐνεδύσατο. Ὥστε οὐ μίαν ἡμέραν οὐδὲ δευτέραν οὐδὲ τρίτην, ἀλλὰ διαπαντὸς ἡμᾶς βούλεται εἶναι ἐν ἀρετῇ, καὶ μηδέποτε γυμνοὺς εἶναι τοῦ ἱματίου τούτου. Οὐ γὰρ οὕτως ἄνθρωπος ἀσχημονεῖ γυμνὸς ὢν τὸ σῶμα, ὡς γυμνὸς ὢν τὴν ἀρετήν. Ἐνταῦθα αὐτὸν οἱ ὁμόδουλοι βλέπουσιν ἀσχημονοῦντα, ἐκεῖ δὲ ὁ Δεσπότης καὶ οἱ ἄγγελοι. Ἂν οὖν τινα ἴδῃς, εἰπέ μοι, γυμνὸν διὰ τῆς ἀγορᾶς προϊόντα, οὐχὶ ἀλγεῖς; Ὅταν οὖν σὺ γυμνὸς τοῦ ἱματίου τούτου τρέχῃς, τί ἐροῦμεν; Οὐχ ὁρᾷς τούτους τοὺς προσαιτοῦντας, οὓς λώταγας ἡμῖν ἔθος καλεῖν, πῶς περιίασι, πῶς καὶ αὐτοὺς ἐλεοῦμεν; Ἀλλ' ὅμως τούτοις οὐδὲ συγγνώμη τίς ἐστιν· οὐδὲ γὰρ συγγινώσκομεν αὐτοῖς, ὅταν κυβεύοντες ἑαυτῶν τὰ ἱμάτια ἀπολλύωσι. Πῶς οὖν ἡμῖν ὁ Θεὸς συγγνώσεται τὸ ἱμάτιον τοῦτο ἀπολέσασιν; Ὅταν γὰρ ὁ διάβολος ἴδῃ γυμνὸν ἀρετῆς τινα, εὐθέως καὶ ἀσβολοῖ καὶ ἀμαυροῖ τὸ πρόσωπον καὶ τιτρώσκει καὶ ἀναγκάζει μεγάλα. Γυμνοὶ γενώμεθα χρημάτων, ἵνα μὴ γυμνωθῶμεν ἀπὸ δικαιοσύνης· ἡ τῶν χρημάτων περιβολὴ τοῦτο λυμαίνεται τὸ ἱμάτι-

19. Ψαλμ. 108, 18.
20. Ψαλμ. 103, 2.
20α. Οἱ καταδαπανῶντες ἐν τοῖς αἰσχροῖς τὸν βίον των.

ὀφειλόμενον. Διὰ τοῦτο καὶ ὁσίαν ζωὴν λέγομεν τὴν ζωὴν τῶν ἀποθανόντων˙ δηλαδή. Τίποτε δὲν ὀφείλω πλέον εἰς αὐτούς, δὲν εἶμαι ὑπεύθυνος. Ἔτσι συνηθίσαμεν νὰ λέγωμεν καὶ τό, Ἀφωσιώθην, καὶ τὰ παρόμοια, δηλαδὴ τό, Δὲν ὀφείλω τίποτε.

3. Ἀπὸ ἡμᾶς λοιπὸν ἐξαρτᾶται νὰ μὴ ἀποβάλωμεν τὸ ἔνδυμα τῆς δικαιοσύνης, τὸ ὁποῖον καὶ ὁ προφήτης καλεῖ ἔνδυμα σωτηρίας, διὰ νὰ γίνωμεν ὅμοιοι μὲ τὸν Θεόν˙ διότι καὶ αὐτὸς εἶναι ἐνδεδυμένος τὴν δικαιοσύνην. Ἂς ἐνδυθῶμεν αὐτὸ τὸ ἔνδυμα. Τὸ δέ, ἐνδύσασθαι, δὲν σημαίνει τίποτε ἄλλο, παρὰ τὸ νὰ μὴ ἀποβάλετε ποτὲ αὐτό. Διότι ἄκουε τὸν προφήτην ποὺ λέγει˙ «Ἐνεδύθη τὴν κατάραν ὡς ἔνδυμα, καὶ εἰσῆλθεν εἰς αὐτό»[19]. Καὶ πάλιν˙ «Σὺ ποὺ ἐνδύεσαι τὸ φῶς ὡς ἱμάτιον»[20]. Ἐπίσης συνηθίζομεν νὰ λέγωμεν καὶ διὰ τοὺς ἀνθρώπους˙ Ὁ τάδε ἐνεδύθη τὸν τάδε. Ὥστε θέλει νὰ εἴμεθα ἐνδεδυμένοι τὴν ἀρετὴν ὄχι μίαν ἡμέραν, οὔτε δύο, οὔτε τρεῖς, ἀλλὰ παντοτινά, καὶ ποτὲ νὰ μὴ εἴμεθα γυμνοὶ ἀπὸ τὸ ἔνδυμα αὐτό. Διότι δὲν ἀσχημονεῖ τόσον ὁ ἄνθρωπος, ὅταν εἶναι γυμνὸς ὡς πρὸς τὸ σῶμα, ὅσον ὅταν εἶναι γυμνὸς ὡς πρὸς τὴν ἀρετήν. Ἐδῶ βλέπουν αὐτὸν νὰ ἀσχημονῇ οἱ ὅμοιοί του, ἐκεῖ ὅμως ὁ Κύριος καὶ οἱ ἄγγελοι. Ἂν λοιπὸν ἰδῇς κάποιον νὰ προχωρῇ γυμνὸς εἰς τὴν ἀγοράν, εἰπέ μου, δὲν λυπεῖσαι; Ὅταν ὅμως σὺ τρέχῃς γυμνὸς ἀπὸ τὸ ἔνδυμα αὐτό, τί θὰ εἰποῦμεν; Δὲν βλέπεις αὐτοὺς ποὺ ἐπαιτοῦν, τοὺς ὁποίους συνηθίζομεν νὰ ὀνομάζωμεν λώταγας[20α], πῶς περιέρχονται, πῶς καὶ αὐτοὺς ἐλεοῦμεν; Ἀλλ' ὅμως δι' αὐτοὺς δὲν ὑπάρχει καμμία συγγνώμη˙ διότι οὔτε καὶ ἡμεῖς συγχωροῦμεν αὐτούς, ὅταν παίζοντες τοὺς κύβους χάνουν τὰ ἐνδύματά των. Πῶς λοιπὸν θὰ μᾶς συγχωρήσῃ ὁ Θεὸς ἀφοῦ ἀπωλέσαμεν τὸ ἔνδυμα τῆς ἀρετῆς; Διότι ὅταν ὁ διάβολος ἰδῇ κάποιον γυμνὸν ἀπὸ ἀρετήν, ἀμέσως καὶ μαυρίζει καὶ ἐπισκοτίζει τὸν πρόσωπόν του καὶ τὸν τραυματίζει καὶ τοῦ ἐπιβάλλει νὰ πράττῃ διὰ τῆς βίας πολλά. Ἂς γίνωμεν γυμνοὶ ἀπὸ χρήματα, διὰ νὰ μὴ γίνωμεν γυμνοὶ ἀπὸ δικαιοσύνην˙ ἡ ἐνδυμασία τῶν χρημάτων καταστρέφει τὸ ἔνδυμα

ον· ἀκανθῶν ἐστι περιβολή. Τοιαῦταί εἰσιν αἱ ἄκανθαι, καὶ ὅσῳ ἂν πλείονας περιβαλώμεθα, τοσούτῳ μᾶλλον γυμνούμεθα. Ἡ ἀσέλγεια γυμνοῖ τοῦ ἱματίου τούτου· πῦρ γάρ ἐστι, τὸ δὲ πῦρ ἀναλωτικὸν τοῦ ἱματίου τούτου. Σής ἐστιν ὁ πλοῦτος· καθάπερ ὁ σὴς πάντα διατρώγει καὶ οὐδὲ τῶν σηρικῶν φείδεσθαι, οὕτω καὶ οὗτος. Πάντα τοίνυν ταῦτα ἀποθώμεθα, ἵνα γενώμεθα δίκαιοι. Μηδὲν παλαιόν, μηδὲν φαινόμενον, μηδὲν φθειρόμενον κατέχωμεν. Οὐκ ἔστιν ἡ ἀρετὴ ἐπίπονος, οὐκ ἔστι δυσκατόρθωτος.

Οὐχ ὁρᾷς τοὺς ἐν τοῖς ὄρεσιν; ἐκεῖνοι καὶ οἰκίας ἀφιᾶσι καὶ γυναῖκας καὶ παῖδας καὶ προστασίαν ἅπασαν, καὶ ἐκτὸς ἑαυτοὺς τοῦ κόσμου ποιησάμενοι, σάκκον περιθέμενοι, σχεδὸν ὑποστρωσάμενοι, κλοιὰ τῶν τραχήλων ἐξαρτήσαντες, ἐν οἰκίσκῳ μικρῷ κατακλείσαντες ἑαυτούς, οὐδὲ μέχρι τούτων ἵστανται, ἀλλὰ καὶ νηστείαις καὶ λιμῷ διηνεκεῖ κατατείνουσιν ἑαυτούς. Εἰ τοιαῦτα ἐπέταττον νῦν ἐγώ, οὐκ ἂν ἅπαντες ἀπεπηδήσατε; οὐκ ἂν εἴπατε τὸ πρᾶγμα φορτικόν; Οὐδὲ τοιοῦτόν φημι δεῖν ποιεῖν· βούλομαι μὲν γάρ, πλὴν οὐ νομοθετῶ. Ἀλλὰ τί; Καὶ λουτροῖς κέχρησο καὶ τὸ σῶμα θεράπευε καὶ εἰς ἀγορὰν ἔμβαλλε καὶ οἰκίαν ἔχε καὶ διακόνοις διακονοῦ καὶ χρῶ σιτίοις καὶ ποτοῖς· πανταχοῦ τὴν πλεονεξίαν ἔκβαλλε. Ἐκείνη γάρ ἐστιν ἡ τὴν ἁμαρτίαν ποιοῦσα, καὶ τὸ αὐτὸ πρᾶγμα πλεονάζον ἁμαρτία γέγονεν. Ὥστε οὐδὲν ἕτερόν ἐστιν ἡ πλεονεξία, ἢ ἁμαρτία. Καὶ ὅρα· Ὁ θυμὸς ὅταν πλέον τοῦ δέοντος κινηθῇ, τότε ἐκπηδῶν λοιδορεῖται, τότε ἀδίκως πάντα ποιεῖ· ὁ τῶν σωμάτων ἔρως, ὁ τῶν χρημάτων, ὁ τῆς δόξης, ὁ τῶν ἄλλων ἁπάντων. Καὶ μή μοι εἴπῃς, ὅτι ἐκεῖνοι ἠδυνήθησαν· πολλοὶ γὰρ πολλῷ ἀσθε-

αὐτό, εἶναι ἐνδυμασία ἀπὸ ἀγκάθια. Τέτοια εἶναι τὰ ἀγκάθια καὶ ὅσον περισσότερα ἠθέλαμεν ἐνδυθῇ, τόσον περισσότερον γινόμεθα γυμνοί. Ἡ ἀσέλγεια μᾶς ἀφαιρεῖ τὸ ἔνδυμα αὐτό, διότι εἶναι πῦρ, τὸ δὲ πῦρ καταστρέφει αὐτὸ τὸ ἔνδυμα. Ὁ πλοῦτος εἶναι σκόρος˙ ὅπως ἀκριβῶς ὁ σκόρος κατατρώγει τὰ πάντα καὶ δὲν ἀφήνει ἀπείρακτα οὔτε τὰ μεταξωτὰ ἐνδύματα, ἔτσι καὶ ὁ πλοῦτος. Ἂς ἀποβάλωμεν λοιπὸν ὅλα αὐτά, διὰ νὰ γίνωμεν δίκαιοι, διὰ νὰ ἐνδυθῶμεν τὸν νέον ἄνθρωπον. Ἂς μὴ κρατοῦμεν τίποτε τὸ παλαιόν, τίποτε τὸ πρόσκαιρον, τίποτε τὸ φθειρόμενον. Δὲν εἶναι ἡ ἀρετὴ δύσκολον ἔργον, δὲν εἶναι δισκατόρθωτος.

Δὲν βλέπεις τοὺς διαμένοντας εἰς τὰ βουνά; Ἐκεῖνοι ἐγκαταλείπουν καὶ σπίτια καὶ γυναῖκας καὶ παιδιὰ καὶ κάθε ἄνεσιν, καὶ καταστήσαντες τοὺς ἑαυτούς των ἐκτὸς τοῦ κόσμου, φοροῦν σάκκον, στρώνουν τὸ χῶμα ὡσὰν κρεββάτι, κρεμοῦν εἰς τὸν λαιμόν των περιδέραια, καὶ κλειόμενοι εἰς μικρὰς καλύβας, δὲν ἀρκοῦνται μόνον εἰς αὐτά, ἀλλὰ καὶ ταλαιπωροῦν τοὺς ἑαυτούς των μὲ νηστείας καὶ πεῖναν διαρκείας. Ἐὰν ἐγὼ τώρα ἐπρόσταζα τέτοια παρόμοια, δὲν θὰ εἴχατε ὅλοι τιναχθῇ ἀπὸ τὴν θέσιν σας; δὲν θὰ ἐλέγατε ὅτι αὐτὸ εἶναι πολὺ βαρύ; Οὔτε λέγω ὅτι πρέπει νὰ κάμνετε κάτι τέτοιο˙ θέλω βέβαια, ἀλλὰ δὲν τὸ νομοθετῶ. Τί ὅμως παραγγέλλω; Καὶ λουτρὰ νὰ χρησιμοποιῇς καὶ τὸ σῶμά σου νὰ περιποιῆσαι καὶ νὰ περιφέρεσαι εἰς τὴν ἀγορὰν καὶ σπίτι νὰ ἔχῃς καὶ νὰ σὲ ὑπηρετοῦν οἱ ὑπηρέται καὶ νὰ κάμνῃς χρῆσιν τῶν τροφίμων καὶ τῶν ποτῶν˙ εἰς κάθε περίπτωσιν μόνον ἐκδίωξε τὴν πλεονεξίαν. Διότι ἐκείνη εἶναι ποὺ γεννᾷ τὴν ἁμαρτίαν, καὶ ὅταν τὸ ἴδιο πρᾶγμα γίνεται εἰς ὑπερβολικὸν βαθμόν, γίνεται ἁμαρτία. Συνεπῶς ἡ πλεονεξία δὲν εἶναι τίποτε ἄλλο παρὰ ἁμαρτία. Καὶ πρόσεχε˙ Ὅταν ὁ θυμὸς κινηθῇ περισσότερον τοῦ δέοντος, τότε ἐξερχόμενος βίαια ὑβρίζει, τότε κάμνει τὰ πάντα ἀδίκως˙ καθὼς ἐπίσης καὶ ἡ ὑπερβολικὴ ἐπιθυμία τῶν σωμάτων, ἡ ἐπιθυμία τῶν χρημάτων, τῆς δόξης, ὅλων τῶν ἄλλων. Καὶ μὴ μοῦ εἰπῇς ὅτι ἐκεῖνοι ἠμπόρεσαν νὰ ἐπιτύχουν αὐτὴν τὴν ζωήν˙ καθ' ὅσον καὶ πολλοὶ ἄνδρες κατὰ πολὺ

νέστεροί σου καὶ πλουσιώτεροι καὶ τρυφερώτεροι τὸν σκληρὸν ἐκεῖνον καὶ τραχὺν ἀνεδέξαντο βίον. Καὶ τί λέγω ἄνδρας; κόραι εἰκοστὸν ἔτος οὔπω γενόμεναι, ἐν θαλάμοις καὶ ἐν σκιατροφίᾳ τὸν ἅπαντα διατελέσαντα χρόνον, ἐν θαλάμοις μύρων γέμουσαι καὶ θυμιαμάτων, ἐπὶ στρωμνῆς ἁπαλῆς κατακείμεναι, ἁπαλαὶ καὶ αὐταὶ τὴν φύσιν, καὶ τῇ πολλῇ θεραπείᾳ μαλακώτεραι γινόμεναι, διὰ τῆς ἡμετέρας πάσης οὐδὲν ἕτερον ἔργον ἔχουσαι, ἢ τὸ καλλωπίζεσθαι καὶ χρυσοφορεῖν καὶ τρυφῆς ἀπολαύειν πολλῆς, οὐδὲ ἑαυταῖς διακονούμεναι, ἀλλὰ πολλὰς ἔχουσαι τὰς θεραπαινίδας τὰς παρεστηκυίας, ἱμάτια ἔχουσαι μαλακὰ τοῦ σώματος μαλακώτερα, λεπτὰς ὀθόνας καὶ τρυφεράς, ἐν ῥόδοις καὶ ταῖς τοιαύταις εὐωδίαις διηνεκῶς ἀσχολούμεναι· αὗται δὴ ἐξαίφνης τῷ πυρὶ ληφθεῖσαι τοῦ Χριστοῦ, πᾶσαν ἐκείνην ἀποδυσάμεναι τὴν βλακείαν καὶ τὸν τῦφον, καὶ τρυφῆς καὶ ἡλικίας ἐπιλαθόμεναι, καθάπερ τινὲς ἀθληταὶ γενναῖοι τὰ μαλακὰ ἐκεῖνα ἀποδυσάμεναι, εἰς μέσους ἐνέβησαν τοὺς ἀγῶνας.

Καὶ ἴσως μὲν ἄπιστα δόξω ἐρεῖν, πλὴν ἀλλ' ἀληθῆ. Ταύτας δὴ τὰς οὕτως ἁπαλὰς κόρας ἤκουσα ἐγώ, ὅτι εἰς τοσαύτην σκληραγωγίαν ἑαυτὰς ἤγαγον, ὡς τὰ τραχύτερα τῶν τριχίνων περιθέσθαι ἑαυτῶν τοῖς σώμασι γεγυμνωμένοις, καὶ ἀνυποδήτους εἶναι τὰς ἁπαλὰς πτέρνας ἐκείνας, καὶ ἐπὶ στιβάδος κατακεῖσθαι· μᾶλλον δὲ τὸ πλέον ἐγρηγορέναι τῆς νυκτός, καὶ οὔτε μύρου, οὔτε ἄλλου τινὸς τῶν παλαιῶν πρόνοιαν ποιεῖσθαι, ἀλλὰ καὶ τὴν οὕτω θεραπευομένην κεφαλὴν ἀπημέλητον ἔχειν, ἁπλῶς καὶ εἰκῇ τὰς τρίχας ἐνδεδεμένην, ὥστε μὴ εἰς ἀσχημοσύνην ἐμπεσεῖν. Τράπεζα δὲ αὐταῖς ἐστιν ἑσπερινὴ μόνη, τράπεζα οὐδὲ λαχάνου, οὐδὲ

ἀσθενέστεροι, πλουσιώτεροι καὶ μαλθακώτεροι ἀπὸ σὲ ἠκολούθησαν τὸν σκληρὸν καὶ ἄγριον ἐκεῖνον τρόπον ζωῆς. Καὶ διατί ἀναφέρω τοὺς ἄνδρας; Κόραι ποὺ δὲν ἔφθασαν ἀκόμη τὸ εἰκοστὸν ἔτος τῆς ἡλικίας καὶ ποὺ ἔζησαν τὴν ζωήν των ὅλην εἰς τὰ ἐσώτατα δωμάτια τῆς οἰκίας καὶ ἀνετράφησαν μὲ πολλὰς περιποιήσεις, ποὺ εἶχαν γεμᾶτα τὰ δωμάτιά των μὲ μύρα καὶ ἄλλας ἀρωματικὰς οὐσίας, ποὺ ἐκοιμῶντο εἰς μαλακὸν κρεββάτι καὶ ἦσαν αἱ ἴδιαι μαλακαὶ ἐκ φύσεως καὶ μὲ τὴν πολλὴν περιποίησιν ἔγιναν μαλθακώτεραι, ποὺ ὅλην τὴν ἡμέραν δὲν εἶχαν κανένα ἄλλο ἔργον, παρὰ νὰ καλλωπίζωνται καὶ νὰ φοροῦν χρυσᾶ κοσμήματα καὶ νὰ χαίρωνται τὰς πολλὰς ἀπολαύσεις, ποὺ οὔτε τὸν ἑαυτόν των δὲν φροντίζουν, ἀλλ᾽ ἔχουν πολλὰς ὑπηρεσίας ποὺ τὰς παραστέκουν, ποὺ ἔχουν μαλακὰ ἐνδύματα, μαλακώτερα ἀπὸ τὸ σῶμα των, λεπτὰ καὶ ἁπαλὰ συνδόνια, ἀσχολούμεναι συνεχῶς μὲ τὰ ρόδα καὶ μὲ παρομοίας εὐωδίας, αὐταὶ λοιπὸν αἱ κόραι, καταληφθεῖσαι αἰφνιδίως ἀπὸ τὸ πῦρ τῆς εἰς Χριστὸν πίστεως, ἀφοῦ ἀπέβαλον ὅλην ἐκείνην τὴν βλακείαν καὶ τὴν ἀλαζονείαν, καὶ ἐλησμόνησαν τὰς ἀπολαύσεις καὶ τὴν ἡλικίαν των, ἀφοῦ ἐγκατέλειψαν, ὡσὰν γενναῖοι ἀθληταί, ὅλας ἐκείνας τὰς ἀνέσεις, εἰσῆλθον εἰς τὸν στίβον τῶν ἀγώνων.

Καὶ ἴσως μὲν θὰ φανῶ ὅτι θὰ εἰπῶ πράγματα ἀναξιόπιστα, πλὴν ὅμως εἶναι ἀληθινά. Ἐγὼ λοιπὸν ἤκουσα αὐτὰς τὰς τόσον μαλθακὰς κόρας, ὅτι ὡδήγησαν τὸν ἑαυτόν των εἰς τόσον μεγάλην σκληραγωγίαν, ὥστε νὰ φορέσουν εἰς τὰ γυμνά των σώματα τὰ σκληρότερα τρίχινα ἐνδύματα καὶ νὰ εἶναι αἱ ἁπαλαὶ ἐκεῖναι πτέρναι των χωρὶς ὑποδήματα καὶ νὰ κοιμῶνται ἐπάνω εἰς σκληρὸν στρῶμα· μᾶλλον δὲ νὰ ἀγρυπνοῦν κατὰ τὰς περισσοτέρας ὥρας τῆς νυκτὸς καὶ νὰ μὴ φροντίζουν οὔτε διὰ μύρον, οὔτε διὰ τὰς ἄλλας παλαιὰς συνηθείας των, ἀλλὰ καὶ τὴν κεφαλήν των, ποὺ τόσον πολὺ ἐφρόντιζον, ἔχουν ἀτημέλητον, μὲ τὰ μαλλιὰ δεμένια ἁπλᾶ καὶ εἰς τὴν τύχην διὰ νὰ μὴ ἐμπέσουν εἰς ἀσχημοσύνην. Παρακάθηνται εἰς τράπεζαν μόνον τὸ βράδυ, καὶ εἰς τράπεζαν χωρὶς λάχανα καὶ ἄρ-

ἄρτου, ἀλλὰ σεμίδαλις καὶ κύαμος καὶ ἐρέβινθος καὶ ἐλαία καὶ σῦκα· καὶ ταλασιουργία διηνεκὴς καὶ τῶν οἴκοι θεραπαινίδων ἔργα πολλῷ χαλεπώτερα. Τί γάρ; τὰς καμνούσας τὸ σῶμα θεραπεύειν ἀνεδέξαντο, τὰς κλίνας βαστάζουσαι, τοὺς πόδας νίπτουσαι· πολλαὶ δὲ αὐτῶν καὶ μαγειρεύουσι. Τοσαῦτα δύναται τοῦ Χριστοῦ τὸ πῦρ· οὕτω καὶ φύσεως ἀνώτερον ἡ προθυμία. Πλὴν ἀλλ' οὐδὲν τοιοῦτον ἐγὼ ὑμᾶς ἀπαιτῶ, ἐπειδὴ βούλεσθε παρελαύνεσθαι παρὰ γυναικῶν.

4. Κἂν γοῦν ὅσα μὴ φορτικά, ταῦτα πράττετε, χειρὸς κρατεῖτε καὶ ἀκολάστων ὀφθαλμῶν. Τί δύσκολον, εἰπέ μοι, τί δυσχερές; Δίκαια πράττετε, μηδένα ἀδικεῖτε, μήτε ὁ πένης, μήτε ὁ πλούσιος, μήτε ἀγοραῖος, μήτε ὁ μισθωτός· ἔστι γὰρ καὶ μέχρι πενήτων ἀδικίαν διελθεῖν. Ἢ οὐχ ὁρᾶτε πόσας οὗτοι μάχας ποιοῦσι, καὶ πάντα ἀνατρέπουσι; Κέχρησο γάμῳ, ἔχε παῖδας· καὶ Παῦλος τοιούτοις ἐπέτταττε, τοιούτοις ἔγραφε. Μέγας ἐκεῖνος ὁ ἀγών, καὶ ὑψηλὸς ὁ σκόπελος, καὶ ἐγγὺς τοῦ οὐρανοῦ ἡ κορυφή, καὶ οὐ δύναται φθάσαι πρὸς τὸ μέγα; Οὐκοῦν κἂν τῶν ἐλαττόνων ἔχου, καὶ τῶν κατωτέρων ἐφίεσο. Οὐ δύνασαι κενῶσαι τὰ χρήματα; κἂν τὰ τῶν ἄλλων μὴ ἅρπαζε, μηδὲ ἀδίκει. Οὐ δύνασαι νηστεῦσαι; κἂν μὴ εἰς τρυφὴν σεαυτὸν ἐξαγάγῃς. Οὐ δύνασαι ἐπὶ στιβάδος κατακλιθῆναι; μή μοι κλίνας ἀργυρενδέτους κατασκεύαζε, ἀλλὰ κέχρησο κλίνῃ καὶ στρώμασι μὴ πρὸς ἐπίδειξιν πεποιημένοις, ἀλλὰ πρὸς ἀνάπαυσιν, μηδὲ ἐλεφαντίνας κλίνας σύστειλον σεαυτόν. Τί μυρίων ἀγωγίμων πληροῖς τὴν ὁλκάδα; Ἂν ᾖς εὐσταλής, οὐδὲν δείσεις, οὐ φθόνον, οὐ λῃστάς, οὐκ ἐπιβούλους. Οὐδὲ γὰρ οὕτω τοῖς χρήμασιν, ὡς ταῖς φροντίσι πλουτεῖς· οὐχ οὕτως

τον, ἀλλὰ μὲ ἀλεύρι καὶ κουκιὰ καὶ ρεβίθια καὶ ἐλαίας καὶ σῦκα, καὶ ἐπεξεργάζονται μαλλιὰ καὶ κάμνουν ἐργασίας κατὰ πολὺ δυσκολωτέρας ἀπὸ τὰς ἐργασίας τῶν ὑπηρετριῶν εἰς τὰς οἰκείας. Καὶ ποῖαι εἶναι αὐταὶ αἱ ἐργασίαι; Κατεδέχθησαν νὰ περιποιοῦνται τὰς ἀσθενεῖς σωματικά, νὰ μεταφέρουν τὰ κρεββάτια των, νὰ πλύνουν τὰ πόδια των, καὶ πολλαὶ ἀπὸ αὐτὰς καὶ μαγειρεύουν. Τόσον πολλὰ κατορθώνει τὸ πῦρ τῆς εἰς Χριστὸν πίστεως. Ἔτσι ἡ προθυμία γίνεται ἀνωτέρα καὶ ἀπὸ τὴν φύσιν. Ἀλλ' ὅμως ἐγὼ δὲν ἀπαιτῶ ἀπὸ σᾶς τίποτε τέτοιο, ἐπειδὴ θέλετε νὰ σᾶς ὁδηγοῦν αἱ γυναῖκες.

4. Τουλάχιστον λοιπὸν νὰ πράττετε, ὅσα δὲν εἶναι ἐνοχλητικά, νὰ συγκρατῆτε τὰ χέρια σας καὶ τοὺς ἀκολάστους ὀφθαλμούς σας. Εἰπέ μου, ποία εἶναι ἡ δυσκολία, ποία ἡ δυσχέρεια; Πράττετε τὰ δίκαια, μὴ ἀδικῆτε κανένα, οὔτε ὁ πτωχός, οὔτε ὁ πλούσιος, οὔτε ὁ ἔμπορος, οὔτε ὁ μισθωτός· διότι εἶναι δυνατὸν ἡ ἀδικία νὰ φθάσῃ ἀκόμη μέχρι καὶ εἰς τοὺς πτωχούς. Ἢ δὲν βλέπετε πόσους ἀγῶνας κάμνουν αὐτοὶ καὶ ἀνατρέπουν τὰ πάντα; Κάθε χρῆσιν τοῦ γάμου, ἀπόκτησε παιδιά· καὶ ὁ Παῦλος αὐτὰ διέτασσε, αὐτὰ ἔγραφεν. Ἐκεῖνος ὁ ἀγὼν εἶναι μεγάλος καὶ τὰ ἐμπόδια ὑψηλὰ καὶ ἡ κορυφὴ πλησίον τοῦ οὐρανοῦ, καὶ δὲν ἠμπορεῖς νὰ φθάσῃς πρὸς τὸ μέγα; Τουλάχιστον λοιπὸν ἐπιδίωκε τὰ μικρότερα καὶ ἐπιθύμει τὰ κατώτερα. Δὲν ἠμπορεῖς νὰ περιφρονήσῃς τὰ χρήματα; τουλάχιστον μὴ ἁρπάζῃς τὰ χρήματα τῶν ἄλλων, οὔτε νὰ διαπράττῃς ἀδικίας. Δὲν ἠμπορεῖς νὰ νηστεύσῃς; τουλάχιστον μὴ παρασύρεσαι εἰς ἀπολαύσεις. Δὲν ἠμπορεῖς νὰ κοιμηθῇς ἐπάνω εἰς σκληρὸν στρῶμα; μὴ κατασκευάζῃς, σὲ παρακαλῶ, κρεββάτια ἀργυρένδετα, οὔτε ἐλεφάντινα, ἀλλὰ χρησιμοποίει κρεββάτι καὶ στρώματα, ποὺ δὲν ἔχουν κατασκευασθῆ δι' ἐπίδειξιν, ἀλλὰ δι' ἀνάπαυσιν· συγκράτησε τὸν ἑαυτόν σου. Διατί γεμίζεις τὸ πλοῖον μὲ πολλοὺς δούλους; Ἂν εἶσαι εὐπρεπής, δὲν θὰ φοβηθῇς τίποτε, οὔτε τὸν φθόνον, οὔτε τοὺς λῃστάς, οὔτε τοὺς ἐπιβούλους. Διότι δὲν γίνεσαι τόσον πλούσιος εἰς τὰ χρήματα, ὅπως εἰς τὰς φροντίδας· δὲν

εὐπορεῖς ἐν τοῖς κτήμασιν, ὡς ταῖς ἀγωνίαις καὶ τοῖς κινδύνοις. «Οἵτινες βούλονται πλουτεῖν», φησί, «πειρασμοὺς καὶ ἐπιθυμίας βλαβερὰς ἑαυτοῖς ἐπεισάγουσι». Ταῦτα ὑπομένουσιν οἱ πολλὰ κεκτῆσθαι βουλόμενοι. Οὐ λέγω· Διακόνησον τῷ κάμνοντι · κἂν τῷ παιδὶ κέλευσον τοῦτο ποιεῖν.

Ὁρᾷς πῶς φορτικὸν οὐκ ἔστι; πῶς γάρ, ἔνθα κόραι ἁπαλαὶ ἐκ πολλοῦ τοῦ διαστήματος ἡμᾶς παρελαύνουσιν; Αἰσχυνθῶμεν παρακαλῶ, ὅτι ἐν μὲν τοῖς κοσμικοῖς οὐδαμοῦ παραχωροῦμεν αὐταῖς, οὐκ ἐν πολέμοις, οὐκ ἐν ἄθλοις· ἐν δὲ τοῖς πνευματικοῖς ἀγῶσι πλέον ἡμῶν φέρονται, καὶ πρῶται τὸ βραβεῖον ἁρπάζουσι, καὶ ὑψηλότερα πέτανται, καθάπερ ἀετοί τινες· ἡμεῖς δέ, καθάπερ κολοιοί, κάτω περὶ τὴν κνίσσαν καὶ τὸν καπνὸν ἀεὶ στρεφόμεθα. Κολοιῶν γὰρ ὄντως, τραπεζοποιοὺς καὶ μαγείρους ἐπινοεῖν, καὶ κυνῶν λίχνων. Ἄκουσον τῶν παλαιῶν γυναικῶν· μεγάλαι γὰρ ἐγένοντο, μεγάλαι γυναῖκες καὶ θαυμασταί, οἷον, ἡ Σάρρα, ἡ Ρεβέκκα, ἡ Ραχήλ, ἡ Δεβώρα, ἡ Ἄννα· καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ ἦσαν τοιαῦται, ἀλλ' οὐδαμοῦ ἄνδρας παρήλασαν, ἀλλὰ τὴν ὑστέραν τάξιν ἐπεῖχον. Νῦν δὲ τοὐναντίον, γυναῖκες ἡμᾶς παρελαύνουσι καὶ ἀποκρύπτουσι. Ποῖος ὁ γέλως; τίς ἡ αἰσχύνη; Ἡμεῖς τῆς κεφαλῆς τὴν τάξιν ἐπέχομεν, καὶ ὑπὸ τοῦ σώματος νικώμεθα; Ἄρχειν αὐτῶν ἐτάχθημεν, οὐχ ἵνα μόνον ἄρχωμεν, ἀλλ' ἵνα καὶ ἐν ἀρετῇ ἄρχωμεν. Ὁ γὰρ ἄρχων, τούτῳ μάλιστα ἄρχειν ὀφείλει, τῷ τῇ ἀρετῇ νικᾶν· εἰ δὲ νικᾶται, οὐκέτι ἄρχων ἐστίν.

Εἴδετε πόση τῆς τοῦ Χριστοῦ παρουσίας ἡ δύναμις· πῶς ἔλυσε τὴν κατάραν; Καὶ γὰρ πλείους αἱ παρθένοι παρὰ γυ-

---

21. Α' Τιμ. 6, 9.

21α. Σύζυγος τοῦ Ἀβραάμ. Ἔτεκε τὸν Ἰσαάκ, ἄγουσα τότε περίπου τὸ 90ὸν ἔτος.

21β. Σύζυγος τοῦ Ἰσαάκ. Μετὰ εἰκοσαετῆ στειρότητα ἔτεκε τοὺς διδύμους Ἠσαῦ καὶ Ἰακώβ.

21γ. Σύζυγος τοῦ Ἰακώβ. Στεῖρα κατ' ἀρχὰς ἔτεκε τέλος τὸν Ἰωσὴφ καὶ τὸν Βενιαμίν.

21δ. Προφῆτις τοῦ Ἰσραὴλ καὶ ἀρχηγὸς στρατοῦ, συντρίψας τοὺς Χαναναίους παρὰ τὸ ὄρος Θαβώρ.

21ε. Φέρουσα βαρέως τὴν ἀτεκνίαν διὰ θερμῆς προσευχῆς καὶ δακρύων ἐζήτησεν ἀπὸ τὸν Θεὸν υἱὸν καὶ ἔτεκε τὸν Σαμουήλ. Ἀργότερα ἀπέκτησε καὶ ἄλλα τέκνα.

ἔχεις τόσην ἀφθονίαν εἰς τὰ κτήματα, ὅπως εἰς τὰς ἀγωνίας καὶ τοὺς κινδύνους. «Ἐκεῖνοι ποὺ θέλουν», λέγει, «νὰ γίνουν πλούσιοι, προσκομίζουν διὰ τὸν ἑαυτόν των πειρασμοὺς καὶ ἐπιβλαβεῖς ἐπιθυμίας»[21]. Αὐτὰ ὑπομένουν οἱ ἐπιθυμοῦντες νὰ ἀποκτήσουν πολλά. Δὲν λέγω· Περιποιήσου τὸν ἀσθενῆ, ἢ τουλάχιστον διάταξε τὸ παιδί σου νὰ κάμνῃ αὐτό.

Βλέπεις πῶς δὲν εἶναι βαρὺ τὸ πρᾶγμα; διότι πῶς θὰ εἶναι τὴν στιγμὴν ποὺ κόραι τρυφεραὶ μᾶς ὁδηγοῦν ἀπὸ μεγάλην ἀπόστασιν; Πρέπει νὰ νοιώσωμεν ἐντροπήν, παρακαλῶ, διότι εἰς μὲν τοὺς κοσμικοὺς ἀγῶνας δὲν ἐπιτρέπομεν αὐτὰς νὰ λάβουν μέρος πουθενά, οὔτε εἰς τοὺς πολέμους, οὔτε εἰς ἀθλητικοὺς ἀγῶνας· εἰς τοὺς πνευματικοὺς ὅμως ἀγῶνας ἐπιτυγχάνουν περισσότερα ἀπὸ ἡμᾶς, καὶ τὸ βραβεῖον πρῶται αὐταὶ ἁρπάζουν, καὶ ὑψηλότερα πετοῦν, ὡσὰν νὰ εἶναι ἀετοί· ἡμεῖς δέ, ὡσὰν κόρακες, περιστρεφόμεθα πάντοτε γύρω ἀπὸ τὴν κνίσσαν καὶ τὸν καπνόν. Διότι πράγματι εἶναι ἔργον τῶν κοράκων νὰ ἐπινοοῦν τοὺς τραπεζοκόμους καὶ τοὺς μαγείρους, καθὼς καὶ τῶν ἀπλήστων σκύλων. Ἄκουσε διὰ τὰς γυναῖκας τῆς Παλαιᾶς Διαθήκης, ποὺ ἔγιναν μεγάλαι, μεγάλαι πράγματι γυναῖκες καὶ θαυμασταί, ὅπως ἡ Σάρρα[21α], ἡ Ρεβέκκα[21β], ἡ Ραχὴλ[21γ], ἡ Δεβώρα[21δ], ἡ Ἄννα[21ε]. Καὶ ἐπὶ τῆς ἐποχῆς τοῦ Χριστοῦ ὑπῆρξαν παρόμοιαι γυναῖκες, πουθενὰ ὅμως δὲν ὡδήγησαν τοὺς ἄνδρας, ἀλλ' εἶχαν τὴν ὑποδεεστέραν θέσιν. Τώρα ὅμως συμβαίνει τὸ ἀντίθετον· αἱ γυναῖκες μᾶς ὁδηγοῦν καὶ μᾶς ἐπισκιάζουν. Πόσον ἄξιον διὰ γέλια, εἶναι τὸ πρᾶγμα, πόσον γεμᾶτο ἀπὸ ἐντροπήν; Ἡμεῖς κατέχομεν τὴν θέσιν τῆς κεφαλῆς, καὶ νικώμεθα ἀπὸ τὸ σῶμα; Ἐτάχθημεν νὰ εἴμεθα ἄρχοντες εἰς τὰς γυναῖκας, ἀλλὰ ὄχι μόνον διὰ νὰ εἴμεθα ἄρχοντες, ἀλλὰ καὶ διὰ νὰ εἴμεθα πρωτοπόροι εἰς τὴν ἀρετήν. Διότι ὁ ἄρχων πρέπει μὲ αὐτὸ πρὸ πάντων νὰ ἄρχῃ, δηλαδὴ μὲ τὸ νὰ νικᾷ διὰ τῆς ἀρετῆς· ἐὰν ὅμως νικᾶται, δὲν εἶναι πλέον ἄρχων.

Εἴδατε πόση εἶναι ἡ δύναμις τῆς παρουσίας τοῦ Χριστοῦ; πῶς κατήργησε τὴν κατάραν; Καὶ εἶναι ἀλήθεια ὅτι

ναιξί, πλείων ἡ σωφροσύνη παρ' ἐκείναις, αἱ χηρεῖαι πλείους· οὐδὲν ἂν αἰσχρὸν ταχέως γυνὴ πρόοιτο ῥῆμα. Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, αἰσχρολογεῖς σύ; Μὴ γάρ μοι τὰς ἀπεγνωσμένας εἴπῃς, φιλόκοσμόν πως τό γένος ἐστί, καὶ τοῦτο ἔχει τὸ ἐλάττωμα. Ἀλλὰ κἂν τούτῳ νικᾶτε ὑμεῖς οἱ ἄνδρες, οἱ καὶ ἐπ' ἐκείναις, ὡς ἐπ' οἰκείῳ κόσμῳ, ἐναβρυνόμενοι. Οὐ γὰρ οὕτως οἶμαι τοῖς ἑαυτῆς χρυσίοις τὴν γυναῖκα καλλωπίζεσθαι, ὡς τὸν ἄνδρα τοῖς τῆς γυναικός· οὐχ οὕτως ἐπὶ τῇ ζώνῃ φρονεῖ τῇ χρυσῇ, ὡς ἐπὶ τῷ τὴν γυναῖκα χρυσοφορεῖν. Ὥστε καὶ τούτου ὑμεῖς αἴτιοι οἱ τὸν σπινθῆρα ἐκκαίοντες, καὶ τὴν φλόγα ἀνάπτοντες. Ἄλλως δέ, οὐ τοσοῦτον ἁμάρτημά ἐστιν ἐπὶ γυναικός, ὅσον ἐπὶ ἀνδρός. Σὺ ἐτάχθης ἐκείνην ῥυθμίζειν· πανταχοῦ τῶν πρωτείων ἀξιοῖς τυγχάνειν· οὐκοῦν καὶ ἐν τούτῳ δεῖξον, ὅτι σοι τῆς πολυτελείας οὐδεὶς λόγος ἐκείνης ἀπὸ τῶν σαυτοῦ. Γυναικὶ μᾶλλον ἐπιτήδειον τὸ κοσμεῖσθαι, ἢ ἀνδρί. Ὅταν οὖν σὺ αὐτὸς μὴ διαφεύγῃς, πῶς ἐκείνη διαφεύξεται;

Ἔχουσιν ἐκεῖναί τι κενόδοξον, ἀλλὰ τοῦτο κοινὸν καὶ ἀνδρῶν· ὀργίλαι πώς εἰσι, καὶ τοῦτο κοινόν. Ἐν οἷς δὲ πλεονεκτοῦσιν, οὐκέτι κοινά· τὴν σεμνότητα λέγω, τὴν θερμότητα, τὴν εὐλάβειαν, τὴν περὶ τὸν Χριστὸν ἀγάπην. Διὰ τί οὖν ἀπεῖρξεν αὐτὰς τοῦ θρόνου τοῦ διδασκαλικοῦ, φησί; Καὶ τοῦτο σημεῖον τοῦ πολὺ τὸ μέσον εἶναι τῶν ἀνδρῶν, καὶ μεγάλας εἶναι τὰς τότε. Παύλου γὰρ διδάσκοντος, εἰπέ μοι, καὶ Πέτρου καὶ τῶν ἁγίων ἐκείνων, γυναῖκα τῷ πράγματι ἐπιπηδᾶν ἐχρῆν; Νυνὶ δὲ εἰς τοῦτο κακίας ἠλάσαμεν, ὡς καὶ ζητήματος ἄξιον εἶναι, διὰ τί γυναῖκες οὐ διδάσκου-

αἱ παρθένοι εἶναι περισσότεραι μεταξὺ τῶν γυναικῶν, ἡ σωφροσύνη εἶναι μεγαλυτέρα εἰς ἐκείνας, αἱ χηρεῖαι περισσότεραι· κανένα αἰσχρὸν λόγον δὲν θὰ ἠμποροῦσεν ἡ γυναῖκα νὰ προσφέρῃ τόσον γρήγορα. Εἰπέ μου λοιπόν, διατί αἰσχρολογεῖς σύ; Μὴ μοῦ εἰπῇς βέβαια, σὲ παρακαλῶ, τὰ πολὺ γνωστά, ὅτι δηλαδὴ τὸ γένος τῶν γυναικῶν εἶναι φιλόκοσμον καὶ ἔχει τὸ ἐλάττωμα αὐτό. Ἀλλὰ καὶ εἰς αὐτὸ νικᾶτε σεῖς οἱ ἄνδρες, οἱ σεμνυνόμενοι καὶ δι' ἐκείνας, ὡσὰν νὰ εἶναι ἰδικόν σας κόσμημα. Διότι δὲν νομίζω ὅτι καλλωπίζεται τόσον ἡ γυναῖκα μὲ τὰ ἰδικά της χρυσᾶ κοσμήματα, ὅπως ὁ ἄνδρας μὲ τὰ κοσμήματα τῆς γυναικός· δὲν μεγαλοφρονεῖ τόσον διὰ τὴν χρυσῆν ζώνην, ὅσον διὰ τὸ ὅτι ἡ γυναῖκα του φορεῖ χρυσᾶ κοσμήματα. Συνεπῶς εἶσθε αἴτιοι καὶ δι' αὐτὸ σεῖς, ποὺ προκαλεῖτε τὸν σπινθῆρα καὶ ἀνάπτετε τὴν φλόγα. Ἄλλωστε δέ, δὲν εἶναι τόσον μεγάλον τὸ ἁμάρτημα διὰ τὴν γυναῖκα, ὅσον διὰ τὸν ἄνδρα. Σὺ ἐτάχθης νὰ κατευθύνῃς ἐκείνην· παντοῦ ἔχεις τὴν ἀξίωσιν νὰ ἀπολαμβάνῃς τὰ πρωτεῖα· λοιπὸν καὶ εἰς τοῦτο ἀπόδειξε μὲ τὴν συμπεριφοράν σου, ὅτι δὲν ὑπάρχει εἰς σὲ κανένας λόγος διὰ τὴν πολυτέλειαν ἐκείνην. Πολὺ περισσότερον ἁρμόζει εἰς τὴν γυναῖκα νὰ στολίζεται, παρὰ εἰς τὸν ἄνδρα. Ὅταν λοιπὸν σὺ ὁ ἴδιος δὲν ἀποφεύγεις νὰ στολίζεσαι, πῶς θὰ ἀποφύγῃ ἐκείνη;

Ἔχουν αἱ γυναῖκες κάτι τὸ ματαιόδοξον, ἀλλ' αὐτὸ εἶναι κοινὸν καὶ εἰς τοὺς ἄνδρας· εἶναι κάπως ὀργίλαι, καὶ αὐτὸ εἶναι κοινόν. Ἐκεῖνα ὅμως, εἰς τὰ ὁποῖα πλεονεκτοῦν, δὲν εἶναι καθόλου κοινά· ἐννοῶ τὴν σεμνότητα, τὴν θέρμην, τὴν εὐλάβειαν, τὴν ἀγάπην διὰ τὸν Χριστόν. Διατί λοιπόν, θὰ εἰπῇ κάποιος, τὰς ἀπέκλεισεν ἀπὸ τὸν διδασκαλικὸν θρόνον; Καὶ τοῦτο εἶναι ἀπόδειξις τοῦ ὅτι εἶναι μεγάλη ἡ διαφορὰ τῶν ἀνδρῶν, καὶ τοῦ ὅτι ἦσαν μεγάλαι αἱ γυναῖκες τῆς ἐποχῆς ἐκείνης. Εἰπέ μου, ἐπειδὴ ἐδίδασκεν ὁ Παῦλος καὶ ὁ Πέτρος καὶ οἱ ἀπόστολοι ἐκεῖνοι, ἦτο ἀνάγκη νὰ ἐπεδίωκε καὶ ἡ γυναῖκα αὐτό; Τώρα ὅμως ἔχομεν φθάσει εἰς τέτοιο σημεῖον κακίας, ὥστε καὶ νὰ γίνεται ζήτημα, διατί αἱ γυναῖκες δὲν διδάσκουν· ἔτσι ἐφθάσαμεν

σιν· οὕτως εἰς τὴν αὐτὴν αὐταῖς ἀσθένειαν ἤλθομεν. Ταῦτα οὐκ ἐκείνας ἐπᾶραι βουλόμενος εἶπον, ἀλλ' ἡμᾶς αὐτοὺς ἐντρέψαι καὶ παιδεῦσαι καὶ νουθετῆσαι, ὥστε τὴν προσήκουσαν ἡμῖν ἀρχὴν ἀναλαβεῖν, μὴ κατὰ τὸ μεῖζον, ἀλλὰ κατὰ τὴν πρόνοιαν καὶ τὴν προστασίαν καὶ τὴν ἀρετήν. Οὕτω γὰρ καὶ τὸ σῶμα ἐν τάξει ἔσται τῇ προσηκούσῃ, ὅταν ἀρίστου τοῦ ἄρχοντος ἐπιτύχῃ. Γένοιτο δὲ καὶ τὰς γυναῖκας καὶ τοὺς ἄνδρας κατὰ τὸ τῷ Θεῷ δοκοῦν ἅπαντας βιοῦν, ἵνα καταξιωθῶμεν ἅπαντες ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ τῆς φιλανθρωπίας ἀπολαῦσαι τοῦ Δεσπότου, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

22. Δηλαδὴ τῆς Δευτέρας Παρουσίας.

εἰς τὴν ἰδίαν μὲ αὐτὰς ἀσθένειαν. Δὲν εἶπα αὐτά, ἐπειδὴ θέλω νὰ ἐξυψώσω τὰς γυναῖκας, ἀλλ᾽ ἐπειδὴ θέλω νὰ ἀλλάξω ἡμᾶς τοὺς ἰδίους καὶ νὰ διδάξω καὶ νὰ συμβουλεύσω, ὥστε νὰ ἀναλάβωμεν τὰ πρωτεῖα ποὺ ἁρμόζουν εἰς ἡμᾶς, ὄχι σύμφωνα μὲ τὸ μεγαλύτερον, ἀλλὰ σύμφωνα μὲ τὴν φροντίδα καὶ τὴν προστασίαν καὶ τὴν ἀρετήν. Διότι ἔτσι καὶ τὸ σῶμα θὰ κατέχῃ τὴν πρέπουσαν θέσιν, ὅταν ἐπιτύχῃ τὸν ἄριστον ἄρχοντα. Εἴθε νὰ γίνῃ δὲ ὥστε νὰ ζοῦν ὅλοι, γυναῖκες καὶ ἄνδρες, σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, διὰ νὰ ἀξιωθῶμεν ὅλοι κατ᾽ ἐκείνην τὴν φοβερὰν ἡμέραν[22] νὰ ἀπολαύσωμεν τὴν φιλανθρωπίαν τοῦ Κυρίου καὶ νὰ ἐπιτύχωμεν τὰ ὑποσχεθέντα ἀγαθὰ μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΟΜΙΛΙΑ ΙΔ΄
Ἐφ. 4, 25 - 30

«Διὸ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· μὴ δίδοτε τόπον τῷ διαβόλῳ».

1. Εἰπὼν τὸν παλαιὸν ἄνθρωπον καθολικῶς, λοιπὸν αὐτὸν καὶ ὑπογράφει κατὰ μέρος. Αὕτη γὰρ εὐμαθεστέρα ἡ διδασκαλία, ὅταν καὶ κατὰ μέρος μανθάνωμεν. Καὶ τί φησι; «Διὸ ἀποθέμενοι τὸ ψεῦδος». Ποῖον ψεῦδος; Τὰ εἴδωλα ἆρά φησιν; Οὐδαμῶς· ψεῦδος μὲν γὰρ καὶ ταῦτα· ἀλλὰ νῦν οὐ περὶ τούτων· οὐδὲν γὰρ αὐτοῖς κοινὸν πρὸς αὐτά· ἀλλὰ τὸ πρὸς ἀλλήλους φησί, τουτέστι, τὸ δολερὸν καὶ ὕπουλον. «Λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ». Εἶτα καὶ τὸ ἐντρεπτικώτερον, «Ὅτι ἐσμὲν ἀλλήλων μέλη», μηδεὶς ἀπατάτω τὸν πλησίον· ὅ φησιν ὁ Ψαλμῳδὸς ἄνω καὶ κάτω· «Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά». Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν οὕτως ἔχθραν ποιοῦν, ὡς τὸ ἀπατᾶν καὶ παραλογίζεσθαι. Ὅρα πῶς πανταχοῦ αὐτοὺς δυσωπεῖ διὰ τοῦ σώματος. Μὴ ψευδέσθω, φησίν, ὁ ὀφθαλμὸς τὸν πόδα, μηδὲ ὁ ποὺς τὸν ὀφθαλμόν. Οἷον, ἐὰν βαθὺ

1. Ἐφ. 4, 25 - 27.
2. Ψαλμ. 11, 3.

ΟΜΙΛΙΑ ΙΔ΄
Ἐφ. 4, 25 - 30

«Δι᾽ αὐτό, ἀφοῦ ἀποθέσετε τὸ ψεῦδος, λέγετε τὴν ἀλήθειαν ὁ καθένας σας μὲ τὸν πλησίον του, διότι εἴμεθα μεταξύ μας μέλη ὁ ἕνας τοῦ ἄλλου. Ὀργίζεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε. Ἐὰν δὲ συμβῇ νὰ παροργισθῆτε μεταξύ σας, νὰ συμφιλιώνεσθε προτοῦ σᾶς προφθάσῃ ἡ δύσις τοῦ ἡλίου. Μὴ δίδετε τόπον εἰς τὸν διάβολον»[1].

1. Ἀφοῦ ὡμίλησε διὰ τὸν παλαιὸν ἄνθρωπον γενικῶς, εἰς τὴν συνέχειαν περιγράφει αὐτὸν καὶ εἰς τὰς λεπτομερείας. Διότι αὐτὴ ἡ διδασκαλία εἶναι πιὸ κατανοητή, ὅταν διδασκώμεθα καὶ τὰ ἐπὶ μέρους. Καὶ διατί λέγει· «Δι᾽ αὐτὸ ἀφοῦ ἀποθέσετε τὸ ψεῦδος»; Ποῖον ψεῦδος; Μήπως ἐννοεῖ τὰ εἴδωλα; Καθόλου. Καὶ αὐτὰ βέβαια εἶναι ψεῦδος, ἀλλ᾽ ἐδῶ δὲν ἀναφέρεται εἰς αὐτά, διότι δὲν ὑπάρχει τίποτε τὸ κοινὸν πρὸς αὐτά, ἀλλ᾽ ἐννοεῖ τὸ ψεῦδος ποὺ λέγομεν ὁ ἕνας εἰς τὸν ἄλλον, δηλαδὴ τὸ ἀπατηλὸν καὶ ὕπουλον ψεῦδος. «Νὰ λέγετε τὴν ἀλήθειαν ὁ καθένας σας μὲ τὸν πλησίον του». Εἰς τὴν συνέχειαν λέγει καὶ αὐτὸ ποὺ προκαλεῖ περισσοτέραν ἐντροπήν. «Διότι εἴμεθα μεταξύ μας μέλη ὁ ἕνας τοῦ ἄλλου», κανεὶς ἂς μὴ ἀπατᾷ τὸν πλησίον του. Αὐτὸ λέγει καὶ ὁ Ψαλμῳδός· «Ἔχει εἰς τὴν καρδίαν του χείλη δόλια, καὶ ὡμίλησε μὲ τὴν καρδίαν του κακά»[2]. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει τίποτε ποὺ νὰ προκαλῇ τόσον μῖσος, ὅσον ἡ ἀπάτη καὶ τὸ νὰ λέγωμεν ψεύδη εἰς τοὺς ἄλλους. Πρόσεξε πῶς παντοῦ ἐντροπιάζει αὐτοὺς φέρων ὡς παράδειγμα τὸ ἀνθρώπινον σῶμα. Μήπως ἀπατᾷ, λέγει, ὁ ὀφθολμὸς τὸ πόδι, ἢ τὸ πόδι τὸν ὀφθαλμόν. Παράδειγμα· ἐὰν εἶναι ἕνα βαθὺ χανδάκι, καὶ

ὄρυγμα ᾖ, εἶτα ἄνωθεν ἐπὶ τῆς γῆς καλάμων διακειμένων, καὶ ὑπὸ τῆς γῆς κεκαλυμμένων, ἐν τῇ ἐπιφανείᾳ στερεᾶς γῆς παρέχῃ δόξαν τοῖς ὀφθαλμοῖς, οὐχὶ τῷ ποδὶ χρήσεται, καὶ εἴσεται πότερον εἰκῇ καὶ διάκενόν ἐστι κάτω, ἢ ἀντερείδει καὶ ἀντιτυπεῖ; μὴ ψεύδεται ὁ πούς, ἀλλ' οὐχ ὅπερ ἐστὶν ἀπαγγέλλει; Τί δέ; εἰ ὄφιν ἴδοι ὁ ὀφθαλμὸς ἢ θηρίον, μὴ ψεύδεται τὸν πόδα; οὐκ εὐθέως ἀπαγγέλλει, κἀκεῖνος παρ' αὐτοῦ μαθών, οὐκέτι ἐπέρχεται. Τί δέ; ὅταν μήτε ὁ ὀφθαλμός, μήτε ὁ ποὺς εὕρῃ διαγνῶναι, ἀλλὰ τὸ πᾶν τῆς ὀσφρήσεως ᾖ, οἷον πότερον δηλητήριον φάρμακον, ἢ οὔ, μὴ ψεύδεται ἡ ὄσφρησις τὸ στόμα; Οὐδαμῶς. Διὰ τί; Καὶ γὰρ καὶ ἑαυτὴν προσαπόλλυσιν· ἀλλ' ὅπερ αὐτῇ παρίσταται, λέγει. Τί δέ; ἡ γλῶσσα μὴ ψεύδεται τὸν στόμαχον; οὐκ ἔνθα μὲν πικρὸν ᾖ, τοῦτο ῥίπτει, ἂν δὲ γλυκύ, παραπέμπει; Ὅρα διακονίαν καὶ δουλείας ἀντίδοσιν· ὅρα πρόνοιαν ἐξ ἀληθείας γεγενημένην, καὶ ἐκθύμως, ὡς ἄν τις εἴποι. Οὕτω δὴ καὶ ἡμεῖς μὴ ψευδώμεθα, εἰ ἀλλήλων μέλη ἐσμέν. Τοῦτο φιλίας τεκμήριον, τὸ δὲ ἐναντίον ἔχθρας.

Τί οὖν, ἂν ἐπιβουλεύῃ, φησί; Τὸ ἀληθὲς μάθε· ἂν γὰρ ἐπιβουλεύῃ, οὐκ ἔστι μέλος. Εἶπε δέ, Μὴ ψεύδεσθε πρὸς τὰ μέλη. «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε». Ὅρα σύνεσιν· καὶ λέγει ὅπως μὴ ἁμαρτήσωμεν, καὶ παρακούσαντας πάλιν οὐκ ἐγκαταλιμπάνει· οὐ γὰρ ἀφίησιν αὐτοῦ τὰ σπλάγχνα τὰ πνευματικά. Καθάπερ γὰρ ὁ ἰατρὸς διαγορεύει μὲν τὰ πρακτέα τῷ κάμνοντι, καὶ μὴ ἀνασχομένου δὲ ὅμως οὐ καταφρονεῖ, ἀλλὰ τὴν ἐκ τῆς πειθοῦς εἰσάγων συμβουλήν, θεραπεύει πάλιν, οὕτω καὶ ὁ Παῦλος. Ὁ μὲν γὰρ ἐκεῖνο ποιῶν, τὴν δόξαν μόνον ζητεῖ, καὶ ὅτι κατεφρονήθη δάκνε-

ἐνῷ εἶναι τοποθετημένα ἐπάνω εἰς τὸ ἔδαφος καλάμια καὶ καλύπτονται ἀπὸ τὸ χῶμα, ἐὰν εἰς τοὺς ὀφθαλμοὺς δίδῃ τὴν ἐντύπωσιν ὅτι ἡ γῆ εἶναι σταθερὰ εἰς τὴν ἐπιφάνειαν, μήπως θὰ χρησιμοποιήσῃ κατὰ τύχην τὸ πόδι διὰ νὰ γνωρίσῃ ἐὰν εἶναι ἀπὸ κάτω ἐντελῶς κενόν, ἢ στέκεται σταθερὰ καὶ τὰ ἀπωθεῖ; μήπως ψεύδεται τὸ πόδι καὶ ἀναγγέλλει ἐκεῖνο ποὺ δὲν ὑπάρχει; Ἐπίσης, ἐὰν ὁ ὀφθαλμὸς ἴδῃ κάποιο φίδι ἢ θηρίον, μήπως ἀπατᾷ τὸ πόδι; δὲν τὸ ἀναγγέλει ἀμέσως; καὶ ἐκεῖνο, ἀφοῦ πληροφορηθῇ ἀπὸ τὸν ὀφθαλμόν, δὲν ἔρχεται πλέον πλησίον πρὸς αὐτό. Ἐπίσης, ὅταν συμβῇ οὔτε ὁ ὀφθαλμὸς οὔτε τὸ πόδι νὰ διακρίνῃ ἀκριβῶς, ἀλλὰ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴν ὄσφρησιν, ποῖον δηλαδὴ ἐκ τῶν δύο εἶναι δηλητήριον φάρμακον ἢ ὄχι, μήπως ἡ ὄσφρησις ἀπατᾷ τὸ στόμα; Καθόλου. Διατί; Διότι καταστρέφει καὶ τὴν ἰδίαν˙ ἀλλὰ λέγει ἐκεῖνο ποὺ παρουσιάζεται εἰς αὐτήν. Ἐπίσης, μήπως ἡ γλῶσσα ἀπατᾷ τὸ στομάχι; δὲν συμβαίνει ὅποιο εἶναι πικρόν, αὐτὸ νὰ τὸ ἀπομακρύνῃ, ἂν δὲ εἶναι γλυκύ, νὰ τὸ ἀποστέλλῃ εἰς τὸ στομάχι; Πρόσεχε τὴν ὑπηρεσίαν καὶ τὴν ἀνταπόδοσιν τῆς ὑπηρεσίας˙ πρόσεχε τὴν φροντίδα ποὺ εἶναι ἀποτέλεσμα τῆς ἀληθείας καὶ γίνεται ὁλοψύχως, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κάποιος. Ἔτσι λοιπὸν καὶ ἡμεῖς ἂς μὴ ψευδώμεθα, ἐφ' ὅσον εἴμεθα μέλη ὁ ἕνας τοῦ ἄλλου. Αὐτὸ εἶναι ἀπόδειξις φιλίας, τὸ δὲ ἀντίθετον ἔχθρας.

Τί λοιπόν, θὰ εἰπῇ κάποιος, ἐὰν ἐπιβουλεύεται τὸν ἄλλον; Μάθε τὴν ἀλήθειαν˙ διότι ἂν ἐπιβουλεύεται, δὲν εἶναι μέλος. Εἶπε δέ, Μὴ λέγετε εἰς τὰ μέλη ψεύδη. «Ὀργίγεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε». Πρόσεχε σύνεσιν˙ καὶ μᾶς προτρέπει νὰ μὴ ἁμαρτήσωμεν, ἀλλὰ καὶ ὅταν παρακούσωμεν πάλιν δὲν μᾶς ἐγκαταλείπει˙ καθ' ὅσον δὲν ἀφήνει τὰ πνευματικά του σπλάγχνα. Διότι, ὅπως ἀκριβῶς ὁ ἰατρὸς ὁρίζει μὲν εἰς τὸν ἀσθενῆ τὰ πρακτέα, ἀλλὰ καὶ ὅταν δὲν ἀνέχεται αὐτά, δὲν τὸν περιφρονεῖ, ἀλλὰ χρησιμοποιῶν τὴν συμβουλὴν τῆς πειθοῦς πάλιν τὸν θεραπεύει˙ ἔτσι καὶ ὁ Παῦλος. Αὐτὸς μὲν ποὺ κάνει ἐκεῖνο, Ζητεῖ μόνον τὴν δόξαν, καὶ ἐπειδὴ περιεφρονήθη ἀπὸ τοὺς ἀνθρώπους θλί-

ται· ὁ δὲ πανταχοῦ τὴν ὑγείαν τοῦ κάμνοντος ἐπιζητῶν, πρὸς ἓν τοῦτο μόνον ὁρᾷ, ὅπως ἀναστήσῃ τὸν κείμενον. Τοῦτο καὶ ὁ Παῦλος ποιεῖ. Εἶπε, Μὴ ψεύδεσθε· εἰ δέ ποτε γένοιτο ἀπὸ ψεύδους ὀργή, καὶ τοῦτο θεραπεύει πάλιν. Τί γάρ φησιν; «Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε». Καλὸν μὲν γὰρ τὸ μὴ ὀργίζεσθαι· εἰ δέ τις ἐμπέσοι ποτὲ εἰς τὸ πάθος, ἀλλὰ μὴ εἰς τοσοῦτον . «Ὁ ἥλιος» γάρ, φησί, «μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». Βούλει τῆς ὀργῆς ἐμπλησθῆναι; ἀρκοῖ σοι μία ὥρα καὶ δευτέρα καὶ τρίτη· μὴ καταλιπὼν ἐχθροὺς ὑμᾶς ὁ ἥλιος ἀπέλθοι. Ἀπὸ ἀγαθότητος ἀνέτειλε, μὴ ἀπερχέσθω εἰς ἀναξίους λάμψας. Εἰ γὰρ ὁ Δεσπότης αὐτὸν ἀπὸ πολλῆς ἀγαθότητος ἔπεμψε, καὶ αὐτὸς μὲν ἀφῆκέ σοι τὰ ἁμαρτήματα, σὺ δὲ τῷ πλησίον οὐκ ἀφίῃς, ὅρα πόσον τὸ κακόν.

Καὶ ἄλλο δὲ μετὰ τούτου· δέδοικε τὴν νύκτα ὁ μακάριος Παῦλος, μὴ λαβοῦσα ἐπ' ἐρημίας τὸν ἠδικημένον ἔτι φλεγμαίνοντα, ἀνακαύσῃ τὸ πῦρ. Ἕως μὲν γὰρ ἂν πολλὰ ἐκκρούῃ, τῆς ἡμέρας οὔσης, ἔξεστί σοι ἐμφορεῖσθαι· ὅταν δὲ μέλλοι ἑσπέρα γίνεσθαι, καταλλάττου καὶ πρόσφατον σβέσον τὸ κακόν. Ἂν γὰρ νὺξ ἐπιλάβηται, οὐκ ἀρκέσει ἡ μετὰ ταῦτα ἡμέρα τὸ συναχθὲν καὶ ἐν τῇ νυκτὶ σβέσαι κακόν· ἀλλὰ κἂν τὸ πλέον ὑποτέμῃς, τὸ δὲ ὅλον μὴ δυνηθῇς, πάλιν δίδωσιν ἀπὸ τοῦ ὑπολειφθέντος τῇ ἐπιούσῃ νυκτὶ σφοδροτέραν ἐργάσασθαι τὴν πυράν. Καὶ καθάπερ ὁ ἥλιος, ἂν τὸ νεφωθὲν καὶ πυκνωθὲν τοῦ ἀέρος διὰ τῆς νυκτὸς μὴ ἀρκέσῃ τῇ καθημερινῇ μαλάξαι καὶ διασκεδάσαι θέρμῃ, ὑπόθεσιν χειμῶνος παρέχεται τῆς νυκτὸς ἐπιλαβομένης τοῦ λειψάνου, καὶ πάλιν αὐτὸ τρεφούσης ἑτέροις ἀτμοῖς· οὕτω καὶ ἐπὶ τῆς ὀργῆς. «Μήτε δίδοτε τόπον τῷ διαβόλῳ». Ὥστε τὸ ἀλλήλους πολεμεῖν, τόπον ἐστὶ δοῦναι τῷ διαβόλῳ. Δέον γὰρ

βεται· αὐτὸς δὲ ποὺ ἐπιζητεῖ πάντοτε τὴν ὑγείαν τοῦ ἀσθενοῦς ἀποβλέπει μόνον πρὸς ἕνα σκοπόν, πῶς νὰ θεραπεύσῃ τὸν κατάκοιτον. Τὸ ἴδιο κάνει καὶ ὁ Παῦλος. Εἶπε· Μὴ ψεύδεσθε· ἐὰν ὅμως κάποτε ἤθελε προέλθη ἀπὸ τὸ ψεῦδος ὀργή, καὶ αὐτὰ τὰ θεραπεύει πάλιν. Τί λέγει δηλαδή; «Ὀργίζεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε». Καλὸν εἶναι βέβαια νὰ μὴ ὀργίζεται κανείς, ἐὰν ὅμως ἤθελε πέσει κάποτε εἰς τὸ πάθος τῆς ὀργῆς, νὰ μὴ πέσῃ εἰς μεγάλον βαθμόν. Διότι λέγει· «Ἐὰν δὲ συμβῇ νὰ παροργισθῆτε μεταξύ σας, νὰ συμφιλιώνεσθε προτοῦ σᾶς προφθάσῃ ἡ δύσις τοῦ ἡλίου». Θέλεις νὰ χορτάσῃς τὴν ὀργήν σου; σοῦ φθάνει μία ὥρα καὶ δύο καὶ τρεῖς· νὰ μὴ δύσῃ ὁ ἥλιος καὶ σᾶς ἀφήσῃ ἐχθρούς. Ἀνέτειλεν ἀπὸ ἀγαθότητα, ἂς μὴ δύσῃ ἀφοῦ ἔλαμψεν εἰς ἀναξίους. Διότι ἐὰν ὁ Κύριος ἔστειλε τὸν ἥλιον ἀπὸ πολλὴν ἀγαθότητα, καὶ αὐτὸς μὲν συνεχώρησε τὰ ἁμαρτήματά σου, σὺ ὅμως δὲν συμχωρεῖς τοῦ πλησίον σου, πρόσεχε πόσον μέγα εἶναι τὸ κακόν.

Καὶ ἄλλο δὲ συμβαίνει μαζὶ μὲ αὐτό· φοβεῖται ὁ μακάριος Παῦλος τὴν νύκτα, μήπως συλλάβῃ μόνος του τὸν ἀδικημένον ἀκόμη ἐν ταραχῇ καὶ ἀνάψῃ τὸ πῦρ τῆς ὀργῆς. Διότι ἐν ὅσῳ σὲ ἐξωθεῖ εἰς πολλὰ κακὰ καὶ εἶναι ἀκόμη ἡμέρα, ἐπιτρέπεται νὰ κατέχεσαι ἀπὸ ὀργήν, ὅταν ὅμως πρόκειται νὰ ἔλθῃ ἡ ἑσπέρα, συμφιλιώσου καὶ ἐξάλειψε τὸ πρόσφατον κακόν. Διότι ἂν σὲ προλάβῃ ἡ νύκτα, δὲν θὰ φθάσῃ ἡ ἑπομένη ἡμέρα νὰ ἐξαλείψῃ τὸ κατὰ τὴν διάρκειαν τῆς νυκτὸς συναχθὲν κακόν· ἀλλὰ καὶ ἂν ἀκόμη ἀφαιρέσῃς τὸ περισσότερον ὅλον ὅμως δὲν θὰ ἠμπορέσῃς, πάλιν ἀπὸ τὸ ὑπόλοιπον παραχωρεῖς εἰς τὴν ἑπόμενην νύκτα νὰ κάμῃ δυνατότερον τὸ κακόν. Καὶ ὅπως ἀκριβῶς ὁ ἥλιος, ἂν δὲν κατορθώσῃ νὰ ἐλαττώσῃ καὶ νὰ διαλύσῃ μὲ τὴν καθημερινήν του θερμότητα τὸ μέρος τοῦ ἀέρος ποὺ ἐκαλύφθη ἀπὸ πυκνὰ σύννεφα, δίδει τὴν ἐντύπωσιν τοῦ χειμῶνος, ἂν ἡ νύκτα προλάβῃ τὰ ὑπόλοιπα σύννεφα καὶ ἐνισχύσῃ αὐτὰ μὲ ἄλλους ἀτμούς· ἔτσι συμβαίνει καὶ μὲ τὴν ὀργήν. «Μὴ δίδετε τόπον εἰς τὸν διάβολον». Ὥστε τὸ νὰ πολεμῆτε μεταξύ σας, σημαίνει νὰ δίδετε τόπον εἰς τὸν

πάντας συμπεφράχθαι, καὶ κατ᾿ ἐκείνου ἵστασθαι, ἐκλύσαντες ἡμεῖς τὴν πρὸς ἐκεῖνον ἔχθραν, ἐπ᾿ ἀλλήλους κελεύομεν τρέπεσθαι. Οὐδέποτε γὰρ οὕτως ἔχει τόπον ὁ διάβολος, ὡς ἐν ταῖς ἔχθραις.

2. Τὰ μυρία ἐντεῦθεν κακὰ τίκτεται. Καὶ καθάπερ ἕως μὲν ἂν ὦσιν ἡρμοσμένοι λίθοι, καὶ μηδὲν διάκενον ἔχοντες, ἑστήκασιν ἀρραγεῖς· ἂν δὲ βελόνης μόνης διάτρησιν διαμπὰξ γεγενημένην, ἢ ραγάδα τριχὸς ἐπέχουσαν τόπον συμβῇ γενέσθαι, τοῦτο πάντα καταλύει καὶ ἀπόλλυσιν· οὕτω καὶ ἐπὶ τοῦ διαβόλου· ἕως μὲν ἂν ὦμεν πεπυκνωμένοι καὶ συνηρμοσμένοι, οὐδὲν ὅλως ἐπεισάγει τῶν αὐτοῦ· ἐπειδὰν δὲ μικρὸν ἡμᾶς διαχαυνώσῃ, καθάπερ τις χειμάρρους ἐπιχέεται. Πανταχοῦ γὰρ ἀρχῆς αὐτῷ χρεία μόνης, καὶ τοῦτό ἐστι τὸ δυσκατόρθωτον· τούτου δὲ γενομένου, αὐτὸς ἑαυτῷ τὰ πάντα εὐρύνει· λοιπὸν γὰρ διαβολαῖς τὰ ὦτα ἀνέῳγε, καὶ οἱ τὰ ψευδῆ λέγοντες, πιστότεροι· τὴν γὰρ ἔχθραν ἔχουσι δικάζουσαν, οὐ τὴν ἀλήθειαν κρίνουσαν. Καὶ ὥσπερ φιλίας οὔσης, καὶ τὰ ἀληθῆ ψευδῆ φαίνεται τῶν κακῶν· οὕτως ἔχθρας οὔσης, καὶ τὰ ψευδῆ ἀληθῆ· ἕτερος νοῦς, ἕτερον δικαστήριον, οὐκ ἐξ ἴσης ἀκοῦον, ἀλλὰ μετὰ πολλῆς τῆς προσκλίσεως καὶ ἐπιρρεπείας. Καθάπερ γὰρ ἐν ζυγῷ μόλυβδος προστεθεὶς τὸ πᾶν εἵλκυσεν· οὕτω καὶ ἐνταῦθα, τὸ τῆς ἔχθρας βάρος, μολύβδου χαλεπώτερον ὄν.

Διό, παρακαλῶ, πάντα πράττωμεν, ὥστε πρὸ τοῦ ἡλίου σβεννῦναι τὰς ἔχθρας. Ἂν γὰρ τῇ ἡμέρᾳ τῇ πρώτῃ μὴ κρατήσῃς καὶ τῇ ἑξῆς, πολλάκις καὶ εἰς ἐνιαυτὸν αὐτὴν ἐξέτεινας, καὶ αὐτὴ ἑαυτὴν ηὔξησεν λοιπὸν ἡ ἔχθρα, καὶ οὐ δεῖταί τινος. Καὶ ρήματα γὰρ ἑτέρως λεγόμενα ἑτέρως ὑποπτεύειν ποιοῦσα, καὶ σχήματα καὶ πᾶν ὁτιοῦν ἐκθηριοῖ καὶ

διάβολον. Πρέπει λοιπὸν ὅλοι νὰ ἔχωμεν σχηματισμένην πυκνὴν παράταξιν καὶ νὰ παρατασσώμεθα ἐναντίον τοῦ διαβόλου, ἡμεῖς ὅμως, ἐκλύσαντες τὴν πρὸς ἐκεῖνον ἔχθραν, προτρέπομεν νὰ στρέφεσθε ὁ ἕνας ἐναντίον τοῦ ἄλλου. Διότι ποτὲ δὲν ἔχει ἔτσι εὐκαιρίαν ὁ διάβολος, ὅπως κατὰ τὴν διάρκειαν τῶν ἐχθροτήτων.

2. Ἀπὸ αὐτὸ προέρχονται τὰ ἀμέτρητα κακά. Καὶ ὅπως ἀκριβῶς, ἕως ὅτου εἶναι προσαρμοσμένοι κατάλληλα οἱ λίθοι καὶ χωρὶς νὰ ἔχουν κανένα διάκενον, στέκει ὁ τοῖχος ἀρραγής, ἂν ὅμως μὲ βελόνην μόνον γίνῃ ἀπ᾽ ἄκρου εἰς ἄκρον μία ὀπή, ἢ συμβῇ νὰ γίνῃ μία λεπτὴ ρωγμή, ποὺ δίδει τὴν ἀφορμήν, τοῦτο διαλύει καὶ καταστρέφει τὰ πάντα, ἔτσι συμβαίνει καὶ μὲ τὸν διάβολον· ἕως ὅτου θὰ εἴμεθα πυκνὰ παραταγμένοι καὶ ἑνωμένοι, δὲν ἐπεισάγει τίποτε ἀπολύτως ἀπὸ τὰ ἰδικά του· ὅταν ὅμως μᾶς χαλαρώσῃ ὀλίγον, ὁρμᾷ ὡσὰν κάποιος χείμαρρος. Διότι παντοῦ αὐτὸς ἔχει ἀνάγκην μόνον ἀπὸ τὴν ἀρχήν, καὶ αὐτὸ εἶναι τὸ δυσκατόρθωτον· ὅταν δὲ γίνῃ αὐτό, αὐτὸς διευρύνει διὰ τὸν ἑαυτόν του τὰ πάντα· διότι πλέον μὲ τὰς διαβολάς του ἔχει ἀνοίξει τὰ αὐτιά, καὶ οἱ ψευδόμενοι γίνονται πιστότεροι, διότι ἔχουν τὸ μῖσος ποὺ καταδικάζει, ὄχι τὴν ἀλήθειαν ποὺ κρίνει. Καὶ καθὼς ὅταν ὑπάρχῃ φιλία, καὶ τὰ ἀληθινὰ ἀπὸ τὰ κακὰ φαίνονται ψευδῆ, ἔτσι ὅταν ὑπάρχῃ ἔχθρα, καὶ τὰ ψευδῆ φαίνονται ἀληθινά· ἄλλος νοῦς, ἄλλο δικαστήριον, τὸ ὁποῖον δὲν ἀκούει δίκαια, ἀλλὰ μὲ πολλὴν μεροληψίαν καὶ συμπάθειαν πρὸς κάποιον. Διότι ὅπως ὁ προστεθεὶς μόλυβδος εἰς τὴν ζυγαριάν, ἐσήκωσεν ὑψηλὰ τὸ πᾶν, ἔτσι συμβαίνει καὶ ἐδῶ, ἐπειδὴ τὸ βάρος τοῦ μίσους εἶναι φοβερώτερον ἀπὸ τὸν μόλυβδον.

Διὰ τοῦτο, παρακαλῶ, ἂς πράττωμεν τὰ πάντα, ὥστε νὰ διαλύωνται τὰ μίσῃ προτοῦ νὰ δύσῃ ὁ ἥλιος. Διότι ἂν δὲν νικήσῃς κατὰ τὴν πρώτην καὶ τὴν ἑπομένην ἡμέραν τὸ μῖσος, πολλάκις ἐπεξέτεινες αὐτὸ καὶ εἰς ὁλόκληρον τὸ ἔτος καὶ αὐτὸ ἐμεγάλωσε πλέον μόνον του καὶ δὲν ἔχει ἀνάγκην κανενός. Καὶ λόγια διαφορετικὰ λεγόμενα κάνει νὰ τὰ ἐννοοῦν διαφορετικά, καὶ τὰ προσχήματα καὶ ὅ,τιδή-

ἐξαγριοῖ, καὶ τῶν μαινομένων χείρω διατίθησιν, οὔτε τὸ ὄνομα εἰπεῖν, οὔτε ἀκοῦσαι ἀνεχομένη, ἀλλ' ἀπὸ τῶν λοιδοριῶν ἅπαντα φθεγγομένη. Πῶς οὖν μαλάξομεν τὸν θυμόν; πῶς σβέσομεν τὴν φλόγα; Ἂν τὰ ἑαυτῶν ἁμαρτήματα ἐννοήσωμεν καὶ ὅσον ἐσμὲν ὑπεύθυνοι τῷ Θεῷ· ἂν ἐννοήσωμεν, ὅτι οὐ τὸν ἐχθρὸν ἀμυνόμεθα, ἀλλ' ἡμᾶς αὐτούς· ἂν ἐννοήσωμεν, ὅτι τὸν διάβολον εὐφραίνομεν, ὅτι τὸν ἐχθρὸν τὸν ἡμέτερον τὸν ὄντως ἐχθρόν, δι' ὃν τὸ μέλος τὸ ἡμέτερον ἀδικοῦμεν. Βούλει εἶναι μνησίκακος καὶ ἐχθρός; Ἐχθρὸς ἔσο, ἀλλὰ τοῦ διαβόλου, μὴ τοῦ μέλους τοῦ σοῦ. Διὰ τοῦτο ἡμᾶς ὥπλισε τῷ θυμῷ ὁ Θεός, οὐχ ἵνα τὸ ξίφος κατὰ τῶν ἡμετέρων σωμάτων, ἀλλ' ἵνα ὁλόκληρον τὴν μάχαιραν εἰς τὸ τοῦ διαβόλου στῆθος βαπτίζωμεν. Ἐκεῖ τὸ ξίφος ἔγκλεισον μέχρι τῆς λαβῆς, εἰ βούλει, καὶ τὴν λαβὴν αὐτήν, καὶ μηδέποτε ἐκσπάσῃς, ἀλλὰ καὶ ἕτερον πρόσθες. Τοῦτο δὲ ἔσται, ὅταν ἡμῶν φειδώμεθα, ὅταν εἰρηνικῶς πρὸς ἀλλήλους διακεώμεθα. Ἐρρέτω χρήματα, ἐρρέτω δόξα καὶ εὐδοκίμησις πάντων τὸ μέλος τὸ ἐμὸν ἐμοὶ τιμιώτερον. Ταῦτα λέγωμεν πρὸς ἑαυτούς· μὴ τὴν φύσιν ἀδικῶμεν τὴν ἡμετέραν, ἵνα χρήματα κτησώμεθα, ἵνα δόξης ἐπιτύχωμεν.

«Ὁ κλέπτων, μηκέτι κλεπτέτω», φησίν. Ὁρᾷς τίνα τὰ μέλη τοῦ παλαιοῦ ἀνθρώπου; ψεῦδος, μνησικακία, κλοπή. Διὰ τί μὴ εἶπεν, Ὁ κλέπτων κολαζέσθω, βασανιζέσθω, στρεβλούσθω, ἀλλά, «Μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι»; Ποῦ οἱ Καθαροὶ λεγόμενοι, οἱ παντὸς ῥύπου γέμοντες, καὶ τοῦτο ἑαυτοὺς ὀνομάζειν τολμῶντες; Ἔστι γάρ, ἔστιν ἀποδύσασθαι τὸ ἔγκλημα, οὐ τῷ στῆναι μόνον

3. Ἐφ. 4, 28.

3α. Μὲ τὸν ὅρον αὐτὸν δηλώνονται διάφοροι αἱρετικαὶ παραφυάδες ἤδη ἀπὸ τὴν χριστιανικὴν ἀρχαιότητα. Οὗτοι ὀνομάζουν ἑαυτοὺς Καθαρούς, διὰ τὴν καθαρότητα καὶ αὐστηρότητα τοῦ βίου αὐτῶν.

ποτε ἄλλο καθιστᾷ θηριώδη καὶ ἐξαγριώνει, καὶ διαθέτει χειρότερα ἀπὸ τοὺς μαινομένους, καὶ δὲν ἀνέχεται οὔτε τὸ ὄνομα νὰ εἰπῇ, οὔτε νὰ ἀκούσῃ, ἀλλ' ἐκστομίζει ὅλας τὰς ὕβρεις. Πῶς λοιπὸν θὰ καταπραΰνωμεν τὸν θυμόν; πῶς θὰ σβήσωμεν τὴν φλόγα; Ἂν κατανοήσωμεν τὰ ἁμαρτήματά μας καὶ πόσον εἴμεθα ὑπεύθυνοι ἀπέναντι εἰς τὸν Θεόν· ἂν κατανοήσωμεν, ὅτι δὲν ὑπερασπιζόμεθα τὸν ἐχθρόν, ἀλλὰ τὸν ἴδιον τὸν ἑαυτόν μας· ἂν κατανοήσωμεν, ὅτι εὐφραίνομεν τὸν διάβολον, ὅτι εὐφραίνομεν τὸν ἰδικόν μας ἐχθρόν, τὸν ὄντως ἐχθρόν, διὰ τὸν ὁποῖον ἀδικοῦμεν τὸ ἰδικόν μας μέλος. Θέλεις νὰ εἶσαι μνησίκακος καὶ ἐχθρός; Νὰ εἶσαι ἐχθρός, ὄχι τοῦ ἰδικοῦ σου μέλους, ἀλλὰ τοῦ διαβόλου. Διὰ τοῦτο ὁ Θεὸς μᾶς ὥπλισε μὲ θυμόν, διὰ νὰ μὴ στρέφωμεν τὸ ξίφος ἐναντίον τῶν ἰδικῶν μας σωμάτων, ἀλλὰ διὰ νὰ βυθίζωμεν ὁλόκληρον τὴν μάχαιραν εἰς τὸ στῆθος τοῦ διαβόλου. Ἐκεῖ μέσα τοποθέτησε τὸ ξίφος μέχρι τὴν λαβήν, ἐὰν θέλῃς, καὶ αὐτὴ τὴν λαβήν, καὶ ποτὲ νὰ μὴ τὸ ἀνασύρῃς, ἀλλὰ νὰ προσθέσῃς καὶ ἄλλο. Τοῦτο δὲ θὰ συμβῇ, ὅταν εὐσπλαγχνιζώμεθα τὸν ἑαυτόν μας, ὅταν συμπεριφερώμεθα εἰρηνικὰ μεταξύ μας. Ἂς χαθοῦν τὰ χρήματα, ἂς χαθῇ ἡ δόξα καὶ ἡ ὑπόληψις· τὸ ἰδικόν μου μέλος μοῦ εἶναι τιμιώτερον ἀπὸ ὅλα αὐτά. Ἂς λέγωμεν εἰς τοὺς ἑαυτούς μας αὐτά· νὰ μὴ ἀδικοῦμεν τὴν φύσιν μας, διὰ νὰ ἀποκτήσωμεν χρήματα, διὰ νὰ ἐπιτύχωμεν τὴν δόξαν.

«Ἐκεῖνος ποὺ κλέπτει, ἂς μὴ κλέπτῃ πλέον», λέγει. Βλέπεις ποῖα εἶναι τὰ μέλη τοῦ παλαιοῦ ἀνθρώπου τῆς ἁμαρτίας; τὸ ψεῦδος, ἡ μνησικακία, ἡ κλοπή. Διατί δὲν εἶπεν· 'Ἐκεῖνος ποὺ κλέπτει ἂς τιμωρεῖται, ἂς βασανίζεται, ἂς στρεβλώνεται', ἀλλ' «Ἂς μὴ κλέπτῃ πλέον; Ἂς κοπιάζῃ δὲ περισσότερον ἐργαζόμενος τὸ καλὸν μὲ τὰ χέρια του, διὰ νὰ ἔχῃ νὰ μεταδίδῃ καὶ εἰς ἐκεῖνον ποὺ ἔχει ἀνάγκην»[8]. Ποῦ εἶναι οἱ λεγόμενοι Καθαροί[8α], ποὺ εἶναι γεμᾶτοι ἀπὸ κάθε εἶδος ἀκαθαρσίας, καὶ τολμοῦν νὰ ὀνομάζουν ἔτσι τὸν ἑαυτόν των; Εἶναι βέβαια δυνατόν, εἶναι δυνατὸν νὰ ἀποβάλωμεν τὸ ὄνειδος, ὄχι μόνον διαπράττοντας τὸ

τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ τῷ ἀγαθόν τι ἐργάσασθαι. Ὁρᾶτε πῶς ἀπολύεσθαι τὰ ἁμαρτήματα δεῖ; Ἔκλεψαν, τοῦτό ἐστι τὸ ἁμάρτημα πρᾶξαι· οὐκ ἔκλεψαν, τοῦτο οὐκ ἔστι τὸ ἁμάρτημαμα λῦσαι· ἀλλὰ πῶς; Εἰ ἐκοπίασαν, καὶ ἑτέροις μετέδωκαν· οὕτως ἔλυσαν τὸ ἁμάρτημα. Οὐχ ἁπλῶς ἡμᾶς ἐργάζεσθαι βούλεται, ἀλλ' ὥστε κοπιᾶν, ὥστε ἑτέροις μεταδιδόναι· καὶ γὰρ ὁ κλέπτων ἐργάζεται, ἀλλὰ κακόν. «Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. Τίς ἐστι σαπρός; Ὅν φησιν ἀλλαχοῦ καὶ ἀργόν, καταλαλιά, αἰσχρολογία, εὐτραπελία, μωρολογία. Ὁρᾷς πῶς τὰς ῥίζας ἐκκόπτει τῆς ὀργῆς, τὸ ψεῦδος, τὴν κλοπήν, τὴν ἄκαιρον διάλεξιν; Τὸ δέ, «Μηκέτι κλεπτέτω», οὐκ ἐκείνοις συγγινώσκων τοσοῦτόν φησιν, ὅσον τοὺς ἠδικημένους πράους καθιστῶν, καὶ τῷ μηκέτι τὰ αὐτὰ παθεῖν ἀρκεῖσθαι παραινῶν. Καλῶς δὲ καὶ περὶ λόγων διδάσκει. Οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ῥημάτων τίνομεν δίκας. «Ἀλλ' εἴ τις ἀγαθός», φησί, «πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι». Τουτέστιν, Ὅπερ οἰκοδομεῖ τὸν πλησίον, τοῦτο φθέγγου μόνον, περιττὸν δὲ μηδέν.

3. Διὰ τοῦτο γάρ σοι στόμα καὶ γλῶσσαν ἔδωκεν ὁ Θεός, ἵνα εὐχαριστῇς αὐτῷ, ἵνα οἰκοδομῇς τὸν πλησίον· ὡς ἐὰν καθαιρῇς τὴν οἰκοδομήν, βέλτιον σιγᾶν, καὶ μηδέποτε φθέγγεσθαι. Καὶ γὰρ χεῖρες τεχνίτου, ἀντὶ τοῦ τοὺς τοίχους ἐξυφαίνειν μαθοῦσαι καθαιρεῖν, ἐκκόπτεσθαι δίκαιαι ἂν εἶεν. Καὶ γὰρ ὁ Ψαλμῳδὸς τοῦτό φησιν· «Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια». Τοῦτο πάντων αἴτιον τῶν κακῶν, τὸ στόμα· μᾶλλον δὲ οὐ τὸ στόμα, ἀλλ' οἱ κακῶς αὐτῷ χρώμενοι. Ἐντεῦθεν ὕβρεις, λοιδορίαι, βλασφημίαι, ἐκκαύματα τῶν ἡδονῶν, φόνοι, μοιχεῖαι, κλοπαί, πάντα ἀπὸ τούτου τίκτεται. Καὶ πῶς, φησί, φόνοι; Ἀπὸ ὕβρεως εἰς

---

4. Ἐφ. 4, 29α.
5. Ἐφ. 4, 29β.
6. Ψαλμ. 11, 4.

Ὑπάρχουν δὲ καὶ μερικαὶ ποὺ προσθέτουν εἰς ὅλα αὐτὰ καὶ ὅρκους· δὲν ὑπάρχει ὅμως τίποτε τὸ αἰσχρότερον ἀπὸ τὴν γυναῖκα ποὺ ὀργίζεται κατ' αὐτὸν τὸν τρόπον. Τί λοιπόν, θὰ εἰπῇ, ἂν καλλωπίζεται; Ἐμπόδισε αὐτό, καὶ ἐγὼ συμφωνῶ· ἐμπόδισε δὲ αὐτήν, ἀρχίζων ἀπὸ τὸν ἑαυτόν σου, ὄχι τόσον μὲ τὸν φόβον ὅσον μὲ τὸ παράδειγμα· νὰ εἶσαι εἰς ὅλα ἡ πρότυπος εἰκών. «Καὶ κάθε βλασφημία», λέγει, «ἂς ἐξαφανισθῇ ἀπὸ σᾶς». Πρόσεχε πῶς ἔρχεται τὸ κακόν. Ἡ πικρία ἐγέννησε τὸν θυμόν, ὁ θυμὸς τὴν ὀργήν, ἡ ὀργὴ τὴν κραυγήν, ἡ κραυγὴ τὴν βλασφημίαν, δηλαδὴ τὰς ὕβρεις κατὰ τοῦ πλησίον· ἡ βλασφημία εἰς τὴν συνέχειαν τὰς πληγάς, αἱ πληγαὶ τὰ τραύματα, τὰ τραύματα φέρουν τὸν θάνατον. Ἀλλ' ὁ Παῦλος δὲν ἠθέλησε νὰ εἰπῇ τίποτε ἀπ' αὐτά, παρὰ μόνον τοῦτο, «Ἂς ἐξαφανισθῇ μαζὶ μὲ κάθε κακίαν». Τί σημαίνει; «Σὺν πάσῃ κακίᾳ»; Κάθε κακία δηλαδὴ εἰς τοῦτο τελειώνει. Διότι ὑπάρχουν μερικοί, ὅπως ἀκριβῶς οἱ σκύλοι, ποὺ δαγκώνουν κρυφὰ καὶ αὐτοὺς ποὺ πλησιάζουν δὲν τοὺς γαυγίζουν καθόλου, οὔτε τοὺς ἐμποδίζουν· σείοντες δὲ τὴν οὐρὰν καὶ δεικνύοντες πρᾶον σχῆμα, ἐὰν τοὺς εὕρουν νὰ εἶναι ἀφύλακτοι τοὺς καρφώνουν τὰ δόντια των· αὐτοὶ εἶναι περισσότερον ἐπικίνδυνοι ἀπὸ τοὺς ἐκδηλοῦντας φανερὰ τὸ μῖσος. Ἐπειδὴ λοιπὸν καὶ μερικοὶ ἄνθρωποι εἶναι σκύλοι καὶ ἀπειλοῦν χωρὶς νὰ φωνάζουν οὔτε νὰ ὀργίζωνται οὔτε νὰ προβάλλουν εἰς τοὺς ἄλλους ἐμπόδια, ἐξυφαίνοντες κρυφὰ δόλους καὶ ἐπινοοῦντες ἀμέτρητα κακὰ καὶ ἀνταποδίδοντες διὰ τῶν ἔργων, ὑπεδήλωσε καὶ αὐτούς. «Ἂς ἐξαφανισθῇ ἀπὸ σᾶς μαζὶ μὲ κάθε κακίαν», λέγει. Νὰ μὴ λυπῆσαι μὲν μὲ τὰ λόγια, νὰ ἐκδικῆσαι δὲ μὲ τὰ ἔργα. Ἐγὼ διὰ τοῦτο

αὐτῆς περιέκοψα, ἵνα μὴ τὸν πυρσὸν ἀνάψῃ σφοδρότερον· εἰ δὲ καὶ χωρὶς κραυγῆς τὰ αὐτὰ ποιεῖς, καὶ ἔνδον τρέφεις τὴν πυρὰν καὶ τοὺς ἄνθρακας, τί τὸ ὄφελος τῆς σιγῆς; Ἢ οὐκ οἶδας, ὅτι αἱ πυρκαϊαὶ μάλιστά εἰσι χαλεπώταται, αἵπερ ἂν ἔνδον τρεφόμεναι μὴ φαίνωνται τοῖς περιεστηκόσιν ἐκτός; καὶ τραύματα, ἅπερ ἂν μὴ εἰς τὴν ἐπιφάνειαν ἐξανθήσῃ; καὶ πυρετοὶ ὅσοι τὰ ἐντόσθια καίουσιν; Οὕτω καὶ ὀργὴ αὕτη χαλεπωτέρα ἡ τὴν ψυχὴν ἐπινεμομένη. Ἀλλὰ καὶ αὕτη ἀρθήτω, φησί, σὺν πάσῃ κακίᾳ, καὶ μικρᾷ καὶ μεγάλῃ.

Πειθώμεθα τοίνυν αὐτῷ, καὶ πᾶσαν πικρίαν καὶ πᾶσαν κακίαν ἐξαίρωμεν, ἵνα μὴ λυπῶμεν τὸ Πνεῦμα τὸ ἅγιον. Ἀνέλωμεν πρόρριζον τὴν πικρίαν, ἐκτέμωμεν αὐτήν· Οὐδὲν ἀγαθὸν ἀπὸ πικρᾶς γένοιτο ἂν ψυχῆς, οὐδὲν ὑγιές, πάντα συμφοραί, πάντα δάκρυα, πάντα θρῆνοι καὶ οἰμωγαί. Οὐχ ὁρᾶτε καὶ τῶν θηρίων ὅσα ἂν κράζῃ, πῶς ἀποστρεφόμεθα· οἷον τὸν λέοντα, τὴν ἄρκτον, ἀλλ' οὐχὶ τὸ πρόβατον; οὐ γάρ ἐστιν ἐκεῖ κραυγή, ἀλλὰ προσηνής τις φωνή. Καὶ τῶν ὀργάνων δὲ τῶν μουσικῶν, ὅσα μὲν ἂν κράζῃ, ἀηδέστερά ἐστι πρὸς τὸν φθόγγον, οἷον τύμπανα, σάλπιγγες· τὰ δὲ μὴ οὕτως, ἀλλὰ μαλάττοντα, ταῦτα ἡδέα, οἷον αὐλὸς καὶ κιθάρα καὶ σύριγγες. Οὕτως οὖν ἡμῶν τὴν ψυχὴν καταστήσωμεν, ὥστε μὴ κράζειν· καὶ οὕτω δυνησόμεθα καὶ τῆς ὀργῆς περιγενέσθαι· ταύτην δὲ ἐκκόψαντες, αὐτοὶ πρῶτοι τῆς γαλήνης ἀπολαύσομεν, καὶ εἰς τὸν εὔδιον πλευσόμεθα λιμένα· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐτιμώρησα τὴν γλῶσσαν καὶ περιέκοψα τὴν κραυγὴν αὐτῆς, διὰ νὰ μὴ ἀνάψῃ δυνατώτερα τὴν φλόγα. Ἐὰν ὅμως κάμνῃς τὰ ἴδια καὶ χωρὶς τὴν κραυγήν, καὶ διατηρῇς μέσα σου τὴν φωτιὰν καὶ τὰ κάρβουνα, ποῖον τὸ ὄφελος τῆς σιωπῆς; Μήπως δὲν γνωρίζεις, ὅτι αἱ πυρκαϊαὶ ἐκεῖναι εἶναι ὑπερβολικὰ ἐπικίνδυνοι, ποὺ ἐνῷ διατηροῦνται ἐσωτερικά, δὲν φαίνονται εἰς ἐκείνους ποὺ εὑρίσκονται γύρω ἀπὸ αὐτάς; καὶ ἀπὸ τὰ τραύματα ἐκεῖνα ποὺ δὲν ἐμφανίζουν ἐξανθήματα εἰς τὴν ἐπιφάνειαν τοῦ σώματος; καὶ οἱ πυρετοὶ ἐκεῖνοι ποὺ κατακαίουν τὰ ἐντόσθια; Ἔτσι καὶ ἡ ὀργὴ εἶναι περισσότερον ἐπικίνδυνος αὐτὴ ποὺ ἐπινέμεται τὴν ψυχήν. Ἀλλὰ καὶ αὐτὴ ἂς ἐξαφανισθῇ ἀπὸ σᾶς, λέγει, μαζὶ μὲ κάθε κακίαν, μικρὰν καὶ μεγάλην.

Ἂς ὑπακούωμεν λοιπὸν εἰς αὐτὸν καὶ ἂς ἀπομακρύνωμεν κάθε πικρίαν καὶ κάθε κακίαν, διὰ νὰ μὴ λυποῦμεν τὸ ἅγιον Πνεῦμα. Ἂς καταστρέψωμεν σύρριζα τὴν κακίαν, ἂς ἀποκόψωμεν αὐτήν. Δὲν εἶναι δυνατὸν νὰ προέλθῃ ἀπὸ κακὴν ψυχὴν κανὲν ἀγαθόν, τίποτε ὑγιές, ἀλλὰ τὰ πάντα συμφοραί, τὰ πάντα δάκρυα, τὰ πάντα θρῆνοι καὶ ὀδυρμοί. Δὲν βλέπετε καὶ ἀπὸ τὰ θηρία ὅσα φωνάζουν, πῶς τὰ ἀποστρεφόμεθα, ὅπως ἐπὶ παραδείγματι τὸ λεοντάρι, τὴν ἀρκούδαν, ὄχι ὅμως καὶ τὸ πρόβατον; διότι δὲν ὑπάρχει εἰς αὐτὸ κραυγή, ἀλλ' γλυκεῖα φωνή. Καὶ ἀπὸ τὰ μουσικὰ δὲ ὄργανα ὅσα μὲν συμβαίνει νὰ φωνάζουν δυνατά, εἶναι περισσότερον ἐνοχλητικὸς ὁ ἦχος των, ὅπως τὰ τύμπανα, αἱ σάλπιγγες· αὐτὰ ὅμως ποὺ δὲν φωνάζουν δυνατά, ἀλλὰ καταπραΰνουν, αὐτὰ εἶναι εὐχάριστα, ὅπως ὁ αὐλὸς καὶ ἡ κιθάρα καὶ αἱ φλογέραι. Ἑπομένως ἂς καταστήσωμεν ἔτσι τὴν ψυχήν μας, ὥστε νὰ μὴ κραυγάζῃ· καὶ ἔτσι θὰ ἠμπορέσωμεν νὰ νικήσωμεν καὶ τὴν ὀργήν· ἀφοῦ δὲ ἐξολοθρεύσωμεν αὐτήν, θὰ ἀπολαύσωμεν ἡμεῖς οἱ ἴδιοι πρῶτοι τὴν γαλήνην καὶ θὰ πλέωμεν εἰς τὸ γαλήνιον λιμάνι, τὸ ὁποῖον εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸ ὁποῖον ἀνήκει μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΣΤ΄
Ἐφ. 4, 31 - 32

«Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ᾿ ὑμῶν σὺν πάσῃ κακίᾳ. Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐχαρίσατο ὑμῖν».

1. Οὐκ ἀρκεῖ κακίας ἀπαλλαγῆναι, εἰ δεῖ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, ἀλλὰ δεῖ καὶ πολλῆς τῆς τῶν ἀρετῶν ἐργασίας. Ἵνα μὲν γὰρ γεέννης ἀπαλλαγῶμεν, ἀπέχεσθαι δεῖ πονηρίας· ἵνα δὲ βασιλείας ἐπιτύχωμεν, ἀντέχεσθαι τῆς ἀρετῆς. Ἢ οὐκ ἴστε, ὅτι καὶ ἐν τοῖς ἔξωθεν δικαστηρίοις, ὅταν ἐξέτασις ᾖ τῶν εἰργασμένων, καὶ ἐκκλησιάζῃ πᾶσα ἡ πόλις, οὕτω γίνεται; Καὶ γὰρ ἐπὶ τῶν ἔξωθεν ἔθος ἦν παλαιόν, χρυσῷ στεφανοῦσθαι στεφάνῳ, οὐ τὸν μηδὲν κακὸν ἐργασάμενον τὴν πόλιν· τοῦτο γὰρ αὐτὸ πρὸς τὸ μὴ δοῦναι δίκην ἀπόχρη μόνον· ἀλλὰ τὸν μεγάλας εὐεργεσίας ἐπιδειξάμενον. Οὕτως ἐπὶ ταύτην ἐχρῆν ἄγεσθαι τὴν τιμήν. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς μικροῦ δεῖν με παρέλαβεν ὃ μάλιστα πρὸς ὑμᾶς ἀναγκαῖον ἦν εἰπεῖν. Τῆς γὰρ διαιρέσεως ταύτης τὸ πρῶτον ἀνατίθεμαι μέρος, μικρᾷ τινι ἐπιδιορθώσει χρησάμενος. Ἐπειδὴ γὰρ ἔφην, πρὸς τὸ μὴ περιπεσεῖν γεέννῃ ὅτι τῶν κακῶν ἡμῖν ἡ ἀναχώρησις ἀρκεῖ, μεταξύ με λέγοντα ὑπεισῆλθέ τις ἀπειλὴ φοβερά, οὐ τοῖς κακόν

---

1. Ἐφ. 4, 31 - 32.

ΟΜΙΛΙΑ ΙΣΤ΄
Ἐφ. 4, 31 - 32

«Κάθε κακία καὶ θυμὸς καὶ ὀργὴ καὶ παράφορος κραυγὴ καὶ ὕβρις κατὰ τοῦ πλησίον ἂς ἐξαφανισθῇ ἀπὸ σᾶς, μαζὶ μὲ κάθε κακίαν. Γίνεσθε ὁ ἕνας πρὸς τὸν ἄλλον εὐεργετικοί, συμπονετικοί, συγχωρούμενοι μεταξύ σας, καθὼς καὶ ὁ Θεὸς σᾶς συνεχώρησεν»[1].

1. Διὰ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν, δὲν εἶναι ἀρκετὸν νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν κακίαν, ἀλλὰ πρέπει νὰ ἐφαρμόσωμεν εἰς μεγάλον βαθμὸν εἰς τὴν πρᾶξιν καὶ τὰς ἀρετάς. Διότι διὰ νὰ ἀπαλλαγῶμεν μὲν ἀπὸ τὴν γέεναν τοῦ πυρός, πρέπει ν' ἀπέχωμεν ἀπὸ τὴν κακίαν· διὰ νὰ ἐπιτύχωμεν ὅμως τὴν Βασιλείαν τῶν Οὐρανῶν, πρέπει νὰ εἴμεθα προσηλωμένοι εἰς τὴν ἐξάσκησιν τῆς ἀρετῆς. Ἢ δὲν γνωρίζετε ὅτι ἔτσι γίνεται καὶ εἰς τὰ δικαστήρια τῶν ἐθνικῶν ὅταν ἐξετάζωνται αὐτὰ ποὺ ἔχουν πραχθῆ, καὶ ὅταν συνέρχεται εἰς συνέλευσιν ὁλόκληρος ἡ πόλις; Διότι καὶ εἰς τοὺς εἰδωλολάτρας ἦτο παλαιὸν ἔθιμον νὰ στεφανώνεται μὲ χρυσὸν στεφάνι ἐκεῖνος ποὺ ἔκαμε μεγάλας εὐεργεσίας καὶ ὄχι ἐκεῖνος ποὺ δὲν διέπραξε κανένα κακὸν εἰς τὴν πόλιν, διότι αὐτὸ ἦτο ἀρκετὸν μόνον διὰ νὰ μὴ τιμωρηθῇ. Ἔτσι ἔπρεπε νὰ ὁδηγῆσθε πρὸς τὴν τιμὴν αὐτήν. Ἀλλὰ δὲν γνωρίζω πῶς μοῦ διέφυγεν ὀλίγον τὴν προσοχὴν ἐκεῖνο καὶ ἰδίως ἦτο ἀναγκαῖον νὰ σᾶς εἰπῶ. Εἰς τὴν διάκρισιν αὐτὴν ἀφιερώνω τὸ πρῶτον μέρος τῆς ὁμιλίας, χρησιμοποιῶν αὐτὸ ὡσὰν μικρὰν ἐπιδιόρθωσιν. Διότι, ἐπειδὴ εἶπα, ὅτι, διὰ νὰ μὴ πέσωμεν εἰς τὴν γέενναν, μᾶς ἀρκεῖ ἡ ἐξάλειψις τῶν κακῶν, κατὰ τὴν διάρκειαν τῆς ὁμιλίας μου ἦλθε μία φοβερὰ ἀπειλή, ἡ ὁποία δὲν ἐ-

τι τολμήσασι τὴν τιμωρίαν ἐπάγουσα, ἀλλὰ τοὺς ἐλλελοιπότας τι τῶν ἀγαθῶν κολάζουσα.

Τίς δὴ οὖν αὕτη ἐστί; Τῆς ἡμέρας, φησίν, ἐπιστάσης τῆς φοβερᾶς, καὶ παραγενομένης τῆς κυρίας, καθεσθεὶς ἐπὶ τοῦ βήματος ὁ Κριτής, καὶ τὰ μὲν πρόβατα στήσας ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ ἀριστερῶν, πρὸς μὲν τὰ πρόβατα ἔλεγε· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν». Τοῦτο καλῶς· ἔδει γὰρ αὐτοὺς τῆς τοιαύτης φιλανθρωπίας ταύτην λαβεῖν τὴν ἀντίδοσιν· τὸ μέντοι τοὺς μὴ μεταδόντας τοῖς δεομένοις ἐξ ὧν εἶχον αὐτοί, μὴ μέχρι τῆς τῶν ἀγαθῶν στερήσεως κολάζεσθαι, ἀλλὰ καὶ τῷ τῆς γεέννης παραπέμπεσθαι πυρί, ποῖον ἂν ἔχοι λόγον τοῦτο δή; Μάλιστα μὲν οὖν καὶ τοῦτο εὐπρόσωπον ἂν ἔχοι λόγον, οὐχ ἧττον ἢ ἐκεῖνο τὸ πρότερον. Διὰ γὰρ τούτου παιδευόμεθα, ὅτι οἱ μὲν τὰ ἀγαθὰ πράξοντες, τῶν ἐν τοῖς οὐρανοῖς ἀπολαύσονται ἀγαθῶν· οἱ δὲ ἐγκληθῆναι μὲν οὐδὲν ἔχοντες κακόν, ἐλλελοιπότες δέ τι τῶν ἀγαθῶν, μετὰ τῶν τὰ κακὰ ἐργασαμένων εἰς τὸ γεέννης ἀπαχθήσονται πῦρ. Εἰ μή τις ἐκεῖνο λέγοι, ὅτι καὶ τὸ ἀγαθὸν μὴ ποιῆσαι, κακίας μέρος ἐστίν· ἀργίας γὰρ τοῦτό ἐστιν, ἀργία δὲ κακίας μέρος· μᾶλλον δὲ οὐ μέρος, ἀλλὰ ὑπόθεσις καὶ ρίζα πονηρά· πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία. Μὴ τοίνυν ἀνοήτως ταύτας τὰς ἐρωτήσεις ἐρωτῶμεν, οἷον, ὁ μηδὲν πεποιηκὼς κακόν, μηδὲν ἀγαθόν, ποῖον δέξεται τόπον; Τὸ γὰρ μὴ ποιῆσαι ἀγαθόν, τοῦτο ποιῆσαί ἐστι κακόν. Εἰπὲ γάρ μοι, εἴ τινα οἰκέτην ἔχοις, μήτε κλέ-

2. Ματθ. 25, 34. 35.

πιφέρει τὴν τιμωρίαν εἰς ἐκείνους ποὺ ἔπραξαν κάποιο κακόν, ἀλλὰ τιμωρεῖ ἐκείνους ποὺ ἔχουν παραλείψει νὰ κάμουν κάποιο ἀγαθόν.

Ποία λοιπὸν εἶναι ἡ ἀπειλὴ αὐτή; Ὅταν ἐμφανισθῇ ἡ φοβερὰ ἡμέρα, λέγει, καὶ ἔλθῃ ἡ ἡμέρα τοῦ Κυρίου, ἀφοῦ καθήσῃ εἰς τὸν θρόνον ὁ Κριτὴς καὶ στήσῃ τοὺς μὲν δικαίους, ποὺ εἶναι ἥμεροι ὡσὰν τὰ πρόβατα, εἰς τὰ δεξιά του, τοὺς δὲ ἁμαρτωλούς, ποὺ εἶναι ἀτίθασσοι καὶ ἄτακτοι ὡσὰν τὰ γίδια, εἰς τὰ ἀριστερά του, θὰ εἰπῇ εἰς τοὺς δικαίους· «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, λάβετε ὡς κληρονομίαν τὴν Βασιλείαν, ποὺ ἔχει ἑτοιμασθῇ διὰ σᾶς, ἀφ' ὅτου ἐθεμελιώνετο ὁ κόσμος· διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω»[2]. Αὐτὸ εἶναι πολὺ σωστόν, διότι πρέπει αὐτοὶ νὰ λάβουν τὴν ἰδίαν ἀκριβῶς ἀνταπόδοσιν διὰ τὴν τόσον μεγάλην των φιλανθρωπίαν. Ἀλλὰ ποίαν δικαιολογίαν θὰ ἠμποροῦσε νὰ ἔχῃ τὸ νὰ μὴ τιμωροῦνται βέβαια μόνον μὲ τὴν στέρησιν τῶν ἀγαθῶν, ἀλλὰ καὶ ν' ἀποστέλλωνται εἰς τὸ πῦρ τῆς γεέννης ἐκεῖνοι, ποὺ δὲν μετέδωσαν εἰς τοὺς ἔχοντας ἀνάγκην, ἀπ' ἐκεῖνα ποὺ εἶχον αὐτοί; Μάλιστα μὲν καὶ αὐτὸ εἶναι δυνατὸν νὰ ἔχῃ εὔσχημον δικαιολογίαν ἐξ ἴσου μὲ ἐκεῖνο τὸ πρῶτον. Διότι μὲ αὐτὸ διδασκόμεθα, ὅτι ἐκεῖνοι μὲν ποὺ ἔπραξαν τὸ ἀγαθὸν θὰ ἀπολαύσουν τὰ ἀγαθὰ εἰς τοὺς οὐρανούς, ἐκεῖνοι δὲ ποὺ δὲν ἐκατηγορήθησαν ὅτι ἔχουν πράξει κακόν, ἔχουν ὅμως παραλείψει νὰ κάμουν κάποιο ἀγαθόν, θὰ ὁδηγηθοῦν εἰς τὸ πῦρ τῆς γεέννης μαζὶ μὲ ἐκείνους ποὺ ἔπραξαν τὸ κακόν. Ἴσως ὅμως, κάποιος ἤθελεν εἰπεῖ ἐκεῖνο, ὅτι καὶ τὸ νὰ μὴ κάνωμεν τὸ ἀγαθὸν εἶναι μέρος τῆς κακίας, διότι τοῦτο εἶναι ἀποτέλεσμα τῆς ἀργίας, ἡ δὲ ἀργία εἶναι μέρος τῆς κακίας· μᾶλλον δὲν εἶναι μέρος ἀλλὰ ἡ βάσις καὶ ἡ κακὴ ρίζα, διότι ἡ ἀργία μᾶς ἐδίδαξε κάθε κακίαν. Ἂς μὴ κάνωμεν λοιπὸν ἀνοήτως τὰς ἐρωτήσεις αὐτάς, ὅπως ἐπὶ παραδείγματι, ἐκεῖνος ποὺ δὲν ἔχει πράξει κανένα κακὸν ἢ κανένα ἀγαθόν, ποῖον τόπον θὰ λάβῃ; Καθ' ὅσον τὸ νὰ μὴ πράξῃ κανεὶς τὸ ἀγαθὸν ἰσοδυναμεῖ μὲ τὸ νὰ πράξῃ τὸ κακόν. Διότι, εἰπέ μου, ἐὰν ἔχῃς ἕνα

πιοντα, μήτε ὑβρίζοντα, μήτε ἀντιλέγοντα, ἀλλὰ καὶ μέθης κρατοῦντα καὶ τῶν ἄλλων ἁπάντων, καθήμενον δὲ διαπαντὸς ἀργόν, καὶ οὐδὲν τῶν ὀφειλόντων παρὰ οἰκέτου δεσπότῃ πληροῦσθαι ποιοῦντα, οὐ μαστιγώσεις, οὐ στρεβλώσεις αὐτόν; Ναί, φησί· καὶ μὴν οὐδὲν εἰργάσατο κακόν. Αὐτὸ μὲν οὖν τοῦτό ἐστι κακόν.

᾿Αλλ᾿, εἰ δοκεῖ, ἀγάγωμεν καὶ ἐπὶ τὸν λοιπὸν βίον τὸν λόγον. Ἔστω τις γεωργὸς καὶ μηδὲν λυμαινέσθω τοῖς ἡμετέροις ὑπάρχουσι, μήτε ἐπιβουλευέτω, μήτε κλεπτέτω, μόνον δὲ τὰς αὐτοῦ χεῖρας δήσας, οἴκοι καθεζέσθω μήτε σπείρων, μήτε αὔλακα τέμνων, μήτε βοῦς ὑποζευγνύς, μήτε ἄμπελον θεραπεύων, μήτε ἄλλο τι τῶν περὶ τὴν γῆν πονῶν· ἆρα οὐ κολάσομεν τὸν τοιοῦτον; Καίτοι γε οὐδὲν ἠδίκησεν, οὐδὲ ἔχομεν ἐγκαλεῖν αὐτῷ τι· ἀλλ᾿ αὐτῷ μὲν οὖν τούτῳ ἠδίκησεν· ἀδικεῖ γὰρ κοινῷ λόγῳ, τὴν παρ᾿ ἑαυτοῦ συντέλειαν μὴ παρεχόμενος. Τί δέ, εἰπέ μοι; ἂν τῶν δημιουργῶν ἕκαστος καὶ χειροτεχνῶν τὸν μὲν ἑτερότεχνον, ἀλλὰ μηδὲ τὸν ὁμότεχνον βλάπτῃ μηδέν, ἀργῇ δὲ μόνον, οὐχὶ ἀπόλωλεν ἅπας ὑμῖν ὁ βίος οὕτω καὶ διέφθαρται; Βούλει καὶ ἐπὶ τοῦ σώματος τὸν λόγον ἑλκύσωμεν; Οὐκοῦν ἡ χεὶρ μὴ πληττέτω τὴν κεφαλήν, μηδὲ ἐκκοπτέτω τὴν γλῶσσαν, μηδὲ ἐξορυττέτω τὸν ὀφθαλμόν, μηδὲ ἄλλο τι τοιοῦτον ἐργαζέσθω κακόν· μόνον δὲ ἀργὴ μενέτω, καὶ τὴν παρ᾿ ἑαυτῆς λειτουργίαν μὴ πληρούτω τῷ παντὶ σώματι· ἆρα οὐκ ἄξιον ἐκκοπῆναι αὐτήν, ἢ περιφέρειν ἀργοῦσαν, καὶ παντὶ λυμαινομένην τῷ σώματι; Τί δέ; ἂν τὸ στόμα μὴ κατεσθίῃ τὴν χεῖρα, μηδὲ δάκνῃ τὸ στῆθος, τὰ δὲ παρ᾿ ἑαυτοῦ πάντα ἐλλείπῃ, οὐ βέλτιον ἐμπεφράχθαι μᾶλλον; Εἰ τοίνυν καὶ ἐπὶ τῶν οἰκετῶν, καὶ ἐπὶ τῶν δημιουργῶν, καὶ ἐπὶ τοῦ σώματος παντὸς ἀδικία μεγά-

ὑπηρέτην, ποὺ οὔτε κλέπτει, οὔτε ὑβρίζει, οὔτε ἀντιλέγει, ἀλλὰ καὶ τὴν μέθην καὶ ὅλα τὰ ἄλλα πάθη νικᾳ, συνέχεια ὅμως κάθεται ἀργὸς καὶ δὲν κάμνει καμμίαν ἀπὸ τὰς ὑποχρεώσεις ποὺ ὀφείλει νὰ ἐκπληρώσῃ πρὸς τὸν κύριόν του ὁ ὑπηρέτης, δὲν θὰ τὸν μαστιγώσῃς, δὲν θὰ τὸν βασανίζῃς αὐτόν; Ναί, θὰ εἰπῇς· καθ' ὅσον δὲν ἔκαμε κανένα κακόν. Καὶ ὅμως αὐτὸ τὸ ἴδιο εἶναι κακόν.

'Αλλ' ἐὰν θέλετε, ἂς φέρωμεν τὸν λόγον καὶ εἰς τὸν ὑπόλοιπον βίον. Ἂς ὑποτεθῇ ὅτι κάποιος εἶναι γεωργός, καὶ δὲν καταστρέφει καθόλου τὰ ἰδικά μας ὑπάρχοντα, οὔτε τὰ ἐπιβουλεύεται, οὔτε κλέπει· μόνον, ἀφοῦ δέσῃ τὰ χέρια του, κάθεται εἰς τὸ σπίτι του χωρὶς νὰ σπείρῃ, οὔτε αὐλάκι νὰ ὀργώνῃ, οὔτε τὰ βόδια νὰ θέτῃ ὑπὸ ζυγόν, οὔτε ἀμπέλι νὰ καλλιεργῇ, οὔτε νὰ κοπιάζῃ διὰ κάτι ἄλλο σχετικὸν μὲ τὴν γῆν· ἆρά γε δὲν θὰ τὸν τιμωρήσωμεν; Ἂν καὶ βέβαια δὲν ἔπραξε κανένα ἀδίκημα, οὔτε ἠμποροῦμεν νὰ κατηγορήσωμεν αὐτὸν διὰ κάτι· ἀλλ' ὅμως ἔπραξεν ἀδίκημα εἰς αὐτὸν τὸν ἴδιον, διότι μὲ τὸν κοινὸν λόγον ἀδικεῖ, ἐπειδὴ δὲν προσφέρει τὴν ἰδικήν του προσπάθειαν. Καὶ τί θὰ συμβῇ, εἰπέ μου, ἂν καθένας χωριστὰ τεχνίτης καὶ ἐργάτης δὲν βλάπτῃ καθόλου οὔτε αὐτὸν ποὺ ἔχει ἄλλην τέχνην, οὔτε ἐκεῖνον ποὺ ἔχει τὴν ἰδίαν, ἀλλὰ μόνον μένει ἀργός, δὲν θὰ εἶχε χαθῇ ὅλος σας ὁ βίος ἔτσι καὶ δὲν θὰ εἶχε καταστραφῇ τελείως; Θέλετε νὰ μεταφέρωμεν τὸν λόγον καὶ εἰς τὸ σῶμα μας; Ἂς ὑποτεθῇ λοιπόν, ὅτι τὸ χέρι δὲν κτυπᾳ τὸ κεφάλι, οὔτε κόπτει τὴν γλῶσσαν, οὔτε βγάζει τὸ μάτι, οὔτε κάνει κανένα παρόμοιον κακόν· μόνον δὲ παραμένει ἀργὸν καὶ δὲν ἐκπληρώνει τὴν ὑποχρέωσίν του πρὸς ὅλον τὸ σῶμα· ἆρά γε δὲν ἀξίζει νὰ κοπῇ αὐτὸ παρὰ νὰ τὸ περιφέρωμεν χωρὶς νὰ ἐργάζεται καὶ νὰ καταστρέφῃ ὅλον τὸ σῶμα; Τί δέ, ἂν τὸ στόμα δὲν κατατρώγῃ τὸ χέρι, οὔτε δαγκώνῃ τὸ στῆθος, παραλείπῃ ὅμως τὰς ὑποχρεώσεις του ὅλας, δὲν εἶναι προτιμότερον μᾶλλον νὰ εἶναι κλεισμένον; Ἑπομένως ἐὰν καὶ εἰς τὴν περίπτωσιν τῶν ὑπηρετῶν καὶ τῶν τεχνιτῶν καὶ ὅλου τοῦ σώματος εἶναι ἀδίκημα μεγάλον, ὄχι μόνον τὸ νὰ πράξῃ κανεὶς κάτι

λη, οὐ μόνον τὸ κακόν τι πρᾶξαι, ἀλλὰ καὶ ἡ τῶν ἀγαθῶν ἔλλειψις, πολλῷ μᾶλλον ἐπὶ τοῦ σώματος τοῦ Χριστοῦ τοῦτο γένοιτ' ἄν.

2. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀπάγων ἡμᾶς τῆς πονηρίας, ἄγει πρὸς τὴν ἀρετήν. Τί γὰρ ὄφελος, εἰπέ μοι, τὰς ἀκάνθας ἐκκοπῆναι πάσας, ἂν τὰ χρηστὰ μὴ καταβάληται σπέρματα; Εἰς γὰρ τὴν αὐτὴν περιστήσεται πάλιν ζημίαν ἡμῖν ὁ πόνος μείνας ἀτελής. Διά τοι τοῦτο καὶ ὁ Παῦλος σφόδρα κηδόμενος ἡμῶν, οὐ μέχρι τῆς τῶν κακῶν ἐκκοπῆς καὶ ἀναιρέσεως ἵστησι τὰ παραγγέλματα, ἀλλὰ καὶ ταχὺ τῶν ἀγαθῶν τὴν καταφύτευσιν ἐπιδείκνυσθαι προτρέπει. Εἰπὼν γάρ, «Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ», ἐπήγαγε· «Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι χαριζόμενοι ἑαυτοῖς». Ἕξεις γάρ εἰσιν αὗται καὶ διαθέσεις. Καὶ οὐκ ἀρκεῖ ἡ τῆς ἑτέρας ἀπαλλαγὴ εἰς τὴν τῆς ἑτέρας ἡμᾶς ἕξιν καταστῆσαι πάλιν, ἀλλὰ δεῖ πάλιν κινήσεώς τινος καὶ ὁρμῆς οὐκ ἐλάττονος τῆς ἐν τῇ φυγῇ τῶν κακῶν, ὥστε γενέσθαι ἐν τῇ κτήσει τῶν ἀγαθῶν. Καὶ ἐπὶ τοῦ σώματος ὁ μέλας ἂν ἀπαλλαγῇ τῆς ποιότητος ταύτης, οὐκ εὐθέως γίνεται λευκός. Μᾶλλον δὲ μὴ ἐπὶ τῶν φυσικῶν τὸν λόγον γυμνάσωμεν, ἀλλ' ἐπὶ τῶν κατὰ προαίρεσιν τὸ παράδειγμα παραγάγωμεν. Ὁ μὴ ἐχθρὸς οὐ πάντως φίλος ἐστίν, ἀλλ' ἔστι τι μέσον, ὃ μήτε ἔχθρας, μήτε φιλίας ἐστίν, ἐν ᾧ μάλιστα οἱ πλείους τῶν ἀνθρώπων καθεστήκασι πρὸς ἡμᾶς. Ὁ μὴ δακρύων, οὐ πάντως καὶ γελᾷ, ἀλλ' ἔστι μέση κατάστασις. Οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ὁ μὴ πικρὸς πάντως

κακόν, ἀλλὰ καὶ ἡ παράλειψις τῶν ἀγαθῶν, πολὺ περισσότερον τοῦτο θὰ ἠμποροῦσε νὰ γίνῃ εἰς τὴν περίπτωσιν τοῦ σώματος τοῦ Χριστοῦ.

2. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος, ὁδηγῶν ἡμᾶς μακρὰν ἀπὸ τὴν κακίαν, μᾶς φέρει πρὸς τὴν ἀρετήν. Διότι, εἰπέ μου, ποῖον εἶναι τὸ κέρδος νὰ κοποῦν σύρριζα ὅλα τὰ ἀγκάθια, ἂν δὲν σπαροῦν τὰ χρήσιμα σπέρματα; Διότι εἰς τὴν ἰδίαν πάλιν ζημίαν καταντᾷ δι' ἡμᾶς ὁ κόπος, ἐὰν παραμείνῃ ἀτελής. Διὰ τοῦτο λοιπὸν καὶ ὁ Παῦλος, ἐπειδὴ μᾶς φροντίζει πάρα πολύ, δὲν σταματᾷ τὰ παραγγέλματά του μέχρι τὴν ἀποκοπὴν καὶ καταστροφὴν τῶν κακῶν, ἀλλὰ καὶ προτρέπει νὰ ἐπιδεικνύωμεν γρήγορα τὴν φύτεσιν τῶν ἀγαθῶν. Διότι ἀφοῦ εἶπε· «Κάθε κακία καὶ θυμὸς καὶ ὀργὴ καὶ παράφορος κραυγή, καὶ ὕβρις κατὰ τοῦ πλησίον ἂς ἐξαφανισθῇ ἀπὸ σᾶς», προσέθεσε· «Γίνεσθε ὁ ἕνας πρὸς τὸν ἄλλον εὐεργετικοί, συμπονετικοί, συγχωρούμενοι μεταξύ σας». Διότι αὐταὶ εἶναι ἕξεις καὶ διαθέσεις. Καὶ δὲν ἀρκεῖ ἡ ἀπαλλαγὴ τῆς μιᾶς νὰ μᾶς φέρῃ πάλιν εἰς τὴν κατάστασιν τῆς ἄλλης, ἀλλὰ χρειάζεται πάλιν κάποια προσπάθεια καὶ ὁρμὴ εἰς τὴν ἀπόκτησιν τῶν ἀγαθῶν, ὄχι μικροτέρα ἀπὸ τὴν ὁρμὴν ποὺ γίνεται εἰς τὴν ἀποφυγὴν τῶν κακῶν. Καὶ εἰς τὴν περίπτωσιν τοῦ σώματος ὁ μελαψὸς δὲν γίνεται ἀμέσως λευκός, ἂν ἀπαλλαγῇ ἀπὸ τὴν φύσιν του αὐτήν. Ἀλλὰ καλύτερα ἂς μὴ ταλαιπωρήσωμεν τὸν λόγον εἰς τὰ συμβαίνοντα ἐκ φύσεως, ἀλλ' ἂς φέρωμεν τὸ παράδειγμα εἰς τὰ ὅσα συμβαίνουν κατὰ προαίρεσιν. Ἐκεῖνος ποὺ δὲν εἶναι ἐχθρός, δὲν εἶναι ὁπωσδήποτε φίλος, ἀλλ' ὑπάρχει κάποιο ἐνδιάμεσον σημεῖον, τὸ ὁποῖον δὲν εἶναι ἐκδήλωσις οὔτε τῆς ἔχθρας οὔτε τῆς φιλίας, μέσα εἰς τὸ ὁποῖον ἔχουν τοποθετηθῇ οἱ περισσότεροι ἄνθρωποι ὅσον ἀφορᾷ τὰς σχέσεις των πρὸς ἡμᾶς. Ἐκεῖνος ποὺ δὲν κλαίει, ὁπωσδήποτε καὶ δὲν γελᾷ, ἀλλ' ὑπάρχει ἡ ἐνδιάμεσος κατάστασις. Ἔτσι λοιπὸν συμβαίνει καὶ εἰς τὴν περίπτωσιν αὐτήν· δὲν εἶναι ὁπωσδήποτε εὐεργετικὸς ἐκεῖνος ποὺ δὲν εἶναι κακός, οὔτε ὁπωσδήποτε συμπονετικὸς ἐκεῖ-

χρηστός, οὐδὲ ὁ μὴ θυμώδης πάντως εὔσπλαγχνος· ἀλλὰ δεῖ πάλιν ἑτέρας σπουδῆς, ὥστε κτήσασθαι τοῦτο τὸ καλόν.

Καὶ θέα πῶς κατὰ νόμον ἀρίστης γεωργίας ὁ μακάριος Παῦλος τὴν ἐμπιστευθεῖσαν αὐτῷ γῆν παρὰ τοῦ Γεωργοῦ διακαθαίρει τε καὶ ἐργάζεται. Ἀνεῖλε τὰ νόθα σπέρματα, παρακαλεῖ λοιπόν, ὥστε κατασχεῖν τὰ γνήσια φυτά. «Γίνεσθε χρηστοί», φησίν. Ἂν γὰρ τῶν ἀκανθῶν ἀνασπασθεισῶν μένῃ ἡ χώρα ἀργοῦσα, ἀνοήτους πάλιν οἴσει βοτάνας. Διὸ τὴν σχολὴν αὐτῆς καὶ τὴν ἀργίαν προκαταλαμβάνειν δεῖ τῇ τῶν ἀγαθῶν σπερμάτων τε καὶ φυτῶν καταβολῇ. Ἀνεῖλεν ὀργήν, ἔθηκε χρηστότητα· ἀνεῖλε πικρίαν, ἔθηκεν εὐσπλαγχνίαν· ἐξέτεμε κακίαν καὶ βλασφημίαν, ἐφύτευσε συγγνώμην· τὸ γάρ, «Χαριζόμενοι ἑαυτούς», τοῦτό ἐστι. Συγγνωμικοί, φησί, γίνεσθε. Μείζων γὰρ αὕτη ἡ χάρις τῆς ἐν τοῖς χρήμασιν. Ὁ μὲν γὰρ χρήματα ἀφιεὶς τῷ δανεισαμένῳ παρ' αὐτοῦ, καινὸν μὲν ἐργάζεται ἔργον καὶ θαυμαστόν, πλὴν ἀλλὰ μέχρι τοῦ σώματος ἡ χάρις, εἰ καὶ ἑαυτῷ τὴν ἀμοιβὴν ἐν τοῖς πνευματικοῖς καὶ τοῖς κατὰ ψυχὴν ἀποδίδωσι δώροις· ὁ δὲ ἁμαρτήματα χαρισάμενος, τήν τε ψυχὴν ὠφέλησε τὴν ἑαυτοῦ καὶ τὴν ἐκείνου τοῦ τῆς συγγνώμης τυχόντος· οὐ γὰρ ἑαυτὸν μόνον τούτῳ τῷ τρόπῳ, ἀλλὰ κἀκεῖνον ἐπιεικέστερον ἐποίησεν. Οὐ γὰρ οὕτως ἐπεξερχόμενοι τοῖς ἠδικηκόσιν ἡμᾶς, ὡς συγχωροῦντες δάκνομεν αὐτῶν τὰς ψυχάς, ἐντρέποντες καὶ δυσωποῦντες.

Ἐκείνως μὲν γὰρ οὔτε ἡμᾶς αὐτούς, οὔτε ἐκείνους ὠνήσαμεν, ἀλλ' ἀμφοτέρους ἐβλάψαμεν, αὐτοί τε τὸ ἀνταπόδομα διώξαντες κατὰ τοὺς παρὰ Ἰουδαίοις ἄρχοντας, καὶ τὸν ἐν ἐκείνοις ἐκκαύσαντες θυμόν· ἂν δὲ ἐπιεικείᾳ τὴν ἀδικίαν ἀμειψώμεθα, πᾶσαν αὐτοῦ τὴν ὀργὴν ἐκλύσαντες,

νος πού δὲν θυμώνει˙ χρειάζεται ὅμως πάλιν ἄλλη προσπάθεια, διὰ νὰ ἀποκτήσωμεν τοῦτο τὸ καλόν.

Καὶ πρόσεχε πῶς κατὰ τὸν νόμον τῆς ἀρίστης γεωργίας ὁ μακάριος Παῦλος καὶ καθαρίζει καὶ καλλιεργεῖ τὴν γῆν, πού ἐνεπιστεύθη εἰς αὐτὸν ὁ Γεωργός. Κατέστρεψε τὰ νοθευμένα σπέρματα, εἰς τὴν συνέχειαν παρακαλεῖ, διὰ νὰ κρατήσωμεν ὡς ὠφέλιμα τὰ γνήσια φυτά. «Γίνεσθε εὐεργετικοί», λέγει. Διότι, ἂν ὁ τόπος παραμένῃ ἀκαλλιέργητος, ἀφοῦ ἐκριζωθοῦν τὰ ἀγκάθια, θὰ βλαστήσῃ πάλιν ἄχρηστα χόρτα. Διὰ τοῦτο πρέπει νὰ προλαμβάνωμεν τὴν ἀργίαν καὶ ἀπραξίαν αὐτῆς μὲ τὸ φύτευμα ὠφελίμων σπερμάτων καὶ φυτῶν. Ἐξήλειψε τὴν ὀργήν, ἐτοποθέτησε τὴν καλωσύνην˙ ἐξήλειψε τὴν πικρίαν, ἔθεσε τὴν εὐσπλαγχνίαν˙ ἀπέκοψε τὴν κακίαν καὶ βλασφημίαν, ἐφύτευσε τὴν συγγνώμην, διότι τὸ «χαριζόμενοι ἑαυτοῖς», αὐτὸ σημαίνει. Γίνεσθε συγχωρητικοί, λέγει. Ἡ χάρις αὐτὴ εἶναι μεγαλυτέρα ἀπὸ τὴν χάριν εἰς τὴν περίπτωσιν τῶν χρημάτων. Διότι αὐτὸς μὲν πού ἄφησε χρήματα εἰς ἐκεῖνον πού τὰ ἐδανείσθη ἀπ' αὐτόν, κάμνει μὲν ἔργον πρωτάκουστον καὶ ἀξιοθαύμαστον, ἀλλ' ὅμως ἡ χάρις εἶναι μέχρι τὸ σῶμα, ἂν καὶ ἀποφέρει εἰς τὸν ἑαυτόν του τὴν ἀμοιβὴν εἰς τὰ πνευματικὰ καὶ τῆς ψυχῆς τὰ δῶρα. Ἐκεῖνος ὅμως πού συνεχώρησεν ἁμαρτήματα καὶ τὴν ἰδικήν του ψυχὴν ὠφέλησε καὶ τὴν ψυχὴν ἐκείνου πού ἔλαβε τὴν συγγνώμην, διότι ὄχι μόνον τὸν ἑαυτόν του, ἀλλὰ καὶ ἐκεῖνον ἔκαμε ἐπιεικέστερον μὲ τὸν τρόπον αὐτόν. Διότι ὅταν τιμωροῦμεν αὐστηρὰ ἐκείνους πού μᾶς ἔχουν ἀδικήσει, δὲν θλίβομεν τόσον τὰς ψυχάς των, ὅπως ὅταν συγχωροῦμεν, ἐλέγχωμεν καὶ κατεντροπιάζωμεν αὐτούς.

Κατὰ τὸν τρόπον λοιπὸν ἐκεῖνον δὲν ὠφελήσαμεν οὔτε ἡμᾶς τοὺς ἰδίους, οὔτε ἐκείνους, ἀλλ' ἐβλάψαμεν καὶ τοὺς δύο, ἐπειδὴ μόνοι μας ἐπεδιώξαμεν τὴν ἀνταπόδοσιν κατὰ τοὺς ἄρχοντας τῶν Ἰουδαίων καὶ ἐξήψαμεν τὸν θυμόν, πού ὑπῆρχεν εἰς ἐκείνους. Ἂν ὅμως ἀνταμείψωμεν τὴν ἀδικίαν μὲ τὴν ἐπιείκειαν, ἀφοῦ ἐξαλείψωμεν ὅλην τὴν ὀργήν του, ἐστήσαμεν πλησίον του δικαστήριον, τὸ ὁποῖον

ἐκαθίσαμεν παρ' αὐτῷ δικαστήριον ἡμῖν φέρον τὰς ψήφους, καταδικάζον αὐτὸν χαλεπώτερον ἢ ἡμεῖς. Καταγνώσεται γὰρ αὐτοῦ καὶ καταψηφιεῖται, καὶ πᾶσαν ζητήσει πρόφασιν, δι' ἧς ἀποτίσει τὸ δανεισθὲν τῆς μακροθυμίας μέρος μετὰ πλείονος τοῦ μέτρου, εἰδὼς ἂν μὲν τὸ ἴσον ἀποδῷ, καὶ οὕτως ἠλάττωται, τῷ μὴ αὐτὸς ἄρξασθαι, ἀλλὰ τῷ παρ' ἡμῶν τὸ ὑπόδειγμα λαβεῖν ἔλαττον φέρειν. Σπουδάσει τοίνυν ὑπερβαλέσθαι τῷ μέτρῳ, ἵνα τὴν ἐλάττωσιν, ἣν ἐκ τοῦ δεύτερος ἐλθεῖν ἐπὶ τὴν ἀνταπόδοσιν ὑπέμεινε, τῇ τῆς ἀνταποδόσεως ὑπερβολῇ κατακρύψῃ, καὶ τὴν ἀπὸ τοῦ χρόνου γενομένην αὐτῷ ἐλάττωσιν τοῦ προτέρου παθόντος κακῶς, ταύτην ἀπὸ τῆς καθ' ὑπερβολὴν ἐπιεικείας κοινὴν ἐργάσηται. Οἱ γὰρ ἄνθρωποι, ὅταν εὐγνώμονες ὦσιν, οὐχ οὕτως ἐπὶ τοῖς κακοῖς, ὡς ἐπὶ τοῖς ἀγαθοῖς, οἷς ἂν εὖ πάσχωσι παρὰ τῶν ἠδικημένων, στένουσι. Τὸ μὲν γὰρ κακίας, τὸ δὲ καὶ ὀνείδους καὶ γέλωτος μεστόν, τὸν εὖ παθόντα μὴ ἀντευποιεῖν. Τοῦτο μὲν γὰρ ἔπαινον ἔχει καὶ κρότους παρὰ πάντων καὶ εὐφημίας, τὸ κακῶς παθόντα μὴ ἀντεπεξελθεῖν. Διὰ τοῦτο μάλιστα τούτῳ δάκνονται. Ὥστε, εἰ βούλει ἀμύνασθαι, τούτῳ ἀμύνου τῷ τρόπῳ· κακοῖς ἀγαθὰ ἀνταπόδος, ἵνα αὐτὸν καὶ ὀφειλέτην καταστήσῃς, καὶ νικήσῃς νίκην θαυμαστήν. Ἔπαθες κακῶς; Ποίησον καλῶς, οὕτως ἀμύνου τὸν ἐχθρόν. Ἂν μὲν γὰρ ἐπεξέλθῃς, ὁμοίως καὶ σὲ κἀκεῖνον ἅπαντες μέμφονται· ἂν δὲ ἐνέγκῃς, ἑτέρως σε μὲν κροτήσουσι καὶ θαυμάσονται, ἐκεῖνον δὲ κατηγορήσουσι .

3. Τί δὲ ἐχθρῷ γένοιτο ἂν μεῖζον τοῦ τὸν ἐχθρὸν ἰδεῖν παρὰ πάντων θαυμαζόμενον καὶ κρατούμενον; τί ἐχθρῷ

παρέχει εἰς ἡμᾶς τὰς ψήφους καὶ καταδικάζει αὐτὸν αὐστηρότερα παρὰ ἡμεῖς. Θὰ κατηγορήση λοιπὸν αὐτὸν καὶ θὰ τὸν καταδικάση καὶ θὰ τοῦ ζητήση κάθε δικαιολογίαν, μὲ τὴν ὁποίαν θὰ ἀνταποδώση τὸ δανεισθὲν μέρος τῆς μακροθυμίας μὲ περισσότερον μέτρον, γνωρίζων ὅτι ἂν μὲν ἀποδώση τὸ ἴσον καὶ ἔτσι ἔχει γίνει μικρότερος, ὄχι ἐπειδὴ αὐτὸς ἤρχισε πρῶτος, ἀλλ' ἐπειδὴ ἔλαβεν ἀπὸ ἡμᾶς τὸ παράδειγμα νὰ φέρῃ τὸ ὀλιγώτερον. Θὰ προσπαθήση λοιπὸν νὰ ὑπερβάλῃ κατὰ τὸ μέτρον, διὰ νὰ ἀποκρύψῃ τὴν μείωσιν, τὴν ὁποίαν ὑπέμεινεν ἀπὸ τὸ ὅτι ἦλθε δεύτερος εἰς τὴν ἀνταπόδοσιν, μὲ τὴν ὑπερβολὴν τῆς ἀνταποδόσεως, καὶ τὴν μείωσιν ποὺ ἔγινεν εἰς αὐτὸν ἀπὸ τὴν κακὴν μεταχείρισιν κατὰ τὸν προηγούμενον χρόνον, αὐτὴν θὰ τὴν κάμῃ συνηθισμένην ἀπὸ τὴν ὑπερβολικὴν ἐπιείκειαν. Διότι οἱ ἄνθρωποι, ὅταν εἶναι εὐγνώμονες, δὲν στενάζουν τόσον διὰ τὰ κακά, ὅσον διὰ τὰ ἀγαθά, μὲ τὰ ὁποῖα εὐεργετοῦνται ἀπ' ἐκείνους ποὺ ἔχουν ἀδικήσει. Τὸ νὰ μὴ ἀνταποδίδῃ τὴν εὐεργεσίαν ἐκεῖνος ποὺ ἔχει εὐεργετηθῆ, ἀφ' ἑνὸς μὲν εἶναι ἐκδήλωσις τῆς κακίας, ἀφ' ἑτέρου δὲ ἐπισύρει μομφὴν καὶ χλευασμόν. Ἐκεῖνο ὅμως ποὺ ἐπιφέρει πράγματι ἔπαινον καὶ ἐπιδοκιμασίαν καὶ εὐφημίαν ἀπὸ ὅλους εἶναι αὐτό, δηλαδὴ τὸ νὰ μὴ ἀνταποδίδῃ κανεὶς καὶ ἂν ἀκόμη ὑπέστη κακὴν μεταχείρισιν. Διὰ τοῦτο θλίβονται πρὸ πάντων μὲ αὐτό. Ἑπομένως, ἂν θέλῃς νὰ ἐκδικηθῇς, ἐκδικήσου μὲ τὸν τρόπον αὐτόν· εἰς τὰ κακὰ ἀνταπόδωσε ἀγαθά, διὰ νὰ κάμῃς αὐτὸν καὶ ὀφειλέτην καὶ διὰ νὰ ἐπιτύχῃς μίαν θαυμασίαν νίκην. Ὑπέστης κακὴν μεταχείρισιν, εὐεργέτησε, ἀπόκρουσε τὸν ἐχθρὸν κατ' αὐτὸν τὸν τρόπον. Διότι ἂν μὲν ἀνταποδώσῃς, ὅλοι σὲ κατακρίνουν ἔτσι ὅπως καὶ ἐκεῖνον· ἂν ὅμως ὑπομείνῃς, διαφορετικὰ θὰ σὲ ἐπιδοκιμάσουν καὶ θὰ σὲ θαυμάσουν, ἐκεῖνον ὅμως θὰ τὸν κατηγορήσουν.

3. Καὶ τί θὰ ἠμποροῦσε νὰ συμβῇ χειρότερον εἰς ἐχθρὸν ἀπὸ τὸ νὰ ἰδῇ τὸν ἐχθρόν του νὰ θαυμάζεται καὶ νὰ ἐπιδοκιμάζεται ἀπὸ ὅλους τοὺς ἀνθρώπους; τί εἶναι εἰς τὸν ἐχθρὸν πικρότερον ἀπὸ τὸ νὰ βλέπῃ τὸν ἑαυτόν

πικρότερον τοῦ ἑαυτὸν θεάσασθαι παρὰ πάντων ὑβριζόμενον ἐπ᾽ ὄψεσι τοῦ ἐχθροῦ; Ἐὰν αὐτὸν ἀμύνῃ, καὶ κατεγνώσθης ἴσως, καὶ σὺ μόνος ἠμύνω· ἂν δὲ ἀφῇς, ἀντὶ σοῦ πάντες ἀμυνοῦνται αὐτόν· ὅπερ τοῦ παθεῖν κακῶς χαλεπώτερον, τὸ τὸν ἐχθρὸν τοσούτους τοὺς ἀμύνοντας ἔχειν. Ἂν ἀνοίξῃς σὺ τὸ στόμα, ἐκεῖνοι σιγήσονται· ἂν δὲ σιγήσῃς, οὐκέτι ἑνὶ στόματι, ἀλλὰ μυρίοις τοῖς τῶν ἄλλων αὐτὸν βάλλεις, καὶ μᾶλλον ἀμύνῃ. Καὶ σὺ μὲν ὑβρίζοντι πολλοὶ καὶ ἐγκαλῶσιν· ἐροῦσι γὰρ τοῦ πάθους εἶναι τὰ ῥήματα· ὅταν δὲ ὁ μηδὲν ἠδικημένος οὕτως αὐτὸν πλύνῃ ταῖς ὕβρεσι, τότε μάλιστα καθαρὰ πάσης ὑποψίας ἡ ἄμυνα. Ὅταν γὰρ οἱ μηδὲν παθόντες δεινόν, διὰ τὴν ὑπερβολὴν τῆς σῆς ἐπιεικείας ὡς ἠδικημένοι συναλγῶσι καὶ συμπάσχωσι, πάσης ὑποψίας καθαρὰ αὕτη ἡ ἐκδικία.

Τί οὖν, ἂν μηδεὶς ἀμύνηται; φησίν. Οὐκ ἔστιν εἶναι λιθίνους ἀνθρώπους, ὡς τοσαύτην φιλοσοφίαν ὁρῶντας μὴ θαυμάσαι· κἂν μὴ τότε ἀμύνωσιν, ὕστερον ὅμως ἐν καταστάσει γενόμενοι, τοῦτο ἐργάσονται, σκώπτοντες ἐκεῖνον καὶ λοιδοροῦντες. Κἂν ἕτερος δὲ μηδεὶς θαυμάσῃ, αὐτός σε ἐκεῖνος πάντως θαυμάσεται, κἂν μὴ λέγῃ. Ἡ γὰρ τοῦ καλοῦ κρίσις ἡμῖν, κἂν εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον ἔλθωμεν, ἀδέκαστος καθέστηκεν, οὐ παρακλινομένη. Ἢ διὰ τί τὸν Κύριον ἡμῶν οἴει τὸν Χριστὸν ταῦτα λέγειν, «Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»; οὐκ ἐπειδὴ ὅσῳ ἐάν τις μακρόθυμος γένηται, τοσούτῳ μᾶλλον καὶ ἑαυτὸν κἀκεῖνον ὠφέλησεν ὠφέλειαν τὴν μεγίστην; Διὰ τοῦτο στρέφειν καὶ τὴν ἄλλην προσέταξεν, ἵνα ἐμπλήσῃ τὴν ἐπιθυμίαν τοῦ θυμουμένου. Τίς γὰρ οὕτω θηρίον ἐστίν, ὡς μὴ ἐντραπῆναι λοιπόν; Οἱ κύνες λέγονται τοῦτο ποιεῖν· κἂν γὰρ ὑλακτήσωσι, καὶ ἐπέλθωσι

3. Ματθ. 5, 39.

του νὰ ὑβρίζεται ἀπὸ ὅλους, ὅταν ἐμφανίζεται ὁ ἐχθρός του; Ἐὰν ἐκδικηθῇς αὐτόν, καὶ ἴσως καὶ σὺ νὰ κατηγορηθῇς, καὶ σὺ μόνος σου ἀνταπέδωσες· ἂν ὅμως τὸν συγχωρήσῃς, θὰ τὸν ἐκδικηθοῦν ἀντὶ σοῦ ὅλοι. Ὅθεν ἀπὸ τὸ νὰ ὑποστῇς κακὴν μεταχείρισιν εἶναι χειρότερον τὸ νὰ ἔχῃ ὁ ἐχθρός σου τόσον πολλοὺς ὑπερασπιστάς. Ἂν ἀνοίξῃς σὺ τὸ στόμα, ἐκεῖνοι θὰ σιωπήσουν· ἂν ὅμως σιωπήσῃς, πλήττεις αὐτόν, ὄχι πλέον μὲ ἕνα στόμα ἀλλὰ μὲ τὰ πολλὰ τῶν ἄλλων, καὶ περισσότερον ἀνταποδίδεις. Καὶ θὰ σὲ κατηγοροῦν πολλοὶ μὲν ἂν ὑβρίζῃς, διότι θὰ λέγουν ὅτι τὰ λόγια σου εἶναι ἀποτέλεσμα τοῦ πάθους· ὅταν δὲ ὑβρίζῃ τόσον πολὺ αὐτὸν ἐκεῖνος ποὺ δὲν εἶναι καθόλου ἀδικημένος, τότε πρὸ πάντων ἡ ὑπεράσπισις εἶναι καθαρὰ ἀπὸ κάθε ὑποψίαν. Διότι, ὅταν ἐκεῖνοι ποὺ δὲν ἔπαθαν κανένα κακόν, ἐξ αἰτίας τῆς ὑπερβολικῆς σου ἐπιεικείας συμπονοῦν καὶ συμπάσχουν ὡς ἀδικημένοι, ἡ ἐκδίκησις αὐτὴ εἶναι καθαρὰ ἀπὸ κάθε ὑποψίαν.

Τί λοιπόν, θὰ εἰπῇ, ἂν κανεὶς δὲν ἀνταποδίδῃ; Δὲν εἶναι δυνατὸν νὰ εἶναι λίθινοι οἱ ἄνθρωποι, ὥστε νὰ μὴ θαυμάσουν ὅταν βλέπουν τόσον μεγάλην φιλοσοφίαν· καὶ ἐὰν δὲν ἀνταποδίδουν τότε, ὕστερα ὅμως, ὅταν καθησυχάσουν, θὰ κάμουν αὐτό, ἐμπαίζοντες καὶ περιφρονοῦντες ἐκεῖνον. Καὶ ἂν ἀκόμη κανεὶς ἄλλος δὲν θαυμάσῃ, ἐκεῖνος ὁ ἴδιος θὰ σὲ θαυμάσῃ ὁπωσδήποτε, ἔστω καὶ ἂν δὲν τὸ λέγῃ. Διότι ἡ κρίσις τοῦ καλοῦ, καὶ ἂν ἀκόμη ἔλθωμεν εἰς αὐτὸ τὸ βάραθρον τῆς κακίας, ἔχει καταστῇ ἀδέκαστος, χωρὶς νὰ παρεκτρέπεται. Ἢ διατί νομίζεις ὅτι ὁ Κύριος ἡμῶν, ὁ Χριστός, λέγει αὐτά· «Ἐὰν σὲ ραπίσῃ κάποιος εἰς τὸν δεξιὸν σιαγόνα, στρέψε εἰς αὐτὸν καὶ τὴν ἄλλην»[3]; δὲν τὰ λέγει ἐπειδή, ὅσον μακρόθυμος ἤθελε γίνει κανείς, τόσον περισσότερον ὠφέλησε μὲ τὴν μεγίστην ὠφέλειαν καὶ τὸν ἑαυτόν του καὶ ἐκεῖνον; Διὰ τοῦτο διέταξε νὰ στρέφῃ καὶ τὴν ἄλλην σιαγόνα, διὰ νὰ ἱκανοποιήσῃ τὴν ἐπιθυμίαν τοῦ ὀργιζομένου. Διότι ποῖος εἶναι τόσον θηρίον, ὥστε νὰ μὴ ἐντραπῇ πλέον; Οἱ σκύλοι λέγεται ὅτι κάμνουν αὐτό· διότι καὶ ἂν ἀκόμη γαυγίσουν καὶ ἐπιτεθοῦν εἰς κά-

τινι, ὁ δὲ ὕπτιον ῥίψας ἑαυτὸν μηδὲν ἐργάσηται, τὸν θυμὸν ἅπαντα ἔσβεσεν. Εἰ τοίνυν ἐκεῖνοι τὸν παθεῖν παρ' αὐτοῖς κακῶς ἕτοιμον δυσωποῦνται, πολλῷ μᾶλλον τὸ τῶν ἀνθρώπων γένος, λογικώτερον.

Ἀλλὰ γὰρ ἄξιον τὸ μικρὸν ἔμπροσθεν εἰς μνήμην ἐλθόν, καὶ εἰς μαρτυρίαν ἑλκυσθέν, μὴ παριδεῖν. Τί δὴ τοῦτό ἐστιν; Ἐλέγομεν περὶ τῶν Ἰουδαίων καὶ τῶν ἀρχόντων τῶν παρ' αὐτοῖς, ὅτι ἐνεκαλοῦντο ὡς διώκοντες ἀνταπόδομα, καίτοι τοῦτο ὁ νόμος αὐτοῖς ἐπέτρεπεν· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος»· ἀλλ' οὐχ ἵνα τοὺς ἀλλήλων ἐξορύττωσιν ὀφθαλμούς, ἀλλ' ἵνα φόβῳ τοῦ παθεῖν τὴν τοῦ ποιεῖν ἄδειαν ἐπισχόντες, μήτε ἐργάζωνταί τι κακὸν ἑτέρους, μήτε πάσχωσιν αὐτοὶ παρ' ἑτέρων. Διὰ τοῦτο εἶπεν· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», ἵνα τὰς ἐκείνου δήσῃ χεῖρας, οὐχ ἵνα τὰς σὰς ἀντεξαγάγῃ, οὐχ ἵνα τῶν σῶν ὀφθαλμῶν ἀπείρξῃ τὴν βλάβην μόνον, ἀλλ' ἵνα καὶ τοὺς ἐκείνου διατηρήσῃ σώους. Ἀλλ' ὅπερ ἐζήτουν, τίνος ἕνεκεν συγκεχωρημένης ἀμύνης ἐνεκαλοῦντο οἱ τῷ πράγματι κεχρημένοι; τί ποτε τοῦτό ἐστι; Τὸ μνησίκακον ἐνταῦθά φησιν. Εὐθέως μὲν γὰρ τὸν παθόντα δρᾶσαι συγχωρεῖ, ὅπερ ἔφην, κατέχων ἐκεῖνον· μνησικακεῖν δὲ οὐκέτι ἀφίησιν· οὐκέτι γὰρ τὸ πρᾶγμά ἐστι τοῦ θυμοῦ, οὐδὲ τῆς ζεούσης ὀργῆς, ἀλλὰ πονηρίας μεμελετημένης. Συγγινώσκει δὲ ὁ Θεὸς τοῖς ἀπὸ τῆς ἐπηρείας ἴσως συναρπασθεῖσι, καὶ ἐπὶ τὴν ἄμυναν ὡρμηκότι· διὸ λέγει, «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ»· καὶ πάλιν, «Ὁδοὶ μνησικάκων εἰς θάνατον». Εἰ δὲ ἔνθα ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ πηροῦν ἐξῆν, τοσαύτη κεῖται τιμωρία τοῖς

---

4. Λευϊτ. 24 20.
5. Δευτ. 19, 21.
6. Παροιμ. 12, 28.

ποιον, ἐὰν αὐτὸς πέσῃ ὕπτιος καὶ δὲν κάνῃ τίποτε, ἔσβησεν ὅλον τὸν θυμόν των. Ἐὰν λοιπὸν οἱ σκύλοι ἐντρέπωνται ἐκεῖνον, ποὺ εἶναι ἕτοιμοι νὰ κακομεταχειρισθοῦν, πολὺ περισσότερον πρέπει νὰ ἐντρέπωνται οἱ ἄνθρωποι, οἱ ὁποῖοι εἶναι λογικώτεροι.

Ἀλλὰ βέβαια ἀξίζει νὰ μὴ παραβλέψωμεν καὶ ἐκεῖνο, ποὺ πρὶν ἀπ' ὀλίγον ἦλθεν εἰς τὴν μνήμην μου πρὸς ἐπιβεβαίωσιν αὐτῶν. Ποῖον λοιπὸν εἶναι αὐτό; Ἔλεγον περὶ τῶν Ἰουδαίων καὶ τῶν ἀρχόντων των, ὅτι ἐκατηγοροῦντο ὡς ἐπιδιώκοντες τὴν ἐκδίκησιν, ἂν καὶ αὐτὸ τὸ ἐπέτρεπεν ὁ μωσαϊκὸς νόμος εἰς αὐτούς· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος»[4]· ὄχι ὅμως διὰ νὰ βγάζουν μεταξύ των τὰ μάτια ὁ ἕνας τοῦ ἄλλου, ἀλλὰ διὰ νὰ μὴ πράττουν κανένα κακὸν εἰς τοὺς ἄλλους, ἀφοῦ συγκρατήσουν τὴν ἀσφάλειαν τοῦ νὰ πράττουν μὲ τὸν φόβον τοῦ νὰ πάθουν, οὔτε νὰ πάσχουν αὐτοὶ ἀπὸ ἄλλους. Διὰ τοῦτο εἶπεν· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», διὰ νὰ δέσῃ τὰ χέρια ἐκείνου, διὰ νὰ μὴ βγάλῃ εἰς ἐκδίκησιν τὰ ἰδικά σου, ἀλλὰ διὰ νὰ ἐμποδίσῃ μόνον τὴν βλάβην τῶν ἰδικῶν σου ὀφθαλμῶν, καὶ νὰ διατηρήσῃ σώους καὶ τοὺς ὀφθαλμοὺς ἐκείνου. Ἀλλ' ἐκεῖνο ποὺ ἐζητοῦσα, διὰ ποῖον λόγον, ἐνῷ ἡ ἐκδίκησις αὐτὴ ἐπετρέπετο, ἐκατηγοροῦντο ἐκεῖνοι ποὺ μετεχειρίζοντο αὐτήν; Τί τέλος πάντων σημαίνει αὐτό; Τὴν μνησικακίαν ἐννοεῖ ἐδῶ. Διότι ἐπιτρέπων νὰ δράσῃ ἀμέσως ὁ παθών, πρᾶγμα ποὺ εἶπα, συγκρατεῖ ἐκεῖνον· δὲν ἐπιτρέπει ὅμως πλέον τὴν μνησικακίαν, διότι τὸ πρᾶγμα δὲν εἶναι ἀποτέλεσμα τοῦ θυμοῦ, οὔτε τῆς πλήρους πάθους ὀργῆς, ἀλλὰ τῆς σχεδιασμένης κακίας. Συγχωρεῖ δὲ ὁ Θεὸς τοὺς παρασυρθέντας ἴσως ἀπὸ τὴν ἀλαζονείαν καὶ κινηθέντας βίαια πρὸς ἐκδίκησιν· διὰ τοῦτο βέβαια λέγει· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ»[5]· καὶ πάλιν· «Ἡ ὁδὸς τῆς μνησικακίας ὁδηγεῖ εἰς τὸν θάνατον»[6]. Ἐὰν δὲ ἐκεῖ, ὅπου ἐπιτρέπεται νὰ ἀκρωτηριάζουν τὸν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἐπιφυλάσσεται τόσον μεγάλη τιμωρία διὰ τοὺς μνησικάκους, πόσῳ μᾶλλον δι' αὐτοὺς ποὺ ἔλαβον ἐντολὴν καὶ νὰ

μνησικάκοις, πόσῳ μᾶλλον τοῖς καὶ παρέχειν ἑαυτοὺς πρὸς τὸ παθεῖν κακῶς κελευσθεῖσι;

Μὴ τοίνυν ὦμεν μνησίκακοι, ἀλλὰ σβέσωμεν τὴν ὀργήν, ἵνα τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν. «[7]Ὧ γὰρ μέτρῳ μετρεῖτε», φησίν· «ἀντιμετρηθήσεται ὑμῖν, καὶ ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε». Γινώμεθα οὖν περὶ τοὺς ὁμοδούλους φιλάνθρωποι, συμπαθεῖς, ὅπως ἂν καὶ τὰς ἐν τῷ παρόντι βίῳ διαφύγωμεν παγίδας, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν τῆς παρ᾽ αὐτοῦ τύχωμεν συγγνώμης, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

---

7. Ματθ. 7, 2.
8. Ἐννοοῦνται οἱ λόγοι: Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τὸ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

παραδίδουν τὸν ἑαυτόν των διὰ νὰ ὑποστοῦν κακὴν μεταχείρισιν;

Ἂς μὴ εἴμεθα λοιπὸν μνησίκακοι, ἀλλ' ἂς σβήσωμεν τὴν ὀργὴν διὰ νὰ γίνωμεν ἄξιοι τῆς φιλανθρωπίας τοῦ Θεοῦ. «Διότι», λέγει, «μὲ τὸ ἴδιο μέτρον ποὺ μετρεῖτε, θὰ μετρηθῆτε καὶ σεῖς, καὶ μὲ τὴν ἰδίαν κρίσιν, μὲ τὴν ὁποίαν κρίνετε, θὰ κριθῆτε»[7]. Ἂς γίνωμεν λοιπὸν πρὸς τοὺς συνανθρώπους μας φιλάνθρωποι καὶ συμπαθεῖς, ὥστε νὰ ἠμπορέσωμεν νὰ διαφύγωμεν τὰς παγίδας ποὺ ὑπάρχουν εἰς τὴν παροῦσαν ζωὴν καὶ νὰ ἐπιτύχωμεν κατὰ τὴν μέλλουσαν ἡμέραν τὴν ἀπὸ Θεοῦ συγγνώμην, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν καὶ τὰ ἑξῆς[8].

ΟΜΙΛΙΑ ΙΖ΄
Ἐφ. 4, 32 - 5, 5

«Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας».

1. Τὰ παρελθόντα τῶν μελλόντων πλείονα ἔχει τὴν ἰσχύν, καὶ δοκεῖ θαυμαστότερα εἶναι καὶ πιστότερα. Διὸ καὶ ὁ Παῦλος ἀπὸ τῶν ὑπηργμένων ἤδη ποιεῖται τὴν παράκλησιν· ἐκεῖνα μὲν γὰρ τοῦ Χριστοῦ ἕνεκεν μείζονα ἔχει τὴν ἰσχύν. Τὸ γὰρ εἰπεῖν, Ἄφες, καὶ ἀφεθήσεταί σοι, κἂν μὴ ἀφῆτε, οὐ μὴ ἀφεθήσεται ὑμῖν, πρὸς μὲν φιλοσόφους ἄνδρας λεγόμενον καὶ τοῖς μέλλουσι πιστεύοντας, μέγα δύναται· ὁ δὲ Παῦλος οὐκ ἀπὸ τούτων ἐντρέπει μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ὑπηργμένων. Ἐκείνῳ μὲν γὰρ ἔστι κόλασιν φυγεῖν, τούτῳ δὲ ἀγαθοῦ τινος μετασχεῖν. Τὸν Χριστόν, φησί, μιμῇ. Ἀρκεῖ τοῦτο μόνον εἰς παράκλησιν ἀρετῆς, τὸ τὸν Θεὸν μιμεῖσθαι· τοῦτο μεῖζον ἐκείνου, ὅτι «Ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Οὐ γὰρ ἁπλῶς, ὅτι τὸν Θεὸν μιμούμεθα, εἶπεν, ἀλλ᾽ ὅτι ἐν οἷς αὐτοὶ εὖ πάσχομεν, πατέρων σπλάγχνα πρὸς

1. Ἐφ. 4, 32 - 5, 2
2. Τοὺς Ἐφεσίους
3. Ματθ. 6, 14. 15.
4. Ματθ. 5, 45.

ΟΜΙΛΙΑ ΙΖ΄
Ἐφ. 4, 32 - 5, 5

«Γίνεσθε ὁ ἕνας πρὸς τὸν ἄλλον εὐεργετικοί, συμπονετικοί, συγχωρούμενοι μεταξύ σας καθὼς καὶ ὁ Θεὸς διὰ τοῦ Χριστοῦ σᾶς συνεχώρησε. Γίνεσθε λοιπὸν καὶ σεῖς μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά. Καὶ νὰ πολιτεύεσθε μὲ ἀγάπην, καθὼς καὶ ὁ Χριστὸς μᾶς ἠγάπησε καὶ παρέδωσε τὸν ἑαυτόν του πρὸς χάριν μας προσφορὰν καὶ θυσίαν εἰς ὀσμὴν εὐωδίας»[1].

1. Τὰ παρελθόντα ἔχουν μεγαλυτέραν δύναμιν ἀπὸ τὰ μέλλοντα καὶ θεωροῦνται ὅτι εἶναι περισσότερον θαυμαστὰ καὶ ἀξιόπιστα. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Παῦλος προτρέπει αὐτοὺς[2] ἀπ' ἐκεῖνα ποὺ ἤδη εἶχον συμβῆ εἰς αὐτούς, διότι ἐξ αἰτίας τοῦ Χριστοῦ αὐτὰ ἔχουν μεγαλυτέραν δύναμιν. Διότι τὰ λόγια, 'Συγχώρησε καὶ θὰ συγχωρηθῇς καὶ σύ, καὶ ἐὰν δὲν συγχωρήσετε, οὔτε σεῖς θὰ συγχωρηθῆτε'[3], λεγόμενα πρὸς ἀνθρώπους πιστοὺς καὶ πρὸς ἐκείνους, ποὺ πρόκειται νὰ πιστεύσουν, ἠμποροῦν νὰ ἐπιτύχουν πολλά. Ὁ δὲ Παῦλος δὲν κάμνει τὴν προτροπὴν μόνον ἀπ' αὐτά, ἀλλὰ καὶ ἀπ' ἐκεῖνα ποὺ εἶχον συμβῆ. Διότι μὲ ἐκεῖνο μὲν εἶναι δυνατὸν νὰ ἀποφύγωμεν τὴν τιμωρίαν, μὲ αὐτὸ δὲ νὰ συμμετάσχωμεν εἰς κάποιο ἀγαθόν. Νὰ γίνῃς μιμητὴς τοῦ Χριστοῦ, λέγει. Αὐτὸ μόνον ἀρκεῖ πρὸς προτροπὴν εἰς τὴν ἀρετήν, τὸ νὰ γίνεται κανεὶς μιμητὴς τοῦ Θεοῦ. Αὐτὸ εἶναι μεγαλύτερον ἀπ' ἐκεῖνο, διότι «ὁ Θεὸς ἀνατέλλει τὸν ἥλιον ἀδιακρίτως εἰς κακοὺς καὶ εἰς ἀγαθούς, καὶ βρέχει εἰς δικαίους καὶ ἀδίκους»[4]. Δὲν εἶπε λοιπὸν ἁπλῶς, ὅτι εἴμεθα μιμηταὶ τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκεῖνα διὰ τῶν ὁποίων εὐεργετούμεθα, διότι θέλει νὰ ἔχω-

ἀλλήλους ἡμᾶς ἔχειν βούλεται· σπλάγχνα γὰρ ταῦτα λέγεται ἡ φιλανθρωπία καὶ οἱ οἰκτιρμοί. Ἐπειδὴ γὰρ οὐκ ἔνι ἀνθρώπους ὄντας μήτε λυπεῖν μήτε λυπεῖσθαι, δεύτερον εὗρε φάρμακον, ὥστε ἀλλήλοις χαρίζεσθαι· «Χαριζόμενοι», φησίν «ἑαυτοῖς». Καίτοι οὐδὲν ἴσον· σὺ μὲν γὰρ ἂν χαρίσῃ, πάλιν σοι χαριεῖται ἐκεῖνος, Θεῷ δὲ οὐδὲν ἐχαρίσω. Καὶ σὺ μὲν τῷ ὁμοδούλῳ, ὁ δὲ Θεὸς τῷ δούλῳ καὶ τῷ ἐχθρῷ καὶ τῷ μισοῦντι αὐτόν. «Καθὼς καὶ ὁ Θεός», φησίν, «ἐν Χριστῷ ἐχαρίσατο ἡμῖν». Μέγα καὶ τοῦτο ἔχει αἴνιγμα· ὃ δὲ λέγει, τοῦτό ἐστιν· Οὐχ ἁπλῶς ἀκινδύνως ἐχαρίσατο, φησίν, ἀλλὰ μετὰ τοῦ κινδύνου τοῦ Υἱοῦ. Ἵνα γάρ σοι συγγνῶ, τὸν Υἱὸν ἔθυσα· σὺ δὲ πολλάκις καὶ ἀκίνδυνον καὶ ἀδάπανον ὁρῶν τὴν συγχώρησιν οὐ ποιῇ.

«Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά. καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας». Ἵνα μὴ νομίσῃς ἀνάγκης εἶναι τὸ πρᾶγμα, ἄκουσον πῶς οὐχ ἁπλῶς, ἀλλ' ὅτι «Ἑαυτὸν παρέδωκεν», εἶπεν· ὡσεὶ ἔλεγεν· Ἐχθρὸν ὄντα σε ὁ Δεσπότης ἠγάπησεν,, ἀγάπησον σὺ τὸν φίλον· μᾶλλον δὲ οὐδὲ οὕτω δυνήσῃ, πλὴν ἀλλ' ὡς δύνασαι. Βαβαί! τί ταύτης τῆς φωνῆς μακαριώτερον γένοιτ' ἄν; Κἂν βασιλείαν εἴπῃς, κἂν ὁτιοῦν, οὐδὲν ἴσον. Τὸν Θεὸν μιμῇ, τῷ Θεῷ ἐξομοιοῦσαι, ὅταν συγχωρήσῃς ἐκείνῳ. Μᾶλλον ἁμαρτήματα δεῖ συγχωρεῖν, ἢ χρήματα. Χρήματα μὲν γὰρ ἐὰν συγχωρήσῃς, οὐκ ἐμιμήσω τὸν Θεόν· ἁμαρτήματα δὲ ἐὰν συγχωρήσῃς, τὸν Θεὸν μιμῇ. Πλὴν πῶς δυνήσῃ λέγειν, Πένης εἰμί, καὶ οὐ δύναμαι συγχωρῆσαι, ὅταν καὶ ἃ δύνασαι συγχωρῆσαι, μὴ συγ-

μεν μεταξύ μας σπλάγχνα πατέρων· σπλάγχνα βέβαια λέγονται ή φιλανθρωπία καὶ οἱ οἰκτιρμοί. Ἐπειδὴ λοιπὸν δὲν εἶναι δυνατόν, ὡσὰν ἄνθρωποι ποὺ εἴμεθα, οὔτε νὰ μὴ προξενοῦμεν λύπην οὔτε νὰ μὴ συμπονοῦμεν, ἐπενόησεν ἄλλο φάρμακον, ὥστε νὰ συγχωρούμεθα μεταξύ μας. «Συγχωρούμενοι μεταξύ σας», λέγει. Ἂν καὶ δὲν εἶναι καθόλου ἴσον, διότι ἂν μὲν σὺ συγχωρήσῃς, πάλιν θὰ σὲ συγχωρήσῃ ὁ ἄλλος, τόν Θεὸν ὅμως δὲν συνεχώρησες καθόλου. Καὶ σὺ μὲν συνεχώρησες τὸν συνάνθρωπόν σου, ὁ δὲ Θεὸς τὸν δοῦλον καὶ τὸν ἐχθρὸν καὶ ἐκεῖνον ποὺ τὸν μισεῖ. «Καθὼς καὶ ὁ Θεὸς διὰ τοῦ Χριστοῦ σᾶς συνεχώρησε», λέγει. Καὶ αὐτὸ εἶναι πολὺ ἀσαφές· ἐκεῖνο δὲ ποὺ ἐννοεῖ, εἶναι τὸ ἑξῆς· Δὲν συνεχώρησεν ἁπλῶς χωρὶς κίνδυνον, λέγει ὁ Παῦλος, ἀλλὰ μὲ κίνδυνον τοῦ Υἱοῦ του. Διότι διὰ νὰ σὲ συγχωρήσῃ, προσέφερε θυσίαν τὸν Υἱόν του· σὺ ὅμως, ἂν καὶ βλέπεις πολλάκις τὴν συγχώρησιν καὶ χωρὶς κίνδυνον καὶ χωρὶς ν' ἀπαιτῇ ἔξοδα, δὲν τὴν κάμνεις.

«Γίνεσθε λοιπὸν καὶ σεῖς μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά. Καὶ νὰ πολιτεύεσθε μὲ ἀγάπην, καθὼς καὶ ὁ Χριστὸς μᾶς ἠγάπησε, καὶ παρέδωσε τὸν ἑαυτόν του πρὸς χάριν μας». Διὰ νὰ μὴ νομίσῃς ὅτι τοῦτο εἶναι ἀποτέλεσμα ἀνάγκης, ἄκουσε πῶς δὲν εἶπεν ἁπλῶς, ἀλλ' ὅτι «παρέδωσε τὸν ἑαυτόν του», ὡσὰν νὰ ἔλεγεν· ἂν καὶ εἶσαι ἐχθρός, σὲ ἠγάπησεν ὁ Θεός, ἀγάπησε καὶ σὺ τὸν φίλον σου· μᾶλλον δὲ οὔτε ἔτσι θὰ ἠμπορέσῃς, ἀλλ' ὅμως ἀγάπησε ὅπως ἠμπορεῖς. Πώ, πώ! Τί θὰ ἠμποροῦσε νὰ γίνῃ εὐτυχέστερον ἀπὸ τὴν φωνὴν αὐτήν; Καὶ ἂν ἀκόμη εἰπῇς τὴν βασιλείαν, καὶ ὅ,τιδήποτε ἄλλο, τίποτε δὲν εἶναι ἴσον πρὸς αὐτήν. Μιμεῖσαι τὸν Θεόν, ἐξομοιώνεσαι πρὸς τὸν Θεόν, ὅταν συγχωρήσῃς ἐκεῖνον. Πρέπει νὰ συγχωρῇς περισσότερον τὰ ἁμαρτήματα, παρὰ νὰ χαρίζῃς χρήματα. Διότι, ἂν μὲν χαρίσῃς χρήματα, δὲν ἐμιμήθης τὸν Θεόν· ἂν ὅμως συγχωρήσῃς ἁμαρτήματα, μιμεῖσαι τὸν Θεόν. Ἀλλ' ὅμως πῶς θὰ ἠμπορέσῃς νὰ λέγῃς, «εἶμαι πτωχὸς καὶ δὲν ἠμπορῶ νὰ συγχωρήσω», ὅταν, καὶ ἐκεῖνα ποὺ ἠμπορεῖς νὰ χαρί-

χωρήσῃς, καὶ ἐνταῦθα ζημίαν ἡγῇ, οὐχὶ πλοῦτον μᾶλλον, οὐχὶ περιουσίαν, οὐχὶ εὐπορίαν; «Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ». Ἰδοὺ καὶ ἄλλη παράκλησις εὐγενεστέρα. «Ὡς τέκνα ἀγαπητά», φησίν. Ἔχετε καὶ ἄλλην ἀνάγκην τοῦ μιμεῖσθαι αὐτόν, οὐ τῷ παθεῖν εὖ μόνον, ἀλλὰ καὶ τῷ τέκνα γενέσθαι. «Ὡς τέκνα ἀγαπητά». Ἐπειδὴ γὰρ οὐ πάντες υἱοὶ τοὺς πατέρας μιμοῦνται, ἀλλ' οἱ ἀγαπητοί, διὰ τοῦτό φησιν· «Ὡς τέκνα ἀγαπητά». «Περιπατεῖτε ἐν ἀγάπῃ». Ἰδοὺ πάντων ἡ ὑπόθεσις· οὐκοῦν ταύτης οὔσης, οὐ θυμός, οὐκ ὀργή, οὐ κραυγή, οὐ βλασφημία, ἀλλὰ πάντα ἀνῄρηται. Διὸ ὕστερον τὸ κεφάλαιον τίθησι. Πόθεν ἐγένου τέκνον; Ἐπειδὴ συνεχωρήθη σοι. Ἀπὸ τῆς ὑποθέσεως, ἀφ' ἧς τοσαύτης ἠξιώθης τιμῆς, ἀπὸ τῆς αὐτῆς καὶ τῷ πλησίον συγχώρησον. Εἰπὲ δή μοι, εἴ τίς σε δεσμώτην ὄντα, καὶ μυρίων ὑπεύθυνον κακῶν, ἤγαγεν ἐπὶ τὰ βασίλεια· μᾶλλον δὲ τοῦτο ἀφῶμεν· εἴ τίς σε πυρέττοντα καὶ ψυχορραγοῦντα ὠφέλησε φαρμάκῳ τινί, ἆρα οὐκ ἂν αὐτὸν πάντων προυτίμησας, καὶ αὐτὸ τοὔνομα τοῦ φαρμάκου; Εἰ γὰρ καιροὺς καὶ τόπους, δι' ὧν ὠφελούμεθα, οὕτως ἔχομεν ὡς τὰς ἑαυτῶν ψυχάς, πολλῷ μᾶλλον αὐτὰ τὰ πράγματα. Ἐραστὴς ἔσο τῆς ἀγάπης· δι' αὐτῆς γὰρ ἐσώθης, δι' αὐτῆς υἱὸς γέγονας· κἂν ἕτερον δυνηθῇς σῶσαι, οὐχὶ τῷ αὐτῷ χρήσῃ φαρμάκῳ, καὶ παραινέσεις πᾶσι τό, Ἄφετε, ἵνα ἀφεθῇ ὑμῖν; Εὐγνωμόνων ψυχῶν τοῦτο, τὸ οὕτω προτρέπεσθαι, καὶ ἐλευθέρων καὶ εὐγενῶν. «Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς», φησί. Σὺ τῶν φίλων φείδῃ, ἐ-

σῃς, δὲν χαρίσῃς, καὶ θεωρεῖς εἰς τὴν περίπτωσιν αὐτὴν ζημίαν καὶ ὄχι μᾶλλον πλοῦτον, οὔτε περιουσίαν, οὔτε ἀφθονίαν ἀγαθῶν; «Γίνεσθε λοιπὸν μιμηταὶ τοῦ Θεοῦ». Ἰδοὺ καὶ ἄλλη προτροπὴ ποὺ εἶναι εὐγενεστέρα. «Ὡς τέκνα ἀγαπητά», λέγει. Ἔχετε καὶ ἄλλην ἀνάγκην τοῦ νὰ μιμῆσθε τὸν Θεόν, ὄχι μόνον διότι ἔχετε εὐεργετηθῆ, ἀλλὰ καὶ διότι ἐγίνατε τέκνα του. «Ὡς τέκνα ἀγαπητά». Ἐπειδὴ δὲν μιμοῦνται τοὺς πατέρας των ὅλα τὰ τέκνα, ἀλλὰ μόνον τὰ ἀγαπητά, διὰ τοῦτο λέγει ὁ Παῦλος˙ «Ὡς τέκνα ἀγαπητά».

«Νὰ πολιτεύεσθε μὲ ἀγάπην». Ἰδοὺ τὸ θεμέλιον ὅλων τῶν ἀρετῶν˙ ὅταν λοιπὸν ὑπάρχῃ ἡ ἀγάπη, δὲν ὑπάρχει οὔτε ὁ θυμός, οὔτε ἡ ὀργή, οὔτε ἡ παράφορος κραυγή, οὔτε ἡ βλασφημία, ἀλλὰ τὰ πάντα ἔχουν ἐξαφανισθῆ. Διὰ τοῦτο ἀναφέρει ἀργότερα τὸ ἀποκορύφωμα. Ἀπὸ ποίαν αἰτίαν ἔγινες τέκνον Θεοῦ; Ἐπειδὴ σὲ συνεχώρησεν ὁ Θεὸς τὰ ἁμαρτήματά σου. Ἀπὸ τὴν αἰτίαν ποὺ ἠξιώθης τόσον μεγάλης τιμῆς, ἀπὸ τὴν ἰδίαν συγχώρησε καὶ τὸν πλησίον σου. Εἰπέ μου, ἐὰν κάποιος σὲ ὡδήγει εἰς τὰ ἀνάκτορα, ἐνῷ ἦσουν φυλακισμένος καὶ ὑπεύθυνος πολλῶν κακῶν˙ μᾶλλον δὲ ἂς ἀφήσωμεν αὐτό. Ἐὰν κάποιος σὲ ὠφέλει μὲ ἕνα φάρμακον, ἐνῷ εἶχες πυρετὸν καὶ ἐψυχορράγεις, ἆρά γε δὲν θὰ ἐξετίμας αὐτὸν περισσότερον ἀπὸ ὅλους καὶ τὸ ὄνομα αὐτοῦ τοῦ φαρμάκου; Ἐὰν λοιπὸν ἔτσι διακείμεθα πρὸς τὰς περιστάσεις καὶ τὰς εὐκαιρίας τῶν πραγμάτων, διὰ τῶν ὁποίων ὠφελούμεθα, ὅπως πρὸς τὰς ἰδικάς μας ψυχάς, πολὺ περισσότερον πρέπει νὰ ἐκτιμῶμεν τὰ ἴδια τὰ πράγματα. Γίνε ἐραστὴς τῆς ἀγάπης, διότι δι᾽ αὐτῆς ἐσώθης, δι᾽ αὐτῆς ἔχεις γίνει υἱός. Καὶ ἂν ἠμπορέσῃς νὰ σώσῃς ἄλλον, δὲν θὰ χρησιμοποιήσῃς τὸ αὐτὸ φάρμακον καὶ δὲν θὰ συμβουλεύσῃς εἰς ὅλους τὸ «Συγχωρήσατε, διὰ νὰ σᾶς συγχωρηθοῦν τὰ ἁμαρτήματα»; Τοῦτο εἶναι δεῖγμα τῶν εὐγνωμόνων ἀνθρώπων, τὸ νὰ συμβουλεύουν δηλαδὴ κατ᾽ αὐτὸν τὸν τρόπον, καθὼς καὶ τῶν ἐλευθέρων καὶ τῶν εὐγενῶν. «Καθώς», λέγει, «καὶ ὁ Χριστὸς μᾶς ἠγάπησε». Σὺ εὐσπλαγχνίζεσαι τοὺς φίλους,

κεῖνος τῶν ἐχθρῶν· οὐκοῦν πολλῷ μεῖζον τὸ παρὰ τοῦ Δεσπότου γινόμενον. Τὸ γάρ, «Καθώς», πῶς σώζεται; Ἢ δῆλον ὅτι, ἐὰν τοὺς ἐχθροὺς εὖ ποιῶμεν. «Καὶ παρέδωκεν ἑαυτὸν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας». Ὁρᾷς τὸ ὑπὲρ ἐχθρῶν παθεῖν, ὅτι ὀσμὴ εὐωδίας ἐστί, καὶ θυσία εὐπρόσδεκτος; Κἂν ἀποθάνῃς, τότε ἔσῃ θυσία· τοῦτο μιμήσασθαί ἐστι τὸν Θεόν. «Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις».

Εἶπε περὶ τοῦ πικροῦ πάθους τοῦ θυμοῦ· ἦλθεν ἐπὶ τὸ ἧττον κακόν. Ὅτι γὰρ ἧττον ἡ ἐπιθυμία, ἄκουε καὶ ἐν τῷ νόμῳ Μωϋσέως λέγοντος πρῶτον, «Οὐ φονεύσεις», ὅπερ ἐστὶ τοῦ θυμοῦ, καὶ τότε, «Οὐ μοιχεύσεις», ὅπερ ἐστὶ τῆς ἐπιθυμίας. Καθάπερ γὰρ ἡ πικρία καὶ ἡ κραυγὴ καὶ πᾶσα κακία καὶ βλασφημία, καὶ ὅσα τοιαῦτα, τοῦ θυμώδους ἐστίν· οὕτω καὶ τοῦ ἐπιθυμητικοῦ πορνεία, ἀκαθαρσία, πλεονεξία· τῷ γὰρ αὐτῷ χρημάτων ἐρῶμεν, καὶ σωμάτων. Ἀλλ' ὥσπερ ἐκεῖ τὴν κραυγὴν περιεῖλεν, ὄχημα οὖσαν τῆς ὀργῆς, οὕτω νῦν τὴν αἰσχρολογίαν καὶ εὐτραπελίαν ὄχημα οὖσαν τῆς πορνείας. «Καὶ αἰσχρότης» γάρ, φησί, «καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία». Μὴ εἴπῃς ἀστεῖα μηδ' αἰσχρά, μηδὲ πράξῃς, καὶ κατασβέσεις τὴν φλόγα. «Μηδὲ ὀνομαζέσθω», φησίν, «ἐν ὑμῖν»· τουτέστι, μηδαμοῦ μηδὲ φαινέσθω. Τοῦτο καὶ Κορινθίοις γράφων ἔλεγεν· «Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία». Τουτέστι, Πάντες καθαροὶ γένεσθε. Οἱ γὰρ λόγοι τῶν πραγμάτων εἰσὶν ὁδοί.

5. Ἐφ. 5, 3.
6. Ἐξ. 20, 13. 14.
7. Ἐφ. 5, 4.
8. Α΄ Κορ. 5, 1.

ἐκεῖνος τοὺς ἐχθρούς· ἑπομένως τὸ γινόμενον ἀπὸ τὸν Θεὸν εἶναι κατὰ πολὺ μεγαλύτερον. Τὸ «Καθώς», πῶς σώζεται; Βέβαια εἶναι φανερὸν ὅτι, ἐὰν εὐεργετοῦμεν τοὺς ἐχθρούς μας. «Καὶ παρέδωσε τὸν ἑαυτόν του προσφορὰν καὶ θυσίαν εἰς τὸν Θεόν, εἰς ὀσμὴν εὐωδίας». Βλέπεις ὅτι τὸ νὰ πάθῃς ὑπὲρ τῶν ἐχθρῶν εἶναι ἄρωμα, ποὺ εὐωδιάζει συνεχῶς, καὶ θυσία εὐπρόσδεκτος; Καὶ ἂν ἀποθάνῃς, τότε θὰ εἶναι πραγματικὴ θυσία· αὐτὸ σημαίνει ὅτι ἔγινες μιμητὴς τοῦ Θεοῦ. «Πορνεία δὲ καὶ κάθε εἶδος σαρκικῆς ἀκαθαρσίας ἢ πλεονεξίας δὲν πρέπει οὔτε ὡς ἁπλῆ ὀνομασία νὰ ἀναφέρεται μεταξύ σας, καθὼς ἁρμόζει εἰς ἁγίους»[5].

Ὡμίλησεν ὁ Παῦλος περὶ τοῦ κακοῦ πάθους τοῦ θυμοῦ· ἦλθεν εἰς τὸ χειρότερον κακόν. Τὸ ὅτι βέβαια ἡ ἐπιθυμία εἶναι χειρότερον κακόν, ἄκουε καὶ τὸν μωσαϊκὸν νόμον, ποὺ λέγει κατὰ πρῶτον, «Οὐ φονεύσεις», πρᾶγμα ποὺ προέρχεται ἀπὸ τὸν θυμόν, καὶ ὕστερα, «Οὐ μοιχεύσεις»[6], πρᾶγμα ποὺ προέρχεται ἀπὸ τὴν ἐπιθυμίαν. Διότι, ὅπως ἀκριβῶς ἡ κακία καὶ ἡ παράφορος κραυγὴ καὶ κάθε εἶδος κακίας καὶ βλασφημίας, καὶ ὅλα τὰ παρόμοια, εἶναι ἐκδηλώσεις τοῦ θυμοειδοῦς, ἔτσι καὶ ἡ πορνεία, ἡ σαρκικὴ ἀκαθαρσία καὶ ἡ πλεονεξία εἶναι ἐκδηλώσεις τοῦ ἐπιθυμητικοῦ, διότι μὲ αὐτὸ ἐπιθυμοῦμεν πολὺ τὰ χρήματα καὶ τὰς σαρκικὰς ἀπολαύσεις. Ἀλλ' ὅπως ἐκεῖ ἐξήλειψε τὴν παράφορον κραυγήν, ποὺ εἶναι τὸ ὄχημα τῆς ὀργῆς, ἔτσι τώρα καὶ τὴν αἰσχρὸν διαγωγὴν καὶ τὴν ἀπρεπῆ ἀστειότητα, ποὺ εἶναι τὸ ὄχημα τῆς πορνείας. «Ἐπίσης δὲν πρέπει νὰ ἀναφέρεται», λέγει, «οὔτε αἰσχρὰ διαγωγὴ καὶ μωρολογία ἢ ἀστειότης ἀπρεπής, τὰ ὁποῖα δὲν ἁρμόζουν εἰς χριστιανούς, ἀλλὰ νὰ φροντίζετε περισσότερον διὰ τὴν προσευχὴν εὐχαριστίας»[7]. Μὴ εἴπῃς ἀστεῖα οὔτε αἰσχρὰ λόγια, οὔτε νὰ πράξῃς, καὶ θὰ σβήσῃς ἐντελῶς τὴν φλόγα. «Οὔτε ὡς ἁπλῆ ὀνομασία νὰ ἀναφέρεται μεταξύ σας», λέγει· δηλαδὴ πουθενὰ οὔτε νὰ φαίνεται. Αὐτὸ καὶ πρὸς τοὺς Κορινθίους γράφων ἔλεγεν· «Εἶναι εἰς ὅλους σας διαδομένη ἡ πορνεία[8]. Δηλαδή, ὅλοι νὰ γίνετε καθαροί. Διότι τὰ λό-

Εἶτα ἵνα μὴ δόξῃ φορτικός τις εἶναι καὶ βαρύς, καὶ εὐτραπελίαν ἐκκόπτων, ἐπήγαγε καὶ τὴν αἰτίαν, εἰπών, «Τὰ μὴ ἀνήκοντα», τὰ οὐδὲν πρὸς ἡμᾶς, φησίν, «ἀλλὰ μᾶλλον εὐχαριστία».

2. Τί ὠφελεῖ τὸ ἀστεῖον εἰπεῖν; Γέλωτα ἐκίνησας μόνον. Εἰπέ μοι, ὁ σκυτοτόμος ἐργάσεταί τί ποτε τῶν οὐκ ἀνηκόντων εἰς τὴν αὐτοῦ τέχνην; ἢ κτήσεταί τι τοιοῦτον ὄργανον; Οὐδαμῶς· τὰ γὰρ οὐκ ἐν χρείᾳ οὐδὲν πρὸς ἡμᾶς. Μηδεὶς ἔστω λόγος ἀργός· ἀπὸ γὰρ τοῦ ἀργοῦ καὶ ἀτόπους καταπίπτομεν. Οὐ διαχύσεως ὁ παρὼν καιρός, ἀλλὰ πένθους, θλίψεων καὶ ὀδυρμῶν· σὺ δὲ εὐτραπελεύῃ; Τίς ἀθλητὴς εἰς τὸ στάδιον εἰσελθών, καὶ τὴν ἀγωνίαν ἀφεὶς τὴν πρὸς τὸν ἀντίδικον, ἀστεῖα φθέγγεται; Ἐφέστηκεν ὁ διάβολος, περιέρχεται ὠρυόμενος τοῦ ἁρπάσαι, πάντα κινεῖ καὶ πάντα στρέφει κατὰ τῆς σῆς κεφαλῆς, καὶ μηχανᾶται τῆς καλιᾶς σε ἐκβαλεῖν, τρίζει τοὺς ὀδόντας, βρυχᾶται, πῦρ πνεῖ κατὰ τῆς σωτηρίας τῆς σῆς, καὶ σὺ κάθησαι ἀστεῖα λέγων, καὶ μωρολογῶν, καὶ τὰ μὴ ἀνάγοντα φθεγγόμενος; οὐκοῦν καλῶς αὐτοῦ περιγενέσθαι δυνήσῃ; Παίζομεν, ἀγαπητοί. Βούλει μαθεῖν τῶν ἁγίων τὴν διαγωγήν; ἄκουε Παύλου λέγοντος· «Τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν». Εἰ δὲ ὑπὲρ Μιλησίων καὶ Ἐφεσίων τοσαύτῃ ἐχρήσατο σπουδῇ, οὐχὶ ἀστεῖα λέγων, ἀλλὰ μετὰ δακρύων τὴν νουθεσίαν εἰσφέρων, τί περὶ τῶν ἄλλων εἴποι τις ἄν; Ἄκουε δὲ καὶ Κορινθίοις τί φησιν· «Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων»· καὶ πάλιν· «Τίς ἀσθε-

9. Πράξ. 20, 31.

για όδηγοῦν εἰς τὰς πράξεις. Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ φανῇ ὅτι εἶναι πολὺ ἐνοχλητικὸς καὶ καταθλιπτικός, ἀποκόπτων τελείως καὶ τὴν ἀπρεπῆ ἀστειότητα, προσέθεσε καὶ τὴν δικαιολογίαν, εἰπών, «Τὰ ὁποῖα δὲν ἁρμόζουν εἰς χριστιανούς»· αὐτὰ ποὺ δὲν ἔχουν καμμίαν σχέσιν πρὸς ἡμᾶς, λέγει, «ἀλλὰ φροντίζετε περισσότερον νὰ ἀκούεται προσευχὴ εὐχαριστίας».

2. Τί ὠφελεῖ νὰ εἰπῇς τὸ ἀστεῖον; Προκαλεῖς μόνον γέλιο. Εἰπέ μου, ὁ σκυτοτόμος θὰ πράξῃ ποτὲ κάτι ποὺ δὲν ἀνήκει εἰς τὴν τέχνην του; ἢ θὰ ἀποκτήσῃ ἕνα τέτοιο ἐργαλεῖον; Ἀσφαλῶς ὄχι· διότι αὐτὰ ποὺ δὲν χρησιμοποιοῦνται δὲν μᾶς ὠφελοῦν καθόλου. Ἂς μὴ εἶναι κανένας λόγος μας ἄσκοπος, διότι ἀπὸ τὸν ἄσκοπον περιπίπτομεν καὶ εἰς τοὺς ἀπρεπεῖς λόγους. Ὁ παρὼν καιρὸς δὲν εἶναι καιρὸς διασκεδάσεως, ἀλλὰ καιρὸς πένθους, θλίψεων καὶ ὀδυρμῶν, καὶ σὺ γίνεσαι εὐτράπελος; Ποῖος ἀθλητής, ὅταν εἰσέλθῃ εἰς τὸ στάδιον, ἀφήνει τὴν ἀγωνίαν, ποὺ ἔχει πρὸς τὸν ἀντίπαλον καὶ λέγει ἀστεῖα; Ἔχει ἐμφανισθῆ ὁ διάβολος, περιφέρεται ὠρυόμενος ν' ἁρπάξῃ, τὰ πάντα κινεῖ καὶ τὰ πάντα στρέφει ἐναντίον τῆς ἰδικῆς σου κεφαλῆς καὶ τεχνάζεται νὰ σὲ βγάλῃ ἔξω ἀπὸ τὴν κατοικίαν σου, τρίζει τὰ δόντια, βρυχᾶται, πνέει μένεα ἐναντίον τῆς ἰδικῆς σου σωτηρίας, καὶ σὺ κάθεσαι καὶ λέγεις ἀστεῖα καὶ μωρολογεῖς καὶ λέγεις ἐκεῖνα ποὺ δὲν ἁρμόζουν; Θὰ ἠμπορέσῃς λοιπὸν νὰ τὸν καταβάλῃς τελείως; Παίζομεν, ἀγαπητοί. Θέλεις νὰ μάθῃς τὸν τρόπον ζωῆς τῶν ἁγίων; ἄκουε τὸν Παῦλον ποὺ λέγει· «Ἐπὶ τριετίαν συνεχῶς νύκτα καὶ ἡμέραν δὲν ἔπαυσα μὲ δάκρυα νὰ νουθετῶ ἕνα ἕκαστον ἀπὸ σᾶς»[9]. Ἐὰν δὲ διὰ τοὺς Μιλησίους καὶ Ἐφεσίους ἔδειξε τόσον μεγάλον ζῆλον, χωρὶς νὰ λέγῃ ἀστεῖα, ἀλλὰ μὲ δάκρυα νὰ προσφέρῃ τὴν νουθεσίαν, τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ὅτι θὰ ἐδείκνυε διὰ τοὺς ἄλλους; Ἄκουε δὲ τί λέγει καὶ εἰς τοὺς Κορινθίους· «Σᾶς ἔγραψα ἀπὸ πολλὴν θλῖψιν καὶ στενοχωρίαν τῆς καρδίας, μὲ δάκρυα πολλά»· καὶ πάλιν· «Ποῖος ἀπὸ τοὺς χριστιανοὺς ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγὼ μαζί του; ποῖος σκοντά-

νεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;».

Ἄκουε δὲ αὐτοῦ καὶ ἀλλαχοῦ λέγοντος, καὶ καθ' ἑκάστην ἡμέραν, ὡς εἰπεῖν, ἐξελθεῖν ἐκ τοῦ κόσμου ἐπιθυμοῦντος· «Καὶ γὰρ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν». Σὺ δὲ γελᾷς καὶ παίζεις; πολέμου καιρός, καὶ σὺ τὰ τῶν χορευόντων μεταχειρίζῃ; Οὐχ ὁρᾷς τῶν πολεμούντων τὰ πρόσωπα, πῶς εἰσι σκυθρωπά, πῶς συνηγμένα, ὀφρὺς γὰρ παρ' αὐτοῖς φοβερὰ καὶ φρίκης γέμουσα. Ὁρᾷς ὄμμα αὐστηρόν, καρδίαν διεγηγερμένην καὶ πηδῶσαν καὶ ἁλλομένην, συνηγμένον νοῦν, τρέμοντα καὶ ἀγωνιῶντα, πολλὴν τὴν εὐταξίαν, πολλὴν τὴν εὐρυθμίαν, πολλὴν τὴν σιγὴν ἐν τοῖς στρατοπέδοις· οὐ λέγω, ὥστε αἰσχρὸν ῥῆμα μὴ εἰπεῖν, ἀλλὰ μηδὲ ἁπλῶς φθέγξασθαι. Εἰ γὰρ πρὸς αἰσθητοὺς ἔχοντες πολεμίους ἐκεῖνοι, καὶ οὐδὲν ἀπὸ λόγων βλαπτόμενοι, τοσαύτῃ κέχρηνται σιγῇ, σύ, ὁ καὶ ἐν λόγοις ἔχων τὸν πόλεμον, καὶ τὸ πλέον τοῦ πολέμου, τοῦτό σοι τὸ μέρος ἐᾷς γυμνόν; ἢ ἀγνοεῖς ὅτι τὰ πλείονα ἐντεῦθεν ἐπιβουλευόμεθα; Παίζεις καὶ τρυφᾷς, καὶ ἀστεῖα λέγεις, καὶ γέλωτα κινεῖς, καὶ οὐδὲν ἡγῇ τὸ πρᾶγμα; πόσαι ἀπὸ ἀστειολογιῶν ἐπιορκίαι, πόσαι βλάβαι, πόσαι αἰσχρολογίαι! Ἀλλ' οὐ τοιαῦτά ἐστι τὰ ἀστεῖα, φησίν. Ἀλλ' ἄκουε ὅτι πᾶσαν εὐτραπελίαν ἐξέβαλε. Πολέμου καιρὸς νῦν καὶ μάχης, ἀγρυπνίας καὶ φυλακῆς, ὁπλίσεως καὶ παρατάξεως· οὐδένα τόπον ἐνταῦθα ὁ τοῦ γέλωτος ἂν ἔχοι καιρός· τοῦ γὰρ κόσμου οὗτός ἐστιν.

Ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «Ὁ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε». Ὁ Χριστὸς ἐσταυρώθη διὰ τὰ σὰ κακά, σὺ δὲ γελᾷς; ἐκεῖνος ἐρραπίσθη, καὶ τοσαῦτα ἔπαθε διὰ τὴν σὴν συμφορὰν καὶ τὸν καταλαβόντα σε χειμῶνα·

---

10. Β' Κορ. 2, 4· 11, 29.
11. Β' Κορ. 5, 4.
12. Ἰω. 16, 20.

πτει καὶ πίπτει εἰς τὴν ἁμαρτίαν καὶ δὲν καίομαι καὶ ἐγὼ εἰς τὴν κάμινον τῆς θλίψεως καὶ τῆς ἐντροπῆς;»[10].

Ἄκουε δὲ αὐτὸν καὶ ἀλλοῦ νὰ λέγῃ, καὶ καθημερινῶς, ὅπως θὰ ἐλέγαμεν, νὰ ἐπιθυμῇ νὰ ἐξέλθῃ ἐκ τοῦ κόσμου τούτου. Διότι λέγει «Ἡμεῖς, ὅσοι εἴμεθα εἰς τὸ σῶμα αὐτό, ποὺ ὁμοιάζει πρὸς σκηνήν, στενάζομεν». Σὺ ὅμως γελᾷς καὶ παίζεις; εἶναι καιρὸς πολέμου καὶ σὺ μεταχειρίζεσαι τὰ τῶν χορευόντων; Δὲν βλέπεις τὰ πρόσωπα τῶν πολεμιστῶν πῶς εἶναι σκυθρωπά, πῶς εἶναι στενοχωρημένα, διότι ὑπάρχει εἰς αὐτοὺς θλῖψις φοβερὰ καὶ γεμάτη ἀπὸ φρίκην. Βλέπεις βλέμμα αὐστηρόν, καρδίαν, ποὺ εἶναι ἐξηγερμένη καὶ πάλλεται καὶ σκιρτᾷ, συγκεντρωμένον νοῦν, ὁ ὁποῖος τρέμει καὶ ἀγωνιᾷ, καὶ εἰς τὰ στρατόπεδα πολλὴν πειθαρχίαν, πολλὴν τάξιν, πολλὴν ἡσυχίαν. Δὲν λέγω, ὥστε νὰ μὴ εἰπῇς αἰσχρὸν λόγον, ἀλλ' οὔτε κἂν νὰ ὁμιλήσῃς. Διότι ἂν ἐκεῖνοι, ποὺ ἔχουν τὸν ἀγῶνα ἐναντίον αἰσθητῶν ἐχθρῶν, καὶ δὲν βλάπτονται καθόλου ἀπὸ τὰ λόγια, χρησιμοποιοῦν τόσον μεγάλην σιωπήν, σὺ ποὺ ἔχεις τὸν πόλεμον καὶ μὲ τὰ λόγια, καὶ μάλιστα τὸ μεγαλύτερον μέρος αὐτοῦ, ἀφήνεις εἰς σὲ τοῦτο τὸ σημεῖον γυμνόν; μήπως ἀγνοεῖς, ὅτι ἀπὸ τὴν αἰτίαν αὐτὴν ἐπιβουλευόμεθα κατὰ τὸ πλεῖστον; Παίζεις καὶ διάγεις βίον τρυφηλόν, καὶ ἀστεῖα λέγεις, καὶ γέλιο προκαλεῖς, καὶ νομίζεις ὅτι αὐτὸ δὲν ἔχει καμμίαν σημασίαν; Πόσαι ἐπιορκίαι, πόσαι ζημίαι, πόσαι αἰσχρολογίαι δὲν προέρχονται ἀπὸ τὰς ἀστείας ὁμιλίας! Ἀλλά, θὰ εἰπῇ, δὲν εἶναι τέτοιου εἴδους τὰ ἀστεῖα. Ὅμως ἄκουε ὅτι ἀπέκλεισε κάθε εἶδος ἀστειότητος. Τώρα εἶναι καιρὸς πολέμου καὶ μάχης, ἀγρυπνίας καὶ προφυλάξεως, ὁπλίσεως καὶ παρατάξεως· καμμίαν θέσιν δὲν ἠμπορεῖ νὰ ἔχῃ ἐδῶ ὁ καιρὸς τοῦ γέλιου, διότι αὐτὸς ἀνήκει εἰς τὸν κόσμον.

Ἄκουσε τὸν Χριστὸν ποὺ λέγει· «Ὁ κόσμος ὁ μακρὰν τοῦ Θεοῦ θὰ χαρῇ, σεῖς ὅμως θὰ λυπηθῆτε»[12]. Ὁ Χριστὸς ἐσταυρώθη διὰ τὰ ἰδικά σου κακά, καὶ σὺ γελᾷς· ἐκεῖνος ἐδέχθη ραπίσματα καὶ ἔπαθε τόσον πολλὰ παθήματα διὰ τὴν ἰδικήν σου δυστυχίαν καὶ τὴν συμφορὰν ποὺ σὲ κατέ-

σὺ δὲ τρυφᾷς; Καὶ πῶς οὐ μᾶλλον αὐτὸν παροξύνεις; Ἀλλ' ἐπειδή τισιν ἀδιάφορον εἶναι τὸ πρᾶγμα δοκεῖ, ὃ καὶ δυσφύλακτόν ἐστι, μικρὰ περὶ τούτου διαλεχθῶμεν, ὅσον ἐστὶ κακὸν διδάξαντες. Καὶ γὰρ τοῦτο τοῦ διαβόλου ἔργον ἐστί, τὸ ποιεῖν τῶν ἀδιαφρων καταφρονεῖν. Πρῶτον μὲν οὖν εἰ καὶ ἀδιάφορον ἦν, οὐδὲ οὕτως ἐχρῆν αὐτοῦ καταφρονεῖν, εἰδότα ὅτι τὰ μεγάλα ἀπὸ τούτου τίκτεται κακὰ καὶ αὔξεται, καὶ εἰς πορνείαν τελευτᾷ πολλάκις· ὅτι δὲ οὐδὲ ἀδιάφορόν ἐστιν, ἐκεῖθεν δῆλον. Ἴδωμεν οὖν πόθεν τίκτεται· μᾶλλον δὲ ἴδωμεν ὁποῖον εἶναι δεῖ τὸν ἅγιον, ἥμερον, πρᾶον, πενθοῦντα, θρηνοῦντα, τεθλιμμένον. Ὁ τοίνυν τὰ εὐτράπελα λέγων, οὐχ ἅγιος· κἂν Ἕλλην ᾖ, καταγέλαστος ὁ τοιοῦτος· τοῖς ἐν τῇ σκηνῇ ταῦτα ἐφεῖται μόνοις. Ἔνθα αἰσχρότης, ἐκεῖ καὶ εὐτραπελία. Ἔνθα γέλως ἄκαιρος, ἐκεῖ καὶ εὐτραπελία. Ἄκουε τοῦ προφήτου λέγοντος· «Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ». Ἡ εὐτραπελία μαλακὴν ποιεῖ τὴν ψυχήν, ῥᾴθυμον, ἀναπεπτωκυῖαν· αὕτη καὶ ὕβρεις πολλάκις ὤδινε, καὶ πολέμους ποιεῖ.

3. Τί δέ; ὅλως οὐχὶ ἐν ἀνδράσι γέγονας; Οὐκοῦν κατάργησον τὰ τοῦ νηπίου. Ἀλλὰ τὸν μὲν οἰκέτην τὸν σὸν ἐν ἀγορᾷ οὐκ ἀξιοῖς εἰπεῖν τι τῶν ἀσυμφόρων, σὺ δὲ τοῦ Θεοῦ λέγων οἰκέτης εἶναι, ἐν ἀγορᾷ ἀστεῖα φθέγγῃ; Ἀγαπητὸν τὴν νήφουσαν ψυχὴν μὴ κλαπῆναι· τὴν δὲ διακεχυμένην τίς οὐχ αἱρήσει; αὐτὴ ἑαυτῇ περιπαρήσεται, καὶ οὐ δεήσεται τῆς τοῦ διαβόλου ἐπιβουλῆς καὶ ἐπηρείας. Ἵνα δὲ καὶ μάθῃς, ὅρα καὶ αὐτὸ τοὔνομα· εὐτράπελος λέγεται ὁ ποικίλος, ὁ παντοδαπός, ὁ ἄστατος, ὁ εὔκολος, ὁ πάντα γινόμενος· τοῦτο δὲ πόρρω τῶν τῇ πέτρᾳ δουλευόντων. Ταχέως τρέπε-

---

13. Ψαλμ. 2, 11.

λαβε· σὺ ὅμως διάγεις βίον τρυφηλόν; Καὶ πῶς δὲν παροργίζεις αὐτὸν περισσότερον; Ἀλλ' ἐπειδὴ εἰς μερικοὺς φαίνεται ὅτι εἶναι ἀδιάφορον τὸ πρᾶγμα, καὶ διὰ τοῦτο δύσκολα φυλάσσεται, ἐμπρὸς ἄς ὁμιλήσωμεν ὀλίγον περὶ τούτου, διὰ νὰ διδάξωμεν πόσον κακὸν εἶναι. Διότι πράγματι τοῦτο εἶναι ἔργον τοῦ διαβόλου, τὸ νὰ κάμνῃ δηλαδὴ νὰ περιφρονοῦμεν τὰ ἀδιάφορα πράγματα. Κατὰ πρῶτον βέβαια καὶ ἄν ἀκόμη ἦτο ἀδιάφορον, δὲν θὰ ἔπρεπε τόσον νὰ τὸ περιφρονῇ κανείς, γνωρίζων, ὅτι ἀπ' αὐτὸ γεννῶνται καὶ αὐξάνονται τὰ μεγάλα, καὶ καταλήγουν πολλάκις εἰς τὴν πορνείαν. Ὅτι ὅμως δὲν εἶναι οὔτε ἀδιάφορον, εἶναι φανερὸν ἀπὸ αὐτό. Ἄς ἐξετάσωμεν λοιπὸν ἀπὸ ποίαν αἰτίαν γεννᾶται· καλύτερα δὲ ἄς ἐξετάσωμεν ὁποῖος πρέπει νὰ εἶναι ὁ ἅγιος, δηλαδὴ ἥμερος, πρᾶος, νὰ πενθῇ, νὰ θρηνῇ, νὰ εἶναι τεθλιμμένος. Ἐπομένως ὁ λέγων τὰ ἀστεῖα, δὲν εἶναι ἅγιος· καὶ ἄν ἀκόμη εἶναι εἰδωλολάτρης, εἶναι καταγέλαστος αὐτός. Τὰ ἀστεῖα ἐπιτρέπονται μόνον εἰς τοὺς ἠθοποιούς. Ὅπου ὑπάρχει αἰσχρότης, ἐκεῖ ὑπάρχει καὶ ἡ εὐτραπελία. Ὅπου ὑπάρχει γέλιο εἰς ἀκατάλληλον περίστασιν, ἐκεῖ ὑπάρχει καὶ εὐτραπελία. Ἄκουε τὸν προφήτην, ποὺ λέγει· «Δουλεύσατε τὸν Κύριον μὲ φόβον, καὶ ἀγάλλεσθε μὲ τρόμον»[13]. Ἡ εὐτραπελία κάμνει μαλθακὴν τὴν ψυχήν, ράθυμον, ἀποθαρρυνομένην· αὐτὴ πολλάκις καὶ ὕβρεις ἐγέννησε, καὶ πολέμους προκαλεῖ.

3. Τί δέ, δὲν ἔχεις γίνει ἐντελῶς ἄνδρας; Λοιπὸν κατάργησε τὰ τοῦ νηπίου. Ἀλλ' ὁ μὲν δοῦλος σου δὲν θεωρεῖς καλὸν νὰ εἰπῇ εἰς τὴν ἀγορὰν κάτι τὸ ἐπιζήμιον, σὺ ὅμως, ἄν καὶ λέγῃς ὅτι εἶσαι δοῦλος τοῦ Θεοῦ, λέγεις ἀστεῖα εἰς τὴν ἀγοράν; Εἶναι ἐπιθυμητὸν νὰ μὴ χαθῇ ἡ νηφάλιος ψυχή· ποῖος ὅμως δὲν θὰ κυριεύσῃ τὴν ἔκλυτον; αὐτὴ θὰ διατρυπηθῇ ἀπ' ἄκρου εἰς ἄκρον μόνη της καὶ δὲν θὰ χρειασθῇ τὴν δολιότητα καὶ ἐπενέργειαν τοῦ διαβόλου. Διὰ νὰ μάθῃς δὲ καλύτερα, πρόσεχε καὶ αὐτὸ τὸ ὄνομα· εὐτράπελος λέγεται ὁ ἀσαφής, ὁ ποικίλος, ὁ ἄστατος, ὁ εὔκολος, ὁ μεταχειριζόμενος κάθε μέσον· αὐτὸ εἶναι τελείως ἄγνωστον εἰς τοὺς ἐργαζομένους εἰς τὰ ὄρη.

ται ὁ τοιοῦτος καὶ μεθίσταται· δεῖ γὰρ αὐτὸν καὶ σχῆμα καὶ ῥῆμα καὶ γέλωτα καὶ βάδισιν καὶ πάντα μιμεῖσθαι· καὶ σκώμματα δὲ ἐπινοεῖν χρὴ τὸν τοιοῦτον· δεῖ γὰρ αὐτῷ καὶ τούτου. Πόρρω δὲ τοῦτο Χριστιανοῦ, τὸ κωμῳδεῖν. Καὶ ἀνάγκη τὸν εὐτραπελευόμενον ἔχθρας ἀναδέχεσθαι περιττὰς τῶν εἰκῇ σκωπτομένων, ἄν τε παρῶσιν, ἄν τε ἀπόντες ἀκούσωσιν. Εἰ καλὸν τὸ πρᾶγμα, τί τοῖς μίμοις ἀφίεται; Μίμος γίνῃ, καὶ οὐκ αἰσχύνῃ; Διὰ τί ταῖς ἐλευθέραις ὑμῶν οὐκ ἐπιτρέπετε τοῦτο ποιεῖν; οὐχὶ ἤθους τίθεσθε ἀσέμνου, καὶ οὐ σώφρονος τὸ πρᾶγμα; Μεγάλα κακὰ ἐν ψυχῇ εὐτραπελευομένῃ οἰκεῖ, μεγάλη διάχυσις καὶ ἐρημία· κέχηνεν ἡ ἁρμονία, σεσάθρωται ἡ οἰκοδομή, ὁ φόβος ἐξώρισται, εὐλάβεια ἀπέστη. Γλῶσσαν ἔχεις, οὐχ ἵνα ἕτερον κωμῳδήσῃς, ἀλλ' ἵνα εὐχαριστήσῃς τῷ Θεῷ. Οὐχ ὁρᾷς τοὺς λεγομένους γελωτοποιούς, τοὺς κόρδακας; οὗτοί εἰσιν οἱ εὐτράπελοι. Ἐξορίσατε, παρακαλῶ, τῶν ὑμετέρων ψυχῶν τὴν ἄχαριν ταύτην χάριν· παρασίτων τὸ πρᾶγμα, μίμων, ὀρχηστῶν, γυναικῶν πορνῶν· πόρρω ψυχῆς ἐλευθέρας, πόρρω εὐγενοῦς, καὶ δούλων πόρρω. Εἴ τις ἄτιμος, εἴ τις αἰσχρός, οὗτος καὶ εὐτράπελος.

Πολλοῖς δὲ καὶ ἀρετὴ τὸ πρᾶγμα εἶναι δοκεῖ· καὶ γὰρ τοῦτο πένθους ἄξιον. Ὥσπερ ἡ ἐπιθυμία κατὰ μικρὸν εἰς πορνείαν ἐξώκειλεν, οὕτω καὶ τὸ εὐτράπελον ἐπίχαρι εἶναι δοκεῖ, οὐδὲν δὲ τούτου ἄχαρι μᾶλλον. Ἄκουε γὰρ τῆς Γραφῆς λεγούσηςς· «Πρὸ βροντῆς κατασπεύδει ἀστραπή, καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις». Οὐδὲν δὲ τοῦ εὐτραπέλου ἀναισχυντότερον. Ὥστε οὐ χάριτος αὐτοῦ γέμει τὸ στόμα,

---

14. Οἱ χορεύοντες ἀσέμνους χορούς. Ὁ κόρδαξ ἦτο χορὸς ζωηρός, ἐλεύθερος, ἀπρεπὴς καὶ αἰσχρός· ἦτο χορὸς τῆς ἀρχαίας κωμῳδίας. Τὸ νὰ χορεύῃ κανεὶς αὐτὸν ἐκτὸς τῆς σκηνῆς ἐθεωρεῖτο σημεῖον μέθης καὶ παντελοῦς ἀναισχυντίας.

15. Σοφ. Σειρ. 32, 10.

Γρήγορα ὁ παρόμοιος ἄνθρωπος μεταστρέφεται καὶ μεταβάλλεται, διότι πρέπει αὐτὸς νὰ μιμῆται καὶ τὴν ἐξωτερικὴν ἐμφάνισιν, τὴν ὁμιλίαν τὸ γέλιο, τὸ βάδισμα καὶ τὰ πάντα˙ ἀκόμη πρέπει νὰ ἐπινοῇ αὐτὸς καὶ ἀστεῖα, διότι εἶναι ἀνάγκη νὰ κάμνῃ καὶ αὐτό. Αὐτὸ δὲν ἁρμόζει καθόλου εἰς τὸν χριστιανόν, δηλαδὴ τὸ νὰ διακωμωδῇ τοὺς ἄλλους. Καὶ εἶναι ἀνάγκη αὐτὸς ποὺ εἶναι εὐτράπελος νὰ δέχεται τὰ περιττὰ μίση ἐκείνων ποὺ χωρὶς λόγον περιπαίζει, εἴτε εἶναι παρόντες, εἴτε τὸ ἀκούσουν ἂν εἶναι ἀπόντες. Ἐὰν εἶναι καλὸν τὸ πρᾶγμα αὐτό, διατί ἀφήνεται νὰ γίνεται ἀπὸ τοὺς μίμους; Γίνεσαι μῖμος καὶ δὲν ἐντρέπεσαι; Διατί δὲν ἐπιτρέπετε εἰς τὰς ἐλευθέρας γυναῖκας σας νὰ κάμνουν αὐτό; δὲν θεωρεῖτε ὅτι τὸ πρᾶγμα αὐτὸ εἶναι δεῖγμα ἀσέμνου ἤθους καὶ ὄχι σεμνοῦ; Εἰς τὴν εὐτράπελον ψυχὴν κατοικοῦν μεγάλα κακά, μεγάλη φθορὰ καὶ ἐρημία˙ ἔχει χαθῆ ἡ ἁρμονία, ἔχει σαρωθῆ ἡ οἰκοδομή, ὁ φόβος ἔχει ἐξορισθῆ, ἡ εὐλάβεια ἀπεμακρύνθη. Ἔχεις τὴν γλῶσσαν διὰ νὰ εὐγνωμονῇς τὸν Θεὸν καὶ ὄχι διὰ νὰ διακωμῳδήσῃς τὸν ἄλλον. Δὲν βλέπεις τοὺς λεγομένους γελωτοποιούς, τοὺς κόρδακας;[14] αὐτοὶ εἶναι οἱ εὐτράπελοι. Ἐξορίσατε, παρακαλῶ, τὴν ἀνούσιον αὐτὴν χαρὰν ἀπὸ τὰς ἰδικάς σας ψυχάς. Τὸ πρᾶγμα εἶναι χαρακτηριστικὸν τῶν παρασίτων, τῶν μίμων, τῶν χορευτῶν, τῶν πορνῶν γυναικῶν˙ δὲν ἁρμόζει καθόλου εἰς ἐλευθέραν ψυχήν, εἰς εὐγενῆ, ἀκόμη καὶ εἰς τοὺς δούλους. Ἐκεῖνος ποὺ εἶναι ἄτιμος, ἐκεῖνος ποὺ εἶναι αἰσχρός, ἐκεῖνος εἶναι καὶ εὐτράπελος.

Πολλοὶ δὲ θεωροῦν τὴν εὐτραπελίαν καὶ ἀρετήν˙ πράγματι αὐτὸ εἶναι ἄξιον πένθους. Ὅπως ἀκριβῶς ἡ ἐπιθυμία ὡδήγησε σιγὰ-σιγὰ εἰς τὴν πορνείαν, ἔτσι καὶ ἡ ἀστειότης φαίνεται ὅτι εἶναι εὐχάριστος, τίποτε ὅμως δὲν εἶναι περισσότερον ἄχαρι ἀπ' αὐτήν. Διότι ἄκουε τὴν Γραφὴν ποὺ λέγει˙ «Πρὸ τῆς βροντῆς προηγεῖται ἡ ἀστραπή, καὶ πρὸ τοῦ ἐντροπαλοῦ νέου προβάλλει ἡ χάρις»[15]. Τίποτε δὲν εἶναι τόσον ἀδιάντροπον ὅσον ὁ εὐτράπελος. Ὥστε

ἀλλ' ὀδύνης. Ἐξορίσωμεν τοῦτο τὸ ἔθος τῶν τραπεζῶν. Εἰσὶ δέ τινες, οἳ καὶ τοὺς πένητας τοῦτο διδάσκουσιν. Ὢ τῆς ἀτοπίας! τοὺς ἐν θλίψεσιν εὐτραπελεύεσθαι ποιοῦσι. Ποῦ γὰρ οὐκ ἔστι τοῦτο τὸ νόσημα λοιπόν; Ἤδη καὶ ἐν τῇ Ἐκκλησίᾳ εἰσῆκται, ἤδη καὶ τῶν Γραφῶν ἥψατο. Εἴπω τι ἵνα δείξω τὴν ὑπερβολὴν τοῦ κακοῦ; Αἰσχύνομαι μέν, πλὴν ἀλλ' ὅμως ἐρῶ· βούλομαι γὰρ δεῖξαι οἷ προῆλθε τὸ κακόν, ἵνα μὴ δόξω μικρολογεῖν καὶ περὶ μικροῦ τινος ὑμῖν διαλέγεσθαι, ἵνα κἂν οὕτως ἀποστῆσαι δυνηθῶ τῆς πλάνης ὑμᾶς. Καὶ μή μέ τις οἰέσθω πλάττειν, ἀλλ' ἅπερ ἤκουσα ἐρῶ. Ἔτυχέ τις ὢν παρά τινι τῶν ἐπὶ γνώσει μέγα φρονούντων· καὶ οἶδα μὲν γέλωτα κινήσων, πλὴν ἀλλ' ὅμως ἐρῶ· καὶ τοῦ πίνακος παρατεθέντος, ἔλεγε· 'Δράξασθε, παιδία, μή ποτε ὀργισθῇ κοιλία'. Καὶ πάλιν ἕτεροί φασιν· 'Οὐαί σοι, μαμμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε'. Καὶ πολλὰ τοιαῦτα ἄτοπα ἡ εὐτραπελία ἐπεισήγαγεν, ὡς ὅταν λέγωσιν· '"Αρτι οὐκ ἔστι γένεσις;'. Καὶ τοῦτο λέγω τοῦ αἰσχροῦ ἤθους δεικνύων τὴν ἀτοπίαν· ψυχῆς γὰρ ἐρήμου εὐλαβείας ταυτὶ τὰ ῥήματα. Ἆρ' οὐχὶ σκηπτῶν ἄξια ταῦτα; Καὶ πολλὰ ἀπὸ τούτων καὶ ἕτερα τοιαῦτα λεγόμενα εὕροι τις ἄν.

Διό, παρακαλῶ, πάντοθεν τοῦτο ἐξορίσαντες τὸ ἔθος, ἐκεῖνα φθεγγώμεθα, ἃ ἡμῖν ἁρμόττει· καὶ μὴ τὰ ἅγια στόματα τὰ τῶν ἀτίμων καὶ αἰσχρῶν φθεγγέσθω ῥήματα. «Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;». Ἀγαπητὸν γάρ, πάντων τῶν ἀτόπων ἑαυτοὺς ἀποστήσαντας, δυνηθῆναι τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, μήτι γε τοσαῦτα ἐπισυρομένους, καὶ τὸ ἀκριβὲς τῆς διανοί-

16. Β΄ Κορ. 6, 14.

τὸ στόμα του δὲν εἶναι γεμᾶτον ἀπὸ χάριν, ἀλλ' ἀπὸ ὀδύνην. Ἂς ἐξορίσωμεν αὐτὴν τὴν συνήθειαν τῶν τραπεζῶν. Ὑπάρχουν δὲ μερικοί, ποὺ διδάσκουν αὐτὸ καὶ εἰς τοὺς πτωχούς. Τί ἀνοησία! κάμνουν τοὺς ἐν θλίψει εὑρισκομένους νὰ εἶναι εὐτράπελοι. Ποῦ λοιπὸν δὲν ὑπάρχει ἡ νόσος αὐτή; Ἤδη ἔχει εἰσαχθῆ καὶ εἰς τὴν Ἐκκλησίαν καὶ ἐπλησίασε καὶ τὴν Γραφήν. Νὰ εἰπῶ κάτι διὰ νὰ δείξω τὴν ὑπερβολὴν τοῦ κακοῦ; Ἐντρέπομαι μέν, ἀλλ' ὅμως θὰ τὸ εἰπῶ. Διότι θέλω νὰ δείξω εἰς ποῖον σημεῖον ἐπροχώρησε τὸ κακόν, διὰ νὰ μὴ φανῶ ὅτι φλυαρῶ καὶ σᾶς ὁμιλῶ διὰ κάποιο ἀσήμαντον ζήτημα, ὥστε ἔστω καὶ ἔτσι νὰ ἠμπορέσω νὰ σᾶς ἀπομακρύνω ἀπὸ τὴν πλάνην. Καὶ ἂς μὴ νομίζῃ κανεὶς ὅτι τὰ ἐπινοῶ τώρα, ἀλλὰ θὰ εἰπῶ ἐκεῖνα, ποὺ ἤκουσα. Ἔτυχε κάποιος νὰ εἶναι πλησίον εἰς ἕνα ἀπ' ἐκείνους ποὺ ὑπερηφανεύονται διὰ τὴν φρόνησίν των· γνωρίζω ὅτι θὰ προκαλέσω γέλια, πλὴν ὅμως θὰ τὸ εἰπῶ· καὶ ὅταν προσεφέρθη τὸ φαγητὸν ἔλεγεν· 'Ἁρπάξατε, παιδιά, μήπως ὀργισθῇ κάποτε ἡ κοιλία'. Καὶ τότε οἱ ἄλλοι λέγουν· 'Ἀλλοίμονον εἰς σέ, μαμμωνᾶ, καὶ εἰς ἐκεῖνον ποὺ δὲν σὲ ἔχει'. Καὶ πολλὰ τέτοια ἔφερεν εἰς τὴν συνέχειαν ἡ φλυαρία, ὅπως ὅταν λέγουν· 'Τώρα δὲν ὑπάρχει γένεσις;'. Καὶ λέγω αὐτὸ διὰ νὰ ἀποδείξω τὴν ἀνοησίαν τοῦ αἰσχροῦ ἤθους, διότι τὰ λόγια αὐτὰ εἶναι δεῖγμα ψυχῆς ποὺ στερεῖται εὐσεβείας. Ἆρα δὲν εἶναι αὐτὰ ἄξια κεραυνῶν; Καὶ θὰ ἠμποροῦσε κανεὶς νὰ ἀναφέρῃ πολλὰ καὶ ἄλλα παρόμοια λεγόμενα ἀπ' αὐτούς.

Διὰ τοῦτο, παρακαλῶ, ἀφοῦ ἐξορίσωμεν ἀπὸ παντοῦ τὴν συνήθειαν αὐτήν, ἂς λέγωμεν ἐκεῖνα, ποὺ ἁρμόζουν εἰς ἡμᾶς. Καὶ ἂς μὴ λέγουν τὰ στόματα τῶν ἁγίων τὰ λόγια τῶν ἀτίμων καὶ αἰσχρῶν ἀνθρώπων. «Διότι ποία σχέσις ἠμπορεῖ νὰ ὑπάρχῃ μεταξὺ δικαιοσύνης καὶ ἀνομίας; ποία δὲ ἐπικοινωνία μεταξὺ φωτὸς καὶ σκότους;»[16]. Εἶναι ἐπιθυμητὸν λοιπόν, ἀπομακρυνθέντες ἀπὸ ὅλα τὰ ἀνόητα πράγματα, νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ἔχουν ὑποσχεθῆ, χωρὶς βέβαια νὰ παραμελοῦμεν τόσον πολλὰ καὶ δι' αὐτῶν νὰ καταστρέφωμεν τὴν ἀκρίβειαν

ας διὰ τῶν τοσούτων λυμαινομένους. Ὁ γὰρ εὐτραπελευόμενος κακήγορος ἔσται ταχέως· ὁ δὲ κακήγορος καὶ μυρία ἑαυτῷ ἐπισωρεύει ἕτερα κακά. Ταῦτα δὴ οὖν τὰ δύο τῆς ψυχῆς εἴδη ρυθμίσαντες καὶ ὑποζεύξαντες τῷ λογισμῷ, καθάπερ ἵππους εὐηνίους, τήν τε ἐπιθυμίαν καὶ τὸν θυμόν, οὕτως ἐπιστήσωμεν τὸν νοῦν ἡνίοχον, ἵνα καὶ τὸ βραβεῖον λάβωμεν τῆς ἄνω κλήσεως· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τῆς διανοίας μας. Διότι ὁ εὐτράπελος σύντομα θὰ γίνῃ κακολόγος· ὁ δὲ κακολόγος θὰ ἐπισωρεύσῃ καὶ ἀμέτρητα ἄλλα κακὰ εἰς τὸν ἑαυτόν του. Ἀφοῦ λοιπὸν ρυθμίσωμεν αὐτὰ τὰ δύο εἴδη τῆς ψυχῆς καὶ τὰ ὑποτάξωμεν εἰς τὸ λογικόν, ὡσὰν εὐπειθῆ ἄλογα, καὶ τὴν ἐπιθυμίαν δηλαδὴ καὶ τὸν θυμόν, ἂς ἐγκαταστήσωμεν ἔτσι τὸν νοῦν ὡς ἡνίοχον, διὰ νὰ λάβωμεν καὶ τὸ βραβεῖον τῆς θεϊκῆς κλήσεως. Εἴθε ὅλοι ἡμεῖς νὰ κατορθώσωμεν αὐτὸ μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ΄
Ἐφ. 5, 5 - 14

«*Τοῦτο γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας*».

1. *Ἦσαν, ὡς ἔοικε, τινὲς καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων καὶ τὰς χεῖρας ἐκλύοντες τοῦ λαοῦ, καὶ τὸ παρὰ τοῦ Ἰεζεκιὴλ εἰρημένον εἰς ἔργον ἄγοντες, μᾶλλον δὲ τὰ τῶν ψευδοπροφητῶν ποιοῦντες, οἱ δρακὸς κριθῶν ἐκφαυλίζοντες τὸν Θεὸν ἐνώπιον τοῦ λαοῦ αὐτοῦ· ὃ δὴ καὶ νῦν οἶμαι παρά τινων γίνεσθαι. Ὅταν οὖν εἴπωμεν, ὅτι ὁ μωρὸν καλέσας τὸν ἀδελφόν, εἰς γέενναν ἀπέρχεται, ἄλλοι φασί· Ναί, ὁ μωρὸν καλέσας τὸν ἀδελφὸν εἰς γέενναν ἀπέρχεται; Οὐχί, φησί· καὶ ὅταν εἴπωμεν, ὅτι ὁ πλεονέκτης εἰδωλολάτρης ἐστί, καὶ τοῦτο πάλιν ἐκφαυλίζουσι, λέγοντες ὑπερβολῆς εἶναι τὸ ῥῆμα· καὶ πάσας οὕτω τὰς ἐντολὰς ἐξευτελίζουσι. Τούτους οὖν αἰνιττόμενος ὁ μακάριος Παῦλος, καὶ τότε ἔγραφεν Ἐφεσίοις, οὕτω λέγων· «Τοῦτο γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ». Εἶτα ἐπάγει· «Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις». Κενοί*

---

1. Ἐφ. 5, 5 - 6.
2. Ἰεζ. 13, 19.
3. Πρβλ. Ματθ. 5, 22.

ΟΜΙΛΙΑ ΙΗ΄
Ἐφ. 5, 5 - 14

«Διότι πρέπει νὰ γνωρίζετε καλὰ τοῦτο, ὅτι κάθε πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ποὺ εἶναι εἰδωλολάτρης, δὲν ἔχει τὸ δικαίωμα κληρονομίας εἰς τὴν βασιλείαν τοῦ Χριστοῦ καὶ Θεοῦ. Κανεὶς νὰ μὴ σᾶς ἐξαπατᾷ μὲ λόγια κούφια καὶ ψευδῆ. Διότι διὰ τὰ ἁμαρτήματα αὐτὰ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ κατὰ τῶν ἀπειθῶν ἀνθρώπων»[1].

1. Ἦσαν, ὅπως φαίνεται, μερικοὶ καὶ μεταξὺ τῶν ἰδικῶν μας προγόνων, ποὺ ἔλυον ἐντελῶς τὰ χέρια τοῦ λαοῦ καὶ μετέτρεπαν εἰς πρᾶξιν τὸ λεχθὲν ἀπὸ τὸν προφήτην Ἰεζεκιήλ, μᾶλλον δὲ καὶ ἐκτελοῦντες τὰ παραγγέλματα τῶν ψευδοπροφητῶν, οἱ βεβηλώνοντες τὸ ὄνομα τοῦ Θεοῦ μεταξὺ τοῦ λαοῦ του ἀντὶ δρακὸς κριθῆς[2]. Τὸ πρᾶγμα αὐτὸ λοιπὸν νομίζω ὅτι καὶ τώρα γίνεται ἀπὸ μερικούς. Ὅταν λοιπὸν λέγωμεν, ὅτι ἐκεῖνος ποὺ ἐκάλεσε τὸν ἀδελφόν του μωρόν, μεταβαίνει εἰς τὴν γέενναν τοῦ πυρός[3], ἄλλοι λέγουν· 'Ἀλήθεια, ἐκεῖνος ποὺ ἐκάλεσε τὸν ἀδελφόν του μωρὸν μεταβαίνει εἰς τὴν γέενναν τοῦ πυρός;'. Ὄχι, λέγει. Καὶ ὅταν λέγωμεν, ὅτι ὁ πλεονέκτης εἶναι εἰδωλολάτρης, καὶ τοῦτο πάλιν ἀπορρίπτουν, λέγοντες ὅτι τοῦτο εἶναι ὑπερβολικόν. Κατ' αὐτὸν τὸν τρόπον ἐξευτελίζουν ὅλας τὰς ἐντολάς. Ὑπαινισσόμενος αὐτοὺς λοιπὸν ὁ μακάριος Παῦλος, καὶ τότε ἔγραφε πρὸς τοὺς Ἐφεσίους, τὰ ἑξῆς· «Διότι πρέπει νὰ γνωρίζετε καλὰ τοῦτο, ὅτι κάθε πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ποὺ εἶναι εἰδωλολάτρης, δὲν ἔχει τὸ δικαίωμα κληρονομίας εἰς τὴν βασιλείαν τοῦ Χριστοῦ καὶ Θεοῦ». Εἰς τὴν συνέχειαν προσθέτει· «Κανεὶς νὰ μὴ σᾶς ἐξαπατᾷ μὲ λόγια κούφια καὶ ψευδῆ».

εἰσιν οὗτοι οἱ λόγοι, οἱ πρὸς καιρὸν χάριν ἔχοντες, καὶ οὐδαμῶς ἐπὶ τῶν ἔργων δεικνύμενοι· ἀπάτη γάρ τὸ πρᾶγμά ἐστι. «Διὰ ταῦτα ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας». Διὰ τὴν πορνείαν φησί, διὰ τὴν πλεονεξίαν, διὰ τὴν ἀκαθαρσίαν, ἢ καὶ διὰ ταῦτα καὶ διὰ τὴν ἀπάτην, ἐπειδή εἰσιν ἀπατεῶνες. Υἱοὺς ἀπειθείας, τοὺς σφόδρα ἀπειθεῖς, τοὺς αὐτῷ ἀπειθοῦντας καλεῖ.

«Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ». Ὅρα πῶς συνετῶς προέτρεψε· πρῶτον ἀπὸ τοῦ Χριστοῦ, ὅτι ἀγαπᾶτε ἀλλήλους, καὶ μηδένα ἀδικεῖτε· εἶτα πάλιν ἀπὸ τῆς κολάσεως καὶ τῆς γεέννης· «Ἦτε γάρ ποτε σκότος», φησί, «νῦν δὲ φῶς ἐν Κυρίῳ». Ὅπερ λέγει καὶ ἐν τῇ πρὸς Ρωμαίους Ἐπιστολῇ· «Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε», καὶ ἀναμιμνήσκει αὐτοὺς τῆς προτέρας κακίας· Ἐννοήσαντες τί ἦτέ ποτε ὑμεῖς, καὶ τί γεγόνατε νῦν, μὴ παλινδρομῆτε πρὸς τὴν προτέραν κακίαν, μηδὲ ἐνυβρίζητε τοῦ Θεοῦ τὴν χάριν. «Ἦτέ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ»· οὐκ ἀπὸ τῆς ὑμετέρας, φησίν, ἀρετῆς, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ χάριτος τοῦτο ὑμῖν ὑπῆρξε· τουτέστι, Καὶ ὑμεῖς τῶν αὐτῶν ἄξιοι ἦτέ ποτε, ἀλλ᾽ οὐκέτι. «Ὡς τέκνα τοίνυν φωτὸς περιπατεῖτε». Τί δή ἐστι, «Τέκνα φωτός», ἐπάγει ἑξῆς· «Ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ δικαιοσύνῃ καὶ ἀγαθωσύνῃ καὶ ἀληθείᾳ. Δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ». «Ἐν πάσῃ», φησίν, «ἀγαθωσύνῃ». Τοῦτο πρὸς τοὺς ὀργιζομένους, πρὸς τοὺς πικρούς· «Καὶ δικαιοσύνῃ»· τοῦτο πρὸς τοὺς πλεονεκτοῦν-

4. Ἐφ. 5, 7 - 8.
5. Ρωμ. 6, 21.
6. Ἐφ. 5, 9 - 10.

Κούφια εἶναι ἐκεῖνα ποὺ ἔχουν προσωρινῶς χάριν καὶ δὲν ἀποδεικνύονται μὲ κανένα τρόπον εἰς τὰ ἔργα· τὸ πρᾶγμα βέβαια αὐτὸ εἶναι ἀπάτη. «Διότι διὰ τὰ ἁμαρτήματα αὐτὰ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ κατὰ τῶν ἀπειθῶν ἀνθρώπων». Ὁμιλεῖ διὰ τὴν πορνείαν, διὰ τὴν πλεονεξίαν, διὰ τὴν ἀκαθαρσίαν ἢ καὶ διὰ τὰ ἁμαρτήματα αὐτὰ καὶ διὰ τὴν ἀπάτην, ἐπειδὴ ὑπάρχουν ἀπατεῶνες. «Υἱοὺς ἀπειθείας» ὀνομάζει τοὺς ὑπερβολικὰ ἀπειθεῖς, ἐκείνους ποὺ ἀπειθοῦν εἰς αὐτόν.

«Μὴ γίνεσθε λοιπὸν συμμέτοχοι τῶν ἀνθρώπων αὐτῶν εἰς τὰ πονηρὰ ἔργα των. Διότι ἄλλοτε ἦσθε σκότος, τώρα ὅμως διὰ τοῦ Κυρίου ἐγίνατε φῶς»[4]. Πρόσεχε πῶς μὲ σύνεσιν παρώτρυνεν αὐτούς· κατὰ πρῶτον ἀπὸ τὸν Χριστόν, διότι ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, καὶ δὲν ἀδικεῖτε κανένα· ἔπειτα πάλιν ἀπὸ τὴν τιμωρίαν καὶ γέενναν τοῦ πυρός. «Διότι», λέγει, ἄλλοτε ἦσθε σκότος, τώρα ὅμως διὰ τὸν Χριστὸν ἐγίνατε φῶς». Πρᾶγμα ποὺ λέγει καὶ εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολήν· «Ποίαν ὠφέλειαν λοιπὸν εἴχατε τότε ἀπὸ τὰ ἔργα τῆς ἁμαρτίας, διὰ τὰ ὁποῖα τώρα ἐντρέπεσθε;»[5], καὶ τοὺς ὑπενθυμίζει τὴν προηγουμένην κακίαν των· δηλαδή, Ἀφοῦ κατανοήσετε τί ἦσθε σεῖς ἄλλοτε, καὶ τί ἔχετε γίνει τώρα, μὴ ἐπιστρέφετε εἰς τὴν προηγουμένην κακίαν σας, οὔτε νὰ φέρεσθε ὑβριστικῶς πρὸς τὴν χάριν τοῦ Θεοῦ. «Ἄλλοτε ἦσθε σκότος, τώρα ὅμως διὰ τῆς ἐνώσεώς σας μὲ τὸν Χριστὸν ἐγίνατε φῶς». Τοῦτο, λέγει ὁ Παῦλος, ἔγινε εἰς σᾶς ὄχι ἐξ αἰτίας τῆς ἰδικῆς σας ἀρετῆς, ἀλλὰ διὰ τῆς χάριτος τοῦ Θεοῦ· δηλαδή, Καὶ σεῖς ἦσθε ἄλλοτε ἄξιοι τῶν ἰδίων, ἀλλ' ὄχι πλέον τώρα. «Νὰ συμπεριφέρεσθε ὡσὰν παιδιὰ φωτός». Διὰ νὰ δείξῃ λοιπὸν τί σημαίνει, «τέκνα φωτός», προσθέτει εἰς τὴν συνέχειαν· «Διότι ὁ καρπὸς ποὺ παράγει τὸ ἅγιον Πνεῦμα μέσα εἰς τὰς καρδίας τῶν πιστῶν, ἐκδηλώνεται μὲ κάθε δικαιοσύνην καὶ καλωσύνην καὶ φιλαλήθειαν. Καὶ ἐξετάζετε νὰ μάθετε, τί εἶναι εὐάρεστον ἐνώπιον τοῦ Κυρίου»[6]. «Μὲ κάθε καλωσύνην» λέγει. Αὐτὸ τὸ λέγει πρὸς τοὺς ὀργιζομένους καὶ πρὸς τοὺς κακούς. «Καὶ μὲ κάθε δικαιοσύνην»· αὐτὸ

τας· «Καὶ ἀληθείᾳ»· τοῦτο πρὸς τὴν ψευδῆ ἡδονήν. Οὐκ ἐκεῖνα ἃ εἶπον, φησίν, ἀλλὰ τὰ ἐναντία. «Ἐν πάσῃ». Τουτέστι, καρπὸν δεῖ πνευματικὸν ἐπιδείκνυσθαι ἐν πᾶσι. «Δοκιμάζοντες τί ἐστι τὸ εὐάρεστον τῷ Κυρίῳ». Ἄρα παιδικῆς ἐκεῖνα διανοίας καὶ ἀτελοῦς.

«Καὶ μὴ συγκοινωνεῖτε», φησί, «τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτός, φανεροῦται». Εἶπεν, ὅτι «Φῶς ἐστε»· τὸ δὲ φῶς ἐλέγχει τὰ ἐν σκότει γινόμενα. Ὥστε ἂν ἦτε ὑμεῖς, φησίν, ἐνάρετοι καὶ θαυμαστοί, λαθεῖν οὐ δυνήσονται οἱ πονηροί. Καθάπερ γὰρ λύχνου κειμένου πάντες φωτίζονται, καὶ ὁ λῃστὴς οὐκ ἂν ἐπεισέλθοι, οὕτω τοῦ φωτὸς ὑμῶν λάμποντος, ἁλώσονται οἱ πονηροὶ ἐλεγχόμενοι. Ἄρα διελέγχειν δεῖ. Πῶς οὖν φησι, «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε»; Ἐλέγχειν εἶπεν, οὐ κατακρίνειν, τουτέστι, παιδεύειν· καί, «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε», περὶ τῶν ἐλαχίστων ἁμαρτημάτων εἶπεν. Ἀμέλει καὶ ἐπήγαγε· «Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;».

Ὃ δὲ λέγει, τοῦτόν ἐστιν· Ὥσπερ τὸ τραῦμα, ἕως ἂν ἐμφωλεύῃ καλυπτόμενον ἄνωθεν, καὶ διὰ βάθους τρέχῃ, οὐδεμιᾶς ἀπολαύει τῆς ἐπιμελείας, οὕτω καὶ ἁμαρτία, ἕως μὲν ἂν κρύπτηται, καθάπερ ἐν σκότῳ μετὰ ἀδείας τολμᾶται πολλῆς· ἐπειδὰν δὲ φανερωθῇ, γίνεται φῶς· οὐχὶ αὐτὴ ἡ

---

7. Ἐφ. 5, 11 - 13.
8. Ματθ. 7, 1.
9. Ματθ. 7, 3.

τὸ λέγει πρὸς τοὺς πλεονέκτας. «Καὶ μὲ φιλαλήθειαν»· αὐτὸ τὸ λέγει πρὸς τὴν ψευδῆ ἡδονήν. Ὄχι ἐκεῖνα ποὺ εἶπα, λέγει, ἀλλὰ τὰ ἀντίθετα. «Ἐν πάσῃ». Δηλαδή, πρέπει εἰς ὅλα νὰ ἐπιδεικνύετε πνευματικὸν καρπόν. «Καὶ ἐξετάζετε νὰ μάθετε, τί εἶναι εὐάρεστον ἐνώπιον τοῦ Κυρίου». Ἑπομένως ἐκεῖνα ἦσαν δεῖγμα παιδικῆς καὶ ἀτελοῦς διανοίας.

«Καὶ νὰ μὴ συμμετέχετε εἰς τὰ ἔργα τοῦ σκότους, ποὺ δὲν φέρουν κανένα ὠφέλιμον καρπόν· ἀλλὰ μᾶλλον νὰ ἐλέγχετε τὰ ἔργα αὐτά. Διότι τὰ ἔργα, ποὺ πράττουν κρυφὰ οἱ ἀπειθεῖς αὐτοί, εἶναι αἰσχρὸν ἀκόμη καὶ νὰ τὰ ἀναφέρῃ κανείς. Ὅλα ὅμως τὰ ἔργα αὐτά, κάτω ἀπὸ τὸ φῶς τοῦ ἐλέγχου, γίνονται φανερὰ πόσον ὀλέθρια εἶναι»[7]. Εἶπεν, ὅτι «ἐγίνατε φῶς·» τὸ δὲ φῶς ἐλέγχει τὰ γινόμενα εἰς τὸ σκότος. Ὥστε ἂν εἶσθε σεῖς, λέγει, ἐνάρετοι καὶ θαυμαστοί, δὲν θὰ ἠμποροῦν νὰ διαφύγουν τὴν προσοχήν σας οἱ πονηροὶ ἄνθρωποι. Διότι, ὅπως ἀκριβῶς, ὅταν τὸ λυχνάρι εὑρίσκεται εἰς τὴν θέσιν του, ὅλοι φωτίζονται καὶ δὲν θὰ ἠμπορέσῃ ὁ ληστὴς νὰ εἰσέλθῃ εἰς τὸ σπίτι, ἔτσι ὅταν λάμπῃ τὸ ἰδικόν σας φῶς, θὰ ἀποκαλύπτωνται οἱ πονηροί, ἐπειδὴ ἐλέγχονται. Ἄρα πρέπει νὰ γίνεται αὐστηρὸς ἔλεγχος. Πῶς λοιπὸν τότε λέγει, «Μὴ κρίνετε τὸν πλησίον σας, διὰ νὰ μὴ κριθῆτε ἀπὸ τὸν Θεόν»[8]; Εἶπε νὰ ἐλέγχετε, ὄχι νὰ κατακρίνετε, δηλαδή, νὰ σωφρονίζετε. Ἐπίσης τὸ «Μὴ κρίνετε, διὰ νὰ μὴ κριθῆτε», τὸ εἶπεν διὰ τὰ ἀσήμαντα ἁμαρτήματα. Μάλιστα δὲ προσέθετε· «Διατί βλέπεις τὸ καρφὶ ποὺ ὑπάρχει εἰς τὸ μάτι τοῦ ἀδελφοῦ σου, τὸ δοκάρι δέ, ποὺ εἶναι εἰς τὸ μάτι σου, δὲν τὸ αἰσθάνεσαι»[9];

Αὐτὸ δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· Ὅπως τὸ τραῦμα, ἐν ὅσῳ κρύπτεται μέσα εἰς τὸ σῶμα μας καλυπτόμενον ἀπὸ ἐπάνω καὶ εἰσχωρεῖ βαθιὰ δὲν τὸ φροντίζομεν καθόλου, ἔτσι καὶ ἡ ἁμαρτία, ἐν ὅσῳ μὲν ἠμπορεῖ νὰ κρύπτεται, ὡσὰν νὰ εὑρίσκεται εἰς τὸ σκοτάδι, μὲ μεγάλην ἀσφάλειαν τολμᾷ τὰ πάντα, ὅταν ὅμως φανερωθῇ γίνεται φῶς· ὄχι ἡ ἰδία ἁμαρτία — διότι πῶς θὰ ἠμποροῦσε νὰ γίνῃ αὐτό; —

ἁμαρτία· πῶς γάρ; ἀλλ' ὁ ἐργασάμενος. Ὅταν γὰρ εἰς μέσον ἐνεχθῇ, ὅταν νουθετηθῇ, ὅταν μετανοήσῃ, ὅταν ἀφέσεως τύχῃ, οὐχὶ ἐξεκάθαρας αὐτοῦ τὸ σκότος; οὐχὶ τότε ἐθεράπευσας αὐτοῦ τὸ τραῦμα; οὐχὶ τὴν ἀκαρπίαν ἐξεκαλέσω πρὸς καρπόν; Ἢ τοῦτό φησιν, ἢ ἐκεῖνο, ὅτι Ὁ μὲν ὑμέτερος βίος φανερὸς ὤν, φῶς ἐστιν· οὐδεὶς γὰρ τὸν ἄληπτον κρύπτει βίον· τὰ δὲ κρυπτόμενα, διὰ τὸ ἐσκοτίσθαι κρύπτεται. Διὸ λέγει· «Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός». Καθεύδοντα καὶ νεκρὸν τὸν ἐν ἁμαρτίαις φησί· καὶ γὰρ δυσωδίας πνεῖ, ὡς ὁ νεκρός, καὶ ἀνενέργητός ἐστιν, ὡς ὁ καθεύδων, καὶ οὐδὲν ὁρᾷ, ὡς ἐκεῖνος, ἀλλ' ὀνειρώττει καὶ φαντάζεται. Οἱ μέν, «Ἐπιψαύσεις», φασί, «τοῦ Χριστοῦ»· οἱ δέ, «Ἐπιφαύσει σοι ὁ Χριστός»· μᾶλλον δὲ τοῦτό ἐστι. Ἀπόστηθι τῆς ἁμαρτίας, καὶ δυνήσῃ τὸν Χριστὸν ἰδεῖν. «Ὁ γὰρ τὰ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς»· ὁ τοίνυν μὴ πράττων, ἔρχεται.

2. Ἀλλ' οὐ περὶ τῶν ἀπίστων τοῦτο μόνον φησί· πολλοὶ γὰρ τῶν πιστῶν οὐδὲν ἧττον τῶν ἀπίστων τῆς κακίας ἔχονται· εἰσὶ δέ, οἳ καὶ πολλῷ μᾶλλον. Διὸ καὶ πρὸς τούτους ἀναγκαῖον εἰπεῖν· «Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός». Πρὸς τούτους ἁρμόζει καὶ τοῦτο εἰπεῖν· «Ὁ Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων». Εἰ τοίνυν οὐκ ἔστι νεκρῶν, ζήσωμεν. Τινὲς δὲ ὑπερβολὴν εἶναί φασι τό, ὁ πλεονέκτης εἰδωλολάτρης ἐστίν. Ἀλλ' οὐκ ἔστιν ὑπερβολῆς τὸ ῥῆμα, ἀλλὰ ἀληθείας. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι ἀφίσταται ἀπὸ τοῦ Θεοῦ ὁ πλεονέκτης, καθάπερ

10. Ἐφ. 5, 14.
11. Ἰω. 3, 20.
12. Ματθ. 22, 32.

ἀλλὰ ἐκεῖνος ποὺ τὴν ἔπραξε. Διότι ὅταν προσαχθῇ ἐνώπιον τῶν ἀνθρώπων, ὅταν νουθετηθῇ, ὅταν μετανοήσῃ, ὅταν λάβῃ συγχώρησιν, δὲν ἐκαθάρισες ἐντελῶς τὸ σκοτάδι του; δὲν ἐθεράπευσες τότε τὸ τραῦμα του; δὲν ἀπέκοψε τὴν ἀκαρπίαν διὰ νὰ φέρῃ καρπόν; Ἢ αὐτὸ ἐννοεῖ ἢ ἐκεῖνο, ὅτι ὁ μὲν ἰδικός σας τρόπος ζωῆς, ἐπειδὴ εἶναι φανερός, εἶναι φῶς· κανεὶς βέβαια δὲν ἀποκρύπτει τὸν καθαρὸν τρόπον ζωῆς. Τὰ δὲ κρυπτόμενα, ἐξ αἰτίας τοῦ ὅτι ἔχουν γίνει σκοτεινά, κρύπτονται. Διὰ τοῦτο λέγει· «Σήκω ἐπάνω σύ, ποὺ κοιμᾶσαι τὸν ὕπνον τῆς ἁμαρτίας, καὶ ἀναστήσου ἀπὸ τοὺς νεκροὺς τῆς ἁμαρτίας καὶ θὰ σὲ φωτίσῃ ὁ Χριστός»[10]. Κοιμώμενον καὶ νεκρὸν ἐννοεῖ τὸν ἄνθρωπον τῆς ἁμαρτίας· καὶ εἶναι ἀλήθεια ὅτι ἀποπνέει δυσωδίαν, ὅπως ὁ νεκρός, καὶ εἶναι ἀδρανής, ὅπως ὁ κοιμώμενος, καὶ τίποτε δὲν βλέπει, ὅπως ἐκεῖνος, ἀλλὰ ὀνειρεύεται καὶ φαντάζεται. Ἄλλοι μὲν λέγουν, «Θὰ πλησιάσῃς τὸν Χριστόν», ἄλλοι δέ, «θὰ σὲ φωτίσῃ ὁ Χριστός»· μᾶλλον αὐτὸ τὸ δεύτερον εἶναι. Φῦγε μακρὰν ἀπὸ τὴν ἁμαρτίαν καὶ θὰ ἠμπορέσῃς νὰ ἰδῇς τὸν Χριστόν. «Διότι ἐκεῖνος ποὺ ἐπιμένει νὰ πράττῃ ἔργα πονηρὰ καὶ κακά, ἀντιπαθεῖ καὶ ἀποστρέφεται τὸ φῶς, καὶ δὲν ἔρχεται εἰς τὸ φῶς»[11]. Ἀντιθέτως ὅμως ἐκεῖνος ποὺ δὲν πράττει ἔργα πονηρὰ καὶ κακά, ἔρχεται εἰς τὸ φῶς.

2. Ἀλλὰ δὲν τὸ λέγει αὐτὸ μόνον διὰ τοὺς ἀπίστους, διότι πολλοὶ πιστοὶ προσκολλῶνται εἰς τὴν κακίαν ὄχι ὀλιγώτερον ἀπὸ τοὺς ἀπίστους· ὑπάρχουν δὲ καὶ ἐκεῖνοι ποὺ προσκολλῶνται ἀσυγκρίτως περισσότερον. Διὰ τοῦτο καὶ πρὸς αὐτοὺς εἶναι ἀναγκαῖον νὰ εἰποῦμεν· «Σήκω ἐπάνω σύ, ποὺ κοιμᾶσαι τὸν ὕπνον τῆς ἁμαρτίας, καὶ ἀναστήσου ἀπὸ τοὺς νεκροὺς τῆς ἁμαρτίας καὶ θὰ σὲ φωτίσῃ ὁ Χριστός». Πρός αὐτοὺς ἁρμόζει νὰ εἰποῦμεν καὶ τοῦτο· «Δὲν εἶναι ὁ Θεός, Θεὸς νεκρῶν, ἀλλὰ ζωντανῶν»[12]. Ἐφ' ὅσον λοιπὸν δὲν εἶναι Θεὸς νεκρῶν, ἂς ζήσωμεν. Μερικοὶ δὲ ἰσχυρίζονται ὅτι εἶναι ὑπερβολικόν, τό, Ὁ πλεονέκτης εἶναι εἰδωλολάτρης. Ὅμως δὲν εἶναι ὑπερβολικὸς ὁ λόγος, ἀλλ' ἀληθινός. Πῶς καὶ μὲ ποῖον τρόπον; Διότι ὁ πλεονέ-

ὁ εἰδωλολάτρης. Καὶ ἵνα μὴ νομίσῃς ἁπλῶς εἰρῆσθαι, ἀπόφασίς ἐστι τοῦ Χριστοῦ λέγουσα· «Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμμωνᾷ». Οἱ μαμμωνᾷ δουλεύοντες, ἐξέβαλον ἑαυτοὺς τῆς τοῦ Θεοῦ δουλείας, οἱ δὲ ἀρνησάμενοι αὐτοῦ τὴν δεσποτείαν, καὶ χρυσῷ δουλεύοντες ἀψύχῳ, εὔδηλον ὅτι εἰδωλολάτραι εἰσίν.

Ἀλλ' οὐκ ἐποίησα, φησίν, εἴδωλον, οὐδὲ ἔστησα βωμόν, οὐδὲ κατέθυσα πρόβατα, οὐδὲ οἶνον ἐπέσπεισα, ἀλλ' εἰς ἐκκλησίαν εἰσῆλθον, καὶ χεῖρας ἀνέτεινα τῷ μονογενεῖ τοῦ Θεοῦ Παιδί, καὶ μυστηρίων μετέχω καὶ εὐχῆς κοινωνῶ, καὶ τῶν ἄλλων ἁπάντων, ὧν προσῆκε τὸν Χριστιανόν. Πῶς οὖν, φησίν, εἴδωλα προσκυνῶ; Τοῦτο μὲν οὖν αὐτὸ καὶ τὸ θαυμαστότατόν ἐστιν, ὅτι πεῖραν λαβὼν καὶ γευσάμενος τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ ἰδὼν ὅτι χρηστὸς ὁ Κύριος, τὸν μὲν χρηστὸν εἴασας, τὸν δὲ ὠμὸν τύραννον κατεδέξω, καὶ προσποιῇ μὲν τούτῳ δουλεύειν, τῇ δὲ ἀληθείᾳ τῷ σκληρῷ ζυγῷ καὶ χαλεπῷ τῆς φιλαργυρίας σαυτὸν ὑπέβαλες. Οὔπω μοι σὸν εἶπας κατόρθωμα, ἀλλὰ τὰ δῶρα τοῦ Δεσπότου. Εἰπὲ γάρ μοι, παρακαλῶ, τὸν στρατιώτην πόθεν κρίνομεν; ὅταν δορυφορῇ τὸν βασιλέα καὶ παρ' αὐτοῦ τρέφηται καὶ καλῆται αὐτοῦ, ἢ ὅταν τὰ ἐκείνου οὐ φρονῇ, ἀλλὰ προσποιῆται μὲν εἶναι μετ' ἐκείνου καὶ τὰ ἐκείνου θεραπεύειν, τὰ δὲ τῶν πολεμίων πράγματα αἱρῇ; Εὔδηλον ὅτι τὸν βασιλέα δορυφορῶν. Διὰ τοῦτο καὶ χαλεπωτέρας κολάσεως ἄξιος, ἢ τῆς τοῦ βασιλέως δουλείας ἑαυτὸν ἀπορρήξας, καὶ τοῖς ἐχθροῖς προστεθείς.

Καὶ σὺ τοίνυν ὑβρίζεις τὸν Θεὸν καθάπερ εἰδωλολάτρης, οὐχ ἑνὶ στόματι τῷ σῷ, ἀλλὰ μυρίοις τοῖς ἠδικημένοις.

---

13. Ματθ. 6, 24.

κτης ἀπομακρύνεται ἀπὸ τὸν Θεόν, ὅπως ἀκριβῶς ὁ εἰδωλολάτρης. Καὶ διὰ νὰ μὴ νομίσῃς ὅτι ἁπλῶς ἔχει λεχθῆ αὐτό, εἶναι ἀπόφασις τοῦ Χριστοῦ ποὺ λέγει· «Δὲν ἠμπορεῖτε νὰ εἶσθε συγχρόνως δοῦλοι καὶ τοῦ Θεοῦ καὶ τοῦ μαμμωνᾶ»[13]. Οἱ δουλεύοντες εἰς τὸν μαμμωνᾶν ἔφυγαν μόνοι των ἀπὸ τὴν δουλείαν τοῦ Θεοῦ, ἐκεῖνοι ὅμως ποὺ ἠρνήθησαν τὴν ἐξουσίαν τοῦ Θεοῦ καὶ εἶναι δοῦλοι τοῦ ἀψύχου χρυσοῦ, εἶναι ὁλοφάνερον ὅτι εἶναι εἰδωλολάτραι.

Ἀλλά, θὰ εἰπῇ, δὲν ἔκαμα εἴδωλον, οὔτε ἔστησα βωμόν, οὔτε ἐθυσίασα πρόβατα, οὔτε προσέφερα ὡς σπονδὴν οἶνον, ἀλλὰ εἰσῆλθον εἰς τὴν ἐκκλησίαν καὶ ὕψωσα τὰ χέρια μου πρὸς τὸν Μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καὶ συμμετέχω εἰς τὰ μυστήρια καὶ λαμβάνω μέρος εἰς τὴν προσευχὴν καὶ εἰς ὅλα τὰ ἄλλα ποὺ ἁρμόζουν εἰς τὸν χριστιανόν. Πῶς λοιπόν, λέγει, προσκυνῶ τὰ εἴδωλα; Αὐτὸ βέβαια εἶναι τὸ παραδοξότερον ὅλων, διότι, ἀφοῦ ἔλαβες πεῖραν καὶ ἐδοκίμασες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ ἀφοῦ εἶδες ὅτι ὁ Κύριος εἶναι ἀγαθός, τὸν μὲν ἀγαθὸν ἐγκατέλειψες καὶ ἀπεδέχθης τὸν ἄγριον τύραννον, καὶ προσποιεῖσαι ὅτι εἶσαι δοῦλος τοῦ Κυρίου, εἰς τὴν πραγματικότητα ὅμως ὑπέβαλες τὸν ἑαυτόν σου εἰς τὸν σκληρὸν καὶ φοβερὸν ζυγὸν τῆς φιλαργυρίας. Δὲν μοῦ εἶπες ἀκόμη τὸ ἰδικόν σου κατόρθωμα, ἀλλὰ τὰ δῶρα τοῦ Θεοῦ. Διότι, εἰπέ μου, παρακαλῶ, ἀπὸ ποῦ κρίνομεν τὸν πιστὸν στρατιώτην, ὅταν εἶναι σωματοφύλαξ τοῦ βασιλέως καὶ τρέφεται ἀπ' αὐτὸν καὶ θεωρεῖται ὅτι ἀνήκει εἰς αὐτόν, ἢ ὅταν δὲν ἔχῃ τὰ αὐτὰ μὲ ἐκεῖνον φρονήματα, ἀλλὰ προσποιεῖται ὅτι ἀνήκει εἰς ἐκεῖνον καὶ φροντίζει τὰς ὑποθέσεις του, ὅμως ἀποδέχεται τὰ ἔργα τῶν ἐχθρῶν; Εἶναι φανερὸν ὅτι εἶναι πιστός, ὅταν εἶναι σωματοφύλαξ τοῦ βασιλέως. Διὰ τοῦτο εἶσαι ἄξιος καὶ σκληροτέρας τιμωρίας, παρὰ ὅταν ἀποχωρισθῇς ἀπὸ τὴν ὑπηρεσίαν τοῦ βασιλέως καὶ προστεθῇς εἰς τοὺς ἐχθρούς του.

Καὶ σὺ λοιπὸν ὑβρίζεις τὸν Θεὸν ὡσὰν εἰδωλολάτρης, ὄχι μὲ τὸ ἕνα στόμα τὸ ἰδικόν σου, ἀλλὰ μὲ τὰ πολλὰ τῶν ἀδικημένων. Ἀλλὰ δὲν εἶναι εἰδωλολάτρης, θὰ εἰπῇ κά-

Ἀλλ' εἰδωλολάτρης, φησίν, οὐκ ἔστιν. Ὅταν οὖν λέγωσιν οἱ Ἕλληνες, "Ὁ Χριστιανὸς ὁ πλεονέκτης", τότε οὐκ αὐτὸς μόνος ὑβρίζει δι' ὧν πράττει, ἀλλὰ καὶ τοὺς ἠδικημένους ἀναγκάζει πολλάκις τοῦτο λέγειν· εἰ δὲ μὴ λέγουσι, τοῦτο τῆς ἐκείνων εὐλαβείας λογιστέον. Ἢ οὐχ ὁρῶμεν τὰ πράγματα οὕτω γινόμενα; Ὁ εἰδωλολάτρης, τί ἄλλο; ἢ οὐχὶ καὶ αὐτὸς πάθη προσκυνεῖ πολλάκις, μὴ τοῦ πάθους κρατῶν; Οἷόν τι λέγω· Ὅταν εἴπωμεν, ὅτι εἴδωλα προσκυνεῖ, Οὔ, φησίν, ἀλλὰ τὴν Ἀφροδίτην, ἀλλὰ τὸν Ἄρην. Κἂν εἴπωμεν, Τίς αὕτη ἡ Ἀφροδίτη; οἱ σεμνότεροι αὐτῶν φασιν· Ἡ ἡδονή· Καὶ τίς ὁ Ἄρης; Ὁ θυμός. Οὕτω καὶ σὺ τὸν μαμμωνᾶν. Καὶ σὺ ταύτην προσκυνεῖς; Οὐ προσκυνῶ, φησί. Διὰ τί; ὅτι οὐ κάμπτεις σαυτόν; Ἀλλὰ νῦν πολλῷ μᾶλλον προσκυνεῖς διὰ τῶν ἔργων καὶ τῶν πραγμάτων· αὕτη γὰρ μείζων ἡ προσκύνησις. Καὶ ἵνα μάθῃς, θέα ἐπὶ τοῦ Θεοῦ, τίνες μᾶλλον αὐτὸν προσκυνοῦσιν, οἱ ἁπλῶς ἑστῶτες ἐν ταῖς προσευχαῖς, ἢ οἱ τὸ θέλημα αὐτοῦ ποιοῦντες; Εὔδηλον ὅτι οὗτοι.

Οὕτω καὶ οἱ ἐπὶ τοῦ μαμμωνᾶ, οἱ τὸ θέλημα αὐτοῦ ποιοῦντες, μᾶλλον αὐτὸν προσκυνοῦσι. Καίτοι ἐκεῖνοι τὰ πάθη προσκυνοῦντες, πολλάκις ἐκτός εἰσι τῶν παθῶν· ἴδοι γὰρ ἄν τις τὸν τοῦ Ἄρεως θεραπευτήν, τοῦ θυμοῦ κρατοῦντα πολλάκις· ἐπὶ δὲ σοῦ οὐκέτι τοῦτο, ἀλλὰ τῷ πάθει καταδουλοῖς σεαυτόν. Ἀλλ' οὐ σφάζεις πρόβατα; Ἀλλ' ἀνθρώπους, καὶ ψυχὰς λογικάς, τὰς μὲν λιμῷ, τὰς δὲ βλασφημίαις. Οὐδὲν ταύτης τῆς θυσίας βακχικώτερον. Τίς εἶδε ψυχὰς σφαζομένας ποτέ; Ἐπάρατος ὁ τῆς πλεονεξίας βωμός. Παρὰ

14. Κατὰ τὸν Ὅμηρον θυγατέρα τοῦ Διὸς καὶ τῆς Διώνης, κατὰ δὲ τὸν μῦθον ἀναδυθεῖσα ἀπὸ τὸν ἀφρὸν τῆς θαλάσσης, θεὰ τοῦ κάλλους καὶ τοῦ ἔρωτος.

14α. Υἱὸς τοῦ Διὸς καὶ τῆς Ἥρας, θεὸς τοῦ πολέμου, ἕνας ἀπὸ τοὺς δώδεκα θεοὺς τοῦ Ὀλύμπου.

ποιος. Ὅταν λοιπὸν λέγουν οἱ Ἕλληνες, 'Ὁ χριστιανὸς ὁ πλεονέκτης', τότε δὲν ὑβρίζει αὐτὸς μόνον τὸν Θεὸν μ' ἐκεῖνα ποὺ πράττει, ἀλλ' ἀναγκάζει καὶ τοὺς ἀδικημένους νὰ κάμνουν πολλάκις αὐτό· ἐὰν ὅμως δὲν τὸ λέγουν, αὐτὸ πρέπει νὰ καταλογισθῇ εἰς τὴν εὐσέβειαν τῶν Ἑλλήνων. Ἢ δὲν βλέπομεν νὰ γίνωνται ἔτσι τὰ πράγματα; Τί ἄλλο κάμνει ὁ εἰδωλολάτρης; μήπως δὲν προσκυνεῖ πολλάκις καὶ αὐτὸς τὰ πάθη, χωρὶς νὰ εἶναι κυρίαρχος τοῦ πάθους; Ἐπεξηγῶ τί ἐννοῶ· ὅταν λέγωμεν ὅτι προσκυνεῖ τὰ εἴδωλα, θὰ εἰπῇ κάποιος, Ὄχι δὲν προσκυνεῖ εἴδωλα, ἀλλὰ προσκυνεῖ τὴν Ἀφροδίτην[14], τὸν Ἄρην[14α]. Καὶ ἂν ἐρωτήσωμεν, Ποία εἶναι αὐτὴ ἡ Ἀφροδίτη; οἱ σεμνότεροι ἀπ' αὐτοὺς ἀπαντοῦν· Ἡ ἡδονή. Καὶ ποῖος εἶναι ὁ Ἄρης; Ὁ θυμός. Ἔτσι καὶ σὺ προσκυνεῖς τὸν μαμμωνᾶν. Ἂν ἐρωτήσωμεν, Ποῖος εἶναι ὁ μαμμωνᾶς; Ἡ πλεονεξία. Καὶ σὺ προσκυνεῖς αὐτήν; Δὲν τὴν προσκυνῶ, θὰ εἰπῇ. Διατί; μήπως ἐπειδὴ δὲν λυγίζεις τὸ γόνατόν σου; Ἀλλὰ τώρα προσκυνεῖς ἀσυγκρίτως περισσότερον μὲ τὰ ἔργα καὶ τὰ πράγματα, διότι αὐτὴ εἶναι ἡ μεγαλυτέρα προσκύνησις. Καὶ διὰ νὰ μάθῃς, πρόσεχε τί συμβαίνει μὲ τὸν Θεόν· ποῖοι προσκυνοῦν περισσότερον αὐτόν, ἐκεῖνοι ποὺ ἁπλῶς μόνον παραστέκονται εἰς τοὺς τόπους προσευχῆς ἢ ἐκεῖνοι ποὺ πράττουν τὸ θέλημά του; Εἶναι ὁλοφάνερον ὅτι αὐτοὶ ποὺ πράττουν τὸ θέλημά του.

Ἔτσι συμβαίνει καὶ μὲ τὸν μαμμωνᾶν· ἐκεῖνοι ποὺ κάμνουν τὸ θέλημά του, προσκυνοῦν περισσότερον αὐτόν. Ἂν καὶ βέβαια ἐκεῖνοι ποὺ προσκυνοῦν τὰ πάθη, πολλάκις εἶναι ἀπηλλαγμένοι τούτων. Θὰ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς τὸν ὑπηρέτην τοῦ Ἄρεως, νὰ εἶναι πολλάκις κύριος τοῦ θυμοῦ του. Εἰς σὲ ὅμως δὲν συμβαίνει πλέον αὐτό, ἀλλὰ ὑποδουλώνεις τελείως τὸν ἑαυτόν σου εἰς τὸ πάθος. Ἀλλὰ δὲν σφάζεις πρόβατα; Φονεύεις ὅμως ἀνθρώπους καὶ ψυχὰς λογικάς, ἄλλας μὲν μὲ τὴν πεῖναν, ἄλλας δὲ μὲ μὲ τὰς βλασφημίας. Δὲν ὑπάρχει τίποτε τὸ περισσότερον ὀργιαστικὸν ἀπὸ τὴν θυσίαν αὐτήν. Ποῖος εἶδε ποτὲ σφαζομένας ψυχάς; Ἐπικατάρατος εἶναι ὁ βωμὸς τῆς πλεο-

γὰρ τοῦτον τῶν εἰδώλων ἂν ἔλθῃς βωμόν, ὄψει αἰγείων καὶ βοείων αἱμάτων ὄζοντα· παρὰ δὲ τὸν τῆς πλεονεξίας βωμὸν ἂν ἔλθῃς, αἱμάτων ἀνθρωπίνων ὄψει χαλεπὸν ἀποπνέοντα· ἂν παραστῇς ἐνταῦθα, οὐ θεάσῃ πτερὰ καιόμενα ὀρνίθων, οὐδὲ κνίσσαν καὶ καπνὸν ἀναδιδόμενον, ἀλλὰ σώματα ἀνθρώπινα ἀπολλύμενα. Οἱ μὲν γὰρ εἰς κρημνοὺς ἑαυτοὺς ἔρριψαν, οἱ δὲ βρόχον ἧψαν, οἱ δὲ ξίφος διήλασαν διὰ τοῦ λαιμοῦ. Εἶδες θυσίας ὠμὰς καὶ ἀπανθρώπους; Βούλει τούτων χαλεπωτέρας ἰδεῖν; Ἐγώ σοι δείξω, οὐκέτι σώματα ἀνθρώπων, ἀλλὰ καὶ ψυχὰς ἀνθρώπων κατασφαττομένας ἐκεῖ. Καὶ γὰρ ἔστι ψυχὴν σφάττεσθαι σφαγῇ τῇ προσηκούσῃ ψυχῇ· ὥσπερ γάρ ἐστι σώματος θάνατος, οὕτω καὶ ψυχῆς· «Ψυχὴ γὰρ ἡ ἁμαρτάνουσα», φησίν, «αὐτὴ καὶ ἀποθανεῖται». Οὐ τοιοῦτος, οἷος ὁ τοῦ σώματος θάνατος, ἀλλὰ πολλῷ χαλεπώτερος ὁ τῆς ψυχῆς. Οὗτος μὲν γὰρ ὁ σωματικὸς θάνατος διαλύσας ἀπ' ἀλλήλων τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸ μὲν πολλῶν φροντίδων καὶ πόνων ἀνέπαυσε, τὴν δὲ εἰς φανερὸν χῶρον παρέπεμψεν· εἶτα τῷ χρόνῳ διαλυθὲν καὶ ἀπορρεῦσαν, πάλιν συνάγεται μετὰ ἀφθαρσίας, καὶ τὴν οἰκείαν ἀπολαμβάνει ψυχήν.

3. Οὗτος μὲν οὖν τοιοῦτος· ὁ δὲ τῆς ψυχῆς φρικτὸς καὶ φοβερός. Οὐ γὰρ ἐὰν διαλυθῇ, καθάπερ τὸ σῶμα αὐτὴν παραπέμπει ἀλλὰ καταδεθεῖσαν πάλιν ἀφθάρτῳ σώματι, εἰς τὸ πῦρ ἐμβιβάζει τὸ ἄσβεστον. Οὗτος τοίνυν ἐστὶν ὁ ψυχῆς θάνατος. Ὥσπερ οὖν ἐστι ψυχῆς θάνατος, οὕτω καὶ σφαγὴ ψυχῆς. Τί σώματος σφαγή; Τὸ νεκρωθῆναι, καὶ τῆς ἐνεργείας ἀπορραγῆναι τῆς κατὰ ψυχήν. Τί ἐστι ψυχῆς σφαγή; Καὶ αὐτὸ νέκρωσις. Τί δὲ νέκρωσις ψυχῆς; Ὥσπερ γὰρ τὸ σῶμα τότε νεκροῦται, ὅταν ἔρημον αὐτὸ καταλίπῃ τῆς οἰκείας ἐνεργείας ἡ ψυχή· οὕτω καὶ ἡ ψυχὴ τότε νεκροῦται,

15. Ἰεζ. 18, 14.

νεξίας. Διότι ἐὰν πλησιάσῃς εἰς αὐτὸν τὸν βωμὸν τῶν εἰδώλων, θὰ ἰδῇς νὰ μυρίζουν αἵματα αἰγῶν καὶ βοδιῶν· ἂν πλησιάσῃς ὅμως εἰς τὸν βωμὸν τῆς πλεονεξίας θὰ ἰδῇς νὰ μυρίζῃ ἀνθρώπινα αἵματα· καὶ ἂν σταθῇς πλησίον αὐτοῦ, δὲν θὰ ἰδῇς νά καίωνται πτερὰ ὀρνίθων, οὔτε κνίσσαν καὶ καπνὸν ν' ἀναβαίνῃ ὑψηλά, ἀλλὰ σώματα ἀνθρώπων νὰ καταστρέφωνται. Διότι ἄλλοι μὲν ἔπεσαν εἰς τοὺς κρημνούς, ἄλλοι δὲ ἔδεσαν βρόχον καὶ ἄλλοι διαπέρασαν τὸ ξίφος εἰς τὸν λαιμόν των. Εἶδες θυσίας ὠμὰς καὶ ἀπανθρώπους; Θέλεις νὰ ἰδῇς φοβερωτέρας ἀπ' αὐτάς; Ἐγὼ θὰ σοῦ δείξω νὰ σφάζωνται μὲ ἀγριότητα ἐκεῖ ὄχι πλέον σώματα ἀνθρώπων, ἀλλὰ καὶ ψυχαὶ ἀνθρώπων. Καὶ βέβαια εἶναι δυνατὸν νὰ σφάζεται ἡ ψυχὴ μὲ τὴν σφαγὴν ποὺ τῆς ἁρμόζει· διότι ὅπως ἀκριβῶς ὑπάρχει θάνατος τοῦ σώματος, ἔτσι ὑπάρχει καὶ τῆς ψυχῆς. «Διότι ἡ ἁμαρτάνουσα ψυχή», λέγει, «θὰ ἀποθάνῃ»[15]. Ὁ θάνατος τῆς ψυχῆς δὲν εἶναι τέτοιος, ὅπως ὁ θάνατος τοῦ σώματος, ἀλλὰ πολὺ φοβερώτερος. Διότι αὐτὸς μὲν ὁ σωματικὸς θάνατος, ἀφοῦ διαλύσῃ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπ' ἀλλήλων, τὸ μὲν σῶμα τὸ ἀνέπαυσεν ἀπὸ τὰς πολλὰς φροντίδας καὶ τοὺς κόπους, τὴν δὲ ψυχὴν ἀπέστειλεν εἰς φανερὸν χῶρον· ἔπειτα μὲ τὴν πάροδον τοῦ χρόνου, ἀφοῦ διαλυθῇ καὶ φθαρῇ, πάλιν συνάγεται τὸ σῶμα μὲ ἀφθαρσίαν καὶ λαμβάνει τὴν ἰδίαν ψυχήν.

3. Ὁ σωματικὸς λοιπὸν θάνατος εἶναι τέτοιος, τῆς ψυχῆς ὅμως εἶναι φρικτὸς καὶ φοβερός. Διότι ἐὰν διαλυθῇ, δὲν ἀποστέλλει ὅπως τὸ σῶμα αὐτήν, ἀλλ' ἀφοῦ συνδεθῇ πάλιν μὲ τὸ ἄφθαρτον σῶμα τὸ βάψει μέσα εἰς τὸ πῦρ τὸ ἄσβεστον. Αὐτὸς λοιπὸν εἶναι ὁ θάνατος τῆς ψυχῆς. Ὅπως ὑπάρχει λοιπὸν θάνατος τῆς ψυχῆς, ἔτσι ὑπάρχει καὶ σφαγὴ τῆς ψυχῆς. Τί εἶναι τοῦ σώματος ἡ σφαγή; Τὸ νὰ νεκρωθῇ τὸ σῶμα καὶ νὰ ἀποκοπῇ ἀπὸ τὴν ἐπενέργειαν τῆς ψυχῆς. Τί εἶναι ἡ σφαγὴ τῆς ψυχῆς; Καὶ αὐτὸ εἶναι νέκρωσις. Καὶ τί σημαίνει νέκρωσις ψυχῆς; Ὅπως βέβαια τότε νεκρώνεται τὸ σῶμα, ὅταν ἐγκαταλείψῃ αὐτὸ χωρὶς τὴν ἰδικήν της ἐνέργειαν ἡ ψυχή, ἔτσι καὶ ἡ ψυχὴ

ὅταν ἔρημον αὐτὴν καταλίπῃ τῆς οἰκείας ἐνεργείας τὸ Πνεῦμα τὸ ἅγιον. Αὗται μάλιστα αἱ σφαγαὶ παρὰ τῷ βωμῷ τῆς πλεονεξίας εἰσίν· οὐ κορέννυνται, οὐδὲ ἵστανται μέχρι τοῦ αἵματος τῶν ἀνθρώπων, ἀλλ' ἂν μὴ καὶ τὴν ψυχὴν αὐτὴν καταθύσῃ, οὐκ ἐμπίπλαται ὁ τῆς πλεονεξίας βωμός, ἂν μὴ ἀμφοτέρων τὰς ψυχὰς δέξηται, τοῦ τε θύοντος, τοῦ τε θυομένου. Τὸν γὰρ θύοντα πρῶτον ἀνάγκη τυθῆναι, καὶ οὕτω θύει, καὶ ὁ νεκρὸς θύει τὸν τέως ζῶντα. Ὅταν γὰρ εἴπῃ βλάσφημα, ὅταν λοιδορῆται, ὅταν δυσχεραίνῃ, οὐχ αἱ πληγαὶ αὗται τῆς ψυχῆς εἰσιν ἀνίατοι; Εἶδες ὅτι οὐχ ὑπερβολῆς τὸ ῥῆμά ἐστι;

Βούλει καὶ ἕτερον ἀκοῦσαι καὶ μαθεῖν πῶς εἰδωλολατρεία ἡ πλεονεξία, καὶ χαλεπώτερον εἰδωλολατρείας; Οἱ εἰδωλολάτραι τοῖς τοῦ Θεοῦ κτίσμασι προσκυνοῦσι· «Καὶ ἐσεβάσθησαν» γάρ, φησί, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα»· σὺ δὲ τῷ κτίσματι τῷ σαυτοῦ προσκυνεῖς. Ὁ γὰρ Θεὸς πλεονεξίαν οὐκ ἐδημιούργησεν, ἀλλ' ἡ τῆς σῆς ἀπληστίας ἐπεξεῦρεν ἀμετρία. Καὶ θέα μανίαν καὶ γέλωτα. Οἱ τὰ εἴδωλα προσκυνοῦντες, καὶ τιμῶσιν αὐτὰ ἃ προσκυνοῦσι· κἂν εἴπῃ τις κακῶς, κἂν λοιδορήσηται, προΐστανται· σὺ δὲ καθάπερ ὑπό τινος μέθης πρᾶγμα προσκυνεῖς, ὃ οὐ μόνον κατηγορίας οὐκ ἀπήλλακται, ἀλλὰ καὶ ἀσεβείας ἐστὶ μεστόν. Ὥστε μᾶλλον αὐτῶν χείριστος εἶ· οὐ γὰρ ἂν ἔχοις ἀπολογίαν εἰπεῖν, ὅτι οὐ κακόν. Εἰ καὶ τὰ μάλιστα κἀκεῖνοί εἰσιν ἀναπολόγητοι, ἀλλὰ οὐ πολλῷ μᾶλλον μυριάκις πλεονεξίας κατηγορῶν, καὶ τοὺς θεραπεύοντας αὐτὴν καὶ δουλεύοντας καὶ πειθομένους ἅπαντας κακίζων.

Εἰ δὲ βούλεσθε, ἐξετάσωμεν πόθεν ἐπεισῆλθεν ἡ εἰδωλολατρεία. Λέγει τις σοφὸς ἀνήρ, ὅτι πλούσιός τις ἄνθρωπος ἀώρῳ πένθει τρυχόμενος υἱοῦ, καὶ παραμυθίαν οὐδεμίαν ἔ-

16. Ρωμ. 1, 25.
17. Σοφ. Σολ. 14, 15 ἑ.

νεκρώνεται, ὅταν ἐγκαταλείψῃ αὐτὴν χωρὶς τὴν ἰδικήν του ἐνέργειαν τὸ ἅγιον Πνεῦμα. Αἱ σφαγαὶ αὐταὶ γίνονται κυρίως ἐπάνω εἰς τὸν βωμὸν τῆς πλεονεξίας· δὲν προκαλοῦν κορεσμόν, οὔτε ἀρκοῦνται εἰς τὸ αἷμα τῶν ἀνθρώπων, ἀλλ' ἂν δὲν θὰ θυσιάσῃς καὶ αὐτὴν τὴν ψυχήν, δὲν ἱκανοποιεῖται ὁ βωμὸς τῆς πλεονεξίας, ἂν δὲν δεχθῇ τὰς ψυχὰς καὶ τῶν δύο, καὶ τοῦ θύτου δηλαδὴ καὶ τοῦ θύματος. Ἐν πρώτοις εἶναι ἀνάγκη νὰ θυσιασθῇ ὁ θύτης, καὶ ἔτσι προσφέρει θυσίαν, καὶ ὁ νεκρὸς θυσιάζει τὸν μέχρι πρὸ ὀλίγου ζωντανόν. Διότι ὅταν βλασφημήσῃ, ὅταν κακολογῇ, ὅταν δυσαnασχετῇ, δὲν εἶναι αὐταὶ αἱ πληγαὶ τῆς ψυχῆς ἀνίατοι; Εἶδες ὅτι δὲν εἶναι ὑπερβολικὸς ὁ λόγος ὅτι ὁ πλεονέκτης εἶναι εἰδωλολάτρης;

Θέλεις νὰ ἀκούσῃς καὶ ἄλλον, καὶ νὰ μάθῃς ὅτι ἡ πλεονεξία εἶναι εἰδωλολατρεία καὶ μάλιστα φοβερωτέρα ἀπὸ τὴν εἰδωλολατρείαν; Οἱ εἰδωλολάτραι προσκυνοῦν τὰ κτίσματα τοῦ Θεοῦ. Διότι λέγει· «Καὶ ἀπέδωσαν τὸν σεβασμόν των καὶ τὴν λατρείαν των εἰς τὴν κτίσιν, παρὰ εἰς τὸν κτίστην[16]. Σὺ ὅμως προσκυνεῖς τὸ ἰδικόν σου κτίσμα. Διότι ὁ Θεὸς δὲν ἐδημιούργησε τὴν πλεονεξίαν, ἀλλὰ τὴν ἐπενόησεν ἡ ἰδική σου ἀμέτρητος ἀπληστία. Καὶ πρόσεχε τὴν μανίαν καὶ τὸ γέλιο. Οἱ προσκυνοῦντες τὰ εἴδωλα καὶ τιμοῦν αὐτὰ ποὺ προσκυνοῦν· καὶ ἂν τὰ συκοφαντήσῃ κανεὶς ἢ τὰ ὑβρίσῃ, αὐτοὶ τὰ ὑπερασπίζονται. Σὺ ὅμως, ὡσὰν ἀπὸ κάποιαν μέθην ἀγόμενος, προσκυνεῖς πρᾶγμα, τὸ ὁποῖον ὄχι μόνον δὲν εἶναι ἀπηλλαγμένον ἀπὸ κατηγορίαν, ἀλλ' εἶναι καὶ γεμᾶτον ἀπὸ ἀσέβειαν. Ἑπομένως, μᾶλλον εἶσαι πολὺ χειρότερος ἀπ' αὐτούς, διότι δὲν ἠμπορεῖς ν' ἀπολογηθῇς, ὅτι δὲν εἶναι κακόν. Ἂν καὶ ἐκεῖνοι εἶναι εἰς τὸν ὑπέρτατον βαθμὸν ἀδικαιολόγητοι, σὺ ὅμως εἶσαι ἀπείρως περισσότερον, ἐπειδὴ κατηγορεῖς τὴν πλεονεξίαν καὶ ἐπικρίνεις ὅλους ἐκείνους ποὺ τὴν ὑπηρετοῦν καὶ εἶναι δοῦλοι της καὶ τὴν ἀκολουθοῦν.

Ἐὰν δὲ θέλετε, ἂς ἐξετάσωμεν ἀπὸ ποίαν αἰτίαν εἰσῆλθεν εἰς τὸν κόσμον ἡ εἰδωλολατρεία. Λέγει κάποιος σοφός[17], ὅτι ἕνας πλούσιος βασανιζόμενος ἀπὸ τὸ πρόωρον πένθος

χων τοῦ πένθους, ταύτῃ παραμυθούμενος τὸ πάθος, εἰκόνα ἄψυχον τοῦ τετελευτηκότος ποιήσας, καὶ διὰ παντὸς εἰς αὐτὴν ἐνορῶν, ἐδόκει τὸν ἀπελθόντα ἔχειν διὰ τῆς εἰκόνος. Κόλακες δέ τινες ἄνθρωποι, ὧν ὁ θεὸς ἡ κοιλία, θεραπεύοντες εἰς τὴν ἐκείνου τιμὴν τὴν εἰκόνα, τὸ ἔθος εἰς εἰδωλολατρείαν προήγαγον. Οὐκοῦν ἀπὸ ἀσθενείας ἐπεισήχθη ψυχῆς, ἀπὸ συνηθείας ἀλόγου, ἀπὸ ἀμετρίας. Ἡ δὲ πλεονεξία οὐχ οὕτως· ἀπὸ ἀσθενοῦς μὲν γὰρ καὶ αὕτη ψυχῆς, πλὴν ἀλλ' ἀπὸ χείρονος· οὐκ ἀπέβαλέ τις υἱόν, οὐδὲ πένθους παραμυθίαν ζητῶν, οὐδὲ ὑπὸ κολάκων ἐξελκόμενος· ἀλλὰ πῶς; Ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. Ὁ Κάϊν τὸν Θεὸν ἐπλεονέκτησεν· ἃ γὰρ ἐκείνῳ δοθῆναι ἐχρῆν, παρ' ἑαυτῷ κατασχών, ἅπερ αὐτὸν ἔχειν ἔδει, ταῦτα ἐκείνῳ προσήνεγκε, καὶ τὸ κακὸν ἀπὸ τοῦ Θεοῦ ἤρξατο. Εἰ γὰρ ἡμεῖς τοῦ Θεοῦ ἐσμεν, πολλῷ μᾶλλον τὰ πρωτεῖα τῶν κτημάτων τῶν ἡμετέρων.

Πάλιν εἰς γυναῖκας ἀπὸ πλεονεξίας ἡ ὁρμὴ γέγονεν· «Εἶδον τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐξεκυλίσθησαν πρὸς τὴν ἐπιθυμίαν»· ἀπὸ τούτων πάλιν εἰς χρήματα. Τὸ γὰρ πλέον ἔχειν θέλειν τοῦ πλησίον ἐν τοῖς βιωτικοῖς, οὐδαμόθεν ἄλλοθεν, γίνεται, ἀλλ' ἢ ἐκ τοῦ ψυγῆναι τὴν ἀγάπην· τὸ πλέον ἔχειν θέλειν οὐκ ἀλλαχόθεν γίνεται, ἀλλ' ἢ ἐξ ἀπονοίας καὶ μισανθρωπίας καὶ ὑπεροψίας. Οὐχ ὁρᾷς τὴν γῆν ὅση ἐστί; πῶς πολλῷ μείζων τῆς χρείας ἐστὶν ὁ ἀήρ, ὁ οὐρανός; Ἵνα γάρ σου τὴν πλεονεξίαν σβέσῃ ὁ Θεός, εἰς τοσοῦτον μέτρον τὰ κτίσματα ἐξήγαγε· σὺ δὲ ἁρπάζεις καὶ οὕτω, καὶ ἀκούεις ὅτι εἰδωλολατρεία ἡ πλεονεξία, καὶ

---

18. Γέν. 6, 2.

τοῦ υἱοῦ του καὶ μὴ ἔχων καμμίαν παρηγορίαν τοῦ πένθους, ἠθέλησε νὰ καταπραΰνῃ τὸν θάνατον τοῦ υἱοῦ κατὰ τὸν ἀκόλουθον τρόπον· ἔκαμε τὴν ἄψυχον εἰκόνα τοῦ ἀποθανόντος καὶ βλέπων συνεχῶς πρὸς αὐτήν, ἐνόμιζεν ὅτι μὲ τὴν εἰκόνα ἔχει τὸν ἀποθανόντα υἱόν. Μερικοὶ δὲ ἄνθρωποι κόλακες, τῶν ὁποίων ὁ Θεὸς ἦτο ἡ κοιλία, λατρεύοντες τὴν εἰκόνα διὰ νὰ τιμήσουν ἐκεῖνον, προήγαγον τὴν συνήθειαν εἰς εἰδωλολατρείαν. Ἑπομένως ἡ εἰδωλολατρεία εἰσήχθη εἰς τὸν κόσμον ἀπὸ τὴν ἀσθένειαν τῆς ψυχῆς, ἀπὸ συνήθειαν παράλογον, ἀπὸ ὑπερβολήν. Ἡ πλεονεξία ὅμως δὲν εἰσήχθη ἔτσι· προῆλθε βέβαια καὶ αὐτὴ ἀπὸ ἀσθενῆ ψυχήν, πλὴν ὅμως ἀπὸ χειροτέραν. Δὲν ἔχασε κανεὶς τὸν υἱόν του, οὔτε ἐπειδὴ ἐσύρετο ἀπὸ τοὺς κόλακας. Ἀλλὰ πῶς; Ἐγὼ θὰ σᾶς εἰπῶ. Ὁ Κάϊν ἐξηπάτησε τὸν Θεόν· διότι ἐκεῖνα ποὺ ἔπρεπε νὰ δοθοῦν εἰς ἐκεῖνον τὰ ἐκράτησε πλησίον του, ἐνῷ αὐτὰ ποὺ ἔπρεπε νὰ ἔχῃ αὐτὸς τὰ προσέφερεν εἰς ἐκεῖνον καὶ ἔκαμε ἀρχὴν τοῦ κακοῦ ἀπὸ τὸν Θεόν. Διότι ἐὰν ἡμεῖς εἴμεθα τοῦ Θεοῦ, πολὺ περισσότερον οἱ ἔχοντες τὰ πρωτεῖα τῶν ἰδικῶν μας κτημάτων.

Πάλιν ἀπὸ τὴν πλεονεξίαν προῆλθεν ἡ γενετήσιος ὁρμὴ πρὸς τὰς γυναῖκας. «Παρετήρησαν τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ παρεσύρθησαν ἀκράτητα πρὸς τὴν σαρκικὴν ἐπιθυμίαν»[18]· ἀπ' αὐτὰ πάλιν προῆλθεν ἡ ἐπιθυμία πρὸς τὰ χρήματα. Διότι τὸ νὰ θέλῃ κανεὶς νὰ ἔχῃ περισσότερα πράγματα ἀπὸ τὸν πλησίον του εἰς τὴν παροῦσαν ζωὴν δὲν προέρχεται ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ ἀπὸ τὸ ὅτι ἐψυχράνθη ἡ ἀγάπη· τὸ νὰ θέλῃ νὰ ἔχῃ κανεὶς περισσότερα δὲν προέρχεται ἀπὸ ἄλλην αἰτίαν, παρὰ ἀπὸ τὴν ἀπόγνωσιν καὶ τὴν μισανθρωπίαν καὶ τὴν ὑπεροψίαν. Δὲν βλέπεις πόσον μεγάλη εἶναι ἡ γῆ; Δὲν βλέπεις πῶς εἶναι μεγαλύτερος ἀπὸ τὴν ἀνάγκην σου ὁ ἀέρας; ὁ οὐρανός; Διὰ νὰ σβήσῃ βέβαια τὴν πλεονεξίαν σου ἐδημιούργησεν ὁ Θεὸς τὰ κτίσματα εἰς τόσον μεγάλον μέγεθος. Σὺ ὅμως παρ' ὅλα αὐτὰ ἁρπάζεις ἀπὸ τὸν πλησίον σου, καὶ ἀκούεις ὅτι ἡ πλεονεξία εἶναι εἰδωλολατρεία καὶ οὔτε ἔτσι φρίτ-

οὐδὲ οὕτω φρίττεις; Κληρονομῆσαι τὴν γῆν θέλεις; Ἀλλ᾽ οὐκ ἔχεις ἐν τῷ οὐρανῷ κληρονομίαν, ἵνα σαυτὸν ἀποστερήσῃς;

4. Εἰπέ μοι, εἴ τίς σοι παρεῖχεν ἐξουσίαν λαβεῖν ἅπαντα, ἆρα οὐκ ἂν ἠθέλησας; Ἔνεστι νῦν, ἐὰν βούλῃ. Καίτοι τινές φασιν, ὅτι ἀλγοῦσιν, ὅταν εἰς ἑτέρους τὸν κλῆρον παραπέμπωσι, καὶ ἐβούλοντο εἶναι κατεδηδοκότες αὐτὸν μᾶλλον, ἢ ἑτέρους ὁρᾶν κυρίους γενομένους. Οὐδὲ ἐγώ σε ταύτης ἀπαλλάττω τῆς ἀσθενείας ἀσθενοῦς μὲν γὰρ καὶ τοῦτο ψυχῆς· πλὴν ἀλλ᾽ ὅμως κἂν τοῦτο γινέσθω· ἐν ταῖς διαθήκαις τὸν Χριστὸν κατάλιπε κληρονόμον. Ἔδει μὲν γὰρ ζῶντα· τοῦτο γὰρ προαιρέσεως ὀρθῆς ἦν· ἀλλ᾽ ὅμως κἂν ὑπὸ τῆς ἀνάγκης γενοῦ φιλοτιμότερος. Καὶ γὰρ ὁ Χριστὸς διὰ τοῦτο προσέταξε διδόναι πένησιν, ἵνα ζῶντας ἡμᾶς φιλοσόφους ἐργάσηται, ἵνα πείσῃ χρημάτων καταφρονεῖν, ἵνα ὑπερορᾶν διδάξῃ τῶν γηΐνων. Τοῦτο οὐκ ἔστι χρημάτων ὑπεροψία, τὸ τελευτῶντα καὶ οὐκ ὄντα κύριον τῷ δεῖνι παρέχειν καὶ τῷ δεῖνι· οὐκ ἐκ τῶν σῶν δίδως λοιπόν, ἀλλ᾽ ἐξ αὐτῆς τῆς ἀνάγκης· τῷ θανάτῳ χάρις, οὐ σοί· τοῦτο οὐκ ἔστι φιλοστοργίας, ἀλλ᾽ ἐπηρείας. Πλὴν κἂν οὕτω γινέσθω, κἂν τότε λῦσον τὸ πάθος. Ἐννόησον ὅσα ἥρπασας, ὅσα ἐπλεονέκτησας· πάντα ἀπόδος τετραπλάσια· οὕτως ἀπολόγησαι τῷ Θεῷ. Ἀλλ᾽ εἰσί τινες εἰς τοῦτο μανίας ἥκοντες καὶ πηρώσεως, οἳ οὐδὲ τότε συνορῶσι τὸ δέον· ἀλλ᾽ ὥσπερ σπουδάζοντες χαλεπώτερον ἑαυτοῖς ἐργάσασθαι τοῦ Θεοῦ τὸ κρῖμα, οὕτως ἅπαντα πράττουσι. Διὰ τοῦτο ὁ μακάριος οὗτος ἔλεγε γράφων· «Ὡς τέκνα φωτὸς περιπατεῖτε». Ὁ δὲ πλεονέκτης μάλιστα ἐν σκότῳ ζῇ, καὶ σκότος πολὺ κατασκεδάζει πάντων.

τεις; Θέλεις νὰ κληρονομήσῃς τὴν γῆν; Ἀλλὰ δὲν ἔχεις εἰς τὸν οὐρανὸν κληρονομίαν, διὰ νὰ στερήσῃς τὸν ἑαυτόν σου;

4. Εἰπέ μου, ἐὰν σοῦ ἔδιδε κάποιος τὴν ἐξουσίαν νὰ τὰ πάρῃς ὅλα, ἆρά γε δὲν θὰ τὸ ἤθελες; Τώρα εἶναι δυνατὸν νὰ τὰ πάρῃς ὅλα, ἐὰν θέλῃς. Ἂν καὶ μερικοὶ λέγουν, ὅτι λυποῦνται, ὅταν μεταβιβάζουν τὴν περιουσίαν των εἰς ἄλλους καὶ θὰ ἤθελαν νὰ εἶχαν καταφάγει αὐτὴν μᾶλλον, παρὰ νὰ βλέπουν ἄλλους νὰ γίνωνται κύριοι αὐτῆς. Οὔτε ἐγὼ σὲ ἀπαλλάσσω ἀπὸ τὴν ἀσθένειαν αὐτήν˙ διότι καὶ τοῦτο εἶναι δεῖγμα ἀσθενοῦς ψυχῆς˙ ἀλλ' ὅμως καὶ ἂν ἀκόμη γίνῃ τοῦτο, ἄφησε κληρονόμον εἰς τὴν διαθήκην σου τὸν Χριστόν. Ἔπρεπε βέβαια νὰ κάμῃς τοῦτο ὅταν ἦσο ζωντανός, διότι τοῦτο εἶναι δεῖγμα ὀρθῆς προαιρέσεως. Ἀλλ' ὅμως ἔστω καὶ κατ' ἀνάγκην γίνε περισσότερον φιλότιμος. Διότι πράγματι ὁ Χριστὸς διὰ τοῦτο ἔδωσεν ἐντολὴν νὰ δίδωμεν εἰς τοὺς πτωχούς, διὰ νὰ μᾶς καταστήσῃ φιλοσόφους ὅταν ζῶμεν, διὰ νὰ μᾶς πείσῃ νὰ καταφρονοῦμεν τὰ χρήματα, διὰ νὰ μᾶς διδάξῃ νὰ περιφρονοῦμεν ὅλα τὰ ἐπίγεια. Δὲν εἶναι περιφρόνησις χρημάτων τοῦτο, τὸ νὰ δίδῃ δηλαδὴ κάποιος εἰς τὸν τάδε καὶ τὸν τάδε ὅταν ἀποθνήσκῃ καὶ δὲν εἶναι πλέον κύριος αὐτῶν˙ δὲν δίδεις πλέον τότε ἀπὸ τὰ ἰδικά σου, ἀλλὰ ἀπὸ αὐτὴν τὴν ἀνάγκην˙ ἡ εὐγνωμοσύνη ὀφείλεται εἰς τὸν θάνατον, ὄχι εἰς σέ˙ τοῦτο δὲν εἶναι δεῖγμα φιλοστοργίας, ἀλλ' ἐνεργείας τῆς ἀνάγκης. Ἀλλ' ὅμως καὶ ἔτσι ἂς γίνῃ, ἔστω καὶ τότε θέσε τέρμα εἰς τὸ πάθος. Ἐνθυμήσου πόσα ἥρπαξες, πόσην πλεονεξίαν ἔδειξες˙ ἐπίστρεψε ὅλα τετραπλάσια˙ ἔτσι ἀπολογήσου εἰς τὸν Θεόν. Ὅμως ὑπάρχουν μερικοί, ποὺ ἔχουν φθάσει εἰς τέτοιο σημεῖον μανίας καὶ τυφλώσεως καὶ οὔτε τότε δὲν βλέπουν αὐτὸ ποὺ πρέπει νὰ γίνῃ, ἀλλ' ὡσὰν νὰ βιάζωνται νὰ προκαλέσουν διὰ τὸν ἑαυτόν των αὐστηροτέραν τὴν κρίσιν τοῦ Θεοῦ, ἐνεργοῦν τὰ πάντα ἔτσι. Διὰ τοῦτο ὁ μακάριος Παῦλος γράφων ἔλεγε˙ «Νὰ συμπεριφέρεσθε ὡσὰν παιδιὰ φωτός». Ὁ δὲ πλεονέκτης ζῇ κατ' ἐξοχὴν μέσα εἰς τὸ σκοτάδι, καὶ διασκορπίζει

Καί, «Μὴ συγκοινωνῆτε», φησί, «τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτός, φανεροῦται».

Ἀκούσατε, παρακαλῶ, πάντες ὅσοι οὐ βούλεσθε εἰκῇ μισεῖσθαι. Ἁρπάζει, καὶ οὐκ ἐλέγχεις; Ἀλλὰ δέδοικας τὸ μῖσος. Καίτοι οὐκ ἔστιν εἰκῇ μισεῖσθαι τοῦτο· ἀλλὰ δικαίως ἐλέγχεις, καὶ δέδοικας τὸ μῖσος; ἔλεγξον τὸν ἀδελφόν, ἀνάδεξαι ἔχθραν διὰ τὴν ἀγάπην τὴν εἰς τὸν Χριστόν, διὰ τὴν ἀγάπην τὴν εἰς αὐτόν· κώλυσον αὐτὸν εἰς βάραθρον ἀπερχόμενον. Τὸ γὰρ τραπέζης κοινωνῆσαι καὶ ρημάτων χρηστῶν καὶ προσρήσεως καὶ τρυφῆς, οὐ σφόδρα φιλίας ἐστί. Τοιαῦτα τοῖς φίλοις ἡμῶν χαριζώμεθα δῶρα, ἵνα τὴν ψυχὴν αὐτῶν ἐξέλκωμεν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ· εἰς τὴν κάμινον κειμένους αὐτοὺς ὁρῶντες τῆς κακίας, ἀναστήσωμεν. Ἀλλ' οὐ διορθοῦται, φησίν. Ἀλλὰ τὸ σαυτοῦ πρᾶξον, καὶ ἀπελογήσω τῷ Θεῷ. Μὴ κρύψῃς τὸ τάλαντον· διὰ τοῦτο λόγον ἔχεις, διὰ τοῦτο γλῶσσαν καὶ στόμα, ἵνα διορθοῖς τὸν πλησίον. Τὰ ἄλογα μόνα οὐ φροντίζει τοῦ πλησίον, οὐδὲ λόγον ἔχει τινὰ τῶν ἄλλων· σὺ δὲ πατέρα καλῶν τὸν Θεόν, καὶ ἀδελφὸν τὸν πλησίον ὁρῶν, αὐτὸν μυρία ποιοῦντα κακά, τὴν χάριν τὴν παρ' ἐκείνου τῆς ὠφελείας αὐτοῦ προτίθης; Μή, παρακαλῶ. Οὐδὲν οὕτω φιλίας τεκμήριον, ὡς τὸ μὴ περιορᾶν ἁμαρτάνοντας τοὺς ἀδελφούς.

Εἶδες ἐχθραίνοντας; διάλυσον. Εἶδες πλεονεκτοῦντας; κώλυσον. Εἶδες ἀδικουμένους; πρόστηθι· οὐκ ἐκείνοις, ἀλλὰ σαυτῷ προτέρῳ ἐχαρίσω. Διὰ τοῦτο φίλοι ἐσμέν, ἵνα ἀλλή-

πολὺ σκοτάδι ἐπὶ πάντων. «Καὶ μὴ γίνεσθε», λέγει, «συμμετέχει εἰς τὰ ἔργα τοῦ σκότους, τὰ ὁποῖα δὲν φέρουν κανένα ὠφέλιμον καρπόν· ἀλλὰ μᾶλλον νὰ ἐλέγχετε τὰ ἔργα αὐτά. Διότι τὰ ἔργα, ποὺ πράττουν κρυφὰ αὐτοί, εἶναι αἰσχρὸν ἀκόμη καὶ νὰ τὰ ἀναφέρῃ κανείς. Ὅλα ὅμως τὰ ἔργα αὐτά, κάτω ἀπὸ τὸ φῶς τοῦ ἐλέγχου, γίνονται φανερὰ πόσον ὀλέθρια εἶναι».

Ἀκούσατε, παρακαλῶ, ὅλοι ὅσοι δὲν θέλετε νὰ μιμῆσθε χωρὶς λόγον. Ἁρπάζει κάποιος, καὶ δὲν τὸν ἐλέγχεις; Ἀλλὰ φοβεῖσαι τὸ μῖσος. Ἂν καὶ δὲν εἶναι αὐτὸ νὰ μιμῆσαι χωρὶς λόγον· ἀλλὰ ἐλέγχεις δικαίως, καὶ φοβεῖσαι τὸ μῖσος; ἔλεγξε τὸν ἀδελφόν σου, δέξου τὸ μῖσος διὰ τὴν πρὸς τὸν Χριστὸν ἀγάπην· ἐμπόδισε αὐτόν, ὅταν βαδίζῃ νὰ πέσῃ εἰς τὸ βάραθρον. Διότι, τὸ νὰ λάβωμεν μέρος εἰς τραπέζι καὶ εἰς καλοὺς λόγους καὶ προσφωνήσεις καὶ ἀπολαύσεις, δὲν εἶναι δεῖγμα ὑπερβολικῆς φιλίας. Ἂς προσφέρωμεν εἰς τοὺς φίλους μας τέτοια δῶρα, ὥστε νὰ σώζωμεν τὴν ψυχήν των ἀπὸ τὴν ὀργὴν τοῦ Θεοῦ. Βλέποντες αὐτοὺς νὰ κείτωνται εἰς τὴν κάμινον τῆς κακίας, ἂς τοὺς σηκώσωμεν. Ὅμως δὲν διορθώνεται, λέγει. Ἀλλὰ πρᾶξε τὸ ἰδικόν σου καθῆκον, καὶ ἀπελογήθης εἰς τὸν Θεόν. Νὰ μὴ κρύψῃς τὸ τάλαντον· διὰ τοῦτο ἔχεις ὁμιλίαν, διὰ τοῦτο ἔχεις γλῶσσαν καὶ στόμα, διὰ νὰ διορθώνῃς τὸν πλησίον σου. Τὰ ἄλογα ζῶα μόνον δὲν φροντίζουν διὰ τὸν πλησίον των, οὔτε ἔχουν δικαιολογίαν διὰ τοὺς ἄλλους. Σὺ ὅμως ποὺ ὀνομάζεις Πατέρα τὸν Θεὸν καὶ βλέπεις ὡσὰν ἀδελφὸν τὸν πλησίον σου, ὅταν αὐτὸς κάμνῃ ἀμέτρητα κακά, προτιμᾷς τὴν εὐεργεσίαν ἀπ' ἐκεῖνον παρὰ τὴν ὠφέλειαν αὐτοῦ; Μὴ παρακαλῶ. Τίποτε δὲν εἶναι τόσον δεῖγμα τῆς φιλίας, ὅσον τὸ νὰ μὴ ἀνεχώμεθα νὰ ἁμαρτάνουν οἱ ἀδελφοί μας.

Εἶδες ἐκείνους ποὺ μισοῦνται; προσπάθησε νὰ τοὺς συμφιλιώσῃς. Εἶδες πλεονέκτας; προσπάθησε νὰ τοὺς ἐμποδίσῃς. Εἶδες ἀδικουμένους; ὑπεράσπισέ τους· ἔτσι κατὰ πρῶτον ἔπραξες εὐάρεστα εἰς τὸν ἑαυτόν σου καὶ ὄχι εἰς ἐκείνους. Διὰ τοῦτο εἴμεθα φίλοι, διὰ νὰ εἴμεθα χρήσι-

λους ὠφελῶμεν. Ἄλλως ἀκούσεται παρὰ τοῦ φίλου, καὶ ἄλλως παρὰ τοῦ τυχόντος· τὸν τυχόντα ὑποπτεύσει ἴσως, καὶ τὸν διδάσκαλον ὁμοίως, τὸν δὲ φίλον οὐκέτι. «Τὰ γὰρ κρυφῇ γινόμενα, αἰσχρόν ἐστι», φησί, «καὶ λέγειν. Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτός, φανεροῦται». Τί βούλεται ἐνταῦθα εἰπεῖν; Τοῦτο λέγει, ὅτι τὰ μὲν τῶν ἁμαρτημάτων ἐνταῦθα λάθρα γίνεται, τὰ δὲ καὶ φανερῶς· ἐκεῖ δὲ οὐχ οὕτως ἔσται· οὐδεὶς γάρ ἐστιν ὁ μὴ συνειδὼς ἑαυτῷ ἐπὶ ἁμαρτήματι. Διὰ τοῦτό φησι· «Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτός, φανεροῦται». Τί οὖν; οὐ περὶ εἰδωλολατρείας, φησί, καὶ ἐνταῦθα τοῦτο εἴρηται; Οὐχί, ἀλλὰ περὶ βίου καὶ ἁμαρτημάτων ἐστὶν ὁ λόγος. «Πᾶν γὰρ τὸ φανερούμενον», φησί, «φῶς ἐστι».

Διό, παρακαλῶ, μήτε ὑμεῖς ὀκνεῖτε ἐλέγχειν, μήτε δυσχεραίνετε ἐλεγχόμενοι. Ἕως μὲν γὰρ ἂν ἐν σκότει πράττηταί τι, μετὰ πλείονος πράττεται τῆς ἀδείας, ἐπειδὰν δὲ πολλοὺς ἔχῃ τοὺς μαρτυροῦντας τοῖς γινομένοις, φωτίζεται. Διὸ μάλιστα πάντα πράττωμεν, ὥστε τὴν νέκρωσιν τῶν ἀδελφῶν τῶν ἡμετέρων ἀποσοβεῖν, ὥστε τὸ σκότος σκεδάζειν, ὥστε τὸν ἥλιον ἐπισπάσασθαι τῆς δικαιοσύνης. Ἂν γὰρ πολλοὶ ὦσιν οἱ φωστῆρες, αὐτοῖς τε εὔκολος ἔσται τῆς ἀρετῆς ἡ ὁδός, καὶ οἱ ἐν σκότει μᾶλλον ἁλώσονται, τοῦ φωτὸς ἐπιτεινομένου, κἀκεῖνο ἀφανίζοντος. Ἂν δὲ τοὐναντίον, δέος μὴ καὶ οὗτοι σβεσθῶσι, τῆς παχύτητος τῆς ἀπὸ τοῦ σκότους καὶ τῶν ἁμαρτημάτων κρατούσης τοῦ φωτός, καὶ ἀποσοβούσης αὐτοῦ τὸ διειδές. Ὡς οὖν ἑαυτοὺς ὠφελοῦντες, οὕτω διακεώμεθα, ἵνα διὰ πάντων δόξαν ἀναπέμψωμεν τῷ φιλανθρώπῳ Θεῷ, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.

19. Δηλαδή· Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μοι μεταξύ μας. Διαφορετικὰ θ' ἀκούσῃ κανεὶς τὸν φίλον καὶ διαφορετικὰ τὸν τυχόντα· αὐτὸν ἴσως θὰ τὸν ὑποψιάζεται, ὁμοίως καὶ τὸν διδάσκαλον, τὸν φίλον ὅμως καθόλου. «Διότι τὰ ἔργα», λέγει, «ποὺ πράττουν κρυφὰ αὐτοί, εἶναι αἰσχρὸν ἀκόμη καὶ νὰ τὰ ἀναφέρῃ κανείς. Ὅλα ὅμως τὰ ἔργα αὐτά, κάτω ἀπὸ τὸ φῶς τοῦ ἐλέγχου, γίνονται φανερὰ πόσον ὀλέθρια εἶναι» λέγει. Τί θέλει νὰ εἰπῇ ἐδῶ; Ἐννοεῖ τὸ ἑξῆς, ὅτι ἄλλα μὲν ἁμαρτήματα γίνονται κρυφὰ εἰς τὴν παροῦσαν ζωήν, ἄλλα δὲ φανερά· εἰς τὴν ἄλλην ζωὴν ὅμως δὲν συμβαίνει ἔτσι, διότι ὅλοι συναισθάνονται ὅτι εἶναι ἔνοχοι δι' ἁμαρτήματα. Διὰ τοῦτο λέγει· «Ὅλα ὅμως τὰ ἔργα, κάτω ἀπὸ τὸ φῶς τοῦ ἐλέγχου, γίνονται φανερά». Τί λοιπόν; Δὲν ἔχει λεχθῆ, λέγει, καὶ αὐτὸ ἐδῶ περὶ εἰδωλολατρείας; Ὄχι, ἀλλὰ ὁ λόγος εἶναι περὶ τοῦ τρόπου ζωῆς καὶ τῶν ἁμαρτημάτων. «Διότι κάθε τι ποὺ φανερώνεται, εἶναι φῶς».

Διὰ τοῦτο, παρακαλῶ, οὔτε σεῖς νὰ διστάζετε νὰ ἐλέγχετε, οὔτε νὰ δυσφορῆτε ὅταν σᾶς ἐλέγχουν. Διότι ἐν ὅσῳ κάτι γίνεται εἰς τὸ σκοτάδι, γίνεται μὲ περισσοτέραν ἀσφάλειαν, ὅταν ὅμως ὑπάρχουν πολλοὶ μάρτυρες, φωτίζεται. Διὰ τοῦτο ἂς πράττωμεν τὰ πάντα, διὰ νὰ ἀποτρέπωμεν τὴν πνευματικὴν νέκρωσιν τῶν ἀδελφῶν μας, διὰ νὰ διαλύωμεν τὸ σκοτάδι, διὰ νὰ προσελκύωμεν τὸν ἥλιον τῆς δικαιοσύνης. Διότι ἂν εἶναι πολλοὶ οἱ πέμποντες φῶς, καὶ δι' αὐτοὺς θὰ εἶναι εὔκολος ὁ δρόμος τῆς ἀρετῆς καὶ οἱ εὑρισκόμενοι εἰς τὸ σκοτάδι εὐκολώτερα θ' ἀποκαλύπτωνται, ὅταν τὸ φῶς αὐξάνεται καὶ τὸ σκοτάδι ἐξαφανίζεται. Ἂν ὅμως συμβῇ τὸ ἀντίθετον, ὑπάρχει φόβος μήπως σβησθοῦν καὶ αὐτοί, ὅταν ἡ πυκνότης, ποὺ δημιουργεῖ τὸ σκοτάδι καὶ τὰ ἁμαρτήματα, ἐπικρατήσῃ τοῦ φωτὸς καὶ ἀπομακρύνει τὴν λάμψιν αὐτοῦ. Ἂς συμπεριφερώμεθα λοιπὸν κατὰ τέτοιον τρόπον, ὡσὰν νὰ ὠφελοῦμεν τοὺς ἑαυτούς μας, διὰ νὰ ἀναπέμψωμεν δι' ὅλων τῶν ἔργων μας δόξαν εἰς τὸν φιλάνθρωπον Θεόν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν καὶ τὰ ἑξῆς[19].

ΟΜΙΛΙΑ ΙΘ΄
Ἐφ. 5, 15 - 21

«Βλέπετε οὖν ἀκριβῶς πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Θεοῦ».

1. Ἔτι τὴν τῆς πικρίας ἐκκαθαρίζει ῥίζαν, ὅτι τὴν ὑπόθεσιν τῆς ὀργῆς ἐκκόπτει. Τί γάρ φησι; «Βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε». Ἤδει τὸν Διδάσκαλον αὐτοῦ, ὅτι πέμπων τοὺς μαθητὰς ὡς πρόβατα ἐν μέσῳ λύκων, ἔτι ἐκέλευεν αὐτοὺς καὶ ὡς περιστερὰς εἶναι· «Καὶ ἀκέραιοι» γάρ, φησίν, «ἔσεσθε, ὡσεὶ περιστεραί». Ἐπεὶ οὖν καὶ μεταξὺ λύκων ἦσαν, καὶ ἔτι προστεταγμένοι μὴ ἀμύνεσθαι, ἀλλὰ πάσχειν κακῶς, διὰ τοῦτο τῆς τοιαύτης ἐδέοντο παραινέσεως. Καίτοιγε καὶ τὸ πρότερον ἱκανὸν ἦν αὐτοὺς ἀσθενεστέρους ποιῆσαι· ὅταν δὲ καὶ ἡ τῶν δύο προσθήκη ᾖ, ἐννόησον τὴν ὑπερβολήν. Ὅρα γοῦν καὶ πῶς αὐτοὺς ἐπιμελῶς ἀσφαλίζεται, λέγων· «Βλέπετε πῶς περιπατεῖτε». Ὁλόκληροι πόλεις πρὸς αὐτοὺς πόλεμον εἶχον, ἐπεισῆλθε καὶ εἰς τὰς οἰκίας οὗτος ὁ πόλεμος· πατὴρ κατὰ υἱοῦ, υἱὸς κατὰ πατρός, μήτηρ κατὰ θυγατρός, θυγάτηρ κατὰ μητρὸς ἦσαν διεσπαρμένοι. Τί οὖν; πόθεν αἱ διαιρέσεις αὗται; Ἤκουσαν τοῦ Χριστοῦ λέγοντος «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος».

---

1. Ἐφ. 5, 15 - 17.
2. Ματθ. 10, 16.
3. Ματθ. 10, 37.

ΟΜΙΛΙΑ ΙΘ΄
Ἐφ. 5, 15 - 21

«Προσέχετε λοιπόν, πῶς νὰ συμπεριφέρεσθε μὲ κάθε ἀκρίβειαν, ὄχι σὰν ἄσοφοι, ἀλλ' ὡς σοφοί. Νὰ ἐκμεταλλεύεσθε διὰ τὸ ἀγαθὸν τὸν χρόνον τῆς παρούσης ζωῆς, διότι αἱ ἡμέραι εἶναι πονηραί. Διὰ τοῦτο μὴ γίνεσθε ἀνόητοι, ἀλλὰ νὰ ἐξετάζετε καὶ νὰ κατανοῆτε ποῖον εἶναι τὸ θέλημα τοῦ Κυρίου»[1].

1. Ἀκόμη περισσότερον καθαρίζει ὁ Παῦλος τὴν αἰτίαν τῆς κακίας, ἀκόμη περισσότερον ἀποκόπτει τὴν βάσιν τῆς ὀργῆς. Τί λέγει λοιπόν; «Προσέχετε πῶς νὰ συμπεριφέρεσθε μὲ κάθε ἀκρίβειαν». Ἐγνώριζε τὸν Διδάσκαλόν του, διότι ὅταν ἀπέστειλε τοὺς μαθητὰς ὡσὰν πρόβατα ἥμερα ἀνάμεσα εἰς αἱμοβόρους λύκους, ἐπὶ πλέον προέτρεψεν αὐτοὺς νὰ εἶναι καὶ ὡσὰν τὰ περιστέρια. Διότι λέγει· «Καὶ θὰ εἶσθε λοιπὸν ἄκακοι καὶ ἁπλοῖ ὡσὰν τὰ περιστέρια»[2]. Ἐπειδὴ λοιπὸν ἦσαν καὶ ἀνάμεσα εἰς λύκους καὶ ἐπὶ πλέον εἶχαν προσταγὴν νὰ μὴ ἀμύνωνται, ἀλλὰ νὰ ὑποφέρουν τὰ πάντα, διὰ τοῦτο ἀκριβῶς ἐχρειάζοντο αὐτὴν τὴν προτροπήν. Μολονότι βέβαια καὶ ἡ πρώτη προτροπὴ ἦτο ἀρκετὴ διὰ νὰ τοὺς κάμῃ σθεναρωτέρους· ὅταν ὅμως εἶναι ἡ προσθήκη καὶ τῶν δύο, σκέψου τὴν ὑπερβολήν. Πρόσεχε λοιπὸν καὶ πῶς μὲ ἐπιμέλειαν προφυλάσσει αὐτοὺς λέγων, «Προσέχετε πῶς νὰ συμπεριφέρεσθε». Πόλεις ὁλόκληροι εἶχαν πόλεμον πρὸς αὐτούς, εἰσῆλθε δὲ ὁ πόλεμος αὐτὸς καὶ εἰς τὰς οἰκίας· ὁ πατέρας ἐναντίον τοῦ υἱοῦ, ὁ υἱὸς ἐναντίον τοῦ πατρός, ἡ μητέρα ἐναντίον τῆς θυγατρός, ἡ θυγατέρα ἐναντίον τῆς μητρὸς ἦσαν διῃρημένοι. Τί λοιπόν; Ἀπὸ ποίαν αἰτίαν προέκυψαν αἱ διαιρέσεις αὐταί; Ἤκουσαν τὸν Χριστόν, ποὺ λέγει· «Ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν πατέρα του ἢ τὴν μητέρα του παραπάνω ἀπὸ ἐμέ, δὲν ἀξίζει δι' ἐμέ»[3].

Ἵν' οὖν μὴ νομίσωσιν, ὅτι ἁπλῶς πολέμους εἰσάγει καὶ μάχας, ἐπειδὴ ἔμελλε μεγάλη τίκτεσθαι ὀργή, εἰ καὶ αὐτοὶ ἔμελλον ἐπεξιέναι, τούτου χάριν λέγει· «Βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε». Τουτέστι, Πλὴν τοῦ κηρύγματος, μηδαμόθεν ἄλλοθεν δῶτε λαβὴν τῆς ἔχθρας τῆς καθ' ὑμῶν· αὕτη μόνη τῆς ἔχθρας ὑπόθεσις ἔστω· μηδεὶς ὑμῖν ἕτερόν τι ἐγκαλείτω, ἀλλὰ καὶ τιμὴν καὶ ὑπακοὴν πᾶσαν ἐπιδείκνυσθε, ὅταν μηδὲν βλάπτῃ τὸ κήρυγμα, ὅταν μηδὲν ἐμποδίζῃ τὴν εὐσέβειαν. «Ἀπόδοτε» γάρ, φησί, «πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον, τῷ τὸ τέλος, τὸ τέλος». Ὅταν γὰρ ἐν τοῖς ἄλλοις ἴδωσιν ἡμᾶς ἐπιεικεῖς, ἐντραπήσονται. «Μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν». Οὐχὶ ποικίλους ἡμᾶς καὶ παντοδαποὺς εἶναι βουλόμενος ταῦτα παραινεῖ· ἀλλὰ τοῦτό ἐστιν ὅ φησιν· Οὐκ ἔστιν ὑμέτερος ὁ καιρός· νῦν πάροικοί ἐστε καὶ παρεπίδημοι καὶ ξένοι καὶ ἀλλότριοι· μὴ ζητεῖτε τιμάς, μὴ ζητεῖτε δόξαν, μὴ ζητεῖτε δυναστείαν, μηδὲ ἐκδίκησιν· πάντα φέρετε, καὶ τούτῳ τὸν καιρὸν ἐξαγοράζεσθε· πολλὰ κατάθεσθε, πᾶν ὅ,τι ἂν θέλωσιν. Ἀσαφὲς τὸ εἰρημένον· φέρε οὖν, ἐπὶ ὑποδείγματος ποιήσω αὐτὸ φανερόν. Ἐννόησόν μοί τινα οἰκίαν ἔχοντα λαμπράν, εἶτά τινας ἐπεισερχομένους ὥστε αὐτὸν ἀνελεῖν κἀκεῖνον πολλὰ διδόντα, καὶ ἐξαιρούμενον ἑαυτόν· τότε λέγομεν, ὅτι ἐξηγόρασεν ἑαυτόν. Οὕτω καὶ σὺ οἰκίαν ἔχεις μεγάλην, καὶ πίστιν ἀληθῆ· ἐπέρχονται ὥστε λαβεῖν πάντα· δὸς ὁτιοῦν ἂν ἀπαιτήσῃ τις, μόνον τὸ κεφάλαιον διάσωσον, τὴν πίστιν λέγω. «Αἱ γὰρ ἡμέραι», φησί, «πονηραί εἰσι».

Τί πονηρία τῆς ἡμέρας; Πονηρία τῆς ἡμέρας περὶ

---

4. Ρωμ. 13, 7.

Διὰ νὰ μὴ νομίσουν λοιπόν, ὅτι ἁπλῶς εἰσάγει πολέμους καὶ μάχας, ἐπειδὴ ἐπρόκειτο νὰ ἐπακολουθήσῃ μεγάλη ὀργή, ἂν καὶ αὐτοὶ ἐπρόκειτο νὰ ἐπιτεθοῦν μὲ σφοδρότητα, ἕνεκα τούτου λέγει· «Προσέχετε πῶς νὰ συμπεριφέρεσθε μὲ κάθε ἀκρίβειαν». Δηλαδή, Ἐκτὸς ἀπὸ τὸ κήρυγμα, νὰ μὴ δώσετε ἀπὸ πουθενὰ ἀλλοῦ ἀφορμὴν διὰ τὴν ἐναντίον σας ἔχθραν. Αὐτὴ μόνον ἂς εἶναι ἡ αἰτία τῆς ἔχθρας. Κανείς σας ἂς μὴ ρίπτῃ τὴν αἰτίαν τῆς ἔχθρας εἰς κάτι ἄλλο, ἀλλὰ νὰ δεικνύετε κάθε τιμὴν καὶ ὑπακοήν, ὅταν τίποτε δὲν ζημειώνῃ τὸ κήρυγμα, ὅταν τίποτε δὲν ἐμποδίζῃ τὴν εὐσέβειαν. Διότι λέγει· «Ἀποδώσατε λοιπόν, εἰς ὅλους ὅ,τι τοὺς ὀφείλετε. Εἰς ἐκεῖνον, ποὺ εἰσπράττει τὸν φόρον, ἀποδώσατε τὸν φόρον· εἰς ἐκεῖνον, ποὺ εἰσπράττει τοὺς δασμούς, ἀποδώσατε τὸν δασμόν»[4]. Διότι ὅταν θὰ μᾶς ἰδοῦν ἐπιεικεῖς εἰς τὴν ἄλλην συμπεριφοράν μας, θὰ ἐντραποῦν. «Ὄχι ὡσὰν ἄσοφοι, ἀλλ' ὡς σοφοί, νὰ ἐκμεταλλεύεσθε τὸν χρόνον». Δὲν προτρέπει αὐτά, ἐπειδὴ θέλει νὰ εἴμεθα πολυμήχανοι καὶ ἄστατοι, ἀλλ' ἐκεῖνο ποὺ ἐννοεῖ εἶναι αὐτό· Δὲν εἶναι ἰδικός σας ὁ καιρός· εἰς τὴν παροῦσαν ζωὴν εἴσθε πάροικοι καὶ προσωρινοὶ καὶ φιλοξενούμενοι καὶ ξένοι· νὰ μὴ ἐπιζητῆτε τιμάς, νὰ μὴ ἐπιζητῆτε τὴν δόξαν, νὰ μὴ ἐπιζητῆτε τὴν ἐξουσίαν, οὔτε τὴν ἐκδίκησιν· τὰ πάντα νὰ ὑποφέρετε καὶ μὲ αὐτὸ νὰ ἐκμεταλλεύεσθε τὸν χρόνον· πολλὰ νὰ ἐγκαταλείψετε, ὅ,τιδήποτε θὰ ἦτο δυνατὸν νὰ θελήσουν. Εἶναι ἀσαφὲς αὐτὸ ποὺ ἐλέχθη. Ἐμπρὸς λοιπόν, ἂς τὸ κάνω φανερὸν μὲ ἕνα παράδειγμα. Ὑπόθεσε, παρακαλῶ, κάποιον ποὺ ἔχει λαμπρὰν οἰκίαν, ἔπειτα μερικοὺς νὰ ἐπιτίθενται εἰς τὴν οἰκίαν διὰ νὰ φονεύσουν αὐτὸν τὸν ἴδιον καὶ ἐκεῖνον νὰ προσφέρῃ πολλὰ καὶ νὰ σώζῃ τὸν ἑαυτόν του. Εἰς τὴν περίπτωσιν αὐτὴν λέγομεν ὅτι ἐξηγόρασε τὸν ἑαυτόν του. Ἔτσι καὶ σὺ ἔχεις μεγάλην οἰκίαν καὶ τὴν ἀληθινὴν πίστιν· ἐπιτίθενται ἐναντίον σου διὰ νὰ τὰ ἁρπάξουν ὅλα· δῶσε ὅ,τιδήποτε θὰ ἀπαιτήσῃ κανείς, μόνον διάσωσε τὸ σπουδαιότερον ποὺ ἔχεις, δηλαδὴ τὴν πίστιν. «Διότι αἱ ἡμέραι», λέγει, «εἶναι πονηραί».

Τί εἶναι κακία τῆς ἡμέρας; Ἡ κακία τῆς ἡμέρας ὀφεί-

τὴν ἡμέραν ὀφείλει εἶναι. Ἂν τί ἐστιν ἑκάστῳ τῶν ἐν ἡμῖν πονηρὸν μάθῃς, γνώσῃ καὶ τί ἐστι πονηρία ἡμέρας. Τί ἐστι πονηρία σώματος; νόσος. Τί δὲ πονηρία ψυχῆς; κακία. Τί ἐστι πονηρία ὕδατος; πικρία. Καὶ ἑκάστου ἡ πονηρία ἡ φαυλότης ἐστὶ περὶ ἐκείνην τὴν φύσιν, ἧς ἐστι πονηρία. Εἰ τοίνυν ἡ πονηρία περὶ τὴν ἡμέραν ἐστί, περὶ αὐτὴν τὴν ἡμέραν χρὴ εἶναι, περὶ τὰς ὥρας, περὶ τὸ φῶς. Οὕτω καὶ ὁ Χριστός φησιν· «Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς». Ἀπὸ τούτου κἀκεῖνο γνωσόμεθα. Πῶς οὖν ἡμέρας καλεῖ πονηράς; πῶς καιρὸν πονηρόν; Οὐ τὴν οὐσίαν, οὐδὲ τὰ κτίσματα, ἀλλὰ διὰ τὰ ἐν αὐτοῖς γινόμενα· καθάπερ καὶ ἡμῖν ἔθος λέγειν· Χαλεπὴν ἡμέραν διήγαγον καὶ κακήν· καίτοι πῶς ἂν γένοιτο χαλεπή, ἀλλ' ἢ ἀπὸ τῶν ἐν αὐτῇ συμβαινόντων; Τὰ δὲ ἐν αὐτῇ συμβαίνοντα, ἐστὶν ἀγαθὰ μέν, παρὰ Θεοῦ· κακὰ δέ, παρὰ ἀνθρώπων πονηρῶν. Ἄρα τῶν ἐν τοῖς καιροῖς συμβαινόντων πονηρὸν οἱ ἄνθρωποι δημιουργοί, καὶ διὰ τοῦτο καιροὶ πονηροὶ λέγονται. Οὕτω καὶ ἡμεῖς καιροὺς πονηροὺς καλοῦμεν. «Διὰ τοῦτο», φησί, «μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία». Καὶ τούτου γὰρ ἡ ἀμετρία θυμώδεις ποιεῖ καὶ θρασεῖς καὶ ἀκροσφαλεῖς, ὀργίλους καὶ χαλεπούς. Εἰς εὐφροσύνην ὁ οἶνος δίδοται, οὐκ εἰς μέθην· νῦν δὲ τὸ πρᾶγμα καὶ ἀνανδρίας εἶναι δοκεῖ καὶ γέλωτος, τὸ μὴ μεθύσκεσθαι.

Ποία τοίνυν ἐλπὶς σωτηρίας; Γέλως εἰπέ μοι, τὸ μὴ μεθύσκεσθαι, ἔνθα μάλιστα πάντων τὸ μεθύσκεσθαι γέλως ὤφειλεν εἶναι; Μάλιστα μὲν γὰρ καὶ τὸν ἰδιώτην πόρρω μέθης εἶναι καλόν· πολλῷ δὲ πλέον τὸν στρατιώτην, τὸν ἐν ξίφεσι στρεφόμενον, τὸν ἐν αἵματι, τὸν ἐν σφαγαῖς·

---

5. Ματθ. 6, 34.
6. Ἐφ. 5, 17-18.

λει νὰ εἶναι διὰ τὴν ἡμέραν. Ἂν μάθῃς τί εἶναι κακὸν τὸ καθένα ποὺ συμβαίνει εἰς ἡμᾶς, θὰ γνωρίσῃς καὶ τί εἶναι κακία τῆς ἡμέρας. Ποία εἶναι ἡ κακία τοῦ σώματος; ἡ ἀσθένεια. Καὶ ποία ἡ πονηρία τῆς ψυχῆς; ἡ κακία. Ποία εἶναι ἡ κακία τοῦ ὕδατος; ἡ πικρία. Καὶ ἡ κακία τοῦ κάθε τι εἶναι ἡ φαυλότης δι' ἐκείνην τὴν φύσιν, τῆς ὁποίας εἶναι ἡ κακία. Ἑπομένως, ἐὰν ἡ κακία εἶναι διὰ τὴν ἡμέραν, ὀφείλει νὰ εἶναι δι' αὐτὴν τὴν ἡμέραν, διὰ τὰς ὥρας καὶ διὰ τὸ φῶς τῆς ἡμέρας. Ἔτσι καὶ ὁ Χριστὸς λέγει· «Ἀρκεῖ διὰ τὴν ἡμέραν ἡ ἰδική της κακία»[5]. Ἀπ' αὐτὸ θὰ γνωρίσωμεν καὶ ἐκεῖνο. Πῶς λοιπὸν καλεῖ τὰς ἡμέρας πονηράς; πῶς τὸν καιρὸν ὀνομάζει πονηρόν; Δὲν καλεῖ τὴν οὐσίαν, οὔτε τὰ κτίσματα, ἀλλὰ διὰ τὰ γινόμενα κατ' αὐτάς, ὅπως ἀκριβῶς ὑπάρχει καὶ εἰς ἡμᾶς ἡ συνήθεια νὰ λέγωμεν· Ἐπέρασα δυσάρεστον καὶ κακὴν ἡμέραν· ἂν καὶ πῶς θὰ ἠμποροῦσε νὰ γίνῃ δυσάρεστος, ἐκτὸς ἀπὸ τὰ συμβαίνοντα κατὰ τὴν διάρκειαν αὐτῆς; Τὰ δὲ συμβαίνοντα κατὰ τὴν διάρκειαν τῆς ἡμέρας εἶναι ἀγαθὰ μὲν τὰ ἐνεργούμενα ἀπὸ τὸν Θεόν, κακὰ δὲ τὰ πραττόμενα ἀπὸ κακοὺς ἀνθρώπους. Ἑπομένως οἱ ἄνθρωποι εἶναι οἱ δημιουργοὶ τῶν συμβαινόντων πονηρῶν ἔργων κατὰ τὴν διάρκειαν τοῦ χρόνου, καὶ διὰ τοῦτο λέγονται καὶ καιροὶ πονηροί. Ἔτσι καὶ ἡμεῖς ὀνομάζομεν τοὺς καιροὺς πονηρούς. «Διὰ τοῦτο», λέγει, μὴ γίνεσθε ἀνόητοι, ἀλλὰ νὰ ἐξετάζετε καὶ νὰ κατανοῆτε ποῖον εἶναι τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθᾶτε μὲ οἶνον. Εἰς τὴν μέθην ὑπάρχει διαφθορὰ καὶ ἀσωτεία»[6]. Καὶ τοῦ οἴνου ἡ ὑπέρμετρος χρῆσις κάνει τοὺς ἀνθρώπους θυμώδεις καὶ θρασεῖς καὶ ἀσταθεῖς καὶ ὀργίλους καὶ δυστρόπους. Ὁ οἶνος ἔχει δοθῆ διὰ νὰ προκαλῇ εὐθυμίαν καὶ ὄχι μέθην. Τώρα ὅμως θεωρεῖται ὅτι εἶναι δεῖγμα ἀνανδρίας καὶ γέλωτος τὸ νὰ μὴ μεθᾶτε.

Ποία λοιπὸν ὑπάρχει ἐλπὶς σωτηρίας; Εἶναι ἄξιον γέλωτος, εἰπέ μου, τὸ νὰ μὴ μεθᾶτε, ὅπου ἔπρεπε νὰ εἶναι πρὸ παντὸς ἡ μέθη αἰτία γέλωτος; Βέβαια εἶναι καλὸν καὶ ὁ ἰδιώτης νὰ ἀπέχῃ τῆς μέθης· πολὺ δὲ περισσότερον ὁ στρατιώτης, ὁ ὁποῖος περιστρέφεται ἀνάμεσα εἰς ξίφη, αἵ-

πολλῷ μᾶλλον τὸν στρατιώτην, ὅταν καὶ ἑτέρωθεν ὁ θυμὸς θήγηται, ἀπὸ τῆς ἐξουσίας, ἀπὸ τῆς δυναστείας, ἀπὸ τοῦ συνεχῶς ἐν ἐπιβουλαῖς καὶ μάχαις εἶναι. Βούλει μαθεῖν ποῦ καλὸν ὁ οἶνος; ἄκουε τῆς Γραφῆς λεγούσης· «Δότε οἶνον τοῖς ἐν ἰάσῃ, καὶ μέθην τοῖς ἐν ὀδύνῃ». Εἰκότως· τὸ γὰρ τραχὺ καὶ σκυρθωπὸν οἶδε μαλάττειν, καὶ τὸ συννεφὲς ἀπάγειν. «Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου», φησί. Πῶς οὖν ἐκ τοῦ οἴνου ἡ μέθη; οὐ γὰρ ἔνι τὸν αὐτὸν τὰ ἐναντία ἐργάζεσθαι ἑαυτῷ. Οὐκ ἄρα ἐκ τοῦ οἴνου ἡ μέθη, ἀλλ' ἐκ τῆς ἀμετρίας. Ὁ οἶνος δι' οὐδὲν ἕτερον ἡμῖν δέδοται, ἢ δι' ὑγείαν σώματος· ἀλλὰ καὶ πρὸς τοῦτο ἐμποδίζει ἡ ἀμετρία. Ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου γράφοντος καὶ λέγοντος τῷ Τιμοθέῳ· «Ὀλίγῳ οἴνῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας».

2. Διὰ γὰρ τοῦτο ὁ Θεὸς ἐποίησεν ἡμῶν τὰ σώματα σύμμετρα καὶ ἀπὸ ὀλίγων κορέννυσθαι, ἐντεῦθεν ἤδη παιδεύων ἡμᾶς, ὅτι πρὸς ἑτέραν ἡμᾶς ζωὴν ἐποίησε ἐπιτηδείους. Καὶ ἐβούλετο μὲν καὶ ἐξ ἀρχῆς ἐκείνην δοῦναι, ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς κατεστήσαμεν, ἀνεβάλετο· καὶ ἐν τῷ χρόνῳ ᾧ ἀνεβάλετο, οὐδὲ ἐν αὐτῷ ἀφίησιν ἡμᾶς ἀπολαύειν ἀμέτρως· οἴνου γὰρ κοτύλη καὶ ἄρτος εἷς ἀρκεῖ γαστέρα ἐμπλῆσαι ἀνθρώπου. Καὶ τὸν πάντων τῶν ἀλόγων κρατοῦντα, ὀλιγοδεέστερον αὐτῶν κατὰ τὴν ἀναλογίαν ἐποίησε, καὶ τὸ σῶμα βραχύ, οὐδὲν ἕτερον ἢ τοῦτο δηλῶν, ὅτι πρὸς ἑτέραν ζωὴν ἐπειγόμεθα. «Μὴ μεθύσκεσθε οἴνῳ», φησίν, «ἐν ᾧ ἐστιν ἀσωτία». Οὐ γὰρ σώζει, ἀλλ' ἀπόλλυσιν,

7. Παροιμ. 31, 6.
8. Ψαλμ. 103, 15.
9. Α΄ Τιμ. 5, 23.

ματα καὶ σφαγάς· εἶναι καλὸν κατὰ πολὺ περισσότερον νὰ ἀπέχῃ τῆς μέθης ὁ στρατιώτης, ὅταν ὁ θυμός του διεγείρεται καὶ ἀπὸ ἄλλην αἰτίαν, ἀπὸ τὴν ἐξουσίαν, τὴν τυραννίαν, ἀπὸ τὸ ὅτι εὑρίσκεται συνεχῶς εἰς ἐπιβουλὰς καὶ μάχας. Θέλεις νὰ μάθῃς ποῦ εἶναι καλὸς ὁ οἶνος; Ἄκουε τὴν Γραφὴν ποὺ λέγει· «Δῶστε οἶνον εἰς ἐκείνους ποὺ εὑρίσκονται εἰς λύπην καὶ οἶνον πολὺν εἰς τοὺς πικραμένους κατὰ τὴν καρδίαν»[7]. Καὶ εἶναι πολὺ φυσικὸν αὐτό, διότι γνωρίζει νὰ καταπραΰνῃ τὴν κατάθλιψιν καὶ τὴν σκυθρωπότητα καὶ νὰ ἀπομακρύνῃ τὴν κατήφειαν. «Ὁ οἶνος εὐφραίνει τὴν καρδίαν τοῦ ἀνθρώπου»[8], λέγει. Πῶς λοιπὸν ἀπὸ τὸν οἶνον προέρχεται ἡ μέθη; διότι δὲν εἶναι δυνατὸν νὰ προκαλῇ ὁ ἴδιος τὰ ἀντίθετα εἰς τὸν ἑαυτόν του. Ἄρα δὲν προέρχεται ἀπὸ τὸν οἶνον ἡ μέθη, ἀλλ' ἀπὸ τὴν ὑπέρμετρον χρῆσιν αὐτοῦ. Ὁ οἶνος ἔχει δοθῇ εἰς ἡμᾶς διὰ τὴν ὑγείαν τοῦ σώματος καὶ διὰ τίποτε ἄλλο. Ἀλλὰ καὶ πρὸς τὸν σκοπὸν αὐτὸν ἡ ὑπερβολικὴ χρῆσις τοῦ οἴνου στέκει ἐμπόδιον. Ἄκουε δὲ καὶ τὸν μακάριον Παῦλον ποὺ γράφει καὶ λέγει εἰς τὸν Τιμόθεον· «Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον διὰ τὸ στομάχι σου καὶ τὰς συχνὰς ἀσθενείας σου»[9].

2. Διὰ τοῦτο βέβαια ἐδημιούργησεν ὁ Θεὸς τὰ σώματά μας μέτρια καὶ νὰ ἱκανοποιοῦνται ἀπὸ τὰ ὀλίγα, θέλων νὰ μᾶς διδάξῃ ἀπ' αὐτό, ὅτι μᾶς ἐδημιούργησεν οἰκείους πρὸς μίαν ἄλλην ζωήν. Καὶ ἤθελε μὲν ἀμέσως ἀπὸ τὴν ἀρχὴν νὰ δώσῃ τὴν ζωὴν αὐτήν, ἐπειδὴ ὅμως κατεστήσαμεν τοὺς ἑαυτούς μας ἀναξίους, ἀνέβαλε τὴν ἀπόφασίν του δι' ἄλλον χρόνον. Καὶ οὔτε κατὰ τὸν χρόνον, κατὰ τὸν ὁποῖον ἀνέβαλε, μᾶς ἐπιτρέπει νὰ ἀπολαμβάνωμεν ὑπέρμετρα τὰ ἀγαθά, διότι ἕνα μικρὸν ποτήρι οἴνου καὶ ἕνας ἄρτος εἶναι ἀρκετὰ διὰ νὰ γεμίσουν τὴν κοιλίαν τοῦ ἀνθρώπου. Καὶ τὸν κυρίαρχον ὅλων τῶν ζώων, τὸν ἐδημιούργησεν ἀναλόγως ὀλιγαρκέστερον αὐτῶν καὶ τὸ σῶμα βραχύ, ὑποδηλῶν τίποτε ἄλλο παρὰ αὐτό, ὅτι δηλαδὴ σπεύδομεν πρὸς μίαν ἄλλην ζωήν. «Μὴ μεθᾶτε μὲ οἶνον», λέγει. «Εἰς τὴν μέθην ὑπάρχει διαφθορὰ καὶ ἀσωτία». Διότι ἡ μέθη δὲν σώζει, ἀλλὰ καταστρέφει ὄχι μόνον τὸ σῶμα, ἀλλὰ καὶ τὴν ψυχήν.

οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχήν. «Ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ· εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ Πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ». Βούλει, φησίν, εὐφραίνεσθαι; Βούλει τὴν ἡμέραν ἀναλίσκειν; Ἐγώ σοι δίδωμι πότον πνευματικόν· ἡ γὰρ μέθη καὶ τὴν εὔσημον ἐκκόπτει φωνὴν τῆς γλώσσης τῆς ἡμετέρας, ψελλίζειν παρασκευάζουσα, καὶ ὀφθαλμοὺς καὶ πάντα ἁπλῶς διαστρέφουσα. Μάθε ψάλλειν, καὶ ὄψει τοῦ πράγματος τὴν ἡδονήν· οἱ ψάλλοντες γὰρ Πνεύματος πληροῦνται ἁγίου, ὥσπερ οἱ ᾄδοντες τὰς σατανικὰς ᾠδάς, πνεύματος ἀκαθάρτου.

Τί ἐστιν, «Ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ; Τουτέστιν, μετὰ συνέσεως προσέχοντες· οἱ γὰρ οὐ προσέχοντες, ἁπλῶς ψάλλουσι, τὰ ῥήματα φθεγγόμενοι, τῆς καρδίας ῥεμβομένης ἑτέρωθι. «Πάντοτε», φησίν, «ὑπὲρ ἁπάντων εὐχαριστοῦντες ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ Πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ». Τουτέστι, Τὰ αἰτήματα ὑμῶν μετὰ εὐχαριστίας γνωριζέσθω πρὸς τὸν Θεόν· οὐδὲν γὰρ οὕτως εὐφραίνει τὸν Θεόν, ὡς ὅταν ᾖ τις εὐχάριστος. Μάλιστα δὲ δυνάμεθα εὐχαριστεῖν, ἀπάγοντες τῶν προειρημένων τὴν ψυχὴν τὴν ἡμετέραν, διακαθαίροντες αὐτὴν τούτοις οἷς εἶπεν. «Ἀλλὰ πληροῦσθε», φησί, «ἐν Πνεύματι». Ἆρα ἐν ἡμῖν τοῦτο; Καὶ γὰρ ἐν ἡμῖν. Ὅταν γὰρ ψεῦδος, ὅταν πικρίαν, ὅταν πορνείαν, ὅταν ἀκαθαρσίαν, ὅταν πλεονεξίαν ἀποσβήσωμεν τῆς ψυχῆς τῆς ἡμετέρας, ὅταν γενώμεθα χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, ὅταν εὐτραπελία μὴ παρῇ, ὅταν ἑαυτοὺς ἀξίους κατασκευάσωμεν, τί τὸ κωλύον τὸ Πνεῦμα τὸ ἅγιον ἐπελθεῖν καὶ ἐπι-

10. Ἐφ. 5, 18-21.

«Ἀλλὰ γεμίζετε τὸ ἐσωτερικόν σας μὲ Πνεῦμα ἅγιον, λαλοῦντες μεταξύ σας μὲ ψαλμοὺς καὶ ὕμνους καὶ ᾠδὰς πνευματικάς, ἄδοντες καὶ ψάλλοντες εἰς τὸν Κύριον μὲ ὅλην σας τὴν καρδίαν. Νὰ εὐχαριστῆτε πάντοτε καὶ δι' ὅλα ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν Θεὸν καὶ Πατέρα. Νὰ ὑποτάσσεσθε ὁ ἕνας εἰς τὸν ἄλλον μὲ φόβον Χριστοῦ»[10]. Θέλεις, λέγει, νὰ εὐφραίνεσαι; Θέλεις νὰ ἐξοδεύῃς τὴν ἡμέραν; Ἐγὼ προσφέρω εἰς σὲ πνευματικὸν συμπόσιον, διότι ἡ μέθη καταστρέφει καὶ τὴν εὐδιάκριτον φωνὴν τῆς ἰδικῆς μας γλώσσης καὶ τὴν κάνει νὰ ψελλίζῃ, καὶ διαστρέφει τὰ μάτια καὶ τὰ πάντα χωρὶς ἐξαίρεσιν. Μάθε νὰ ψάλλῃς, καὶ θὰ ἰδῇς τὴν εὐχαρίστησιν τοῦ πράγματος, διότι ἐκεῖνοι ποὺ ψάλλουν γεμίζουν μὲ τὸ ἅγιον Πνεῦμα, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ψάλλουν τὰς ᾠδὰς τοῦ διαβόλου, γεμίζουν μὲ πνεῦμα ἀκάθαρτον.

Τί σημαίνει «Μὲ ὅλην σας τὴν καρδίαν εἰς τὸν Κύριον»; Δηλαδή, νὰ προσέχετε μὲ σύνεσιν, διότι ἐκεῖνοι ποὺ δὲν προσέχουν ἁπλῶς μόνον ψάλλουν, λέγοντες τὰ λόγια, ἐνῷ ἡ καρδία των περιπλανᾶται ἀλλοῦ. «Πάντοτε», λέγει, «καὶ δι' ὅλα νὰ εὐχαριστῆτε ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν Θεὸν καὶ Πατέρα. Νὰ ὑποτάσσεσθε ὁ ἕνας εἰς τὸν ἄλλον μὲ φόβον Χριστοῦ». Δηλαδή, Τὰ αἰτήματά σας νὰ τὰ γνωρίζετε μὲ εὐγνωμοσύνην πρὸς τὸν Θεόν, διότι τίποτε δὲν εὐφραίνει ἔτσι τὸν Θεόν, ὅπως ὅταν εἶναι κανεὶς εὐγνώμων. Πρὸ πάντων δὲ ἠμποροῦμεν νὰ εἴμεθα εὐγνώμονες, ὅταν ἀπομακρύνωμεν τὴν ἰδικήν μας ψυχὴν ἀπ' ἐκεῖνα, ποὺ ἔχουν λεχθῇ προηγουμένως, καὶ ὅταν καθαρίζωμεν αὐτὴν μὲ ἐκεῖνα ποὺ εἶπεν. «Ἀλλὰ νὰ γεμίζετε τὸ ἐσωτερικόν σας», λέγει, «μὲ ἅγιον Πνεῦμα». Ἄρα τοῦτο εἶναι μέσα μας; Καὶ βεβαιότατα εἶναι μέσα μας. Διότι ὅταν ἐξαφανίσωμεν τὸ ψεῦδος, τὴν πικρίαν, τὴν πορνείαν, τὴν ἀκαθαρσίαν, τὴν πλεονεξίαν ἀπὸ τὴν ψυχήν μας, ὅταν γίνωμεν πρὸς τοὺς ἄλλους εὐεργετικοί, μὲ συμπονετικὴν καρδίαν, συγχωρούμενοι μεταξύ μας, ὅταν δὲν ὑπάρχῃ ἡ ἀπρεπὴς ἀστειότης, ὅταν θὰ καταστήσωμεν ἀξίους τοὺς ἑαυτούς μας, τί ἐμποδίζει τὸ ἅγιον Πνεῦμα διὰ νὰ ἔλθῃ

στῆναι; Καὶ οὐχ ἁπλῶς ἐπελεύσεται, ἀλλὰ πληρώσει τὴν καρδίαν ἡμῶν. Τοσούτου δὲ ἔνδοθεν ὄντος φωτός, οὐδὲ δυσκατόρθωτος ἡμῖν λοιπὸν ἔσται ἡ ἀρετή, ἀλλὰ ῥᾳδία καὶ εὔκολος.

«Πάντοτε εὐχαριστοῦντες», φησίν, «ὑπὲρ πάντων». Τί οὖν; ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ τῶν συμβαινόντων; Ναί· κἂν νόσος ᾖ, κἂν πενία. Εἰ γὰρ ἐν τῇ Παλαιᾷ παρῄνει σοφός τις λέγων· «Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι ἀσμένως καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον», πολλῷ μᾶλλον ἐν τῇ Καινῇ γίνεσθαι χρή. Κἂν τὸν λόγον τοίνυν μὴ εἰδῇς, εὐχαρίστει· τοῦτο γάρ ἐστιν εὐχαριστία. Ἂν δὲ εὖ παθὼν καὶ εὐθηνούμενος καὶ εὐπραγῶν καὶ ἐν εὐημερίαις ὤν, εὐχαριστῇς, οὐδὲν μέγα, οὐδὲν θαυμαστόν· τὸ δὲ ζητούμενον, ἐν θλίψεσιν ὄντα εὐχαριστεῖν, ἐν ἀθυμίαις. Μηδὲν πρὸ τοῦ ῥήματος τούτου φθέγγου, Εὐχαριστῶ σοι, Δέσποτα. Καὶ τί λέγω ὑπὲρ τῶν ἐνταῦθα θλίψεων; ὑπὲρ τῆς γεέννης αὐτῆς εὐχαριστεῖν δεῖ τῷ Θεῷ, ὑπὲρ τῶν κολάσεων τῶν ἐκεῖ, ὑπὲρ τῶν τιμωριῶν. Πάνυ γὰρ τὸ πρᾶγμα ἡμᾶς ὠφέλησε τοὺς προσέχοντας, ἀντὶ χαλινοῦ τοῦ τῆς γεέννης φόβου ταῖς καρδίαις ἡμῶν ἐπιτεθέντος. Μὴ τοίνυν ὑπὲρ τῶν φανερῶν εὐεργεσιῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀφανῶν, καὶ ὑπὲρ ὧν ἄκοντες εὐεργετούμεθα, εὐχαριστῶμεν· πολλὰ γὰρ καὶ μὴ βουλομένους ἡμᾶς εὐεργετεῖ, καὶ μὴ εἰδότας. Εἰ δὲ ἀπιστεῖτε, ἤδη ὑμῖν τὸ πρᾶγμα ποιήσω φανερόν. Ἐννόησον γάρ μοι· οἱ μιαροὶ καὶ ἄπιστοι Ἕλληνες οὐχὶ τῷ ἡλίῳ τὸ πᾶν ἐπιγράφουσι, καὶ τοῖς εἰδώλοις αὐτῶν; Τί οὖν; οὐχὶ εὐεργετεῖ καὶ αὐτούς; οὐχὶ τῆς ἐκείνου προνοίας ἐστί, καὶ τὸ ζῆν, καὶ τὸ ὑγιαίνειν αὐτούς, καὶ παιδοποιεῖν,

---

11. Σοφ. Σειρ. 2, 4.

12. Ἀπὸ τοὺς πρώτους χριστιανικοὺς αἰῶνας τὸ ὄνομα τῶν Ἑλλήνων ἔχει χάσει κάθε ἴχνος ἐθνικῆς προσηγορίας καὶ μετέπεσεν εἰς θρησκευτικὴν ἔννοιαν. Ἔτσι κατὰ τὸν Ἰωάννην τὸν Χρυσόστομον οἱ Ἕλληνες ἦσαν οἱ ἀσεβεῖς, οἱ εἰδωλολάτραι. Ἡ ἐθνικὴ ἀποκατάστασις τοῦ ὀνόματος ἔγινε πολὺ ἀργότερον.

καὶ νὰ πετάξῃ πρὸς ἡμᾶς; Καὶ δὲν θὰ εἰσέλθῃ ἁπλῶς μέσα μας, ἀλλὰ θὰ γεμίσῃ τὴν καρδίαν μας. Ἐφ' ὅσον λοιπὸν θὰ ὑπάρχῃ μέσα μας τόσον πολὺ φῶς, οὔτε ἡ ἀρετὴ θὰ εἶναι πλέον εἰς ἡμᾶς δυσκατόρθωτος, ἀλλ' εὔκολος καὶ εὐκατόρθωτος.

«Νὰ εὐχαριστῆτε πάντοτε καὶ δι' ὅλα», λέγει. Τί λοιπόν, πρέπει νὰ εὐχαριστοῦμεν δι' ὅλα τὰ συμβαίνοντα εἰς ἡμᾶς; Βεβαιότατα, ἔστω καὶ ἂν μᾶς συμβῇ ἀκόμη ἀσθένεια ἢ ἀνέχεια. Διότι ἐὰν εἰς τὴν Παλαιὰν Διαθήκην προέτρεπε κάποιος σοφὸς λέγων· «Ὅ,τιδήποτε ἐὰν συμβῇ εἰς σὲ νὰ τὸ δεχθῇς εὐχαρίστως καὶ εἰς τὰς ἀλλεπαλλήλους χειροτερεύσεις τῆς καταστάσεώς σου νὰ εἶσαι μακρόθυμος»[11], κατὰ πολὺ περισσότερον πρέπει νὰ συμβαίνῃ αὐτὸ εἰς τὴν Καινὴν Διαθήκην. Καὶ ἂν ἀκόμη δὲν γνωρίζῃς τὸν λόγον, νὰ εὐχαριστῇς, διότι αὐτὸ σημαίνει εὐχαριστία. Ἂν βέβαια εὐχαριστῇς, ὅταν εὐεργετηθῇς καὶ εὐδοκιμῇς καὶ εὐημερῇς καὶ εἶσαι εὐτυχής, δὲν κάνεις τίποτε τὸ σπουδαῖον, τίποτε τὸ ἀξιοθαύμαστον· ἐκεῖνο ποὺ ζητεῖται εἶναι· νὰ εὐχαριστῇς ὅταν εἶσαι στενοχωρημένος καὶ λυπημένος. Νὰ μὴ λέγῃς τίποτε πρὶν ἀπὸ τὰς λέξεις αὐτάς· Σὲ εὐχαριστῶ, Κύριε. Καὶ διατί λέγω νὰ εὐχαριστῇς διὰ τὰς θλίψεις τῆς παρούσης ζωῆς; Πρέπει νὰ εὐχαριστῇς τὸν Θεὸν διὰ τὴν γέενναν τοῦ πυρός, διὰ τὰς τιμωρίας τῆς ἄλλης ζωῆς, διὰ τὰς ποινάς. Διότι τὸ πρᾶγμα αὐτὸ ἡμᾶς, ποὺ προσέχομεν, ὠφέλησε πάρα πολύ, ἐπειδὴ ἀντὶ χαλινοῦ ἐτέθη εἰς τὰς καρδίας μας ὁ φόβος τῆς γεέννης. Ἑπομένως ἂς μὴ εὐχαριστοῦμεν μόνον διὰ τὰς φανερὰς εὐεργεσίας, ἀλλὰ καὶ διὰ τὰς ἀφανεῖς καὶ δι' ἐκεῖνα μὲ τὰ ὁποῖα εὐεργετούμεθα παρὰ τὴν θέλησίν μας· διότι μᾶς εὐεργετεῖ ὁ Θεὸς πολλὰ καὶ ὅταν δὲν θέλωμεν καὶ ὅταν δὲν γνωρίζωμεν. Ἐὰν ὅμως δυσπιστῆτε, θὰ τὸ κάνω φανερὸν εἰς σᾶς. Ἄκουσέ με λοιπόν· δὲν ἀποδίδουν τὸ πᾶν οἱ μιαροὶ καὶ ἄπιστοι Ἕλληνες[12] εἰς τὸν ἥλιον καὶ τὰ εἴδωλα αὐτῶν; Τί λοιπόν; Δὲν εὐεργετεῖ καὶ αὐτούς; δὲν ἀνήκει εἰς τὴν πρόνοιαν Ἐκείνου καὶ ἡ ζωὴ καὶ ἡ ὑγεία αὐτῶν, καθὼς καὶ ἡ τεκνοποίησις αὐτῶν καὶ ὅλα τὰ παρόμοια; Καὶ

καὶ ὅσα τοιαῦτα; Τί δὲ οἱ Μαρκιωνισταὶ λεγόμενοι; τί δὲ οἱ Μανιχαῖοι; οὐχὶ καὶ βλασφημοῦσιν αὐτόν; Τί οὖν; οὐχὶ εὐεργετεῖ αὐτοὺς καθ' ἑκάστην ἡμέραν; Εἰ δὲ ἐκείνους τοὺς ταῦτα οὐκ εἰδότας εὐεργετεῖ, πολλῷ μᾶλλον ἡμᾶς. Τί γὰρ ἄλλο ἔργον Θεοῦ ἢ τοῦτο, τὸ εὐεργετεῖν τὸ τῶν ἀνθρώπων γένος, καὶ διὰ κολάσεων καὶ δι' ἀνέσεων;

Μὴ μόνον τοίνυν ἐν εὐπραγίαις ὄντες εὐχαριστῶμεν· οὐδὲν γὰρ μέγα. Καὶ τοῦτο οἶδε καὶ ὁ διάβολος· διὸ καὶ ἔλεγε· «Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; οὐχὶ σὺ περιέφραξας τὰ ἔσω αὐτοῦ, καὶ τὰ ἔξω; Περίελε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει». Ἀλλ' οὐδὲν αὐτῷ πλεῖον ἐγένετο τῷ μιαρῷ, μηδὲ γένοιτο, μηδὲ περὶ ἡμῶν γενέσθαι τι πλέον αὐτῷ. Ἀλλὰ καὶ ὅταν ἐν πενίᾳ ὦμεν, καὶ ὅταν ἐν νόσοις, καὶ ὅταν ἐν ἐπηρείαις, τότε ἐπιτείνωμεν τὴν εὐχαριστίαν. Εὐχαριστίαν δὲ λέγω, μὴ ῥήμασι μηδὲ γλώσσῃ, ἀλλὰ πράγμασι καὶ ἔργοις, καὶ διανοίᾳ καὶ καρδίᾳ. Ἐκ πάσης ψυχῆς εὐχαριστῶμεν αὐτῷ. Μᾶλλον γὰρ τῶν γεννησαμένων ἡμᾶς φιλεῖ· καὶ ὅσον πονηρίας καὶ ἀγαθότητος τὸ μέσον, τοσοῦτον ἡ τῆς ἀγάπης τοῦ Θεοῦ πρὸς τὴν τῶν ἡμετέρων πατέρων διαφοράν.

3. Καὶ ταῦτα οὐκ ἐμά ἐστι ῥήματα, ἀλλ' αὐτοῦ τοῦ φιλοῦντος ἡμᾶς Χριστοῦ. Καὶ ἄκουε αὐτοῦ λέγοντος· «Τίς ἐξ ὑμῶν ἐστιν ἄνθρωπος, ὅς, ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;». Καὶ πάλιν ἄκουε καὶ ἑτέρωθι λέγοντος· «Μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου,

---

13. Ὀπαδοὶ τῆς ἱδρυθείσης ἀπὸ τὸν Μαρκίωνα κατὰ τὸν 2ον αἰῶνα θρησκευτικῆς αἱρέσεως.

14. Ὀπαδοὶ τοῦ μανιχαϊσμοῦ, χριστιανικῆς θρησκευτικῆς αἱρέσεως, ἱδρυθείσης κατὰ τὸν 3ον αἰῶνα ὑπὸ τοῦ Πέρσου Μάνεντος. Διὰ περισσότερα Θ.Η.Ε. τ. 8.

15. Ἰὼβ 1, 9. 10.

16. Ματθ. 7, 9. 11.

τί πράττουν οἱ λεγόμενοι Μαρκιωνισταί[13]; τί δὲ οἱ Μανιχαῖοι[14]; δὲν βλασφημοῦν ἀκόμη καὶ τὸν Θεόν; Τί λοιπόν; δὲν εὐεργετεῖ αὐτοὺς καθημερινῶς; Ἐὰν λοιπὸν εὐεργετῇ ἐκείνους, ποὺ δὲν γνωρίζουν αὐτά, ἀσυγκρίτως περισσότερον εὐεργετεῖ ἡμᾶς. Διότι ποῖον ἄλλο εἶναι τὸ ἔργον τοῦ Θεοῦ παρὰ αὐτό, τὸ νὰ εὐεργετῇ δηλαδὴ τὸ ἀνθρώπινον γένος καὶ μὲ τιμωρίας καὶ μὲ ἀπολαύσεις ἀγαθῶν;

Ἂς μὴ εὐχαριστοῦμεν λοιπὸν μόνον ὅταν εὐημεροῦμεν, διότι αὐτὸ δὲν εἶναι καθόλου σπουδαῖον. Καὶ ὁ διάβολος γνωρίζει αὐτό, διὰ τοῦτο καὶ ἔλεγε· «Μήπως ὁ Ἰὼβ φοβεῖται τὸν Θεὸν χωρὶς λόγον; δὲν περιέφραξες τὰ ὑπάρχοντα αὐτοῦ, τὰ εὑρισκόμενα μέσα καὶ ἔξω ἀπὸ τὴν οἰκίαν του; Στέρησέ τον ὅλα τὰ ὑπάρχοντά του, καὶ θὰ σὲ βλασφημήσῃ κατὰ πρόσωπον»[15]. Ὅμως δὲν ἔγινε τίποτε περισσότερον εἰς αὐτὸν τὸν μιαρόν, οὔτε νὰ γίνῃ, οὔτε δι' ἡμᾶς νὰ γίνῃ κάτι περισσότερον εἰς αὐτόν. Ἀλλὰ καὶ ὅταν εἴμεθα πτωχοί, καὶ ὅταν εἴμεθα ἀσθενεῖς καὶ ὅταν εἴμεθα περιφρονημένοι, τότε ἂς ἐπιτείνωμεν τὴν εὐχαριστίαν. Καὶ ἐννοῶ εὐχαριστίαν, ὄχι μὲ λόγια καὶ μὲ τὴν γλῶσσαν μόνον, ἀλλὰ μὲ πράξεις καὶ ἔργα, καὶ μὲ τὴν διάνοιαν καὶ μὲ τὴν καρδίαν μας. Ἂς εὐχαριστοῦμεν αὐτὸν μὲ ὅλην τὴν ψυχήν μας. Περισσότερον ἀπὸ τοὺς γονεῖς μᾶς ἀγαπᾷ· καὶ ὅση διαφορὰ ὑπάρχει μεταξὺ κακίας καὶ ἀγαθότητας, τόσον μεγάλη εἶναι ἡ διαφορὰ τῆς ἀγάπης τοῦ Θεοῦ ἀπὸ τὴν ἀγάπην τῶν ἰδικῶν μας πατέρων.

3. Καὶ τὰ λόγια αὐτὰ δὲν εἶναι ἰδικά μου, ἀλλὰ τοῦ ἰδίου τοῦ Χριστοῦ, ποὺ μᾶς ἀγαπᾷ. Ἄκουε αὐτὸν νὰ λέγῃ· «Ποῖος ἄνθρωπος ἀπὸ σᾶς, ποὺ θὰ τοῦ ζητήσῃ ὁ υἱός του ἄρτον, εἶναι δυνατὸν νὰ τοῦ δώσῃ λίθον ἀντὶ ἄρτου; Ἐὰν λοιπὸν σεῖς, ποὺ εἶσθε γεμᾶτοι κακίαν, γνωρίζετε νὰ δίδετε ὠφέλιμα πράγματα εἰς τὰ παιδιά σας, πόσῳ μᾶλλον ὁ Πατέρας σας ὁ οὐράνιος θὰ δώσῃ ἀγαθά, καλὰ καὶ ὠφέλιμα, εἰς ἐκείνους ποὺ τοῦ τὰ ζητοῦν;»[16]. Καὶ πάλιν ἄκουε νὰ λέγῃ ἀλλοῦ· «Εἶναι δυνατὸν νὰ λησμονήσῃ ἡ γυναῖκα νὰ ἐλεήσῃ τὰ τέκνα τῆς κοιλίας της; Ἀκόμη καὶ ἂν θὰ τὰ λησμονήσῃ ἡ γυναῖκα, ἐγὼ δὲν θὰ σὲ λησμονήσω, λέγει

λέγει Κύριος». Εἰ γὰρ μὴ φιλεῖ, τίνος ἕνεκεν ἡμᾶς ἐποίησε; μὴ γὰρ ἀνάγκην εἶχε; μὴ γὰρ χρείαν αὐτῷ καὶ διακονίαν πληροῦμεν; μὴ γὰρ δεῖταί τινος τῶν παρ' ἡμῶν; Ἄκουε τοῦ Προφήτου λέγοντος· «Εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις». Ἀλλ' οἱ ἀγνώμονες καὶ ἀναίσθητοι. Τοῦτο φασίν, ἀγαθότητος Θεοῦ, τὸ ἰσοτιμίαν εἶναι παρὰ πᾶσιν; Εἰπέ μοι, ἀγνῶμον ἄνθρωπε, ποῖα λέγεις μὴ εἶναι ἀγαθότητος Θεοῦ, καὶ τίνα λέγεις ἰσοτιμίαν; Ὁ δεῖνα, φησί, πεπήρωται ἐκ παίδων, ἕτερος μαίνεται καὶ δαιμονᾷ, ἄλλος εἰς ἔσχατον γῆρας ἐλάσας ἐν πενίᾳ τὸν ἅπαντα βίον διήγαγεν, ἄλλος ἐν νόσοις χαλεπωτάταις· ταῦτα προνοίας ἐστὶν ἔργα; Ὁ μέν ἐστι κωφός, ὁ δὲ ἄλαλος, ὁ δὲ πένης, ἕτερος μιαρὸς καὶ παμμίαρος, καὶ μυρίων γέμων κακῶν, χρημάτων ἀπολαύει, καὶ πόρνας τρέφει καὶ παρασίτους, καὶ λαμπρὰν οἰκίαν κέκτηται, καὶ βίον ἀπράγμονα ζῇ. Καὶ πολλὰ τοιαῦτα συνείρουσι, μακρὸν ὑφαίνοντες κατηγορίας λόγον κατὰ τῆς τοῦ Θεοῦ προνοίας.

Τί οὖν; ἀπρονόητά ἐστι; τί οὖν ἂν εἴποιμεν πρὸς αὐτούς; Εἰ μὲν Ἕλληνες εἶεν, καὶ λέγοιεν ἡμῖν ὑπό τινος τὸν κόσμον διοικεῖσθαι, πάλιν καὶ ἡμεῖς τὰ αὐτὰ ἐροῦμεν πρὸς αὐτούς· Τί οὖν, ἀπρονόητά ἐστιν; οὐκοῦν πῶς ὑμεῖς σέβεσθε θεούς, καὶ προσκυνεῖτε δαίμονας καὶ ἥρωας; εἰ γὰρ πρόνοιά ἐστιν, ἐφέστηκέ τις τοῖς πᾶσιν. Εἰ δέ τινες εἶεν ἀποδυσπετοῦντες, ἢ Χριστιανοὶ ἢ καὶ Ἕλληνες, καὶ παρασαλευόμενοι, τί πρὸς αὐτοὺς ἐροῦμεν; Τοσαῦτα δέ, εἰπέ μοι, ἀπὸ ταυτομάτου γένοιτο ἂν ἀγαθά; τὸ φῶς τὸ καθημερινόν, ἡ εὐταξία ἡ ἐν τοῖς οὖσι, τῶν ἄστρων ἡ χορεία, ὁ ἰσοστάσιος νυκτῶν καὶ ἡμερῶν δρόμος, ἡ τῆς φύσεως ἀκολουθία καὶ ἐν φυτοῖς καὶ ἐν ζώοις καὶ ἐν ἀνθρώποις; Τίς, εἰπέ μοι, ὁ ταῦτα διοικῶν; Εἰ μηδεὶς ἐφεστὼς ἦν, ἀλλ' ἀπὸ ταυτομά-

17. Ἡσ. 49, 15.
18. Ψαλμ. 15, 2.

ὁ Κύριος»[17]. Ἐὰν λοιπὸν δὲν μᾶς ἀγαπᾷ, διατί μᾶς ἐδημιούργησε; μήπως εἶχε καμμίαν ἀνάγκην; μήπως ἱκανοποιοῦμεν καμμίαν ἀνάγκην του καὶ ὑπηρεσίαν; μήπως ἔχει ἀνάγκην κάτι ἀπὸ τὰ ἰδικά μας; Ἄκουε τὸν προφήτην ποὺ λέγει· «Εἶπα πρὸς τὸν Κύριον· Κύριός μου εἶσαι σύ, διότι δὲν ἔχεις ἀνάγκην τῶν ἀγαθῶν μου»[18]. Ἀλλ' οἱ ἀγνώμονες καὶ ἀναίσθητοι λέγουν· Εἶναι τοῦτο δεῖγμα τῆς ἀγαθότητος τοῦ Θεοῦ, τὸ νὰ ὑπάρχῃ ἰσοτιμία εἰς ὅλους; Εἰπέ μου, ἀχάριστε ἄνθρωπε, ποῖα λέγεις ὅτι δὲν εἶναι δεῖγμα τῆς ἀγαθότητος τοῦ Θεοῦ καὶ ποίαν ἐννοεῖς ἰσοτιμίαν; Ὁ τάδε, λέγει, ἔχει γίνει ἀνάπηρος ἀπὸ παιδί, ὁ ἄλλος εἶναι μανιακὸς καὶ κατέχεται ὑπὸ δαίμονος, ἄλλος ποὺ ἔφθασεν εἰς βαθειὰ γηρατειὰ ἐπέρασεν ὅλην του τὴν ζωὴν μέσα εἰς τὴν ἀνέχειαν, ἄλλος εἰς τὰς πλέον φοβερὰς ἀσθενείας· εἶναι αὐτὰ ἔργα προνοίας τοῦ Θεοῦ; Ἄλλος μὲν εἶναι κωφός, ἄλλος δὲ ἄφωνος, ἄλλος πτωχός, ἄλλος μιαρὸς καὶ μιαρώτατος πάντων καὶ γεμᾶτος μυρίων κακῶν, ἀπολαμβάνει χρήματα καὶ συντηρεῖ πόρνας καὶ παρασίτους, καὶ ἔχει πολυτελῆ οἰκίαν καὶ ζῇ βίον ἀνενόχλητον. Καὶ πολλὰ παρόμοια λέγουν, παρασκευάζοντες ἐκτενῆ λόγον κατηγορίας ἐναντίον τῆς προνοίας τοῦ Θεοῦ.

Τί λοιπόν; γίνονται χωρὶς πρόνοιαν αὐτά; τί λοιπὸν θὰ ἀπαντήσωμεν πρὸς αὐτούς; Ἐὰν μὲν ἦσαν Ἕλληνες καὶ μᾶς ἔλεγαν ὅτι ὁ κόσμος διοικεῖται ἀπὸ κάποιον, πάλιν καὶ ἡμεῖς θὰ κάμωμεν τὴν ἰδίαν ἐρώτησιν πρὸς αὐτούς. Τί λοιπόν, γίνονται χωρὶς πρόνοιαν; Πῶς λοιπὸν σέβεσθε σεῖς τοὺς θεοὺς καὶ προσκυνεῖτε τοὺς δαίμονας καὶ τοὺς ἥρωας; ἐὰν βέβαια ὑπάρχει πρόνοια, τὴν ἔχει θέσει κάποιος εἰς ὅλα. Ἐὰν δὲ ὑπάρχουν μερικοί, εἴτε Χριστιανοὶ εἴτε καὶ Ἕλληνες, οἱ ὁποῖοι ἀπελπίζονται καὶ διασαλεύονται, τί θὰ εἰποῦμεν πρὸς αὐτούς; Εἰπέ μου, ἦτο δυνατὸν νὰ γίνουν τόσον πολλὰ ἀγαθὰ κατὰ τύχην; τὸ φῶς τῆς ἡμέρας, ἡ ἁρμονία καὶ ἡ τάξις εἰς τὰ ὄντα, ἡ κίνησις τῶν ἄστρων, ἡ ἰσοδύναμος διάρκεια τῆς νυκτὸς καὶ τῆς ἡμέρας, ἡ συνεχὴς διαδοχὴ τῆς φύσεως καὶ εἰς τὰ φυτὰ καὶ εἰς τὰ ζῶα καὶ εἰς τοὺς ἀνθρώπους; Ποῖος, εἰπέ μου, εἶναι ἐκεῖνος ποὺ διευθύνει αὐτά; Ἐὰν κανεὶς δὲν τὴν ἔθεσεν,

του πάντα συνειστήκει, τίς τὴν καμάραν ταύτην τὴν οὕτω καλήν, τὴν οὕτω μεγάλην, τὸν οὐρανὸν λέγω, περιδινήσας ἐπὶ τῆς γῆς ἔστησεν, ἢ καὶ ἐπὶ ὑδάτων; τίς ὁ τοὺς καιροὺς τοὺς καρποφόρους διδούς; τίς τοσαύτην ἔθετο ἐν σπέρμασι καὶ φυτοῖς δύναμιν; τὸ γὰρ ἀπὸ ταυτομάτου ἄτακτον πάντως· τὸ δὲ εὔτακτον μετὰ τέχνης γίνεται.

Τί γάρ, εἰπέ μοι, τῶν παρ' ἡμῖν τῶν ἀπὸ ταυτομάτου οὐ πολλῆς γέμει τῆς ἀταξίας καὶ πολλοῦ τοῦ θορύβου καὶ τῆς ταραχῆς; Καὶ οὐ λέγω ἀπὸ ταυτομάτου, ἀλλὰ μετά τινος ποιοῦντος, ἀτέχνως δὲ ποιοῦντος. Οἷον, ἔστω ξύλα καὶ λίθοι, ἔστω δὲ καὶ ἄσβεστος· καὶ λαβὼν ἄνθρωπος οἰκοδομίας ἄπειρος οἰκοδομείτω καὶ ἐνεργείτω· ἆρα οὐ πάντα ἂν ἀπώλεσε καὶ διέφθειρε; Πάλιν, ἔστω πλοῖον κυβερνήτου χωρίς, πάντα ἔχον ἅπερ ἔχειν δεῖ πλοῖον ἄνευ τεχνίτου, οὐ λέγω ἀκατασκεύαστον, ἀλλὰ κατασκευασθέν· μὴ πλεῦσαι δυνήσεται; καὶ τοσαύτη γῆ ἐπὶ ὕδατος ἑστῶσα, ἄνευ τινὸς συγκρατούσης δυνάμεως ἠδύνατο, εἰπέ μοι, οὕτω παγίως ἐπὶ χρόνον στῆναι τοσοῦτον; καὶ ταῦτα λόγον ἂν ἔχοι; καὶ οὐ μυριάκις γέλωτος ἄξιον τὸ ταῦτα ἐννοεῖν; Καὶ εἰ μὲν βαστάζοι καὶ τὸν οὐρανόν, ἰδοὺ καὶ ἕτερον ἄχθος· εἰ δὲ καὶ οὐρανὸς ἐν ὕδατι φέροιτο, πάλιν ἕτερον ζήτημα. Ἀλλὰ πᾶν τῆς προνοίας ἔργον. Τὰ γὰρ ἐπὶ τῶν ὑδάτων φερόμενα οὐ κυρτοῦσθαι δεῖ, ἀλλὰ κοιλαίνεσθαι. Τί δήποτε; Ὅτι τοῦ μὲν κοίλου τὸ σῶμα ὅλον βαπτίζεται ἐπὶ τῶν ὑδάτων, καθάπερ ἐπὶ τοῦ πλοίου· τοῦ δὲ κεκυρτωμένου τὸ μὲν σῶμα ὅλον ἐστὶν ἄνωθεν, τὰ δὲ ἄκρα ἐπίκειται μόνον. Οὐκοῦν αὐτῷ δεῖ σώματος ἀντιτύπου καὶ σκληροῦ καὶ στέγειν δυναμένου, ὥστε φέρειν τὸ ἐπικείμενον ἄχθος.

ἀλλὰ κατὰ τύχην εἶχεν ἐκδηλωθῆ, ποῖος ἔστησεν αὐτὴν τὴν ἁψῖδα τὴν τόσον ὡραίαν καὶ τόσον μεγάλην, δηλαδὴ τὸν οὐρανόν, περιστρέψας αὐτὴν ἐπάνω εἰς τὴν γῆν ἢ καὶ ἐπάνω εἰς τὰ ὕδατα; ποῖος ἔδωσε τὰς καρποφόρους ἐποχὰς τοῦ ἔτους; ποῖος ἔθεσε τόσον μεγάλην δύναμιν εἰς τὰ σπέρματα καὶ τὰ φυτά; διότι αὐτὸ ποὺ γίνεται κατὰ τύχην εἶναι ὁπωσδήποτε χωρὶς τάξιν, ἐκεῖνο ὅμως ποὺ ἔχει καλὴν τάξιν γίνεται μὲ ἐπιδεξιότητα.

Τί λοιπόν, εἰπέ μου, ἐκεῖνα ποὺ γίνονται ἀπὸ ἡμᾶς κατὰ τύχην δὲν εἶναι γεμᾶτα ἀπὸ πολλὴν ἀταξίαν καὶ πολὺν θόρυβον καὶ ταραχήν; Καὶ δὲν ἐννοῶ τυχαίως, ἀλλὰ μὲ κάποιον τεχνίτην, χωρὶς ὅμως ἐπιδεξιότητα. Ἐπὶ παραδείγματι, ἔστω ὅτι ὑπάρχουν ξύλα καὶ λίθοι, ἀκόμη δὲ καὶ ἀσβέστης· καὶ αὐτὰ τὰ ἔλαβεν ἄνθρωπος χωρὶς πεῖραν διὰ τὴν ἀνέγερσιν τῆς οἰκοδομῆς, κτίζει καὶ προσπαθεῖ νὰ τὴν κατασκευάσῃ· ἆρά γε δὲν θὰ καταστρέψῃ καὶ θ' ἀχρηστεύσῃ ὅλα αὐτά; Ἄλλο παράδειγμα, ἔστω ὅτι εἶναι ἕνα πλοῖον χωρὶς τεχνίτην, δὲν ἐννοῶ ἀκατασκεύαστον, ἀλλὰ κατασκευασμένον· μήπως θὰ ἠμπορέσῃ νὰ πλεύσῃ; καὶ τόσον μεγάλη γῆ, ποὺ στέκεται ἐπάνω εἰς τὸ ὕδωρ, χωρὶς νὰ τὴν συγκρατῇ καμμία δύναμις, εἰπέ μου, ἦτο δυνατὸν νὰ σταθῇ σταθερὰ ἐπὶ τόσον πολὺν χρόνον; καὶ θὰ ἦτο δυνατὸν νὰ ἔχουν αὐτὰ δικαιολογίαν; καὶ δὲν εἶναι ἀπείρως ἄξιον γέλιου τὸ νὰ σκέπτεται κανεὶς αὐτά; Καὶ ἐὰν μὲν βαστάζῃ καὶ τὸν οὐρανόν, ἰδοὺ καὶ ἄλλο βάρος· ἐὰν ὅμως καὶ ὁ οὐρανὸς φέρεται μέσα εἰς τὰ ὕδατα, πάλιν δημιουργεῖται ἄλλο ζήτημα. Ἀλλὰ τὸ κάθε τι εἶναι ἔργον τῆς προνοίας τοῦ Θεοῦ. Τὰ φερόμενα βέβαια ἐπάνω εἰς τὰ ὕδατα δὲν πρέπει νὰ καθίστανται κυρτά, ἀλλὰ κοῖλα. Διατί λοιπόν; Διότι τὸ μὲν σῶμα τοῦ κοίλου βυθίζεται ὅλον ἐντὸς τῶν ὑδάτων, ὅπως ἀκριβῶς συμβαίνει εἰς τὸ πλοῖον· τοῦ κυρτοῦ ὅμως τὸ μὲν σῶμα εἶναι ὅλον ὑπεράνω, τὰ δὲ ἄκρα ἐφάπτονται μόνον εἰς τὸ ὕδωρ. Ἑπομένως πρέπει νὰ ἔχῃ σῶμα τραχὺ καὶ σκληρὸν καὶ νὰ ἠμπορῇ νὰ συγκρατῇ τὸ ὕδωρ, ὥστε νὰ φέρῃ τὸ εὑρισκόμενον ἐπάνω εἰς αὐτὸ φορτίον.

Ἀλλ' ἀὴρ φέρει τὸν οὐρανόν; Ἀλλ' οὗτος πολλῷ τοῦ ὕδατος μαλακώτερος καὶ χαυνότερος καὶ οὐδὲν στέγειν δυνάμενος, οὐδὲ τῶν λεπτοτάτων, μήτε γε ὄγκον τοσοῦτον. Ὅλως δὲ εἰ βουλοίμεθα τῆς προνοίας τὸν λόγον ἐπεξιέναι, καὶ καθολικῶς, καὶ κατακερματίζοντες, ὅλος ὁ αἰὼν ἡμᾶς ἐλλείψει. Ἐρήσομαι γὰρ τὸν ἐκεῖνα ζητοῦντα νῦν· Ταῦτα προνοίας ἐστίν, ἢ ἀπρονοησίας; Κἂν εἴποι, ὅτι Οὐκ ἔστι προνοίας, καὶ πάλιν ἐρήσομαι· Πῶς οὖν γέγονεν; Ἀλλ' οὐκ ἂν ἔχοι λόγον τινὰ εἰπεῖν. Οὐκοῦν πολλῷ μᾶλλον περὶ τῶν ἀνθρωπίνων πραγμάτων ζητεῖν οὐκ ὀφείλεις, οὐδὲ περιεργάζεσθαι. Τί δήποτε; Ὅτι τούτων πάντων ἄνθρωπος τιμιώτερος, καὶ ταῦτα δι' ἐκεῖνον γέγονεν, οὐκ ἐκεῖνος διὰ ταῦτα.

4. Εἰ τοίνυν τὴν ἐπὶ τῆς προνοίας αὐτοῦ μόνου σοφίαν καὶ τὴν οἰκονομίαν οὐκ οἶδας, πῶς δυνήσῃ τοὺς λόγους εἰδέναι τοὺς κατ' αὐτόν; Εἰπὲ δή μοι, τί δήποτε οὕτω μικρὸν αὐτὸν εἰργάσατο, καὶ τοσοῦτον ἀπέχοντα τοῦ ὕψους τοῦ οὐρανοῦ, ὡς καὶ ἀμφιβάλλειν περὶ τῶν ἄνω φαινομένων; τίνος δὲ ἕνεκεν τὰ βόρεια ἀοίκητά ἐστι, καὶ τὰ νότια; Εἰπὲ δή μοι, διὰ τί γέγονεν ἡ νὺξ χειμῶνος μὲν μακροτέρα, θέρους δὲ ἐλάττων; διὰ τί τὸ καῦμα, διὰ τί σῶμα θνητόν; Καὶ μυρία σε ἕτερα ἐρωτῶ, καὶ ἐὰν θέλῃς, οὐ παύσομαί σε ἐρωτῶν, καὶ ἐν ἅπασί μοι διαπορήσεις. Ὥστε τοῦτο μάλιστα προνοίας ἐστί, τὸ τοὺς λόγους ἡμῖν ἀπορρήτους εἶναι. Ἢ γὰρ ἂν καὶ ἄνθρωπον αἴτιόν τις ἐνόμισε τοῦ παντός, εἰ μὴ τοῦτο ἡμῶν κατέστελλε τὴν διάνοιαν. Ἀλλ' ὁ δεῖνα, φησί, πένης, καὶ κακὸν ἡ πενία. Τί δὲ ἡ νόσος, τί δὲ ἡ πήρωσις; Οὐδέν ἐστι ταῦτα, ἄνθρωπε· ἓν μόνον ἐστὶ κακόν, τὸ ἁμαρ-

Μήπως ὁ ἀέρας συγκρατεῖ τὸν οὐρανόν; Ἀλλ' αὐτὸς εἶναι περισσότερον μαλακώτερος καὶ χαλαρώτερος ἀπὸ τὸ ὕδωρ καὶ δὲν ἠμπορεῖ νὰ συγκρατήσῃ τίποτε, οὔτε ἀπὸ τὰ λεπτότατα ἀντικείμενα, οὔτε βέβαια τόσον μεγάλον ὄγκον. Ἐὰν δὲ θέλωμεν νὰ ἐξαντλήσωμεν ἐντελῶς τὸν περὶ προνοίας τοῦ Θεοῦ λόγον, καὶ εἰς τὰ γενικῶς καὶ εἰς τὰ ἐπὶ μέρους δὲν θὰ μᾶς ἐπαρκέσῃ ὁλόκληρος ἡ ζωή μας. Θὰ ἐρωτήσω λοιπὸν εἰς ἐκεῖνον ποὺ ζητεῖ νὰ μάθῃ τώρα αὐτό. Εἶναι αὐτὰ δεῖγμα προνοίας ἢ ἀπρονοησίας; Καὶ ἂν εἰπῇ, ὅτι δὲν εἶναι δεῖγμα προνοίας, καὶ πάλιν θὰ τὸν ἐρωτήσω· Πῶς λοιπὸν ἔχουν γίνει; Ἀλλὰ δὲν θὰ ἔχῃ νὰ εἰπῇ καμμίαν δικαιολογίαν. Ἐπομένως πολὺ περισσότερον περὶ τῶν ἀνθρωπίνων πραγμάτων δὲν εἶσαι ὑποχρεωμένος νὰ ζητῇς νὰ μάθῃς, οὔτε νὰ τὰ περιεργάζεσαι. Διατί τέλος πάντων; Διότι ὁ ἄνθρωπος εἶναι τιμιώτερος ἀπὸ ὅλα αὐτὰ καὶ αὐτὰ ἔχουν γίνει χάριν ἐκείνου, ὄχι ἐκεῖνος χάριν αὐτῶν.

4. Ἐὰν λοιπὸν δὲν γνωρίζῃς μόνον τὴν σοφίαν καὶ τὴν οἰκονομίαν τοῦ Θεοῦ, ποὺ ἐκδηλώνεται εἰς τὴν πρόνοιαν, πῶς θὰ ἠμπορέσῃς νὰ γνωρίζῃς τοὺς λόγους ποὺ ἀναφέρονται εἰς τὸν αὐτόν; Εἰπέ μου λοιπόν, διατὶ ἐδημιούργησε τόσον μικρὸν αὐτόν, καὶ τόσον πολὺ νὰ ἀπέχῃ ἀπὸ τὸ ὕψος τοῦ οὐρανοῦ, ὥστε καὶ νὰ ἀμφιβάλλῃ ἀκόμη διὰ τὰ φαινόμενα ποὺ συμβαίνουν εἰς αὐτόν; διὰ ποῖον λόγον εἶναι ἀκατοίκητα τὰ βόρεια καὶ τὰ νότια τμήματα τῆς γῆς; Εἰπέ μου λοιπόν, διατί ἔχει γίνει ἡ νύκτα κατὰ τὸν μὲν χειμῶνα μεγαλυτέρα, κατὰ τὸ θέρος δὲ μικροτέρα; διατί ὑπάρχει τόσον πολὺ ψῦχος, διατί ὁ καύσων, διατί τὸ σῶμα εἶναι θνητόν; Καὶ ἀπείρους ἄλλας ἐρωτήσεις θὰ σὲ κάνω, καὶ ἐὰν θέλῃς, δὲν θὰ παύσω νὰ σὲ ἐρωτῶ καὶ εἰς ὅλα θὰ ἔχῃς ἀπορίας. Ὥστε τοῦτο εἶναι ἰδίως δεῖγμα προνοίας, τὸ νὰ εἶναι ἀπόρρητοι εἰς ἡμᾶς οἱ λόγοι. Βέβαια θὰ ἦτο δυνατὸν νὰ θεωρήσῃ κανεὶς καὶ τὸν ἄνθρωπον αἴτιον τοῦ παντός, ἂν αὐτὸ δὲν ἤθελε καταβάλλει τὴν διάνοιάν μας. Ἀλλὰ ὁ τάδε, λέγει, εἶναι πένης καὶ ἡ πενία εἶναι κακὸν πρᾶγμα. Τί δὲ εἶναι ἡ ἀσθένεια, καὶ τί ἡ ἀναπηρία; Τίποτε δὲν εἶναι αὐτά, ἄνθρωπε. Ἕνα μόνον εἶναι

τάνειν, καὶ τοῦτο μόνον ἐξετάζειν ὀφείλομεν. Ἀλλ' ἀφέντες τῶν ὄντως κακῶν τὰς αἰτίας ἐρευνᾶν, ἕτερα πολυπραγμονοῦμεν. Διὰ τί μηδεὶς ἡμῶν μηδέποτε ἐξετάζει, διὰ τί ἥμαρτεν; ἆρα ἐν ἐμοὶ τὸ ἁμαρτάνειν; ἆρα οὐκ ἐν ἐμοί; Καὶ τί με δεῖ πολλοὺς περιέναι λόγους; ἐν ἐμαυτῷ τὸ πρᾶγμα ζητήσω· ἆρα ἐκράτησά ποτε θυμοῦ; ἆρα ἐκράτησά ποτε ὀργῆς, ἢ δι' αἰσχύνην, ἢ διὰ φόβον ἀνθρώπινον; Εἶτα ἐπειδὰν εὕρω τοῦτο γινόμενον, εὑρήσω ὅτι ἐν ἐμοὶ τὸ ἁμαρτάνειν.

Οὐδεὶς ταῦτα ἐξετάζει, οὐδεὶς ταῦτα πολυπραγμονεῖ, ἀλλὰ ἁπλῶς, κατὰ τὸν Ἰώβ, «Βροτὸς δὲ ἄλλως νήχεται λόγοις». Τί γάρ σοι τοῦτο μέλει, εἰ ὁ δεῖνα τυφλός, καὶ ὁ δεῖνα πένης; Οὐ τοῦτο ἐπέταξοί σοι ὁ Θεὸς σκοπεῖν, ἀλλὰ τί δήποτε οὐ πράττεις; Εἰ μὲν γὰρ ἀμφιβάλλεις, ὅτι ἐφέστηκέ τις τῷ κόσμῳ δύναμις, πάντων ἀνοητότερος εἶ· εἰ δὲ πέπεισαι περὶ τούτου, τί ἀμφιβάλλεις, ὅτι ἀρέσαι δεῖ τῷ Θεῷ; «Πάντοτε», φησί, «ὑπὲρ ἁπάντων εὐχαριστοῦντες τῷ Θεῷ». Ἄπελθε εἰς ἰατρεῖον, καὶ ὄψει, ὅταν εὑρεθῇ τις τραῦμα ἔχων, ἐκεῖνον αὐτὸν τέμνοντα καὶ καίοντα. Ἐπὶ δὲ σοῦ οὐ τοῦτο λέγω, ἀλλὰ ἄπελθε εἰς τεκτονεῖον· καὶ οὐκ ἐξετάζεις τὸν λόγον, καίτοι γε οὐδὲν οἶδας τῶν γινομένων ἐκεῖ· καὶ πολλὰ ἄπορα εἶναί σοι δοκεῖ· οἷον, ὅταν τορνεύσῃ τὸ ξύλον, ὅταν μετασχηματίζῃ. Μᾶλλον δὲ εἰς εὐπορωτέραν σε τέχνην ἂν ἀγάγω, οἷον τὴν τῶν ζωγράφων, καὶ ἐκεῖ ἰλιγγιάσεις. Εἰπὲ γάρ μοι, οὐχὶ ἁπλῶς σοι δοκεῖ ποιεῖν, ἃ ποιεῖ; τί γὰρ αὐτῷ βούλονται αἱ γραμμαί, καὶ αἱ περιαγωγαὶ τῶν γραμμῶν; Ἀλλ' ἂν ἐπιθῇ τὰ χρώματα, τότέ σοι φανεῖται ἡ τέχνη καλή, καὶ ὅμως οὐδὲ οὕτως ἀκριβῶς οὐδὲν δυνήσῃ καταμαθεῖν.

Τί δὲ ἐπὶ τεκτόνων λέγω καὶ ζωγράφων καὶ τῶν ὁμο-

---

19. Ἰὼβ 11, 12.

τὸ κακόν, ἡ ἁμαρτία, καὶ αὐτὸ μόνον ὀφείλομεν νὰ ἐξετάζωμεν. Ὅμως, παραλείψαντες νὰ ἐρευνῶμεν τὰς αἰτίας τῶν πραγματικῶν κακῶν, ἀσχολούμεθα μὲ ἄλλα. Διατί κανείς μας δὲν ἐξετάζει ποτέ, διατί ἡμάρτησεν; ἆρά γε ἡ ἁμαρτία ἐξαρτᾶται ἀπὸ ἐμέ; ἆρά γε δὲν ἐξαρτᾶται ἀπὸ ἐμέ; Καὶ διατί πρέπει ν' ἀναφέρω πολλοὺς λόγους; θὰ προσπαθήσω νὰ ἐρευνήσω τὸ πρᾶγμα μέσα μου· ἆρά γε ἐνίκησα ποτὲ τὸν θυμόν μου; ἆρά γε ἐνίκησα ποτὲ τὴν ὀργήν μου, ἢ ἐξ αἰτίας τῆς ἐντροπῆς ἢ ἐξ αἰτίας τοῦ φόβου τῶν ἀνθρώπων; Ἔπειτα ὅταν εὕρω αὐτὸ ἀπὸ ποῦ γίνεται, θὰ εὕρω ὅτι τὸ νὰ ἁμαρτάνω ἐξαρτᾶται ἀπὸ ἐμέ.

Κανεὶς δὲν ἐξετάζει αὐτά, κανεὶς δὲν ἀσχολεῖται μὲ αὐτά, ἀλλ' ἁπλῶς μόνον κατὰ τὸν Ἰώβ, «ὁ ἄνθρωπος δὲ πλέει ἀλογίστως εἰς τὰ λόγια»[19]. Διατί λοιπὸν σὲ ἐνδιαφέρει αὐτό, ἐὰν ὁ τάδε εἶναι τυφλὸς καὶ ὁ τάδε πένης; Δὲν σὲ διέταξεν ὁ Θεὸς νὰ παρατηρῇς αὐτό, ἀλλὰ διατί λοιπὸν σὺ πράττεις αὐτό; Διότι, ἐὰν μὲν ἔχῃς ἀμφιβολίας, ὅτι ὑπάρχει κάποια δύναμις εἰς τὸν κόσμον, εἶσαι ὁ ἀνοητότερος ὅλων· ἐὰν δὲ ἔχῃς πεισθῇ δι' αὐτό, διατί ἔχεις ἀμφιβολίας, ὅτι πρέπει νὰ ἀρέσῃς εἰς τὸν Θεόν; «Πάντοτε νὰ εὐχαριστῆτε δι' ὅλα τὸν Θεόν», λέγει. Πήγαινε εἰς τὸ ἰατρεῖον καὶ θὰ ἴδῃς τὸν ἰατρόν, ὅταν εὑρεθῇ κάποιος τραυματίας, νὰ κάμνῃ εἰς αὐτὸν ἐγχείρισιν καὶ καυτηρίασιν. Δὲν λέγω ὅμως αὐτὸ εἰς σέ, ἀλλὰ πήγαινε εἰς τὸ ξυλουργεῖον· καὶ δὲν ἐξετάζεις ἐκεῖ τὴν αἰτίαν, ἂν καὶ βέβαια δὲν γνωρίζεις τίποτε ἀπὸ τὰ γινόμενα ἐκεῖ καὶ σοῦ φαίνεται ὅτι ἔχεις πολλὰς ἀπορίας· ὅπως ἐπὶ παραδείγματι, ὅταν τορνεύῃ τὸ ξύλον, ὅταν μεταβάλλῃ τὸ σχῆμα του. Μᾶλλον δὲ ἂν σὲ μεταφέρω εἰς εὐκολωτέραν τέχνην, ὅπως τὴν Ζωγραφικήν, καὶ ἐκεῖ θὰ μείνῃς ἔκθαμβος. Εἰπέ μου λοιπόν, δὲν σοῦ φαίνεται ὅτι ὁ Ζωγράφος κάνει ἄσκοπα ἐκεῖνα ποὺ κάνει; τί χρησιμεύουν εἰς αὐτὸν αἱ γραμμαὶ καὶ αἱ περιστροφαὶ τῶν γραμμῶν; Ὅταν ὅμως ἐπιθέσῃ τὰ χρώματα, τότε θὰ σοῦ φανῇ καλὴ ἡ τέχνη, καὶ ὅμως οὔτε ἔτσι θὰ ἠμπορέσῃς νὰ μάθῃς ἀκριβῶς κάτι.

Διατί δὲ ὁμιλῶ διὰ τοὺς ξυλουργοὺς καὶ Ζωγράφους

δούλων; Ἡ μέλιττα πῶς ἐργάζεται τοὺς σίμβλους, εἰπέ μοι, καὶ τότε καὶ περὶ Θεοῦ ἐρεῖς. Τῶν μυρμήκων τὴν ἐργασίαν κατάμαθε, τοῦ ἀράχνου, τῆς χελιδόνος, καὶ τότε ἐρεῖς, καὶ περὶ Θεοῦ. Ἂν ᾖς σοφός, εἰπέ μοι ταῦτα· ἀλλ' οὐκ ἂν ἔχοις. Οὐ παύσῃ οὖν, ἄνθρωπε, τὰ περιττὰ ζητῶν; περιττὰ γὰρ ὄντως ταῦτα· οὐ παύσῃ εἰκῇ πολυπραγμονῶν; Οὐδὲν τῆς ἀμαθίας ταύτης σοφώτερόν ἐστιν ἐν οἷς οἱ μὲν ἐπαγγελλόμενοι μηδὲν εἰδέναι, σοφώτατοι πάντων εἰσίν, οἱ δὲ περιεργαζόμενοι, ἀνοητότεροι τῶν πάντων εἰσίν. Ὥστε οὐ πανταχοῦ τὸ ἐπαγγέλλεσθαι εἰδέναι, σοφίας, ἀλλ' ἔστιν ὅπου καὶ μωρία ἐστίν. Εἰπὲ γάρ μοι, εἰ δύο τινῶν ἀνθρώπων ὄντων, ὁ μὲν ἐπαγγέλοιτο τὸν ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν ἀέρα διατρέχοντα μετρεῖν, σχοίνους ἐκτείνας, ὁ δὲ καταγελῶν καὶ μὴ εἰδέναι φαίη, τίνα γελασόμεθα, εἰπέ μοι; τὸν εἰδέναι λέγοντα ἢ τὸν ἀγνοοῦντα; Δηλονότι τὸν λέγοντα εἰδέναι. Οὐκοῦν ὁ ἀγνοῶν τοῦ ὑποσχομένου εἰδέναι σοφώτερος.

Τί δέ, εἴ τις ἐπαγγέλλοιτο λέγειν ὅσους ἔχει κυάθους ἡ θάλασσα, ἕτερος δὲ ἀγνοεῖν, οὐ πάλιν ἡ ἄγνοια τῆς εἰδήσεώς ἐστι σοφωτέρα; Σφόδρα γε. Τί δήποτε; Ἐπειδὴ κἀκείνη ἄγνοιά ἐστιν ἐπιτεταμένη. Ὁ μὲν γὰρ λέγων ἀγνοεῖν, οἶδέ τι μέρος. Ποῖον δὴ τοῦτο; Ὅτι ἀκατάληπτον ἀνθρώπῳ· καὶ γὰρ οὐ μικρὸν τοῦτο. Ὁ δὲ λέγων εἰδέναι, καὶ διὰ τοῦτο αὐτό ἐστι καταγέλαστος. Οἴμοι, πόσοις παιδευόμεθα τὴν πολυπραγμοσύνην τὴν ἄκαιρον, καὶ τὴν περιεργίαν χαλινοῦν, καὶ οὐκ ἀνεχόμεθα, ἀλλὰ τοὺς ἑτέρων περιεργαζόμεθα βίους, διὰ τί ὁ δεῖνα πηρός, διὰ τί πένης ὁ δεῖνα; Οὐκοῦν τῷ λόγῳ τούτῳ καὶ εἰς ἕτερον ἐκπεσούμε-

---

20. Ὁ σχοῖνος ἦτο ἀρχαία μετρικὴ μονάς, τὸ μῆκος τῆς ὁποίας ἐποίκιλλε. Διὰ τοῦ μέτρου τούτου ἐμετροῦντο αἱ κυριευόμεναι χῶραι καὶ διενέμεντο εἰς νέους ἐποίκους.

21. Ὁ κύαθος ἦτο μέτρον χωρητικότητος ὑγρῶν, κύπελλον.

καὶ τοὺς ὁμοδούλους; Εἰπέ μου, πῶς κατασκευάζει ἡ μέλισσα τὴν κυψέλην, καὶ τότε θὰ εἰπῇς περὶ τοῦ Θεοῦ. Παρατήρησε καλὰ τὴν ἐργασίαν τῶν μυρμηγκιῶν, τῆς ἀράχνης, τῆς χελιδόνος, καὶ τότε θὰ εἰπῇς καὶ περὶ τοῦ Θεοῦ. Ἂν εἶσαι σοφός, ἀπάντησέ μου αὐτά· ἀλλὰ δὲν θὰ ἠμπορέσῃς. Δὲν θὰ παύσῃς λοιπόν, ἄνθρωπε, νὰ ζητῇς τὰ περιττά; διότι αὐτὰ εἶναι πράγματι περιττά. Δὲν θὰ παύσῃς νὰ εἶσαι χωρὶς λόγον πολυπράγμων; Τίποτε δὲν εἶναι σοφώτερον ἀπὸ τὴν ἄγνοιαν αὐτήν· ἐκεῖνοι ποὺ διαβεβαιώνουν ὅτι δὲν γνωρίζουν τίποτε, εἶναι οἱ σοφώτεροι ὅλων, ἐκεῖνοι δὲ ποὺ περιεργάζονται τὰ πάντα εἶναι οἱ ἀνοητότεροι ὅλων. Ὥστε τὸ νὰ διαβεβαιώνῃ κανεὶς ὅτι γνωρίζει δὲν εἶναι παντοῦ δεῖγμα σοφίας, ἀλλ' ἐνίοτε εἶναι καὶ μωρία.

Εἰπέ μου λοιπόν, ἐὰν ἀπὸ δύο ἀνθρώπους ὁ μὲν ἕνας διαβεβαιώνῃ ὅτι ἠμπορεῖ, ἁπλώνων τοὺς σχοίνους[20] νὰ μετρήσῃ τὸν ἀέρα ποὺ διατρέχει ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν, ὁ δὲ ἄλλος, ἐνῷ περιγελᾷ παραδέχεται ὅτι δὲν γνωρίζει, ποῖον θὰ περιγελάσωμεν; εἰπέ μου· ἐκεῖνον ποὺ λέγει ὅτι γνωρίζει ἢ ἐκεῖνον ποὺ λέγει ὅτι ἀγνοεῖ; Εἶναι φανερὸν ὅτι θὰ περιγελάσωμεν ἐκεῖνον ποὺ λέγει ὅτι γνωρίζει. Ἑπομένως ἐκεῖνος ποὺ ἀγνοεῖ εἶναι σοφώτερος ἀπ' ἐκεῖνον ποὺ βεβαιώνει ὅτι γνωρίζει. Τί ὅμως, ἂν κανεὶς ὑπόσχεται νὰ λέγῃ πόσους κυάθους[21] ἔχει ἡ θάλασσα, ἄλλος δὲ ὅτι ἀγνοεῖ, δὲν εἶναι ἡ ἄγνοια σοφωτέρα ἀπὸ τὴν γνῶσιν; Πάρα πολὺ βεβαίως. Διατί τέλος πάντων; Ἐπειδὴ καὶ ἡ ἄγνοια ἐκείνη εἶναι ἰσχυροτέρα. Διότι ἐκεῖνος ποὺ λέγει ὅτι ἀγνοεῖ, γνωρίζει κάτι. Ποῖον λοιπὸν εἶναι αὐτό; Ὅτι εἶναι ἀκατάληπτον εἰς τὸν ἄνθρωπον· καὶ βεβαίως δὲν εἶναι μικρὸν αὐτό. Ἐκεῖνος ὅμως ποὺ λέγει ὅτι γνωρίζει, ἐκεῖνος πρὸ πάντων δὲν γνωρίζει, ἐκεῖνο ποὺ λέγει ὅτι γνωρίζει, καὶ δι' αὐτὸ κυρίως εἶναι ἄξιος χλευασμοῦ. Ἀλλοίμονον, μὲ πόσα παραδείγματα διδασκόμεθα τὴν ἄκαιρον περιέργειαν· καὶ νὰ συγκρατοῦμεν αὐτήν, καὶ δὲν δεχόμεθα, ἀλλ' εἴμεθα περίεργοι διὰ τὴν ζωὴν τῶν ἄλλων, διατί ὁ τάδε εἶναι ἀνίκανος, διατί ὁ τάδε εἶναι πτωχός; Λοιπὸν μὲ τὸν λόγον αὐτὸν θὰ πέσωμεν καὶ εἰς ἄλλην φλυαρίαν·

θα λῆρον, διὰ τί ἡ δεῖνα γυνή, καὶ μὴ πάντες ἄνδρες, διὰ τί ὄνος, διὰ τί βοῦς, διὰ τί κύων, διὰ τί λύκος; διὰ τί λίθος, διὰ τί ξύλα; καὶ εἰς ἄπειρον ἐκπεσεῖται μῆκος ὁ λόγος. Διά τοι τοῦτο ὁ Θεὸς μέτρα τῆς γνώσεως ἡμῖν ἀφώρισε, καὶ ἐν τῇ φύσει κατεβάλετο. Καὶ θέα μοι τὴν πολυπραγμοσύνην τὴν πολλήν· ὅτι τοσοῦτον ὕψος ὁρῶντες ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, καὶ οὐδὲν πάσχοντες, ὅταν εἰς πύργον ἀνελθόντες ὑψηλὸν θελήσωμεν κατανεῦσαι κάτω μικρὸν κατακύψαντες, ἴλιγγός τις ἡμᾶς εὐθέως καὶ σκοτοδινία λαμβάνει. Εἰπέ μοι δὴ τούτου τὴν αἰτίαν· ἀλλ' οὐκ ἂν εὕροις· διὰ τί μείζονα ὀφθαλμὸς ἔχει τὴν ἰσχύν, καὶ ὑπὸ τῶν πορρωτέρω κατέχεται;

5. Καὶ ἐπὶ τῆς ἀκοῆς ὁμοίως αὐτὸ ἴδοι τις ἄν. Οὐ γὰρ ἄν τις οὔτε βοῆσαι δυνήσεται τοσοῦτον, ὥστε ἐμπλῆσαι τὸν ἀέρα, ὅσον δυνήσεται ὁ ὀφθαλμὸς κατασχεῖν, οὔτε ἀκοῦσαι ἐκ διαστήματος τοσούτου. Διὰ τί μὴ πάντα τὰ μέλη ἰσότιμά ἐστι; διὰ τί μὴ μίαν ἔλαβε χρείαν μηδὲ χώραν; Καὶ Παῦλος ταῦτα ἠρεύνησε, μᾶλλον δὲ οὐκ ἠρεύνησε (σοφὸς γάρ), ἦν ἀλλ' εἰς τοῦτο ἐμπεσὼν τὸ χωρίον, φησίν· «Ἕκαστον αὐτῶν ἔθετο καθὼς ἠθέλησε»· τῷ θελήματι αὐτοῦ τὸ πᾶν ἐπέτρεψεν. Οὐκοῦν καὶ ἡμεῖς ζητεῖν ταῦτα ἀφέντες, μόνον εὐχαριστῶμεν ὑπὲρ ἁπάντων· Διὰ τοῦτο, φησίν, εὐχαριστεῖτε ὑπὲρ ἁπάντων. Τοῦτο εὐγνώμονος οἰκέτου, τοῦτο σοφοῦ, τοῦτο συνετοῦ· ἐκεῖνο δὲ λάλου καὶ ἀργοῦ καὶ περιέργου. Οὐχ ὁρᾷς ἐν τοῖς οἰκέταις, ὅτι οἱ μὲν κατάπτυστοι τῶν οἰκετῶν οὐδαμοῦ χρήσιμοι λάλοι τέ εἰσι καὶ φλύαροι, καὶ τὰ τῶν δεσποτῶν περιεργάζονται, ἅπερ ἐκεῖνοι κρύπτειν ἐθέλουσιν· οἱ δὲ συνετοὶ καὶ εὐγνώμονες πρὸς ἓν μόνον ὁρῶσιν, ὅπως αὐτῶν τὴν διακονίαν πληρῶσιν; Ὁ πολλὰ φθεγγόμενος οὐδὲν ἐργάζεται· ὥσπερ ὁ πολλὰ ἐργαζόμενος οὐ-

22. Α' Κορ. 12, 18.

διατί ἡ τάδε εἶναι γυναῖκα καὶ ὄχι ὅλοι ἄνδρες, διατί ὁ ὄνος, διατί ὁ βοῦς, διατί ὁ σκύλος, διατί ὁ λύκος; διατί εἶναι ὁ λίθος, διατί τὰ ξύλα; καὶ ὁ λόγος θὰ πάρῃ ἀμέτρητον μῆκος. Διὰ τοῦτο βέβαια ὁ Θεὸς ὥρισεν εἰς ἡμᾶς τὰ μέτρα τῆς γνώσεως καὶ τὰ ἔβαλε μέσα εἰς τὴν φύσιν μας. Καὶ πρόσεχε, σὲ παρακαλῶ, τὴν ὑπερβολικὴν περιέργειαν· διότι ἂν καὶ βλέπομεν νὰ ὑπάρχῃ τόσον πολὺ ὕψος ἀπὸ τὴν γῆν ἕως τὸν οὐρανόν, δὲν πάσχομεν τίποτε, ὅταν ὅμως ἀνερχώμεθα εἰς πύργον ὑψηλὸν καὶ θελήσωμεν νὰ κάνωμεν νεῦμα πρὸς τὰ κάτω μὲ τὸ νὰ σκύψωμεν ὀλίγον, μᾶς καταλαμβάνει ἀμέσως κάποιος ἴλιγγος καὶ σκοτοδίνη. Εἰπέ μου λοιπὸν τὴν αἰτίαν αὐτοῦ τοῦ φαινομένου· ἀλλὰ δὲν θὰ ἠμπορέσῃς νὰ τὴν εὕρῃς· διατί ἔχει τὸ μάτι μεγαλυτέραν δύναμιν, καὶ συγκρατεῖται ἀπὸ τὰ εὑρισκόμενα πολὺ μακράν;

5. Ὁμοίως καὶ εἰς τὴν ἀκοὴν τὸ αὐτὸ θὰ ἠμποροῦσε νὰ ἰδῇ κανείς. Διότι κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ φωνάξῃ τόσον δυνατά, ὥστε νὰ γεμίσῃ τὸν ἀέρα, ὅσον θὰ ἠμπορέσῃ νὰ συγκρατήσῃ τὸ μάτι, οὔτε ν' ἀκούσῃ ἀπὸ τόσον μεγάλην ἀπόστασιν. Διατί δὲν εἶναι ὅλα τὰ μέλη τοῦ σώματος ἰσότιμα; διατί δὲν ἔλαβαν μίαν χρῆσιν, οὔτε μίαν θέσιν; Καὶ ὁ Παῦλος ἐξήτασεν αὐτά, μᾶλλον δὲν ἐξήτασε, διότι ἦτο σοφός, ἀλλ' ἀφοῦ ἔπεσε μέσα εἰς αὐτὴν τὴν περίπτωσιν, λέγει· «Καθένα ἀπὸ τὰ μέλη ἐτοποθέτησεν εἰς τὸ σῶμα μας καθὼς ἠθέλησεν ὁ Θεός»[22]. Μὲ τὴν θέλησίν του ὁ Θεὸς ἐπέτρεψε τὸ πᾶν. Καὶ ἡμεῖς λοιπόν, ἀφοῦ παύσωμεν νὰ ζητοῦμεν αὐτά, ἂς εὐχαριστοῦμεν μόνον δι' ὅλα. Διὰ τοῦτο, λέγει, νὰ εὐχαριστῆτε δι' ὅλα. Τοῦτο ἀποδεικνύει ἄνθρωπον εὐγνώμονα καὶ σοφὸν καὶ συνετόν· τὸ ἄλλο δὲ ἄνθρωπον φλύαρον καὶ ὀκνηρὸν καὶ περίεργον. Δὲν βλέπεις τί συμβαίνει εἰς τοὺς ὑπηρέτας; οἱ μὲν βδελυροὶ δὲν εἶναι χρήσιμοι πουθενὰ καὶ εἶναι πολύλογοι καὶ φλύαροι, καὶ περιεργάζονται τὰς ὑποθέσεις τῶν κυρίων των, ποὺ ἐκεῖνοι θέλουν ν' ἀποκρύπτουν, οἱ δὲ συνετοὶ καὶ εὐγνώμονες ὑπηρέται ἀποβλέπουν πρὸς ἕνα μόνον, πῶς νὰ ἐκπληρώσουν τὴν ὑπηρεσίαν των. Ἐκεῖνος ποὺ λέγει πολλά, τίποτε δὲν κάμνει· καὶ ἐκεῖνος ποὺ ἐργάζεται πολλά, τίποτε τὸ

δὲν φθέγγεται ἄκαιρον. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε περὶ χηρῶν γράφων· «Οὐ μόνον δὲ ἀργαί μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι».

Εἰπὲ δή μοι, ποῖόν ἐστι πλέον τὸ μέσον, τὸ τῆς ἡμετέρας ἡλικίας πρὸς τὴν τῶν παίδων, ἢ τὸ τοῦ Θεοῦ πρὸς τὴν τῶν ἀνθρώπων; τὸ ἡμέτερον πρὸς κώνωπας, ἢ τοῦ Θεοῦ πρὸς ἡμᾶς; Εὔδηλον ὅτι τὸ τοῦ Θεοῦ πρὸς ἡμᾶς. Τί οὖν σὺ τοσοῦτον περιεργάζῃ; Εὐχαρίστει ὑπὲρ ἁπάντων. Τί οὖν, ἂν Ἕλλην ἔρηται, φησί, πῶς ἀποκρινοῦμαι; βούλεται μαθεῖν παρ' ἐμοῦ, εἰ ἔστι πρόνοια, αὐτὸς γὰρ οὔ φησιν εἶναί τινα τὸν προνοοῦντα. Οὐκοῦν μεταστρέψας, ἐρώτησον αὐτὸν καὶ σύ. Ἀλλ' οὔ φησιν εἶναι πρόνοιαν. Ὅτι μὲν ἔστι πρόνοια, ἐξ ὧν εἶπας, δῆλον· ὅτι δὲ ἄληπτος, ἐξ ὧν οὐχ εὑρίσκομεν τὸν λόγον. Εἰ γὰρ ἐν οἷς διοικοῦσιν ἄνθρωποι οὐκ ἴσμεν τὸν τρόπον τῆς διοικήσεως πολλάκις, καίτοι ἐξ αὐτῶν πολλὰ ἡμῖν εἶναι δοκεῖ καὶ ἄτοπα, καὶ παραχωροῦμεν, πόσῳ μᾶλλον ἐπὶ Θεοῦ; Ἀλλ' οὐδὲν ἐπὶ Θεοῦ ἄτοπον οὔτε ἐστίν, οὔτε δοκεῖ τοῖς πιστοῖς. Διὸ ὑπὲρ ἁπάντων εὐχαριστῶμεν, ὑπὲρ ἁπάντων δοξάζωμεν αὐτόν. «Ὑποτασσόμενοι ἀλλήλοις», φησίν, «ἐν φόβῳ Θεοῦ». Εἰ γὰρ δι' ἄρχοντα ὑποτάττῃ, ἢ διὰ χρήματα, ἢ δι' αἰδῶ, πολλῷ μᾶλλον διὰ τὸν τοῦ Θεοῦ φόβον. Ἔστω δουλείας καὶ ὑποταγῆς ἀντίδοσις· οὕτω γὰρ οὐκ ἔσται δουλεία. Μὴ ὁ μὲν ἐν τάξει καθεζέσθω ἐλευθέρου, ὁ δὲ ἐν τάξει δούλου, ἀλλὰ καὶ δεσπότας καὶ δούλους ἀλλήλοις δουλεύειν βέλτιον· πολλῷ βέλτιον οὕτως εἶναι δοῦλον ἢ ἑτέρως ἐλεύθερον.

Καὶ δῆλον ἐκεῖθεν· ἔστω τις οἰκέτας ἔχων ἑκατόν, καὶ μηδεὶς ἐν αὐτοῖς διακονείτω· ἕτεροι δέ τινες ἔστωσαν ἑ-

23. Α' Τιμ. 5, 13.

ἄκαιρον δὲν λέγει. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγεν, ὅταν ἔγραφε περὶ τῶν χηρῶν· «Δὲν κακομαθαίνουν δὲ νὰ εἶναι μόνον ἀργαί, ἀλλὰ γίνονται καὶ φλύαροι»[23].

Εἰπέ μου λοιπόν, ποία εἶναι μεγαλυτέρα διαφορά, ἡ διαφορὰ τῆς ἰδικῆς μας ἡλικίας πρὸς τὴν ἡλικίαν τῶν τέκνων μας ἢ ἡ διαφορὰ τοῦ Θεοῦ πρὸς τὴν ἡλικίαν τῶν ἀνθρώπων; ἡ ἰδική μας διαφορὰ πρὸς τὰ κουνούπια ἢ τοῦ Θεοῦ πρὸς ἡμᾶς; Εἶναι ὁλοφάνερον ὅτι μεγαλυτέρα διαφορὰ εἶναι ἡ διαφορὰ τοῦ Θεοῦ πρὸς ἡμᾶς. Διατί λοιπὸν σὺ περιεργάζεσαι τόσον πολύ; Νὰ εὐχαριστῇς δι' ὅλα. Τί λοιπόν; ἂν ἐρωτᾷ, λέγει, Ἕλλην, πῶς θ' ἀπαντήσω; θέλει νὰ μάθῃ ἀπὸ ἐμέ, ἂν ὑπάρχῃ ἡ πρόνοια, διότι αὐτὸς ἰσχυρίζεται ὅτι δὲν ὑπάρχει κανεὶς ποὺ νὰ προνοῇ δι' ὅλα. Λοιπὸν ἀφοῦ μεταβάλῃς τὴν ἐρώτησιν, ἐρώτησε αὐτὸν καὶ σύ. Ἀλλὰ δὲν ἰσχυρίζεται ὅτι ὑπάρχει ἡ πρόνοια. Ὅτι μὲν ὑπάρχει πρόνοια, εἶναι φανερὸν ἀπ' αὐτὰ ποὺ εἶπες· ὅτι δὲ εἶναι ἀκατάληπτος, εἶναι φανερὸν ἀπ' ἐκεῖνα ποὺ δὲν εὑρίσκομεν τὴν αἰτίαν. Διότι ἐὰν εἰς ἐκεῖνα, ποὺ διοικοῦν οἱ ἄνθρωποι, δὲν γνωρίζωμεν πολλάκις τὸν τρόπον τῆς διοικήσεως, ἂν καὶ πολλὰ ἀπ' αὐτὰ μᾶς φαίνωνται καὶ ἄτοπα καὶ ἐν τούτοις συγκατατιθέμεθα, πόσῳ μᾶλλον πρέπει ἐπὶ τῶν ἔργων τοῦ Θεοῦ; Ἀλλὰ κανένα ἔργον τοῦ Θεοῦ δὲν εἶναι ἄτοπον, οὔτε φαίνεται τέτοιο εἰς τοὺς πιστούς. Διὰ τοῦτο ἂς εὐχαριστοῦμεν δι' ὅλα, ἂς δοξάζωμεν αὐτὸν δι' ὅλα. «Νὰ ὑποτάσσεσθε ὁ ἕνας εἰς τὸν ἄλλον μὲ φόβον Θεοῦ», λέγει. Ἐὰν βέβαια ὑποτάσσεσαι ἐξ αἰτίας τοῦ ἄρχοντος ἢ τῶν χρημάτων ἢ τῆς ἐντροπῆς, πολὺ περισσότερον πρέπει νὰ ὑποτάσσεσαι ἐξ αἰτίας τοῦ φόβου τοῦ Θεοῦ. Ἂς εἶναι ἀνταπόδοσις δουλείας καὶ ὑποταγῆς, διότι ἔτσι δὲν θὰ εἶναι δουλεία. Ἂς μὴ κάθεται ὁ μὲν εἰς τὴν θέσιν τοῦ ἐλευθέρου, ὁ δὲ εἰς τὴν θέσιν τοῦ δούλου, ἀλλ' εἶναι πρέπον νὰ ὑπηρετοῦνται μεταξύ των οἱ κύριοι καὶ οἱ δοῦλοι· πολὺ καλύτερον εἶναι νὰ εἶναι ἔτσι δοῦλος ἢ κατ' ἄλλον τρόπον ἐλεύθερος.

Καὶ γίνεται φανερὸν ἀπὸ τοῦτο· ἂς ὑποτεθῇ ὅτι κάποιος ἔχει ἑκατὸν ὑπηρέτας καὶ κανεὶς ἀπ' αὐτοὺς δὲν

κατὸν φίλοι, ἀλλήλοις διακονούμενοι· τίνες ἄμεινον βιώσονται; τίνες μετὰ πλείονος ἡδονῆς, μετὰ πλείονος εὐφροσύνης; Οὐκ ἔστιν ἐκεῖ ὀργή, οὐδὲ παροξυσμός, οὐδὲ θυμός, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν· ὧδε φόβος καὶ δειλία· κἀκεῖ μὲν ἀνάγκης, ἐνταῦθα δὲ προαιρέσεως τὸ πᾶν· κἀκεῖ μὲν βιαζόμενοι, ἐνταῦθα δὲ χάριν ἔχοντες ἀλλήλοις δουλεύουσιν. Οὕτω βούλεται ὁ Θεός· διὰ τοῦτο ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. Μᾶλλον δέ, εἰ θέλεις ἀκριβῶς ἐξετάσαι, καὶ ἐπὶ δεσποτῶν ἀντίδοσίς ἐστι δουλείας. Τί γάρ, εἰ ὁ τῦφος οὐκ ἀφίησι φανῆναι τὴν ἀντίδοσιν; Ὅταν γὰρ οὗτος μὲν τὴν σωματικὴν διακονίαν παρέχῃ, σὺ δὲ τὸ σῶμα τρέφῃς, καὶ θεραπεύῃς καὶ τρυφαῖς καὶ ἐνδύμασι καὶ ὑποδήμασι, καὶ οὗτος δουλείας ἐστὶ τρόπος· ὅτι ἐὰν μὴ παρέχῃς καὶ σὺ τὴν σὴν διακονίαν, οὐδὲ ἐκεῖνος τὴν ἑαυτοῦ, ἀλλ' ἔσται ἐλεύθερος, καὶ οὐδεὶς αὐτὸν ἀναγκάσει νόμος καὶ μὴ τρεφόμενον τοῦτο ποιεῖν.

Εἰ τοίνυν καὶ ἐπὶ δούλων τοῦτό ἐστι, τί ἄτοπον, ἐὰν καὶ ἐπὶ ἐλευθέρων τοῦτο γίνηται; «Ἐν φόβῳ», φησί, «Χριστοῦ ὑποτασσόμενοι. Πόση ἡ χάρις, ὅταν καὶ μισθὸν ἔχωμεν; Ἀλλ' οὐ βούλεταί σοι ὑποταγῆναι; Ἀλλὰ σὺ ὑποτάγηθι· μὴ ἁπλῶς ὑπακούσῃς, ἀλλ' ὑποτάγηθι· ὡς πρὸς δεσπότας ἅπαντας, οὕτω διάκεισο· οὕτω γὰρ αὐτοὺς δούλους ἕξεις ταχέως τῇ τυραννικωτάτῃ τῆς δουλείας δυνάμει δεδουλωμένους. Μᾶλλον γὰρ αὐτοὺς αἱρήσεις, ὅταν οὐδενὸς τῶν παρ' αὐτῶν τυγχάνων, αὐτὸς τὰ παρὰ σαυτοῦ παρέχῃς. Τοῦτό ἐστιν «Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ», ἵνα πάντων κρατῶμεν τῶν παθῶν, ἵνα τῷ Θεῷ δουλεύομεν, ἵνα τὴν πρὸς ἀλλήλους ἀγάπην διασώζωμεν· καὶ τότε δυνησόμεθα καὶ τῆς παρὰ Θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς, καὶ τὰ ἑξῆς:

24. Δηλαδή· Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

προσφέρει τὰς ὑπηρεσίας του· ἐπίσης ὅτι εἶναι ἑκατὸν φίλοι ὑπηρετούμενοι μεταξύ των· ποῖοι θὰ ζήσουν καλύτερον; ποῖοι μὲ περισσοτέραν ἡδονήν, μὲ περισσοτέραν χαράν; Δὲν ὑπάρχει ἐκεῖ ὀργή, οὔτε φιλονεικία, οὔτε θυμός, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια· ἐδῶ ὑπάρχει φόβος καὶ δειλία· καὶ ἐκεῖ μὲν τὰ πάντα γίνονται ἐξ ἀνάγκης, ἐδῶ δὲ ἐκ προαιρέσεως· καὶ ἐκεῖ μὲν ἐξαναγκαζόμενοι, ἐδῶ δὲ αἰσθανόμενοι εὐγνωμοσύνην ὑπηρετοῦνται μεταξύ των. Ἔτσι θέλει ὁ Θεός· διὰ τοῦτο ὁ Χριστὸς ἔνιψε τὰ πόδια τῶν μαθητῶν. Μᾶλλον δέ, ἐὰν θέλῃς νὰ ἐξετάσῃς μὲ ἀκρίβειαν, καὶ εἰς τοὺς κυρίους ὑπάρχει ἀνταπόδοσις δουλείας. Καὶ τί, ἐὰν ἡ ἀλαζονεία δὲν ἀφήνει νὰ φανῇ ἡ ἀνταπόδοσις; Διότι ὅταν αὐτὸς μὲν προσφέρῃ τὴν σωματικὴν ὑπηρεσίαν, σὺ δὲ τρέφῃς τὸ σῶμα σου, καὶ τὸ περιποιεῖσαι μὲ τροφὴν καὶ ἐνδύματα καὶ ὑποδήματα, καὶ αὐτὸς εἶναι τρόπος δουλείας· διότι ἐὰν δὲν προσφέρῃς καὶ σὺ τὴν ἰδικήν σου ὑπηρεσίαν, οὔτε ἐκεῖνος τὴν ἰδικήν του, ἀλλ' εἶναι ἐλεύθερος, κανεὶς νόμος δὲν θὰ τὸν ἀναγκάσῃ καὶ χωρὶς νὰ τρέφεται νὰ κάνῃ αὐτό.

Ἐὰν λοιπὸν αὐτὸ συμβαίνῃ εἰς τοὺς δούλους, διατί εἶναι ἄτοπον, ἐὰν αὐτὸ γίνεται καὶ εἰς τοὺς ἐλευθέρους; «Μὲ τὸν φόβον Χριστοῦ νὰ ὑποτάσσεσθε», λέγει. Πόση εἶναι ἡ χάρις, ὅταν ἔχωμεν καὶ ἀνταμοιβήν; Ἀλλὰ δὲν θέλει νὰ ὑποταγῇ εἰς σέ; Σὺ ὅμως νὰ ὑποταγῇς· ὄχι ἁπλῶς νὰ ὑπακούσῃς, ἀλλὰ νὰ ὑποταγῇς· νὰ συμπεριφέρεσαι ἔτσι, ὡσὰν νὰ εἶναι ὅλοι κύριοί σου· διότι ἔτσι θὰ ἔχῃς αὐτοὺς σύντομα δούλους, ὑποδουλωμένους εἰς τὴν πλέον τυραννικὴν δύναμιν τῆς δουλείας. Διότι μᾶλλον αὐτοὺς θὰ νικήσῃς, ὅταν, χωρὶς νὰ λαμβάνῃς τίποτε ἀπὸ τὰ ἰδικά των, σὺ προσφέρῃς τὰ ἰδικά σου. Τοῦτο σημαίνει, «Νὰ ὑποτάσσεσθε ὁ ἕνας εἰς τὸν ἄλλον μὲ φόβον Χριστοῦ» διὰ νὰ νικῶμεν ὅλα τὰ πάθη μας, διὰ νὰ ὑπηρετοῦμεν τὸν Θεόν, διὰ νὰ διατηροῦμεν τὴν ἀγάπην ὁ ἕνας πρὸς τὸν ἄλλον. Καὶ τότε θὰ ἠμπορέσωμεν νὰ ἀξιωθοῦμεν καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, μὲ τὴν χάριν καὶ τοὺς οἰκτιρμοὺς καὶ τὰ ἑξῆς[24].

ΟΜΙΛΙΑ Κ΄
Ἐφ. 5, 22 - 6, 8

«Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ, ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. Ἀλλ᾿ ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί».

1. Σοφός τις ἀνὴρ ἐν τάξει μακαρισμῶν πολλὰ θείς, ἓν καὶ τοῦτο τέθεικεν ἐν τάξει μακαρισμοῦ· «Καὶ γυνή», φησίν, «ἀνδρὶ συμπεριφερομένη». Καὶ πάλιν ἀλλαχοῦ μετὰ τῶν μακαρισμῶν αὐτὸ τίθησι, τὸ γυναῖκα ἀνδρὶ μετὰ ὁμονοίας συνεῖναι. Καὶ ἐξ ἀρχῆς δὲ πολλὴν ὁ Θεὸς φαίνεται πρόνοιαν πεποιημένος τῆς συζυγίας ταύτης· καὶ ὡς περὶ ἑνός, περὶ ἀμφοτέρων διαλεγόμενος, οὕτως ἔλεγεν· «Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς»· καὶ πάλιν, «Οὐκ ἔνι ἄρσεν καὶ θῆλυ». Οὐ γάρ ἐστιν ἀνδρὸς πρὸς ἄνδρα τοσαύτη οἰκειότης, ὅση γυναικὸς πρὸς ἄνδρα, ἂν ᾖ τις, ὡς χρή, συνεζευγμένος. Διὰ τοῦτο καί τις τὴν ὑπερβάλλουσαν ἀγάπην δηλῶν μακάριος ἀνήρ, καί τινα τῶν αὐτῷ φίλων καὶ ὁμοψύχων πενθῶν, οὐ πατέρα εἶπεν, οὐ μητέρα, οὐ τέκνον, οὐκ ἀδελφόν, οὐ φίλον, ἀλλὰ τί; «Ἔπεσεν ἐπ᾿ ἐμὲ ἡ ἀγάπησίς σου», φησίν, «ὡς ἀγάπησις τῶν γυναικῶν». Ὄντως γάρ, ὄντως πάσης τυραννίδος αὕτη ἡ ἀγάπη τυραννικωτέρα. Αἱ μὲν γὰρ ἄλλαι, σφοδραί· αὕτη δὲ ἡ ἐπιθυμία ἔχει καὶ τὸ

---

1. Ἐφ. 5, 22 - 24.
2. Σοφ. Σειρ. 25, 2.
3. Γέν. 1, 27.
4. Γαλ. 3, 25.
5. Ἀναφέρεται εἰς τὸν θρῆνον τοῦ Δαυῒδ διὰ τὸν θάνατον τοῦ Ἰωνάθαν.
6. Β΄ Βασ. 1, 26.

ΟΜΙΛΙΑ Κ΄
'Εφ. 5, 22 - 6, 8

«Αἱ γυναῖκες νὰ ὑποτάσσεσθε εἰς τοὺς ἰδίους σας ἄνδρας, ὡσὰν νὰ ὑποτάσσεσθε εἰς τὸν Κύριον. Διότι ὁ ἄνδρας εἶναι κεφαλὴ τῆς γυναικός, ὅπως καὶ ὁ Χριστὸς εἶναι κεφαλὴ τῆς 'Εκκλησίας, καὶ ὁ ὁποῖος εἶναι σωτὴρ τοῦ σώματος τῆς 'Εκκλησίας. 'Αλλὰ καθὼς ἡ 'Εκκλησία ὑποτάσσεται εἰς τὸν Κύριον, ἔτσι καὶ αἱ γυναῖκες ἂς ὑποτάσσωνται εἰς τοὺς ἰδίους ἄνδρας των εἰς ὅλα»[1].

1. Κάποιος σοφὸς ἄνδρας, ἀφοῦ ὥρισε πολλὰ εἰς τὴν τάξιν τῶν μακαρισμῶν, ἔχει ὁρίσει καὶ ἕνα ἀκόμη εἰς τὴν τάξιν τοῦ μακαρισμοῦ· «Καὶ ἡ γυναῖκα νὰ συμμορφώνεται πρὸς τὸν ἄνδρα της»[2]. Καὶ πάλιν ἀλλοῦ μαζὶ μὲ τοὺς μακαρισμοὺς τὸ αὐτὸ ὁρίζει, τὸ νὰ συζῇ δηλαδὴ ἡ γυναῖκα μὲ ὁμόνοιαν μαζὶ μὲ τὸν ἄνδρα. Καὶ ἀπὸ τὴν ἀρχὴν δὲ φαίνεται ὅτι ὁ Θεὸς ἔχει λάβει μεγάλην πρόνοιαν περὶ τῆς συζεύξεως αὐτῆς· καὶ ὁμιλῶν διὰ τοὺς δύο, ὅπως διὰ τὸν ἕνα, ἔλεγε τὰ ἑξῆς· «"Επλασεν αὐτοὺς ἄρρεν καὶ θῆλυ»[3]· καὶ πάλιν· «Δὲν ὑπάρχει ἄρσεν καὶ θῆλυ»[4]· Διότι δὲν ὑπάρχει τόση μεγάλη οἰκειότης ἀνδρὸς πρὸς ἄνδρα, ὅση γυναικὸς πρὸς ἄνδρα, ἂν εἶναι κανεὶς συνεζευγμένος ὅπως πρέπει. Διὰ τοῦτο καὶ κάποιος μακάριος ἄνδρας δηλῶν τὴν ὑπερβολικὴν ἀγάπην καὶ πενθῶν φίλον[5] καὶ ὁμόψυχόν του, δὲν εἶπε πατέρα, οὔτε μητέρα, οὔτε τέκνον, οὔτε ἀδελφόν, οὔτε φίλον, ἀλλὰ τί εἶπεν; «"Επεσεν ἐπ' ἐμὲ ἡ ἀγάπη σου, ὅπως ἡ ἀγάπη τῶν γυναικῶν»[6]. Εἶναι ἀλήθεια βέβαια, ὅτι ἡ ἀγάπη αὐτὴ εἶναι περισσότερον τυραννικὴ ἀπὸ κάθε τυραννίδα. Διότι αἱ μὲν ἄλλαι εἶναι σφοδραί, αὐτὴ δὲ ἡ ἐπιθυμία ἔχει καὶ τὴν σφοδρότητα καὶ τὸ

σφοδρόν, καὶ τὸ ἀμάραντον. Ἔνεστι γάρ τις ἔρως ἐμφωλεύων τῇ φύσει, καὶ λανθάνων ἡμᾶς συμπλέκει ταῦτα τὰ σώματα. Διὰ τοῦτο καὶ ἐξ ἀρχῆς, ἀπὸ ἀνδρὸς ἡ γυνή, καὶ μετὰ ταῦτα ἀπὸ ἀνδρὸς καὶ γυναικὸς ἀνὴρ καὶ γυνή.

Ὁρᾷς σύνδεσμον καὶ συμπλοκήν, καὶ πῶς οὐκ ἀφῆκε ἑτέραν ἐπεισελθεῖν οὐσίαν ἔξωθεν; Καὶ ὅρα πόσα ᾠκονόμησε. Τὴν ἀδελφὴν ἠνέσχετο γαμῆσαι αὐτὸν τὴν αὐτοῦ, μᾶλλον δὲ οὐ τὴν ἀδελφήν, ἀλλὰ τὴν θυγατέρα, μᾶλλον δὲ οὐ τὴν θυγατέρα, ἀλλά τι πλέον θυγατρός, τὴν σάρκα τὴν αὐτοῦ. Τὸ δὲ ὅλον ἐποίησεν ἄνωθεν, ὥσπερ ἐπὶ τῶν λίθων, εἰς ἓν αὐτοὺς συνάγων. Οὔτε γὰρ ἔξωθεν αὐτὴν εἰργάσατο, ἵνα μὴ ὡς ἀλλοτρία προσέχῃ· οὔτε πάλιν μέχρις αὐτῆς τὸν γάμον ἔστησεν, ἵνα μὴ συστέλλων ἑαυτὸν καὶ συνάγων, τῶν λοιπῶν χωρίζηται. Καὶ καθάπερ ἐπὶ τῶν φυτῶν ἐκεῖνα μάλιστά ἐστιν ἄριστα, ἂν καὶ ἓν πρέμνον ἔχῃ, καὶ εἰς πολλοὺς κλάδους ἐκτείνηται, ὡς ἐὰν περὶ τὴν ῥίζαν στρέφηται μόνον πάντα εἰκῇ· κἂν καὶ πολλὰς ἔχῃ τὰς ῥίζας, οὐκέτι θαυμαστὸν τὸ δένδρον· οὕτω δὴ καὶ ἐνταῦθα, ἐξ ἑνὸς τοῦ Ἀδὰμ τὸ πᾶν ἐποίησε φυτευθῆναι γένος, τοῦ μὴ διασπᾶσθαι καὶ χωρίζεσθαι καταστήσας εἰς ἀνάγκην μεγάλην. Καὶ μᾶλλον συστέλλων, οὐκέτι ἐποίησεν ἀδελφὰς γαμεῖσθαι καὶ θυγατέρας, ἵνα μὴ πάλιν τὴν ἀγάπην εἰς τὸ ἓν συστέλλωμεν, καὶ ἑτέρως ἑαυτῶν χωριζώμεθα. Διὰ τοῦτο ἔλεγεν· «Ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς».

Μεγάλα γὰρ ἀπὸ τούτου κακὰ τίκτεται καὶ μεγάλα καλὰ καὶ οἰκίαις καὶ πόλεσιν. Οὐδὲν γὰρ οὕτως ἡμῶν συγκροτεῖ τὸν βίον, ὡς ἔρως ἀνδρὸς καὶ γυναικός· ὑπὲρ τούτου καὶ ὅπλα πολλοὶ τίθενται, ὑπὲρ τούτου καὶ τὴν ψυχὴν προδιδόασιν. Οὐ γὰρ ἂν ἁπλῶς οὐδὲ εἰκῇ πολλὴν ὑπὲρ τούτου τοῦ

7. Ματθ. 19, 4.

ἀμάραντον. Ὑπάρχει κάποιος ἔρως ποὺ ἐμφωλεύει εἰς τὴν φύσιν καὶ διαφεύγων τὴν προσοχήν μας συμπλέκει αὐτὰ τὰ σώματα. Διὰ τοῦτο καὶ ἀρχικῶς ἡ γυναῖκα ἐπλάσθη ἀπὸ τὸν ἄνδρα, καὶ κατόπιν ἀπὸ τὸν ἄνδρα καὶ τὴν γυναῖκα ὁ ἄνδρας καὶ ἡ γυναῖκα.

Βλέπεις τὸν στενὸν δεσμὸν καὶ τὴν σύνδεσιν καὶ πῶς δὲν ἄφησεν ἄλλην οὐσίαν νὰ ἐπεισέλθῃ ἀπ' ἔξω; Καὶ πρόσεχε πόσα ἔχει διευθετήσει. Ἠνέχθη νὰ νυμφευθῇ ὁ ἄνδρας τὴν ἀδελφήν του, μᾶλλον δὲ ὄχι τὴν ἀδελφήν του ἀλλὰ τὴν θυγατέρα του, μᾶλλον δὲ ὄχι τὴν θυγατέρα του, ἀλλὰ κάτι περισσότερον ἀπὸ θυγατέρα, τὴν σάρκα τὴν ἰδικήν του. Τοῦτο δὲ ἔκανε ἐξ ἀρχῆς, ὅπως εἰς τοὺς λίθους, ἑνώνων αὐτοὺς εἰς ἕνα σῶμα. Οὔτε βέβαια ἐδημιούργησε αὐτὴν ἀπὸ ἄλλην οὐσίαν, διὰ νὰ μὴ προσεγγίζῃ ὡς ξένη· οὔτε πάλιν ἐσταμάτησε τὸν γάμον μέχρι αὐτόν, διὰ νὰ μὴ ἀποχωρίζεται ἀπὸ τοὺς ὑπολοίπους ἐπειδὴ περιορίζεται καὶ ἑνώνεται μαζί της. Καὶ ὅπως εἰς τὰ φυτὰ ἐκεῖνα εἶναι πρὸ πάντων ἄριστα ποὺ μολονότι ἔχουν ἕνα κορμόν, διακλαδίζονται εἰς πολλοὺς βλαστούς, ὡσὰν νὰ περιστρέφωνται μόνον ὅλα περὶ τὴν ρίζαν χωρὶς σκοπόν· καὶ ἂν ἀκόμη ἔχῃ πολλὰς ρίζας, τὸ δένδρον δὲν εἶναι πλέον θαυμαστόν. Ἔτσι λοιπὸν συμβαίνει καὶ ἐδῶ, ἔκανε νὰ φυτευθῇ ὅλον τὸ ἀνθρώπινον γένος ἀπὸ ἕνα, δηλαδὴ τὸν Ἀδάμ, ἐπειδὴ κατέστησε μεγάλην ἀνάγκην διὰ νὰ μὴ διασπᾶται καὶ χωρίζεται. Καὶ θέτων περισσοτέρους περιορισμούς, δὲν ἐπέτρεψε πλέον νὰ νυμφευώμεθα τὰς ἀδελφὰς καὶ θυγατέρας μας, διὰ νὰ μὴ περιορίζωμεν εἰς τὸ αὐτὸ σημεῖον τὴν ἀγάπην μας, καὶ χωριζώμεθα ἀπὸ τὸν ἑαυτόν μας κατ' ἄλλον τρόπον. Διὰ τοῦτο ἔλεγεν· «Ὁ Θεός, ποὺ ἐδημιούργησε τὰ πάντα, ἔκαμεν ἐξ ἀρχῆς τὸ πρῶτον ἀνδρόγυνον ἀπὸ ἄνδρα καὶ ἀπὸ γυναῖκα»[7].

Ἀπ' αὐτὸ προξενοῦνται βέβαια μεγάλα κακὰ καὶ μεγάλα καλά, καὶ εἰς τὰς οἰκίας καὶ εἰς τὰς πόλεις. Τίποτε δὲν ἑνώνει τόσον τὴν ζωήν μας, ὅσον ὁ ἔρως ἀνδρὸς καὶ γυναικός· ὑπὲρ αὐτοῦ πολλοὶ καταθέτουν καὶ τὰ ὅπλα, ὑπὲρ αὐτοῦ παραδίδουν καὶ τὴν ψυχήν των. Δὲν θὰ ἦτο

πράγματος ἐποιήσατο τὴν σπουδὴν Παῦλος, λέγων· «Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ». Τί δήποτε; Ὅτι ἐὰν ἐν ὁμονοίᾳ ὦσιν οὗτοι, καὶ παῖδες τρέφονται καλῶς, καὶ οἰκέται εὐτακτοῦσι, καὶ γείτονες ἀπολαύουσι τῆς εὐωδίας, καὶ φίλοι καὶ συγγενεῖς· ἐὰν δὲ τοὐναντίον, πάντα ἀνατέτραπται καὶ συγκέχυται. Καὶ καθάπερ τῶν στρατηγῶν πρὸς ἀλλήλους εἰρηνευόντων, πάντα ἐν ἀκολουθίᾳ ἐστί, καὶ ταραττομένων πάλιν ἐκείνων, πάντα ἄνω καὶ κάτω γίνεται, οὕτω δὴ καὶ νῦν. Διό, «Αἱ γυναῖκες», φησί, «τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε», ὡς τῷ Κυρίῳ». Βαβαί! πῶς οὖν ἀλλαχοῦ λέγεις· «Ἐὰν μή τις ἀποτάξηται καὶ γυναικὶ καὶ ἀνδρί, οὐ δύναται ἀκολουθῆσαί μοι; Εἰ γὰρ ὡς τῷ Κυρίῳ ὑποτάσσεσθαι χρή, πῶς λέγει διὰ τὸν Κύριον ἀφίστασθαι; Καὶ σφόδρα μὲν οὖν χρή· ἀλλὰ τό, ὡς, οὐ πάντως πανταχοῦ ἰσοτιμίας ἐστίν. Ἢ τοῦτό φησιν· Ὡς εἰδυῖαι ὅτι τῷ Κυρίῳ δουλεύετε· ὅπερ καὶ ἀλλαχοῦ φησιν, ὅτι εἰ καὶ μὴ διὰ ἄνδρα, ἀλλὰ προηγουμένως διὰ τὸν Κύριον· ἤ, Ὅταν ὑπείκῃς τῷ ἀνδρί, ὡς τῷ Κυρίῳ δουλεύουσα ἡγοῦ πείθεσθαι. Εἰ γάρ, «Ὁ ἀρχαῖς ταύταις ταῖς ἔξωθεν ταῖς πολιτικαῖς ἀντιτασσόμενος, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκε, πολλῷ μᾶλλον ἡ τῷ ἀνδρὶ μὴ ὑποτασσομένη». Οὕτως ἐξ ἀρχῆς ἠθέλησε, φησίν, ὁ Θεός. Ὑποθώμεθα οὖν τὸν μὲν ἄνδρα ἐν τάξει κεῖσθαι κεφαλῆς, τὴν δὲ γυναῖκα ἐν τάξει σώματος. Εἶτα καὶ ἀπὸ λογισμῶν δεικνύς. «Ὅτι ὁ ἀνήρ κεφαλή ἐστι τῆς γυναικός», φησί, «καθὼς καὶ ὁ Χριστὸς τῆς Ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. Ἀλλ' ὡς ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί». Εἶτα, «Ὁ ἀνήρ

---

8. Λουκᾶ 14, 33.
9. Ρωμ. 13, 2.

δυνατὸν λοιπὸν ἔτσι ἁπλῶς καὶ χωρὶς λόγον ὁ Παῦλος νὰ ἐφρόντιζε πολὺ ὑπὲρ αὐτοῦ τοῦ πράγματος, λέγων· «Αἱ γυναῖκες νὰ ὑποτάσσεσθε εἰς τοὺς ἰδίους σας ἄνδρας, ὡσὰν νὰ ὑποτάσσεσθε εἰς τὸν Κύριον». Διατί λοιπόν; Διότι ἐὰν ἔχουν αὐτοὶ ὁμόνοιαν καὶ τὰ παιδιὰ ἀνατρέφονται καλῶς, καὶ οἱ ὑπηρέται συμπεριφέρονται καλῶς, καὶ ἀπολαμβάνουν τὴν εὐωδίαν οἱ γείτονες καὶ οἱ φίλοι καὶ οἱ συγγενεῖς, ἐὰν ὅμως συμβαίνῃ τὸ ἀντίθετον, τὰ πάντα ἀνατρέπονται καὶ καταστρέφονται. Καὶ ὅπως ὅταν εἰρηνεύουν οἱ στρατηγοί, τὰ πάντα ἀκολουθοῦν ὁμαλὰ καὶ ὅταν πάλιν ἐκεῖνοι ταράσσωνται, τὰ πάντα γίνονται ἄνω - κάτω, ἔτσι λοιπὸν καὶ τώρα. Διὰ τοῦτο λέγει· «Αἱ γυναῖκες νὰ ὑποτάσσεσθε εἰς τοὺς ἰδίους σας ἄνδρας, ὡσὰν εἰς τὸν Κύριον». Ἀλλὰ πῶς τότε λέγεις εἰς ἄλλο σημεῖον· Ἐὰν κανεὶς δὲν θὰ ἀπαρνηθῇ καὶ γυναῖκα καὶ ἄνδρα, δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μου[8]; Ἐὰν λοιπὸν πρέπει νὰ ὑποτάσσεσθε ὡσὰν εἰς τὸν Κύριον, πῶς λέγει νὰ ἀποχωρίζεσθε διὰ τὸν Κύριον; Καὶ πρέπει βέβαια πάρα πολύ· ἀλλὰ τὸ «ὡς» δὲν δηλώνει ὁπωσδήποτε τὴν ἰσοτιμίαν παντοῦ. Ἢ ἐννοεῖ αὐτό· Ὡσὰν νὰ γνωρίζετε, ὅτι δουλεύτε εἰς τὸν Κύριον· πρᾶγμα ποὺ λέγει καὶ ἀλλοῦ, ὅτι, ἐὰν ὄχι καὶ διὰ τὸν ἄνδρα, ἀλλὰ προηγουμένως διὰ τὸν Κύριον· ἢ Ὅταν ὑποτάσσεσαι εἰς τὸν ἄνδρα, νὰ θεωρῇς αὐτὴν τὴν ὑποταγὴν ὡσὰν νὰ δουλεύῃς εἰς τὸν Κύριον. Διότι ἐὰν «Ἐκεῖνος ποὺ ἀπειθεῖ εἰς τὰς πολιτικὰς ἐξουσίας, ἐναντώνεται εἰς τὴν διαταγὴν τοῦ Θεοῦ, πολὺ περισσότερον ἐκείνη ποὺ δὲν ὑποτάσσεται εἰς τὸν ἄνδρα της»[9]. Ἔτσι ἠθέλησεν ἐξ ἀρχῆς ὁ Θεός, λέγει. Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι ὁ μὲν ἄνδρας κατέχει τὴν θέσιν τῆς κεφαλῆς, ἡ δὲ γυναῖκα τὴν θέσιν τοῦ σώματος. Ἔπειτα ἀποδεικνύων καὶ μὲ συλλογισμούς, «Διότι ὁ ἄνδρας εἶναι κεφαλὴ τῆς γυναικός», λέγει, «ὅπως καὶ ὁ Χριστὸς εἶναι κεφαλὴ τῆς Ἐκκλησίας, καὶ αὐτὸς εἶναι σωτὴρ τοῦ σώματος, δηλαδὴ τῆς Ἐκκλησίας. Ἀλλὰ καθὼς ἡ Ἐκκλησία ὑποτάσσεται εἰς τὸν Χριστόν, ἔτσι καὶ αἱ γυναῖκες ἂς ὑποτάσσωνται εἰς τοὺς ἰδίους των ἄνδρας εἰς ὅλα». Ἀμέσως κατόπιν, ἀφοῦ εἶπεν· «Ὁ ἄν-

ἐστιν», εἰπών, «κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ Χριστὸς τῆς Ἐκκλησίας, καὶ αὐτός ἐστι σωτήρ», ἐπάγει, «τοῦ σώματος»· καὶ γὰρ ἡ κεφαλὴ τοῦ σώματος σωτηρία ἐστίν. Ἤδη προκατεβάλλετο τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ τῆς ἀγάπης τὴν ὑπόθεσιν καὶ τὴν πρόνοιαν, ἑκάστῳ τὴν προσήκουσαν ἀπονέμων χώραν, τούτῳ μὲν τὴν ἀρχικὴν καὶ προνοητικήν, ἐκείνῃ δὲ τὴν ὑποτακτικήν.

2. «Ὡς οὖν ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ», τουτέστιν, ἄνδρες καὶ γυναῖκες· «οὕτω καὶ αἱ γυναῖκες, τοῖς ἀνδράσιν ἐν τῷ Θεῷ ὑποτάσσεσθε. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν». Ἤκουσας τῆς ὑποταγῆς τὴν ὑπερβολήν· ἐπήνεσας καὶ ἐθαύμασας τὸν Παῦλον, ἅτε συγκροτοῦντα τὸν βίον ἡμῶν, ὡς θαυμαστόν τινα καὶ πνευματικὸν ἄνδρα· καλῶς. Ἀλλ' ἄκουσον, ἃ καὶ παρὰ σοῦ ἀπαιτεῖ· πάλιν γὰρ τῷ αὐτῷ κέχρηται ὑποδείγματι· «Οἱ ἄνδρες, ἀγαπᾶτε», φησί, «τὰς γυναῖκας ἑαυτῶν», καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν». Εἶδες μέτρον ὑπακοῆς; Ἄκουσον καὶ μέτρον ἀγάπης. Βούλει σοι τὴν γυναῖκα ὑπακούειν, ὡς τῷ Χριστῷ τὴν Ἐκκλησίαν; Προνόει καὶ αὐτὸς αὐτῆς, ὡς ὁ Χριστὸς τῆς Ἐκκλησίας· κἂν τὴν ψυχὴν ὑπὲρ αὐτῆς δοῦναι δεῖ, κἂν κατακοπῆναι μυριάκις, κἂν ὁτιοῦν ὑπομεῖναι καὶ παθεῖν, μὴ παραιτήσῃ· κἂν ταῦτα πάθῃς, οὐδὲν οὐδέπω πεποίηκας, οἷον ὁ Χριστός. Σὺ μὲν γὰρ ἤδη συναφθεὶς ταῦτα ποιεῖς, ἐκεῖνος δὲ ὑπὲρ ἀποστρεφομένης αὐτὸν καὶ μισούσης. Ὥσπερ οὖν αὐτὸς τὴν ἀποστρεφομένην αὐτὸν καὶ μισοῦσαν καὶ διαπτύουσαν καὶ θρυπτομένην περὶ τοὺς πόδας αὐτοῦ τῇ πολλῇ ἤγαγε κηδεμονίᾳ, οὐκ ἀπειλαῖς, οὐδὲ ὕβρεσιν, οὐδὲ φόβῳ, οὐδὲ ἑτέρῳ τινὶ τοιούτῳ· οὕτω καὶ σὺ πρὸς τὴν γυναῖκα ἔχε τὴν σήν· κἂν ὑπερορῶσαν, κἂν θρυπτομένην, καταφρονοῦσαν ἴδῃς, δυνήσῃ αὐτὴν ὑπὸ τοὺς πόδας ἀγαγεῖν τοὺς

10. Ἐφ. 5, 24-25.

δρας εἶναι κεφαλὴ τῆς γυναικός, ὅπως καὶ ὁ Χριστὸς εἶναι κεφαλὴ τῆς Ἐκκλησίας», προσθέτει «καὶ αὐτὸς εἶναι σωτὴρ τοῦ σώματος, δηλαδὴ τῆς Ἐκκλησίας»· καὶ πράγματι ἡ κεφαλὴ τοῦ σώματος εἶναι σωτηρία. Ἤδη προκατέβαλεν εἰς τὸν ἄνδρα καὶ τὴν γυναῖκα τὴν ὑπόθεσιν καὶ τὴν πρόνοιαν τῆς ἀγάπης, ἀπονέμων εἰς τὸν καθένα τὴν ἁρμόζουσαν θέσιν, εἰς αὐτὸν μὲν νὰ ἐξουσιάζῃ καὶ νὰ προνοῇ, εἰς ἐκείνην δὲ νὰ ὑποτάσσεται.

2. «Καθὼς λοιπὸν ἡ Ἐκκλησία ὑποτάσσεται εἰς τὸν Χριστόν», δηλαδὴ ἄνδρες καὶ γυναῖκες, «ἔτσι καὶ αἱ γυναῖκες ἂς ὑποτάσσεσθε εἰς τοὺς ἄνδρας σας ὡς νὰ ὑποτάσσεσθε εἰς τὸν Θεόν. Οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὰς γυναῖκας σας καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν»[10]. Ἤκουσες τὴν ὑπερβολὴν τῆς ὑποταγῆς· ἐπήνεσες καὶ ἐθαύμασες τὸν Παῦλον, καθόσον συγκροτεῖ τὴν ζωήν μας, ὡς ἕνα θαυμαστὸν καὶ πνευματικὸν ἄνδρα. Ἔχει καλῶς. Ἀλλ' ἄκουσε καὶ ἐκεῖνα, τὰ ὁποῖα ἀπαιτεῖ ἀπὸ ἐσέ. Πάλιν βέβαια χρησιμοποιεῖ τὸ αὐτὸ παράδειγμα· «Οἱ ἄνδρες, λέγει, νὰ ἀγαπᾶτε τὰς γυναῖκας σας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν». Εἶδες μέγεθος τῆς ὑπακοῆς; Ἄκουσε καὶ τὸ μέγεθος τῆς ἀγάπης. Θέλεις νὰ ὑπακούῃ εἰς σὲ ἡ γυναῖκα σου, καθὼς ἡ Ἐκκλησία εἰς τὸν Χριστόν; Φρόντιζε καὶ σὺ αὐτήν, ὅπως ὁ Χριστὸς φροντίζει τὴν Ἐκκλησίαν. Εἴτε πρέπει νὰ δώσῃς τὴν ψυχήν σου ὑπὲρ τῆς γυναικός, εἴτε πρέπει νὰ πληγωθῇς μυρίας φοράς, εἴτε νὰ ὑπομείνῃς καὶ νὰ πάθῃς ὅ,τιδήποτε, νὰ μὴ ἀποφύγῃς· καὶ ἂν ἀκόμη πάθῃς αὐτά, τίποτε ἀκόμη δὲν κατώρθωσες ὅπως ὁ Χριστός. Διότι σὺ μὲν κάμνεις αὐτὰ ἐπειδὴ ἔχεις ἤδη συνδεθῆ μὲ γάμον, ἐκεῖνος δὲ ὑπὲρ ἐκείνης, ποὺ τὸν ἀποστρέφεται καὶ τὸν μισεῖ. Ὅπως λοιπὸν ὡδήγησε πλησίον του ὁ Χριστὸς ἐκείνην, ποὺ ἀποστρέφεται αὐτὸν καὶ μισεῖ καὶ περιφρονεῖ καὶ ζῇ ἀσώτως, μὲ τὴν μεγάλην φροντίδα του καὶ ὄχι μὲ ἀπειλάς, οὔτε μὲ ὕβρεις, οὔτε μὲ φόβον, οὔτε μὲ κάτι παρόμοιον, ἔτσι καὶ σὺ νὰ συμπεριφέρεσαι πρὸς τὴν γυναῖκα σου· εἴτε ἰδῇς νὰ σὲ περιφρονῇ αὐτή, εἴτε νὰ ζῇ ἀσώτως καὶ νὰ ὑπερηφανεύεται, θὰ ἠμπορέσῃς νὰ φέρῃς

σοὺς τῇ πολλῇ περὶ αὐτὴν προνοίᾳ, τῇ ἀγάπῃ, τῇ φιλίᾳ. Οὐδὲν γὰρ τούτων τυραννικώτερον τῶν δεσμῶν, καὶ μάλιστα ἀνδρὶ καὶ γυναικί. Οἰκέτην μὲν γὰρ φόβῳ τις ἂν καταδῆσαι δυνήσεται, μᾶλλον δὲ οὐδὲ ἐκεῖνον· ταχέως γὰρ ἀποπηδήσας οἰχήσεται· τὴν δὲ τοῦ βίου κοινωνόν, τὴν παίδων μητέρα, τὴν πάσης εὐφροσύνης ὑπόθεσιν, οὐ φόβῳ καὶ ἀπειλαῖς δεῖ καταδεσμεῖν, ἀλλ' ἀγάπῃ καὶ διαθέσει. Ποία γὰρ συζυγία, ὅταν ἡ γυνὴ τὸν ἄνδρα τρέμῃ; ποίας δὲ αὐτὸς ὁ ἀνὴρ ἀπολαύσεται ἡδονῆς, ὡς δούλῃ συνοικῶν τῇ γυναικί, καὶ οὐχ ὡς ἐλευθέρᾳ; Κἂν πάθῃς τι ὑπὲρ αὐτῆς, μὴ ὀνειδίσῃς· οὐδὲ γὰρ ὁ Χριστὸς τοῦτο ἐποίησε· «Καὶ ἑαυτόν», φησίν, «παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν καθαρίσας ἁγιάσῃ». Ἄρα ἀκάθαρτος ἦν, ἄρα μῶμον εἶχεν, ἄρα ἄμορφος ἦν, ἄρα εὐτελής. Οἵαν ἂν λάβῃς γυναῖκα, οὐ τοιαύτην λήψῃ νύμφην, οἷον ὁ Χριστὸς τὴν Ἐκκλησίαν, οὐδὲ τοσοῦτόν σου ἀπέχουσαν ὅσον ἡ Ἐκκλησία τοῦ Χριστοῦ· ἀλλ' ὅμως οὐκ ἐβδελύξατο, οὐδὲ ἐμίσησε διὰ τὴν ὑπερβολὴν τῆς ἀμορφίας.

Βούλει ἀκοῦσαι αὐτῆς τὴν ἀμορφίαν; ἄκουε Παύλου λέγοντος· «Ἦτε γάρ ποτε σκότος». Εἶδες αὐτῆς τὸ μέλαν; τί σκότους μελανώτερον; ἀλλ' ὅρα καὶ τὸ θρασύ· «Ἐν κακίᾳ», φησί, «καὶ φθόνῳ διάγοντες». Ὅρα καὶ τὸ ἀκάθαρτον· «Ἀπειθεῖς, ἀνόητοι». Τί δὲ λέγω; καὶ μωρὰ ἦν, καὶ βλάσφημος· ἀλλ' ὅμως τοσούτων ὄντων, ὡς ὑπὲρ ὡραίας, ὡς ὑπὲρ ἀγαπωμένης, ὡς ὑπὲρ θαυμαστῆς, οὕτως ἑαυτὴν ἐξέδωκεν ὑπὲρ τῆς ἀμόρφου. Καὶ τοῦτο θαυμάζων ὁ Παῦλος ἔλεγε· «Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται»· καὶ πάλιν, «Εἰ ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε». Καὶ τοιαύτην λαβών, καλλωπίζει αὐτὴν καὶ λού-

11. Ἐφ. 5, 25, 26.
12. Ἐφ. 5, 8.
13. Τίτ. 3, 3.
14. Ρωμ. 5, 7, 8.

αὐτὴν ὑπὸ τοὺς πόδας σου μὲ τὴν πολλὴν φροντίδα, μὲ τὴν ἀγάπην, τὴν φιλίαν. Διότι τίποτε δὲν εἶναι τυραννικώτερον ἀπὸ τὰ δεσμὰ αὐτὰ καὶ μάλιστα εἰς τὸν ἄνδρα καὶ τὴν γυναῖκα. Βέβαια τὸν μὲν ὑπηρέτην θὰ ἠμπορέσῃ κανεὶς νὰ τὸν παρεμποδίσῃ μὲ τὸν φόβον, μᾶλλον δὲ οὔτε ἐκεῖνον· διότι γρήγορα θὰ ἐγκαταλείψῃ τὴν προσπάθειαν αὐτήν· τὴν σύντροφον ὅμως τῆς ζωῆς, τὴν μητέρα τῶν παιδιῶν, τὸ θεμέλιον κάθε εὐφροσύνης, δὲν πρέπει νὰ καταδεσμεύωμεν μὲ φόβον καὶ ἀπειλάς, ἀλλὰ μὲ ἀγάπην καὶ καλὴν διάθεσιν. Διότι ποία σύζευξις ὑπάρχει, ὅταν ἡ γυναῖκα τρέμῃ τὸν ἄνδρα; ποίαν ἡδονὴν θ' ἀπολαύσῃ ὁ ἴδιος ὁ ἄνδρας, ὅταν ζῇ μὲ τὴν γυναῖκα του καὶ τὴν συμπεριφέρεται ὡς δούλην καὶ ὄχι ὡς ἐλευθέραν; Καὶ ἂν ἀκόμη πάθῃς κάτι ὑπὲρ αὐτῆς, νὰ μὴ ὀνειδίσῃς· διότι οὔτε ὁ Χριστὸς ἔπραξεν αὐτό. «Καὶ παρέδωσε τὸν ἑαυτόν του», λέγει, «εἰς θάνατον ὑπὲρ τῆς Ἐκκλησίας, διὰ νὰ τὴν ἁγιάσῃ ἀφοῦ τὴν καθαρίσῃ»[11]. Συνεπῶς ἦτο ἀκάθαρτος, εἶχεν ὄνειδος, ἦτο ἄσχημος καὶ εὐτελής. Ὁποιανδήποτε καὶ ἂν λάβῃς γυναῖκα, δὲν θὰ λάβῃς τέτοιαν νύμφην, ὅπως ὁ Χριστὸς τὴν Ἐκκλησίαν, οὔτε νὰ ἀπέχῃ τόσον πολὺ ἀπὸ σέ, ὅσον ἀπέχει ἡ Ἐκκλησία ἀπὸ τὸν Χριστόν· ἀλλ' ὅμως δὲν τὴν ἀπεστράφη, οὔτε τὴν ἐμίσησεν ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀσχημίας της.

Θέλεις νὰ ἀκούσῃς τὴν ἀσχημίαν της; Ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «Κάποτε ἦσθε μέσα εἰς τὸ σκοτάδι»[12]. Εἶδες τὸ μελανὸν αὐτῆς; τί εἶναι μελανώτερον ἀπὸ τὸ σκοτάδι; Πρόσεχε ὅμως καὶ τὸ θρασύ· «Ἐπερνούσαμεν τὴν ζωήν μας μὲ μοχθηρίαν καὶ φθόνον», λέγει ὁ Παῦλος. Πρόσεξε καὶ τὴν ἀκαθαρσίαν· «Ἤμεθα ἀπειθεῖς, ἀνόητοι»[13]. Τί δὲ λέγω; ἦτο καὶ ἀνόητος καὶ βλάσφημος· ἀλλ' ὅμως, ἂν καὶ ὑπῆρχαν τόσον πολλά, ἔτσι παρέδωσε τὸν ἑαυτόν του ὑπὲρ τῆς ἀσχήμου, ὡς ὑπὲρ ὡραίας, ὡς ὑπὲρ ἀγαπημένης, ὡς ὑπὲρ θαυμαστῆς. Καὶ τοῦτο θαυμάζων ὁ Παῦλος ἔλεγε· «Διότι μόλις καὶ μετὰ βίας θὰ εὑρεθῇ ἄνθρωπος νὰ ἀποθάνῃ ὑπὲρ κάποιου δικαίου»· καὶ πάλιν· «Καὶ ἐὰν ὅταν ἀκόμη ἤμεθα ἁμαρτωλοί, ὁ Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν»[14]. Καὶ ἀφοῦ τὴν ἔλαβε, καλλωπίζει καὶ καθα-

ει, καὶ οὐδὲ τοῦτο παραιτεῖται. «Ἵνα αὐτὴν ἁγιάσῃ», φησί, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι. Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος». Τῷ λουτρῷ λούει αὐτῆς τὴν ἀκαθαρσίαν. «Ἐν ῥήματι», φησί. Ποίῳ; Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ οὐχ ἁπλῶς αὐτὴν ἐκόσμησεν, ἀλλ' ἔνδοξον ἐποίησε. «Μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων». Καὶ ἡμεῖς τοίνυν τοῦτο ἐπιζητῶμεν τὸ κάλλος, καὶ δυνησόμεθα αὐτοῦ γενέσθαι δημιουργοί. Μὴ ζήτει σὺ παρὰ τῆς γυναικός, ἃ μή ἐστιν αὐτῆς. Ὁρᾷς ὅτι πάντα παρὰ τοῦ Δεσπότου εἶχεν ἡ Ἐκκλησία· παρ' αὐτοῦ γέγονεν ἔνδοξος, παρ' αὐτοῦ ἄμωμος. Μὴ ἀποστραφῇς δι' ἀμορφίαν τὴν γυναῖκα. Ἄκουε τῆς Γραφῆς λεγούσης· «Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκυσμάτων ὁ καρπὸς αὐτῆς». Θεοῦ πλάσμα ἐστίν· οὐκ ἐκείνην ὑβρίζεις, ἀλλὰ τὸν ἐργασάμενον. Τί πάθῃ ἡ γυνή;

Μὴ ἐπαινέσῃς αὐτὴν δι' εὐμορφίαν· ἀκολάστων ψυχῶν καὶ ὁ ἔπαινος, καὶ τὸ μῖσος ἐκεῖνο, καὶ αὐτὴ ἡ ἀγάπη. Ψυχῆς ἐπιζήτει κάλλος· τὸν νυμφίον τῆς Ἐκκλησίας μιμοῦ. Τὸ ἔξωθεν κάλλος ἀλαζονείας καὶ ἀπονοίας γέμει πολλῆς, καὶ εἰς ζηλοτυπίαν ἐμβάλλει, καὶ ὑποπτεύειν σε πολλάκις ποιεῖ τὸ πρᾶγμα ἄτοπα. Ἀλλὰ ἡδονὴν ἔχει; Μέχρι τοῦ πρώτου μηνὸς καὶ τοῦ δευτέρου, ἢ τὸ πολύ, τοῦ ἐνιαυτοῦ, λοιπὸν δὲ οὐκέτι, ἀλλ' ὑπὸ τῆς συνηθείας τὸ θαῦμα μαραίνεται· τὰ μέντοι διὰ τὸ κάλλος προσγενόμενα κακὰ ἐναπομένει, ὁ τῦφος, ἡ ἀπόνοια καὶ ἡ ὑπεροψία. Ἐπὶ δὲ τῆς μὴ τοιαυ-

15. Ἐφ. 5, 26 - 27.
16. Ἐκκλ. 11, 3.

ρίζει αὐτήν, καὶ οὔτε τοῦτο ἀποφεύγει. «Διὰ νὰ ἁγιάσῃ αὐτήν, ἀφοῦ τὴν καθαρίσῃ διὰ τοῦ λουτροῦ τοῦ ὕδατος, μὲ τὸν λόγον τῆς ἐπικλήσεως ποὺ συνοδεύει τὸ λουτρὸν τοῦτο. Διὰ νὰ τὴν στήσῃ εἰς τὸ πλευρόν του ὡς ἄλλην νύμφην, ἔνδοξον, τὴν Ἐκκλησίαν, χωρὶς νὰ ἔχῃ ἀκαθαρσίαν ἢ ρυτίδα ἢ ἄλλο τίποτε ἀπ' ἐκεῖνα ποὺ τὴν ἀσχημίζουν, ἀλλὰ νὰ εἶναι ἁγία καὶ ἄμεμπτος»[15]. Μὲ τὸ λουτρὸν τοῦ ὕδατος καθαρίζει τὴν ἀκαθαρσίαν της. «Μὲ τὸν λόγον», λέγει. Μὲ ποῖον λόγον; Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ δὲν τὴν ἐστόλισεν ἁπλῶς μόνον, ἀλλὰ τὴν ἔκαμεν ἔνδοξον, «χωρὶς νὰ ἔχῃ ἀκαθαρσίαν ἢ ρυτίδα, ἢ ἄλλο τίποτε ἀπ' ἐκεῖνα ποὺ τὴν ἀσχημίζουν». Καὶ ἡμεῖς λοιπὸν ἂς ἐπιζητοῦμεν αὐτὴν τὴν ὀμορφιάν, καὶ θὰ ἠμπορέσωμεν νὰ γίνωμεν δημιουργοί της. Νὰ μὴ ζητῇς ἀπὸ τὴν γυναῖκα ἐκεῖνα ποὺ δὲν ὑπάρχουν εἰς αὐτήν. Βλέπεις ὅτι ἡ Ἐκκλησία εἶχε τὰ πάντα ἀπὸ τὸν Δεσπότην· ἀπ' αὐτὸν ἔχει γίνει ἔνδοξος καὶ ἄμεμπτος. Νὰ μὴ ἀποστραφῇς τὴν γυναῖκα ἐξ αἰτίας τῆς ἀσχημίας της. Ἄκουε τὴν ἁγίαν Γραφήν, ποὺ λέγει· «Ἡ μέλισσα εἶναι μικρὰ ἀνάμεσα εἰς τὰ πτηνὰ καὶ ὁ καρπός της εἶναι τὸ βασικὸν στοιχεῖον τῶν γλυκισμάτων»[16]. Ἡ γυναῖκα εἶναι δημιούργημα τοῦ Θεοῦ· δὲν ὑβρίζεις ἐκείνην, ἀλλ' ἐκεῖνον ποὺ τὴν ἐδημιούργησε. Τί θὰ ἠμποροῦσε νὰ πάθῃ ἡ γυναῖκα;

Μὴ ἐπαινέσῃς αὐτὴν διὰ τὸ κάλλος της· εἶναι δεῖγμα τῶν ἀκολάστων ἀνθρώπων καὶ ὁ ἔπαινος καὶ τὸ μῖσος ἐκεῖνο καὶ ἡ ἀγάπη αὐτή. Νὰ ἐπιζητῇς τὸ κάλλος τῆς ψυχῆς· νὰ μιμηθῇς τὸν Νυμφίον τῆς Ἐκκλησίας. Τὸ ἐξωτερικὸν κάλλος εἶναι γεμᾶτον μὲ ἀλαζονείαν καὶ ἀπόγνωσιν καὶ ὠθεῖ εἰς ζηλοτυπίαν, καὶ πολλάκις σὲ κάμνει νὰ ὑποπτεύεσαι παράλογα πράγματα. Μήπως ἔχει ἡδονήν; Ἔχει μέχρι τὸν πρῶτο μῆνα καὶ τὸν δεύτερον, ἢ τὸ πολύ, τὸν πρῶτον χρόνον· εἰς τὸ ἑξῆς ὅμως δὲν ἔχει πλέον ἡδονήν, ἀλλ' ἐξ αἰτίας τῆς συνηθείας ἐξασθενίζει τὸ θαῦμα. Παραμένουν ὅμως τὰ κακά, ποὺ προέρχονται ἐξ αἰτίας τοῦ κάλλους, δηλαδὴ ἡ ἀλαζονεία, ἡ ἀπόγνωσις καὶ ἡ ὑπεροψία. Εἰς τὴν

της, οὐδὲν τοιοῦτον· ἀλλ' εἰκότως ἀρχόμενος ὁ ἔρως παραμένει σφοδρός, ἐπειδὴ κάλλους ἐστὶ ψυχῆς, καὶ οὐ σώματος.

3. Τί βέλτιον τοῦ οὐρανοῦ, εἰπέ μοι, τί βέλτιον τῶν ἄστρων; Οἷον ἂν εἴποις σῶμα, οὐκ ἔστιν οὕτω λευκόν· οἵους ἂν εἴποις ὀφθαλμούς, οὐκ εἰσὶν οὕτω φαιδροί. Τούτων δὲ γενομένων καὶ οἱ ἄγγελοι ἐθαύμασαν, καὶ ἡμεῖς νῦν θαυμάζομεν, ἀλλ' οὐχ ὁμοίως, ὡς παρὰ τὴν ἀρχήν. Τοιοῦτον γὰρ ἡ συνήθεια· οὐχ ὁμοίως ἐκπλήττει· πόσῳ μᾶλλον ἐπὶ γυναικός; Ἂν δὲ καὶ νόσος ἐπιγένηται, εὐθέως ἀπέστη τὸ πᾶν. Εὔνοιαν ζητῶμεν παρὰ γυναικός, μετριοφροσύνην, ἐπιείκειαν· ταῦτα τοῦ κάλλους τὰ γνωρίσματα· σώματος μέντοι ὥραν μὴ ζητῶμεν, μηδὲ ἐγκαλῶμεν αὐτῇ περὶ τούτων, ὧν οὐκ ἔστι κυρία, μᾶλλον δὲ μηδὲ ὅλως ἐγκαλῶμεν (τολμηρῶν γάρ), μηδὲ ἀποδυσπετῶμεν, μηδὲ δυσχεραίνωμεν. Ἢ οὐχ ὁρᾶτε πόσοι γυναιξὶν ὡραίαις συνοικήσαντες ἐλεεινῶς τὸν βίον κατέστρεψαν; πόσοι δὲ οὐ σφόδρα εὐμόρφοις, μετὰ πολλῆς ἡδονῆς εἰς ἔσχατον γῆρας ἤλασαν; Τὸν σπῖλον τὸν ἔσωθεν ἀποσμήχωμεν, τὰς ῥυτίδας τὰς ἔνδον ἐκτίλλωμεν, τοὺς μώμους τοὺς ἐπὶ τῆς ψυχῆς ἀνέλωμεν· τοιοῦτον ὁ Θεὸς ἐπιζητεῖ κάλλος· τῷ Θεῷ, μὴ ἡμῖν, καλὴν αὐτὴν κατασκευάζωμεν. Μὴ χρήματα ζητῶμεν, μηδὲ εὐγένειαν τὴν ἔξωθεν, ἀλλ' εὐγένειαν τὴν ἐν ψυχῇ. Μηδεὶς ἀπὸ γυναικὸς ἀναμενέτω πλουτεῖν· αἰσχρὸς γὰρ καὶ ἐπονείδιστος οὗτος ὁ πλοῦτος· μηδὲ ὅλως ζητείτω τις ἐντεῦθεν πλουτεῖν. «Οἱ γὰρ βουλόμενοι πλουτεῖν», φησίν, «ἐμπίπτουσιν εἰς πειρασμόν, καὶ ἐπιθυμίας ἀνοήτους καὶ βλαβεράς, καὶ εἰς παγίδας καὶ ὄλεθρον καὶ ἀπώλειαν».

---

17. Δηλαδή, ὁ οὐρανὸς καὶ τὰ ἄστρα. Πρβλ. Ἰὼβ 38, 7.
18. Α' Τιμ. 6, 9.

γυναῖκα ὅμως, ποὺ δὲν εἶναι τέτοια, τίποτε παρόμοιον δὲν συμβαίνει· ἀλλ' εὐλόγως ὅταν ἀρχίζῃ ὁ ἔρως, παραμένει πάντοτε δυνατός, ἐπειδὴ εἶναι ἔρως τοῦ κάλλους τῆς ψυχῆς καὶ ὄχι τοῦ σώματος.

3. Τί εἶναι καλύτερον ἀπὸ τὸν οὐρανόν, εἰπέ μου, τί τὸ καλύτερον ἀπὸ τὰ ἄστρα; Ὁποιονδήποτε καὶ ἂν θὰ εἰπῇς μάτια, δὲν εἶναι τόσον φωτεινά. Ὅταν δὲ ἔγιναν αὐτὰ[17] καὶ οἱ ἄγγελοι ἐθαύμασαν, καὶ ἡμεῖς τώρα θαυμάζομεν, ἀλλ' ὄχι ὅπως εἰς τὴν ἀρχήν. Τέτοια βέβαια εἶναι ἡ συνήθεια· δὲν προκαλεῖ κατάπληξιν καθ' ὅμοιον τρόπον· πόσῳ μᾶλλον εἰς τὴν περίπτωσιν τῆς γυναικός; Ἂν δὲ συμβῇ ἀπὸ ἀσθένεια, ἀμέσως ἐχάθη τὸ πᾶν. Ἂς ζητοῦμεν ἀπὸ τὴν γυναῖκα τὴν ἀγαθὴν διάθεσιν, τὴν μετριοφροσύνην, τὴν ἐπιείκειαν· αὐτὰ εἶναι τὰ γνωρίσματα τοῦ κάλλους. Ἂς μὴ ζητοῦμεν λοιπὸν τὴν ὀμορφιὰν τοῦ σώματος, οὔτε νὰ κατηγοροῦμεν τὴν γυναῖκα δι' ἐκεῖνα, εἰς τὰ ὁποῖα δὲν εἶναι κυρίαρχος, μᾶλλον δὲ οὔτε νὰ τὴν κατηγοροῦμεν καθόλου (διότι τοῦτο εἶναι χαρακτηριστικὸν τῶν τολμηρῶν), οὔτε ἀποθαρρυνόμενοι νὰ τὴν ἐγκαταλείπωμεν, οὔτε νὰ τὴν ἀποστρεφώμεθα. Ἢ δὲν βλέπετε πόσοι, ποὺ συνέζησαν μὲ ὡραίας γυναῖκας, κατέστρεψαν ἄθλια τὴν ζωήν των; Πόσοι δὲ μὲ γυναῖκας, ποὺ δὲν ἦσαν πολὺ ὡραῖαι, ἔφθασαν εἰς βαθειὰ γηρατειὰ μὲ πολλὴν εὐχαρίστησιν; Ἂς καθαρίζωμεν τελείως τὸ ἐσωτερικὸν στίγμα, τὰς ἐσωτερικὰς ρυτίδας ἂς ἀφαιροῦμεν, τοὺς εὑρισκομένους ἐπάνω εἰς τὴν ψυχὴν ψόγους ἂς ἀφανίσωμεν. Τέτοιο κάλλος ἐπιζητεῖ ὁ Θεός· ἂς προετοιμάζωμεν τὴν γυναῖκα διὰ νὰ φανῇ καλὴ εἰς τὸν Θεόν, ὄχι εἰς ἡμᾶς. Ἂς μὴ ζητοῦμεν χρήματα, οὔτε τὴν ἐξωτερικὴν εὐγένειαν, ἀλλὰ τὴν εὐγένειαν τῆς ψυχῆς. Κανεὶς ἂς μὴ περιμένῃ νὰ γίνῃ πλούσιος ἀπὸ τὴν γυναῖκα του, διότι αὐτὸς ὁ πλοῦτος εἶναι αἰσχρὸς καὶ ἐπονείδιστος· οὔτε νὰ ἐπιζητῇ κανεὶς νὰ γίνῃ πλούσιος ἀπὸ τὴν αἰτίαν αὐτήν. «Διότι ἐκεῖνοι ποὺ ἐπιθυμοῦν νὰ γίνουν πλούσιοι», λέγει, πίπτουν μέσα εἰς πειρασμὸν καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ ἐπιβλαβεῖς καὶ εἰς παγίδας καὶ καταστροφὴν καὶ ἀπώλειαν»[18].

Ἀπὸ γυναικὸς τοίνυν μὴ ζήτει χρημάτων περιουσίαν, καὶ πάντα εὑρήσεις τὰ ἄλλα εὐκόλως. Τίς, εἰπέ μοι, τὰ κυριώτερα ἀφείς, τῶν ἐλαττόνων ἐπιμελήσεται; Ἀλλ', οἴμοι! πανταχοῦ τοῦτο πάσχομεν· κἂν παῖδα κτησώμεθα, οὐ σπουδάζομεν ὅπως γένηται ἀγαθός, ἀλλ' ὅπως πλουσίαν αὐτῷ γυναῖκα λάβωμεν· οὐχ ὅπως εὔτροπος, ἀλλ' ὅπως εὔπορος· κἂν ἐπιτήδευμα μετίωμεν, οὐχ ὅπως ἁμαρτημάτων ἀπηλλαγμένον ᾖ, ἀλλ' ὅπως ἡμῖν κέρδος προσοίσῃ μέγα· καὶ πάντα γέγονε χρήματα. Διὰ τοῦτο πάντα διέφθαρται, ὅτι ἐκεῖνος ἡμᾶς κατέχει ὁ ἔρως. «Οὕτως ὀφείλουσι», φησίν, «οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα». Τί δὴ τοῦτό ἐστιν; Ὡς εἰς μείζονα εἰκόνα,, καὶ σφοδρότερον ἦλθεν ὑπόδειγμα· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ὡς ἐγγύτερον, καὶ σαφέστερον, καὶ δικαίωμα ἕτερον. Ἐκεῖνο μὲν γὰρ οὐκ ἦν πολλῆς ἀνάγκης· ἵνα γὰρ μή τις εἴπῃ. Ἐκεῖνος Χριστὸς ἦν, καὶ Θεὸς ἦν, καὶ ἑαυτὸν παρέδωκεν, ἑτέρωθεν αὐτὸ μεθοδεύει λοιπόν, λέγων· «Οὕτως ὀφείλουσιν»· οὐ γὰρ χάρις ἐστὶ τὸ πρᾶγμα, ἀλλ' ὀφειλή. Εἰπών, ὡς τὰ ἑαυτῶν σώματα», ἐπήγαγεν, «Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν». Τουτέστι, θεραπεύει μετὰ πολλῆς τῆς ἐπιμελείας. Καὶ πῶς αὐτοῦ ἐστι σάρξ; Ἄκουε· «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου», φησί, «καὶ σὰρξ ἐκ τῆς σαρκός μου». Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καί, «Ἔσονται», φησίν, «εἰς σάρκα μίαν. Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν». Ἐπὶ τὸ πρῶτον ὑπόδειγμα ἦλθεν. «Ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ». Πῶς; Ἀπὸ γὰρ τῆς ἡμετέρας γέγονεν ὕλης, ὥσπερ καὶ ἡ Εὔα σὰρξ ἀπὸ τῆς σαρκὸς τοῦ Ἀδάμ. Καλῶς δὲ ὀστῶν καὶ σαρκὸς ἐμνημόνευσε· ταῦτα γάρ ἐστιν ἐν ἡμῖν τὰ κυριώτερα, σάρκες

---

19. Ἐφ. 5, 28.
20. Ἐφ. 5, 29.
21. Γεν. 2, 23.
22. Ἐφ. 5, 31.
23. Ἐφ. 5, 30.

Μὴ ζητᾶς λοιπὸν περιουσίαν χρημάτων ἀπὸ τὴν γυναῖκα, καὶ ὅλα τὰ ἄλλα θὰ τὰ εὕρῃς εὔκολα. Εἰπέ μου, ποῖος θὰ φροντίσῃ τὰ μικρότερα πράγματα, ἀφοῦ ἐγκαταλείψῃ τὰ κυριώτερα; Ἀλλ' ἀλλοίμονον, παντοῦ τοῦτο πάσχομεν· καὶ ἂν ἀποκτήσωμεν υἱόν, δὲν προσπαθοῦμεν διὰ νὰ γίνῃ ἀγαθός, ἀλλὰ διὰ νὰ λάβωμεν εἰς αὐτὸν πλουσίαν γυναῖκα· ὄχι διὰ νὰ γίνῃ ἐπιδέξιος, ἀλλ' εὔπορος· καὶ ἂν ἐπιζητήσωμεν ἕνα ἐπάγγελμα, δὲν προσέχομεν νὰ εἶναι ἀπηλλαγμένον ἀπὸ ἁμαρτήματα, ἀλλὰ διὰ νὰ μᾶς δώσῃ μεγάλον κέρδος· καὶ τὰ πάντα ἔχουν γίνει χρήματα. Διὰ τοῦτο ἔχουν καταστραφῆ τὰ πάντα, διότι μᾶς κατέχει ἐκεῖνος ὁ ἔρως. «Ἔτσι ὀφείλουν», λέγει ὁ Παῦλος, «οἱ ἄνδρες νὰ ἀγαποῦν τὰς γυναῖκας των ὡσὰν τὰ ἴδια σώματά των»[19]. Τί σημαίνει λοιπὸν αὐτό; Ἦλθεν εἰς μεγαλυτέραν εἰκόνα καὶ εἰς δυνατώτερον παράδειγμα· ὄχι δὲ μόνον τοῦτο ἀλλὰ καὶ εἰς πλησιέστερον καὶ σαφέστερον καὶ εἰς ἄλλην δικαίαν πρᾶξιν. Ἐκεῖνο βέβαια δὲν ἦτο δεῖγμα μεγάλης ἀνάγκης· ἀλλὰ διὰ νὰ μὴ εἰπῇ κανείς, Ἐκεῖνος ἦτο Χριστός, καὶ Θεὸς ἦτο, καὶ παρέδωσε τὸν ἑαυτόν του', ἀπ' ἄλλο μέρος μεθοδεύει τοῦτο εἰς τὸ ἑξῆς, λέγων· «Ἔτσι ὀφείλω», διότι τοῦτο τὸ πρᾶγμα δὲν εἶναι χάρις, ἀλλ' ὑποχρέωσις. Ἀφοῦ εἶπεν, «ὡσὰν τὰ ἴδια των σώματα», προσέθεσε· Διότι κανεὶς ποτὲ δὲν ἐμίσησε τὴν σάρκα του, ἀλλὰ τὴν τρέφει καλὰ καὶ τὴν περιθάλπει»[20]. Δηλαδή, περιποιεῖται αὐτὴν μὲ πολλὴν φροντίδα. Καὶ διατί εἶναι σὰρξ αὐτοῦ; Ἄκουε· «Αὐτὸ τώρα εἶναι ὀστοῦν ἀπὸ τὰ ὀστᾶ μου καὶ σὰρξ ἀπὸ τὴν σάρκα μου», λέγει[21]. Καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ «θὰ εἶναι» λέγει, «οἱ δύο ἑνωμένοι εἰς ἕνα σῶμα»[22]. «Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν». Ἦλθεν εἰς τὸ πρῶτον παράδειγμα. «Διότι εἴμεθα μέλη τοῦ σώματός του, ἀπὸ τὴν σάρκα του καὶ ἀπὸ τὰ ὀστᾶ του»[23]. Πῶς; Διότι ἔχει γίνει ἀπὸ τὴν ἰδικήν μας ὕλην, ὅπως ἀκριβῶς καὶ ἡ Εὔα εἶναι σὰρξ ἀπὸ τὴν σάρκα τοῦ Ἀδάμ. Πολὺ καλὰ δὲ ἐμνημόνευσε τὰ ὀστᾶ καὶ τὴν σάρκα· διότι αὐτὰ εἶναι εἰς ἡμᾶς τὰ κυριώτερα συστατικά, αἱ σάρκες καὶ τὰ

καὶ ὀστᾶ· τὰ μὲν ὥσπερ τις τρόπις ὑποκείμενα, τὰ δὲ ὥσπερ οἰκοδομία.

Ἀλλ' ἐκεῖνο μὲν δῆλον· τοῦτο δὲ πῶς; Ὥσπερ ἐκεῖ τοσαύτη ἐγγύτης ἐστίν, οὕτω, φησί, καὶ ἐνταῦθα. Τί ἐστιν, «ἐκ τῆς σαρκὸς αὐτοῦ»; Τουτέστι, γνησίως ἐξ αὐτοῦ. Καὶ πῶς τοῦ Χριστοῦ μέλη οὕτως ἐσμέν; Ὅτι κατ' αὐτὸν γεγενήμεθα. Καὶ πῶς ἐκ τῆς σαρκός; Ἴστε ὅσοι μετέχετε μυστηρίων· ἐκ τούτου γὰρ εὐθέως ἀναπλαττόμεθα. Καὶ πῶς; Πάλιν ἄκουε τοῦ μακαρίου τούτου λέγοντος· «Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν». Ἀλλ' ἐνταῦθα αὐτὸς ἡμῖν ἐκοινώνησεν, οὐχ ἡμεῖς αὐτῷ· πῶς οὖν ἐκ τῆς σαρκὸς αὐτοῦ ἐσμεν, καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ. Τινὲς τὸ αἷμά φασι καὶ τὸ ὕδωρ, οὐκ ἔστι δέ· ἀλλ' ὅπερ δηλοῦν βούλεται, τοῦτό ἐστιν, ὅτι ὥσπερ ἄνευ συνουσίας ἐκεῖνος γεγέννηται ἐκ Πνεύματος ἁγίου, οὕτω καὶ ἡμεῖς γεννώμεθα ἐν τῷ λουτρῷ. Ὅρα πόσα ὑποδείγματα, ὥστε πιστευθῆναι τὴν γέννησιν ἐκείνην. Ὢ τῆς ἀνοίας τῶν αἱρετικῶν! τὸ ἤδη τεχθὲν ἐξ ὕδατος, ὅτι τίκτεται, γέννημα ἀληθινὸν ὁμολογοῦσιν· ὅτι δὲ γινώμεθα αὐτοῦ σῶμα, οὐ δέχονται. Ἂν τοίνυν τοῦτο μὴ γινώμεθα, πῶς ἁρμόσει τό, «Ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ», λεγόμενον; Σκόπει δέ· ἐπλάσθη ὁ Ἀδάμ, ἐτέχθη ὁ Χριστός· ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ εἰσῆλθε φθορά, ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐπήγασεν ἡ ζωή· ἐν παραδείσῳ ἐβλάστησε θάνατος, ἐν τῷ σταυρῷ αὐτοῦ ἡ ἀναίρεσις γέγονεν.

4. Ὡς οὖν ὁ Υἱὸς τοῦ Θεοῦ τῆς ἡμετέρας φύσεως, οὕτως ἡμεῖς τῆς οὐσίας αὐτοῦ· καὶ ὡς ἡμᾶς ἐκεῖνος ἔχει ἐν ἑαυτῷ, οὕτω καὶ ἡμεῖς αὐτὸν ἔχομεν ἐν ἡμῖν. «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ

24. Ἑβρ. 2, 14.

ὀστᾶ· τὰ μὲν ὀστᾶ εὑρίσκονται ὡσὰν σκελετός, αἱ δὲ σάρκες ὡσὰν οἰκοδόμημα.

Ἀλλ' ἐκεῖνο μὲν εἶναι φανερόν· τοῦτο δὲ πῶς; Ὅπως ἀκριβῶς ὑπάρχει ἐκεῖ τόσον μεγάλη συγγένεια, ἔτσι, λέγει, καὶ ἐδῶ. Τί σημαίνει τὸ «ἀπὸ τὴν σάρκα του»; Δηλαδή, γνησίως ἀπ' αὐτόν. Καὶ πῶς εἴμεθα ἔτσι μέλη τοῦ Χριστοῦ; Διότι χάριν αὐτοῦ ἔχομεν γεννηθῆ. Καὶ πῶς εἴμεθα ἀπὸ τὴν σάρκα του; Γνωρίζετε ὅσοι μετέχετε τῶν μυστηρίων; διότι ἀπὸ αὐτὸ ἀμέσως ἀναπλασσόμεθα. Καὶ πῶς; Πάλιν ἄκουσε τὸν μακάριον Παῦλον ποὺ λέγει· «Ἐπειδὴ λοιπὸν τὰ παιδιὰ τοῦ Θεοῦ ἔχουν συμμετάσχει εἰς ὅλα τῆς ἀνθρωπίνης φύσεως (σαρκὸς καὶ αἵματος), διὰ τοῦτο καὶ αὐτὸς μετέσχε τῆς αὐτῆς φύσεως»[24]. Ἀλλ' ἐδῶ αὐτὸς συμμετέσχε μαζί μας, ὄχι ἡμεῖς μὲ αὐτόν· πῶς λοιπὸν εἴμεθα ἀπὸ τὴν σάρκα αὐτοῦ καὶ ἀπὸ τὰ ὀστᾶ του; Μερικοὶ λέγουν τὸ αἷμα καὶ τὸ ὕδωρ, δὲν εἶναι ὅμως· ἀλλ' ἐκεῖνο ποὺ ἐπιθυμεῖ νὰ δηλώσῃ εἶναι αὐτό, ὅτι δηλαδὴ ὅπως ἀκριβῶς ἔχει γεννηθῆ ἐκεῖνος χωρὶς συνουσίαν ἀπὸ τὸ ἅγιον Πνεῦμα, ἔτσι καὶ ἡμεῖς γεννώμεθα μέσα εἰς τὸ λουτρὸν τοῦ βαπτίσματος. Πρόσεχε πόσα παραδείγματα χρησιμοποιεῖ, ὥστε νὰ γίνῃ πιστευτὴ ἐκείνη ἡ γέννησις. Πόση εἶναι ἡ ἀνοησία τῶν αἱρετικῶν! αὐτὸ ποὺ ἐγεννήθη ἤδη ἀπὸ τὸ ὕδωρ, ἐπειδὴ γεννᾶται, τὸ παραδέχονται ἀληθινὸν τέκνον· ὅτι ὅμως γινόμεθα σῶμα αὐτοῦ, δὲν τὸ δέχονται. Ἂν λοιπὸν δὲν γινώμεθα αὐτό, πῶς ἁρμόζει τὸ λεγόμενον «Ἀπὸ τὴν σάρκα του καὶ ἀπὸ τὰ ὀστᾶ του»; Πρόσεχε δέ· ὁ Ἀδὰμ ἐδημιουργήθη, ὁ Χριστὸς ἐγεννήθη· ἀπὸ τὴν πλευρὰν τοῦ Ἀδὰμ προῆλθεν ἡ φθορά, ἀπὸ τὴν πλευρὰν τοῦ Χριστοῦ ἐπήγασεν ἡ ζωή· μέσα εἰς τὸν παράδεισον ἐβλάστησεν ὁ θάνατος, ἐπάνω εἰς τὸν σταυρὸν ἔγινεν ἡ κατάργησις αὐτοῦ.

4. Ὅπως λοιπὸν ὁ Υἱὸς τοῦ Θεοῦ συμμετέσχε τῆς ἰδικῆς μας φύσεως, ἔτσι καὶ ἡμεῖς συμμετέχομεν τῆς οὐσίας αὐτοῦ· καὶ ὅπως ἐκεῖνος μᾶς ἔχει μέσα του, ἔτσι καὶ ἡμεῖς ἔχομεν αὐτὸν μέσα μας. «Ἕνεκα τούτου θὰ ἐγκαταλείψῃ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα καὶ θὰ προσκολληθῇ πρὸς τὴν γυναῖκα του καὶ θὰ εἶναι οἱ δύο

ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Ἰδοὺ καὶ τρίτον δικαίωμα· δείκνυσι γάρ, ὅτι τοὺς γεννησαμένους τις ἀφεὶς καὶ ἐξ ὧν ἔφυ, ἐκείνῃ συμπλέκεται· καὶ λοιπὸν ἡ σὰρξ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ ὁ παῖς ἐστιν ἐκ τῆς ἑκατέρου συνουσίας συγκραθεῖσα· καὶ γὰρ μιγέντων τῶν σπερμάτων, τίκτεται ὁ παῖς· ὥστε τοὺς τρεῖς εἶναι μίαν σάρκα. Οὕτως οὖν ἡμεῖς πρὸς τὸν Χριστὸν γινόμεθα μία σὰρξ διὰ μετουσίας· καὶ πολλῷ μᾶλλον ἡμεῖς, ἢ τὸ παιδίον. Τί δή ποτε; Ὅτι ἐξ ἀρχῆς οὕτω γέγονε. Μή μοι λέγε, ὅτι τοιάδε ἐστί, καὶ τοιάδε ἐστίν. Οὐχ ὁρᾷς, ὅτι καὶ ἐν τῇ σαρκὶ πολλὰ ἔχομεν ἐλαττώματα; Ὁ μὲν γάρ ἐστι χωλός, ὁ δὲ διεστραμμένους ἔχει τοὺς πόδας, ἕτερος χεῖρας ξηράς, ἄλλος ἄλλο τι μέλος ἀσθενές· καὶ ὅμως οὐκ ἀλγεῖ οὐδὲ ἐκκόπτει, ἀλλὰ καὶ προτίθησιν αὐτὸ πολλάκις τοῦ ἄλλου· εἰκότως· αὐτοῦ γάρ ἐστιν. Ὅσην τοίνυν ἕκαστος πρὸς ἑαυτὸν ἀγάπην ἔχει, τοσαύτην πρὸς τὴν γυναῖκα ἡμᾶς βούλεται ἔχειν· οὐχ ὅτι φύσεως μιᾶς κοινωνοῦμεν, ἀλλὰ πλέον τοῦτο ἡμῖν τὸ δικαίωμα τὸ πρὸς τὴν γυναῖκα, ἐπειδὴ οὐκέτι δύο εἰσὶ σώματα, ἀλλ' ἕν, ὁ μὲν κεφαλὴ ὤν, ἡ δὲ σῶμα.

Καὶ πῶς φησιν ἀλλαχοῦ, «Κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός;». Τοῦτο καὶ ἐγώ φημι, ὅτι ὥσπερ ἓν σῶμα ἡμεῖς, οὕτω καὶ ὁ Χριστὸς καὶ ὁ Πατὴρ ἕν. Εὑρίσκεται ἄρα καὶ ὁ Πατὴρ κεφαλὴ ἡμῶν ὤν. Δύο τίθησιν ὑποδείγματα, τὸ τοῦ σώματος, καὶ τὸ τοῦ Χριστοῦ· διὸ καὶ ἐπάγει· «Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν». Τί ἐστι τοῦτο; Μέγα μυστήριον αὐτό φησιν, ὅτι μέγα τι καὶ θαυμαστὸν ᾐνίξατο ὁ μακάριος Μωϋσῆς, μᾶλλον δὲ ὁ Θεὸς τέως μέντοι, «Εἰς Χριστόν», φησί, «λέγω», ὅτι καὶ αὐτὸς τὸν Πατέρα ἀφεὶς κατῆλθε, καὶ ἦλθε πρὸς τὴν νύμ-

---

25. Ἐφ. 5, 31.
26. Α΄ Κορ. 11, 3.
27. Ἐφ. 5, 32.

ἑνωμένοι εἰς ἕνα σῶμα»[25]. Ἰδοὺ καὶ τρίτον δικαίωμα˙ διότι δεικνύει ὅτι, ὁ ἄνδρας ἀφοῦ ἐγκαταλείψῃ τοὺς γονεῖς του ἀπὸ τοὺς ὁποίους καὶ ἐγεννήθη, συνδέεται μὲ τὴν γυναῖκα˙ καὶ εἰς τὸ ἑξῆς ἡ σάρξ, ὁ πατέρας καὶ ἡ μητέρα καὶ ὁ υἱός, εἶναι ἀναμεμειγμένη ἀπὸ τὴν συνουσίαν τοῦ καθενός, διότι ὅταν συνενωθοῦν τὰ σπέρματα γεννᾶται ὁ υἱός˙ ὥστε συμβαίνει νὰ ἀποτελοῦν οἱ τρεῖς σάρκα μίαν. Ἔτσι λοιπὸν διὰ τῆς μεθέξεως γινόμεθα ἡμεῖς πρὸς τὸν Χριστὸν σὰρξ μία˙ καὶ πολὺ περισσότερον ἡμεῖς, παρὰ τὸ παιδί. Διατί τέλος πάντων; Διότι ἀπὸ τὴν ἀρχὴν ἔτσι ἔχει γίνει. Μὴ μοῦ λέγεις, ὅτι τέτοια εἶναι καὶ τέτοια εἶναι. Δὲν βλέπεις, ὅτι καὶ εἰς τὴν σάρκα ἔχομεν πολλὰ ἐλαττώματα; Διότι ἄλλος μὲν εἶναι χωλός, ἄλλος δὲ ἔχει διεστραμμένα πόδια, ἄλλος ἀναίσθητα χέρια, καὶ ἄλλος κάποιο ἄλλο μέλος τοῦ σώματος ἔχει ἀσθενές˙ καὶ ὅμως δὲν λυπεῖται, οὔτε τὸ ἀποκόπτει, ἀλλὰ καὶ πολλὰς φορὰς προτάσσει αὐτὸ τοῦ ἄλλου μέλους. Καὶ πολὺ καλὰ κάνει, διότι εἶναι ἰδικόν του. Ὅσην λοιπὸν ἀγάπην ἔχει ὁ καθένας μας πρὸς τὸν ἑαυτόν του, τόσον μεγάλην θέλει νὰ ἔχωμεν πρὸς τὴν γυναῖκα μας. Ὄχι διότι μετέχομεν μιᾶς φύσεως, ἀλλὰ περισσότερον εἰς ἡμᾶς τοῦτο τὸ δικαίωμα, ποὺ ἔχομεν πρὸς τὴν γυναῖκα, ἐπειδὴ δὲν εἶναι πλέον δύο σώματα, ἀλλ' ἕνα, ὁ μὲν ἄνδρας κεφαλή, ἡ δὲ γυναῖκα σῶμα.

Καὶ πῶς λέγει εἰς ἄλλο σημεῖον, «Κεφαλὴ δὲ τοῦ Χριστοῦ εἶναι ὁ Θεός, ποὺ εἶναι Πατήρ του»[26]; Τοῦτο λέγω καὶ ἐγώ, ὅτι ὅπως ἀκριβῶς ἡμεῖς εἴμεθα ἕνα σῶμα, ἔτσι καὶ ὁ Χριστὸς καὶ ὁ Πατὴρ εἶναι ἕνα. Συνεπῶς καὶ ὁ Πατὴρ εἶναι κεφαλὴ ἡμῶν. Φέρει δύο παραδείγματα, τὸ τοῦ σώματος καὶ τὸ τοῦ Χριστοῦ. Διὰ τοῦτο καὶ προσθέτει˙ «Τὸ μυστήριον τοῦτο εἶναι μέγα. Λέγω δὲ τοῦτο ἀναφερόμενος εἰς τὸν Χριστὸν καὶ τὴν Ἐκκλησίαν»[27]. Τί σημαίνει αὐτό; Λέγει αὐτὸ μέγα μυστήριον, διότι κάτι τὸ μέγα καὶ θαυμαστὸν ὑπενόησεν ὁ μακάριος Μωυσῆς, μᾶλλον δὲ ὁ Θεός˙ μέχρι τότε ὅμως, λέγει, «Λέγω ἀναφερόμενος εἰς τὸν Χριστόν», διότι καὶ αὐτὸς ἀφοῦ ἄφησε τὸν Πατέρα, κατῆλθεν εἰς τὴν γῆν, ἦλθε πρὸς τὴν νύμφην καὶ ἔγινε πνεῦμα ἕνα,

φην, καὶ ἐγένετο εἰς πνεῦμα ἕν· «Ὁ κολλώμενος γὰρ τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι». Καὶ καλῶς εἶπε· «Μέγα μυστήριόν ἐστιν»· ὡς ἂν εἰ ἔλεγε· Πλὴν ἀλλ᾽ οὐχ ἡ ἀλληγορία ἀνατρέπει τὴν ἀγάπην. «Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα φοβεῖται τὸν ἄνδρα». Ὄντως γάρ, ὄντως μυστήριόν ἐστι, καὶ μέγα μυστήριον, ὅτι τὸν φύντα, τὸν γεννησάμενον, τὸν ἀναθρεψάμενον, τὴν ὠδινήσασαν, τὴν ταλαιπωρηθεῖσαν ἀφείς, τοὺς τὰ τοσαῦτα εὐεργετήσαντας, τοὺς ἐν συνηθείᾳ γενομένους, τῇ μηδὲ ὀφθείσῃ, μηδὲ κοινόν ὅτι ἐχούσῃ πρὸς αὐτὸν προσκολλᾶται, καὶ πάντων αὐτὴν προτιμᾷ. Μυστήριον ὄντως ἐστί. Καὶ οἱ γονεῖς τούτων γινομένων οὐκ ἄχθονται, ἀλλὰ μὴ γινομένων μᾶλλον· καὶ χρημάτων ἀναλισκομένων καὶ δαπάνης γινομένης ἥδονται.

Ὄντως μέγα μυστήριον, ἀπόρρητόν τινα σοφίαν ἔχον. Τοῦτο ἄνωθεν προφητεύων ἐδήλου Μωϋσῆς· τοῦτο καὶ νῦν ὁ Παῦλος βοᾷ λέγων· «Εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν». Πλὴν οὐ δι᾽ αὐτὸν εἴρηται μόνον οὕτως, ἀλλὰ καὶ διὰ τὴν γυναῖκα, ἵνα ὡς τὴν ἰδίαν σάρκα αὐτὴν θάλπῃ, ὡς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν. «Ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα». Οὐκέτι τὰ τῆς ἀγάπης τίθησι μόνον, ἀλλὰ τί; «Ἵνα φοβῆται τὸν ἄνδρα». Ἀρχὴ δευτέρα ἐστὶν ἡ γυνή. Μήτε οὖν αὕτη τὴν ἰσοτιμίαν ἀπαιτείτω· ὑπὸ γὰρ τὴν κεφαλήν ἐστι· μήτε ἐκεῖνος ὡς ὑποτεταγμένης καταφρονείτω· σῶμα γάρ ἐστι, κἂν καταφρονῇ τοῦ σώματος ἡ κεφαλή, καὶ αὐτὴ προσαπολεῖται· ἀλλ᾽ ἀντίρροπον τῆς ὑπακοῆς εἰσαγέτω τὴν ἀγάπην. Ὥσπερ ἡ κεφαλή, καὶ τὸ σῶμα· τὸ μὲν αὐτῇ πρὸς

28. Α᾽ Κορ. 6, 17.
29. Ἐφ. 5, 33.

«Διότι ἐκεῖνος πού προσκολλᾶται εἰς τὸν Κύριον, γίνεται ἕνα πνεῦμα μὲ αὐτόν»[28]. Καὶ καλῶς εἶπε «Μέγα μυστήριον εἶναι», ὡς ἐὰν ἔλεγεν· Ἀλλ' ὅμως ἡ ἀλληγορία δὲν ἀνατρέπει τὴν ἀγάπην. «Ἀλλὰ καὶ καθένας ἀπὸ σᾶς, ἂς ἀγαπᾷ τὴν γυναῖκα του ἔτσι ἀκριβῶς, ὅπως ἀγαπᾷ τὸν ἑαυτόν του. Ἡ δὲ γυναῖκα παραγγέλλω νὰ σέβεται καὶ νὰ τιμᾷ τὸν ἄνδρα της»[29]. Πράγματι βέβαια, πράγματι εἶναι μυστήριον, καὶ μάλιστα μέγα μυστήριον, διότι ἀφοῦ ἐγκαταλείψῃ ἐκεῖνον πού τὸν ἔσπειρεν, ἐκεῖνον πού τὸν ἐγέννησεν, ἐκεῖνον πού τὸν ἀνέθρεψεν, ἐκείνην πού ὑπέστη τοὺς πόνους τοῦ τοκετοῦ, ἐκείνην πού ἐταλαιπωρήθη καὶ ἐκείνους πού τὸν εὐηργέτησαν τόσον πολύ, ἐκείνους μὲ τοὺς ὁποίους ἀνέπτυξε φιλικὴν σχέσιν, προσκολλᾶται πρὸς ἐκείνην πού δὲν ἐγνώρισε καὶ ἡ ὁποία δὲν ἔχει κάτι τὸ κοινὸν μὲ αὐτόν, καὶ προτιμᾷ ἀπ' ὅλους αὐτήν. Πράγματι εἶναι μυστήριον. Καὶ οἱ γονεῖς ὅταν γίνωνται αὐτὰ δὲν δυσανασχετοῦν, ἀλλὰ μᾶλλον δυσανασχετοῦν ὅταν δὲν γίνωνται· καὶ ὅταν ἐξοδεύωνται χρήματα καὶ γίνεται κάποια δαπάνη, εὐχαριστοῦνται.

Πράγματι εἶναι μέγα μυστήριον καὶ ἔχει κάποιαν ἀπόρρητον σοφίαν. Τοῦτο ἐδήλωνεν ὁ Μωϋσῆς προφητεύων, ἐμπνεόμενος ἀπὸ τὸν Θεόν, τοῦτο καὶ ὁ Παῦλος τώρα φωνάζει, λέγων· «Ἀναφερόμενος εἰς τὸν Χριστὸν καὶ τὴν Ἐκκλησίαν». Ἀλλὰ δὲν ἔχει λεχθῇ ἔτσι μόνον δι' αὐτόν, ἀλλὰ καὶ διὰ τὴν γυναῖκα, διὰ νὰ περιθάλπῃ αὐτὴν ὡς τὸ ἰδικόν του σῶμα, καθὼς καὶ ὁ Χριστὸς περιθάλπει τὴν Ἐκκλησίαν. «Ἡ δὲ γυναῖκα παραγγέλλω νὰ σέβεται καὶ νὰ τιμᾷ τὸν ἄνδρα της». Δὲν παραγγέλλει μόνον τὰ σχετικὰ μὲ τὴν ἀγάπην, ἀλλὰ τί ἄλλο; «Διὰ νὰ σέβεται καὶ νὰ τιμᾷ τὸν ἄνδρα της». Ἡ γυναῖκα εἶναι ἡ δευτέρα ἀρχή. Ἂς μὴ ἀπαιτῇ λοιπὸν οὔτε αὐτὴν τὴν ἰσοτιμίαν, διότι εὑρίσκεται κάτω ἀπὸ κεφαλήν· οὔτε ἐκεῖνος νὰ μὴ τὴν περιφρονῇ ὡς ὑποτεταγμένην· διότι εἶναι σῶμα, καὶ ἂν ἡ κεφαλὴ περιφρονῇ τὸ σῶμα, καὶ αὐτὴ θὰ καταστραφῇ μαζί του· ἀλλ' ἂς προβάλλῃ τὴν ἀγάπην ὡς ἀντίρροπον τῆς ὑπακοῆς. Ὅπως ἀκριβῶς ἡ κεφαλή, ἔτσι καὶ τὸ σῶμα πρέπει νὰ συμπεριφέ-

διακονίαν παρέχον τὰς χεῖρας, τοὺς πόδας, τὰ λοιπὰ πάντα μέλη· ἐκείνη δὲ αὐτοῦ προνοουμένη, πᾶσαν ἐν ἑαυτῇ αἴσθησιν ἔχουσα. Οὐδὲν ταύτης ἄμεινον τῆς συζυγίας. Καὶ πῶς ἂν γένοιτο ἀγάπη, φησί, φόβου ὄντος; Μάλιστα τότε ἂν γένοιτο. Ἡ γὰρ φοβουμένη καὶ ἀγαπᾷ· ἡ ἀγαπῶσα φοβεῖται ὡς κεφαλήν, καὶ ἀγαπᾷ ὡς μέλος, ἐπεὶ καὶ ἡ κεφαλὴ μέλος τοῦ παντός ἐστι σώματος. Διὰ τοῦτο τὴν μὲν ὑπέταξε, τὸν δὲ ἐπέθηκεν, ἵνα εἰρήνη ᾖ. Ἔνθα γὰρ ἰσοτιμία, εἰρήνη οὐκ ἄν ποτε γένοιτο, οὐδὲ δημοκρατουμένης οἰκίας, οὐδὲ πάντων ἀρχόντων, ἀλλὰ ἀνάγκη μίαν εἶναι τὴν ἀρχήν. Καὶ ταῦτα πανταχοῦ ἐπὶ τῶν σωματικῶν· ἐπεὶ ἐὰν ὦσιν ἄνδρες πνευματικοί, ἔσται εἰρήνη. Πεντακισχίλιαι ἦσαν ψυχαί, καὶ οὐδείς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ὑπετάττοντο ἀλλήλοις. Τοῦτο δεῖγμα συνέσεως καὶ φόβου Θεοῦ. Τὸν μὲν οὖν τῆς ἀγάπης τρόπον ἔδειξε, τὸν δὲ τοῦ φόβου, οὐκέτι.

5. Καὶ ὅρα τὸν μὲν τῆς ἀγάπης πλατύνοντα, τὰ κατὰ Χριστὸν διηγούμενον, τὰ καὶ τὴν σάρκα τὴν ἰδίαν, τό, «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὴν μητέρα αὐτοῦ καὶ τὸν πατέρα»· τὰ δὲ τοῦ φόβου οὐκ ἔτι πλατύνει. Τί δήποτε; Ὅτι τοῦτο μᾶλλον βούλεται κρατεῖν, τὸ τῆς ἀγάπης. Ταύτης γὰρ οὔσης, πάντα ἕπεται τὰ ἄλλα· ἐκείνου δὲ ὄντος, οὐ πάντως. Ὁ μὲν γὰρ ἀγαπῶν τὴν γυναῖκα, κἂν μὴ σφόδρα ἔχῃ πειθηνίαν, πάντα ὅμως ὑποστήσεται· οὕτω δύσκολον καὶ χαλεπὸν ἡ ὁμόνοια, ὅταν μὴ τῇ τῆς τυραννίδος ἀγάπῃ ὦσι συνδεδεμένοι· ὁ μέντοι φόβος οὐ πάντως τοῦτο κατορθώσει. Διὰ τοῦτο ἐνδιατρίβει τούτῳ πλέον, ὅπερ ἐστὶν ἰσχυρόν.

ρεται. Τὸ μὲν σῶμα νὰ παρέχῃ πρὸς ὑπηρεσίαν εἰς αὐτὴν τὰ χέρια, τὰ πόδια καὶ ὅλα τὰ ὑπόλοιπα μέλη του· ἐκείνην δὲ νὰ φροντίζῃ τὸ σῶμα μὲ κάθε αἴσθησιν, ποὺ ἔχει. Τίποτε δὲν εἶναι καλύτερον ἀπὸ τὴν συζυγίαν αὐτήν. Καὶ πῶς θὰ ἠμπορέσῃ νὰ ὑπάρχῃ ἀγάπη, λέγει, ὅταν ὑπάρχῃ ὁ φόβος; Μάλιστα τότε θὰ εἶναι δυνατὸν νὰ ὑπάρξῃ. Διότι ἐκείνη ποὺ φοβεῖται, καὶ ἀγαπᾷ, ἐκείνη ποὺ ἀγαπᾷ, φοβεῖται ὡς κεφαλὴν καὶ ἀγαπᾷ ὡς μέλος, ἐπειδὴ καὶ ἡ κεφαλὴ εἶναι μέλος τοῦ ὅλους σώματος. Διὰ τοῦτο τὴν μὲν γυναῖκα ἔθεσεν ὑπὸ τὰς διαταγὰς τοῦ ἀνδρός, αὐτὸν δὲ ἔθεσεν ἐπὶ τῆς γυναικός, διὰ νὰ ὑπάρχῃ εἰρήνη. Διότι ὅπου ὑπάρχει ἰσοτιμία, δὲν θὰ γίνῃ ποτὲ εἰρήνη, οὔτε ὅταν διέπεται ἡ οἰκογένεια ὑπὸ δημοκρατικῶν ἀρχῶν, οὔτε ὅταν ὅλοι εἶναι ἀρχηγοί, ἀλλ' εἶναι ἀνάγκη νὰ ὑπάρχῃ μία ἐξουσία. Καὶ αὐτὰ συμβαίνουν παντοῦ εἰς τοὺς σωματικοὺς ἄνδρας· διότι ἐὰν εἶναι ἄνδρες πνευματικοί, θὰ ὑπάρχῃ εἰρήνη. Πέντε χιλιάδες ἦσαν ἄνθρωποι, καὶ κανεὶς δὲν ἔλεγεν, ὅτι κάποιο ἀπὸ τὰ ὑπάρχοντα εἶναι ἰδικόν του, ἀλλ' ὑπετάσσοντο ὁ ἕνας εἰς τὸν ἄλλον. Τοῦτο εἶναι ἀπόδειξις τῆς συνέσεως καὶ τοῦ φόβου τοῦ Θεοῦ. Τὸν μὲν λοιπὸν τρόπον τῆς ἀγάπης ἔδειξε, τὸν δὲ τρόπον τοῦ φόβου δὲν ἔδειξεν ἀκόμη.

5. Καὶ πρόσεχε· τὸν μὲν τρόπον τῆς ἀγάπης ἐπεκτείνει, διηγούμενος τὰ σχετικὰ μὲ τὸν Χριστόν, τὰ σχετικὰ μὲ τὴν ἰδικήν του σάρκα, τὸ «Ἕνεκα τούτου θὰ ἐγκαταλείψῃ ὁ ἄνθρωπος τὴν μητέρα του καὶ τὸν πατέρα», τὰ σχετικὰ δὲ μὲ τὸν φόβον δὲν τὰ ἐπεκτείνει ἀκόμη. Διατί λοιπόν; Διότι ἐπιθυμεῖ τοῦτο μᾶλλον νὰ ὑπερισχύῃ, τὸ ἀναφερόμενον εἰς τὴν ἀγάπην. Διότι ὅταν ὑπάρχῃ αὐτή, ὅλα τὰ ἄλλα ἕπονται· ὅταν ὅμως ὑπάρχῃ ὁ φόβος, δὲν ἕπονται ὁπωσδήποτε τὰ ἄλλα. Ἐκεῖνος ποὺ ἀγαπᾷ βέβαια τὴν γυναῖκα του, καὶ ἂν ἀκόμη δὲν τὴν ἔχῃ πολὺ πειθαρχικήν, τὰ πάντα ὅμως θὰ ὑποστῇ. Εἶναι τόσον δύσκολον καὶ δυσχερὲς πρᾶγμα ἡ ὁμόνοια, ὅταν δὲν εἶναι ἑνωμένοι οἱ σύζυγοι μὲ τὴν τυραννίδα τῆς ἀγάπης· ὁ φόβος ὅμως δὲν θὰ κατορθώσῃ αὐτὸ ἐντελῶς. Διὰ τοῦτο ἀσχολεῖται μὲ αὐτὸ περισσότερον, ποὺ

Καὶ δοκοῦσα πλεονεκτεῖσθαι ἡ γυνή, ὅτι φοβεῖσθαι προσετάγη, πλεονεκτεῖ· τὸ γὰρ κυριώτερον ὁ ἀνὴρ προστέτακται, τὸ ἀγαπᾶν. Τί οὖν, ἂν μὴ φοβῆται, φησίν, ἡ γυνή; Σὺ ἀγάπα, τὸ σαυτοῦ πλήρου. Καὶ γὰρ ἂν τὰ παρὰ τῶν ἄλλων μὴ ἕπηται, τὰ παρ' ἡμῶν ἕπεσθαι δεῖ. Οἷόν τι λέγω· «Ὑποτασσόμενοι», φησίν, «ἀλλήλοις ἐν φόβῳ Χριστοῦ». Τί οὖν, ἂν ὁ ἕτερος μὴ ὑποτάσσηται; Σὺ πείθου τῷ νόμῳ τοῦ Θεοῦ. Οὕτω δὴ καὶ ἐνταῦθα· ἡ γοῦν γυνὴ κἂν μὴ ἀγαπᾶται, ὅμως φοβείσθω, ἵνα μηδὲν ᾖ παρ' αὐτῇ γεγονός· ὅ τε ἀνήρ, ἂν μὴ φοβῆται ἡ γυνή, ὅμως ἀγαπάτω, ἵνα μηδὲν αὐτὸς ὑστερῇ· ἕκαστος γὰρ τὸ ἴδιον ἀπέλαβεν. Ἄρα γάμος ἐστὶν οὗτος γινόμενος κατὰ Χριστόν, γάμος πνευματικὸς καὶ γέννησις πνευματική, οὐκ ἐξ αἱμάτων, οὐκ ἐξ ὠδίνων. Τοιαύτη καὶ ἡ τοῦ Ἰσαάκ· ἄκουε τῆς Γραφῆς λεγούσης· «Καὶ ἐξέλιπε παραγίνεσθαι Σάρρα τὰ γυναικεῖα αὐτῆς». Καὶ ὁ γάμος οὐκ ἀπὸ πάθους οὐδὲ σωμάτων, ἀλλὰ πνευματικὸς ὅλος, ψυχῆς πρὸς Θεὸν συναπτομένης συνάφειαν ἄρρητον, καὶ μόνος οἶδεν αὐτός. Διὰ τοῦτό φησιν· «Ὁ καλλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστιν».

Ὅρα πῶς σπουδάζει καὶ τὴν σάρκα ἑνῶσαι τῇ σαρκί, καὶ τὸ πνεῦμα τῷ πνεύματι. Ποῦ οἱ αἱρετικοί; Οὐκ ἄν, εἰ τῶν διαβεβλημένων ὁ γάμος ἦν, νύμφην καὶ νυμφίον ἐκάλεσεν· οὐκ ἂν προτρέπων ἐκεῖνο παρήγαγε τό, «Καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα»· καὶ πάλιν ἐπήγαγεν, ὅτι «Εἰς τὸν Χριστὸν εἴρηται καὶ τὴν Ἐκκλησίαν». Περὶ γὰρ ταύτης καὶ ὁ Ψαλμῳδός φησιν· «Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «Ἐγὼ παρὰ

30. Ἐφ. 5, 21.
31. Γεν. 18, 11.
32. Α' Κορ. 6, 17.
33. Γεν. 2, 24.
34. Ψαλμ. 44, 11.

εἶναι ἰσχυρόν. Καὶ ἐνῷ φαίνεται, ὅτι ἡ γυναῖκα ὑπερτερεῖται ἀπὸ τὸν ἄνδρα, ἐπειδὴ διετάχθη νὰ φοβῆται, πραγματικὰ ὑπερτερεῖ, διότι ὁ ἄνδρας ἔχει διαταχθῆ τὸ κυριώτερον, δηλαδὴ τὸ νὰ ἀγαπᾷ. Τί λοιπὸν θὰ συμβῇ, θὰ εἰπῇ κάποιος, ἂν δὲν σέβεται ἡ γυναῖκα; Σὺ νὰ ἀγαπᾷς, νὰ τηρῇς τὰς ὑποσχέσεις σου. Καὶ ἂν βέβαια δὲν ἀκολουθοῦν ἐκεῖνα ποὺ πρέπει ἀπὸ τοὺς ἄλλους, πρέπει νὰ ἀκολουθοῦν τὰ ἰδικά μας. Δηλαδὴ αὐτὸ ποὺ λέγω· «Νὰ ὑποτάσσεσθε ὁ ἕνας εἰς τὸν ἄλλον», λέγει, «μὲ φόβον Χριστοῦ»[30]. Τί λοιπὸν θὰ συμβῇ, ἂν ὁ ἕνας δὲν ὑποτάσσεται εἰς τὸν ἄλλον; Σὺ ὑπάκουε εἰς τὸν νόμον τοῦ Θεοῦ. Ἔτσι βέβαια συμβαίνει καὶ ἐδῶ. Ἡ γυναῖκα λοιπόν, καὶ ἂν ἀκόμη δὲν ἀγαπᾶται, ὅμως νὰ φοβῆται, διὰ νὰ μὴ παραλείπῃ τίποτε· καὶ ὁ ἄνδρας, ἂν δὲν φοβῆται ἡ γυναῖκα, ὅμως ἂς ἀγαπᾷ, διὰ νὰ μὴ ὑστερῇ καθόλου αὐτός, διότι ὁ καθένας ἀπέλαβε τὸ ἴδιον. Ἑπομένως ὁ γάμος αὐτὸς εἶναι ποὺ γίνεται σύμφωνα μὲ τὰς παραγγελίας τοῦ Χριστοῦ, γάμος πνευματικὸς καὶ γέννησις πνευματική, ὄχι ἀπὸ αἵματα, οὔτε ἀπὸ ὠδῖνας. Τέτοια ἦταν καὶ ἡ γέννησις τοῦ Ἰσαάκ· ἄκουε τὴν ἁγίαν Γραφὴν ποὺ λέγει· «Καὶ τὰ ἔμμηνα τῆς Σάρας εἶχαν παύσει»[31]. Καὶ ὁ γάμος ὄχι ἀπὸ πάθος, οὔτε ἀπὸ ἕνωσιν τῶν σωμάτων, ἀλλὰ πνευματικὸς ὅλος, ὅταν ἡ ψυχὴ συνδέεται μὲ ἀνέκφραστον σχέσιν πρὸς τὸν Θεόν, καὶ μόνος αὐτὸς γνωρίζει. Διὰ τοῦτο λέγει· «Ἐκεῖνος ποὺ προσκολλᾶται εἰς τὸν Κύριον, γίνεται ἕνα πνεῦμα μὲ αὐτόν»[32].

Πρόσεχε πῶς προσπαθεῖ νὰ ἑνώσῃ καὶ τὴν σάρκα μὲ τὴν σάρκα, καὶ τὸ πνεῦμα μὲ τὸ πνεῦμα. Ποῦ εἶναι οἱ αἱρετικοί; Ἐὰν ὁ γάμος ἦτο γνώρισμα τῶν διαβεβλημένων, δὲν θὰ ἔλεγε νύμφην καὶ νυμφίον· καὶ προτρέπων δὲν θὰ ἀνέφερεν ἐκεῖνο τό· «Θὰ ἐγκαταλείψῃ ὁ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα»[33]. Καὶ πάλιν προσέθεσεν, ὅτι «Εἰς τὸν Χριστὸν ἀναφέρεται καὶ τὴν Ἐκκλησίαν». Διότι καὶ ὁ ψαλμωδὸς λέγει δι' αὐτήν· «Ἄκουσε, θυγατέρα, καὶ ἴδε καὶ πρόσεξε, καὶ λησμόνησε τὸν λαόν σου καὶ τὸν οἶκον τοῦ πατρός σου· καὶ θὰ ἐπιθυμήσῃ ὁ βασιλεὺς τὴν ὁμορφιάν σου»[34]. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «Ἐγὼ

τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω». Ἀλλ' ὅταν εἴπω, ὅτι τὸν Πατέρα κατέλιπε, μὴ τοιοῦτον νομίσῃς, οἷον ἐπ' ἀνθρώπων, τόπων μετάβασιν. Ὥσπερ γὰρ ἐκβῆναι λέγεται, οὐκ ἐπειδὴ ἐξῆλθεν, ἀλλὰ διὰ τὴν σάρκα, οὕτω καὶ τό, «Κατέλιπε τὸν Πατέρα». Διὰ τί οὖν μὴ καὶ περὶ τῆς γυναικὸς εἶπε, Προσκολληθήσεται πρὸς τὸν ἄνδρα αὐτῆς; Τί δήποτε; Ὅτι περὶ ἀγάπης διελέγετο, καὶ τῷ ἀνδρὶ διελέγετο. Ἐκείνῃ μὲν γὰρ περὶ φόβου διαλεγόμενος, φησίν· «Ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός»· καὶ πάλιν, ὅτι «Καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας»· περὶ δὲ ἀγάπης αὐτῷ διαλέγεται, καὶ αὐτῷ τὰ ταύτης ἐνεχείρισε, καὶ τὰ περὶ τῆς ἀγάπης πρὸς αὐτὸν ἐφθέγξατο, συσφίγγων αὐτὸν καὶ συγκολλῶν. Ὁ γὰρ τὸν πατέρα διὰ τὴν γυναῖκα ἀφείς, καὶ αὐτὴν δὲ ταύτην πάλιν ἀφεὶς καὶ καταλιμπάνων, ποίας ἂν εἴη ἄξιος συγγνώμης; Οὐχ ὁρᾷς πόσης αὐτὴν ἀπολαύειν βούλεται τιμῆς ὁ Θεός, ὅτι σε τοῦ πατρὸς ἀπαγαγών, ταύτῃ προσήλωσε;

Τί οὖν, ἂν τὰ παρ' ἡμῶν γένηται, φησίν, ἐκείνη δὲ μὴ ἀκολουθῇ; «Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω». Οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις. Ἀλλ' ὅταν ἀκούῃς φόβον, ἐλευθέρᾳ προσήκοντα φόβον ἀπαίτει, μὴ καθὼς περὶ δούλης· σῶμα γάρ ἐστι σόν· ἂν γὰρ τοῦτο ποιήσῃς, σαυτὸν καθυβρίζεις, τὸ σῶμα ἀτιμάζων τὸ σόν. Ποῖος δέ ἐστιν ὁ φόβος; Ὥστε μὴ ἀντιλέγειν, ὥστε μὴ ἐπανίστασθαι, ὥστε μὴ τῶν πρωτείων ἐρᾶν· ἀρκεῖ μέχρι τούτων ἑστάναι τὸν φόβον. Ἂν δὲ ἀγαπᾷς, ὡς ἐκελεύσθης, μείζονα ἐργάσῃ· μᾶλλον δὲ οὐκέτι φόβῳ τοῦτο ἐργάσῃ, ἀλλὰ καὶ αὐτὴ ἡ ἀγάπη ἐργάζεταί τι. Ἀσθενέστερόν πως τὸ γένος ἐστίν, πολλῆς δεόμενον τῆς βοηθείας, πολλῆς τῆς συγκαταβάσεως. Τί δὲ ἂν εἴποιεν οἱ δευτέροις συναπτόμενοι γάμοις;

35. Ἰω. 16, 28.
36. Α' Κορ. 7, 15.

ἐξῆλθον ἐκ τοῦ Πατρός μου καὶ ἦλθα εἰς τὸν κόσμον»[35]. Ὅταν ὅμως λέγω, ὅτι ἐγκατέλειψε τὸν Πατέρα, μὴ νομίσῃς ὅτι μετέβη εἰς τόπους παρομοίους, ὅπως εἰς τὴν περίπτωσιν τῶν ἀνθρώπων. Διότι ὅπως ἀκριβῶς λέγεται ὅτι ἐξῆλθεν, ὄχι ἐπειδὴ ἐξῆλθεν, ἀλλὰ διὰ τὴν κατὰ σάρκα ἐνανθρώπησίν του, ἔτσι λέγεται καὶ τό, «Ἐγκατέλειψε τὸν Πατέρα». Διατί λοιπὸν δὲν εἶπε καὶ διὰ τὴν γυναῖκα, «Θὰ προσκολληθῇ πρὸς τὸν ἄνδρα της»; Διατί τέλος πάντων; Διότι ὡμίλησε περὶ ἀγάπης, καὶ ἀνεφέρετο εἰς τὸν ἄνδρα. Εἰς ἐκείνην μέν, ὅταν ὁμιλῇ περὶ φόβου, λέγει˙ «Ὁ ἄνδρας εἶναι κεφαλὴ τῆς γυναικός»˙ καὶ πάλιν λέγει, ὅτι «Καὶ ὁ Χριστὸς εἶναι κεφαλὴ τῆς Ἐκκλησίας». Εἰς τὸν ἄνδρα ὅμως ὁμιλεῖ περὶ ἀγάπης, καὶ εἰς αὐτὸν ἀνέθεσε τὰ ἰδικά της, καὶ πρὸς αὐτὸν εἶπεν τὰ σχετικὰ μὲ τὴν ἀγάπην, συσφίγγων καὶ συνδέων αὐτὸν πρὸς τὴν γυναῖκα. Διότι ἐκεῖνος ποὺ ἀφήνει τὸν πατέρα του ἐξ αἰτίας τῆς γυναικός, ἀφήνει δὲ καὶ ἐγκαταλείπει πάλιν αὐτὴν τὴν ἰδίαν, ποίας συγγνώμης θὰ εἶναι ἄξιος; Δὲν βλέπεις πόσον μεγάλην τιμὴν θέλει ὁ Θεὸς νὰ ἀπολαμβάνῃ ἡ γυναῖκα, διότι ἀποχωρίζουν σὲ ἀπὸ τὸν πατέρα σου, σὲ προσήλωσε πρὸς αὐτήν;

Τί λοιπόν, λέγει, ἂν γίνουν ὅλα ἀπὸ ἡμᾶς, ἐκείνη ὅμως δὲν ἀκολουθεῖ; «Ἐὰν δὲ ὁ ἄπιστος σύζυγος ζητῇ χωρισμόν, ἂς χωρίζεται»[36]. Δὲν εἶναι εἰς αὐτὰ τὰ πράγματα δοῦλος ὁ χριστιανὸς οὔτε ἡ χριστιανή. Ἀλλ' ὅταν ἀκούῃς φόβον, νὰ ἀπαιτῇς φόβον ποὺ ἁρμόζει εἰς ἐλευθέραν γυναῖκα, ὄχι καθὼς ἀπαιτεῖς ἀπὸ δούλην, διότι εἶναι ἰδικόν σου σῶμα˙ ἂν βέβαια θὰ κάμῃς τοῦτο, ὑβρίζεις τὸν ἑαυτόν σου, διότι ἀτιμάζεις τὸ ἰδικόν σου σῶμα. Ποῖος δὲ εἶναι ὁ φόβος; Ὥστε νὰ μὴ ἀντιλέγῃ, νὰ μὴ ἐξεγείρεται, νὰ μὴ ἐπιθυμῇ τὰ πρωτεῖα˙ ἀρκεῖ μέχρις αὐτὰ νὰ φθάνῃ ὁ φόβος. Ἂν ὅμως ἀγαπᾷς ὅπως διετάχθης, θὰ κάνῃς μεγαλύτερα˙ μᾶλλον δὲ θὰ κάνῃς τοῦτο ὄχι πλέον ἀπὸ φόβον, ἀλλὰ καὶ ἡ ἴδια ἡ ἀγάπη θὰ τὸ κάνῃ αὐτό. Εἶναι κάπως ἀσθενέστερον τὸ γένος τῶν γυναικῶν, ἔχει ἀνάγκην ἀπὸ πολλὴν βοήθειαν, ἀπὸ πολλὴν συγκατάθεσιν. Τί ὅμως θὰ ἠμποροῦσαν νὰ εἰποῦν ἐκεῖνοι, ποὺ συνάπτουν δεύτερον γάμον; Δὲν

Οὐχὶ κατακρίνων λέγω, μὴ γένοιτο· καὶ γὰρ ὁ Ἀπόστολος συνεχώρησεν· ἀλλὰ καὶ σφόδρα συγκαταβαίνων· πάντα αὐτῇ πόριζε, πάντα ὑπὲρ ἐκείνης πρᾶττε, καὶ ταλαιπωροῦ· ἀνάγκη σοι ἐπίκειται. Ἐνταῦθα οὐκ ἀξιοῖ ἀπὸ τῶν ἔξωθεν παραδειγμάτων εἰσάγειν τὴν συμβουλήν, ὅπερ πολλαχοῦ ποιεῖ. Ἤρκει γὰρ μέγα καὶ σφοδρὸν ὂν τὸ τοῦ Χριστοῦ· μᾶλλον δὲ καὶ εἰς ὑποταγῆς λόγον. «Καταλείψει», φησί, «τὸν πατέρα καὶ τὴν μητέρα». Ἰδοὺ τοῦτο ἔξωθεν. Ἀλλ' οὐκ εἶπε, Καὶ συνοικήσει, ἀλλά, «Προσκολληθήσεται», τὴν ἀκριβῆ ἕνωσιν, τὴν μετὰ σφοδρότητος ἀγάπην δηλῶν. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τῇ ἐπαγωγῇ ἔδειξε τὴν ὑποταγὴν οὕτως, ὡς μηκέτι τοὺς δύο φαίνεσθαι δύο. Οὐκ εἶπεν, Εἰς πνεῦμα, οὐκ εἶπεν, Εἰς ψυχήν· ἐκεῖνο μὲν γὰρ δῆλον, καὶ παντὶ δυνατόν· ἀλλ' οὕτως, ὡς «εἰς σάρκα μίαν εἶναι».

6. Δευτέρα ἐστὶν ἀρχὴ αὕτη, ἀρχὴν ἔχουσα καὶ πολλὴν τὴν ὁμοτιμίαν· ἀλλ' ὅμως ἔχει τι πλέον ὁ ἀνήρ. Τοῦτο σωτηρία μεγίστη οἰκίας. Ἐκεῖνο μὲν γὰρ τὸ τοῦ Χριστοῦ παρέλαβεν, οὐκ εἰς τὸ δεῖν ἀγαπᾶν μόνον, ἀλλὰ καὶ ρυθμίζειν. «Ἵνα ᾖ», φησίν, «ἁγία καὶ ἄμωμος»· τὸ δέ, Τῆς σαρκός, εἰς τὸ ἀγαπᾶν, καὶ τό, «Προσκολληθήσεται», ὁμοίως εἰς τὸ ἀγαπᾶν. Ἂν γὰρ αὐτὴν κατασκευάσῃς ἁγίαν καὶ ἄμωμον, πάντα ἕπεται. Ζήτει τὰ τοῦ Θεοῦ, καὶ τὰ ἀνθρώπινα ἀκολούθει μετὰ πολλῆς τῆς εὐκολίας. Ρύθμιζε τὴν γυναῖκα, καὶ οὕτω συγκροτεῖται ἡ οἰκία. Ἄκουε τοῦ Παύλου λέγοντος· «Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν». Ἂν οὕτω τὰς οἰκίας διοικῶμεν τὰς ἑαυτῶν, καὶ πρὸς Ἐκκλησίας ἐπιστασίαν ἐσόμεθα ἐπιτήδειοι·

37. Α' Κορ. 14, 35.

λέγω μὲ πρόθεσιν νὰ κατακρίνω, μὴ γένοιτο. Διότι καὶ ὁ Ἀπόστολος ἐπέτρεψεν· ἀλλὰ καὶ νὰ γίνεσαι πάρα πολὺ συγκαταβατικός· ὅλα νὰ τῆς τὰ προμηθεύῃς, ὅλα νὰ τὰ κάνῃς πρὸς χάριν της, καὶ νὰ ὑποβάλλεσαι εἰς ταλαιπωρίας· ἡ ἀνάγκη σὲ πιέζει νὰ κάνῃς αὐτά. Εἰς τὴν περίπτωσιν αὐτὴν δὲν θεωρεῖ καλὸν νὰ συμβουλεύσῃ ἀπὸ τὰ ἐκτὸς τῆς Ἐκκλησίας παραδείγματα, πρᾶγμα ποὺ κάνει συχνά. Διότι ἦτο ἀρκετὸν τὸ παράδειγμα τοῦ Χριστοῦ, τὸ ὁποῖον ἦτο καὶ μέγα καὶ δυνατόν· μᾶλλον δὲ καὶ εἰς αἰτιολογίαν τῆς ὑποταγῆς. «Θὰ ἐγκαταλείψῃ», λέγει, «τὸν πατέρα καὶ τὴν μητέρα». Τοῦτο προέρχεται ἀπὸ τοὺς εἰδωλολάτρας. Ἀλλὰ δὲν εἶπε, «Καὶ θὰ συνοικήσῃ», ἀλλά, «Θὰ προσκολληθῇ πρὸς τὴν γυναῖκα του», δεικνύων τὴν ἀκριβῆ ἕνωσιν, τὴν ὑπερβολικὴν ἀγάπην. Καὶ δὲν ἠρκέσθη οὔτε εἰς αὐτό, ἀλλὰ καὶ μὲ ἐπαγωγὴν ἔδειξε τὴν ὑποταγὴν ἔτσι, ὥστε οἱ δύο σύζυγοι νὰ μὴ φαίνωνται πλέον δύο. Δὲν εἶπε, «Θὰ εἶναι οἱ δύο ἑνωμένοι εἰς ἕνα πνεῦμα», δὲν εἶπεν, «Εἰς μίαν ψυχήν», διότι ἐκεῖνο μὲν ἦτο φανερὸν καὶ ἐντελῶς δυνατόν· ἀλλ' εἶπεν τὰ ἑξῆς· «θὰ εἶναι ἠνωμένοι ὅπως εἰς ἕνα σῶμα».

6. Ἡ γυναῖκα εἶναι ἡ δευτέρα ἀρχὴ εἰς τὸ σπίτι, καὶ ἔχει ἐξουσίαν καὶ πολλὴν ἰσοτιμίαν· ἀλλ' ὁ ἄνδρας ὅμως ἔχει κάτι περισσότερον. Τοῦτο εἶναι ἡ μεγίστη σωτηρία τῆς οἰκογενείας. Ἐκεῖνο βέβαια τὸ παράδειγμα τοῦ Χριστοῦ παρέλαβεν, ὄχι διὰ νὰ δείξῃ ὅτι πρέπει νὰ ἀγαπᾷ μόνον, ἀλλὰ καὶ νὰ διευθύνῃ αὐτήν. «Διὰ νὰ εἶναι», λέγει, «ἁγία καὶ ἄμεμπτος», τὸ δὲ «Τῆς σαρκός του», ἀναφέρεται εἰς τὴν ἀγάπην, καὶ τὸ «Θὰ προσκολληθῇ», ὁμοίως εἰς τὴν ἀγάπην. Διότι ἂν καταστήσῃς αὐτὴν ἁγίαν καὶ ἄμεμπτον, ὅλα ἀκολουθοῦν. Νὰ ζητῇς τὰ τοῦ Θεοῦ, καὶ τὰ ἀνθρώπινα θὰ ἀκολουθήσουν πολὺ εὔκολα. Κατεύθυνε τὴν γυναῖκα, καὶ ἔτσι συγκροτεῖται τὸ σπίτι. Ἄκουε τὸν Παῦλον ποὺ λέγει· «Ἐὰν δὲ αἱ γυναῖκες θέλουν νὰ μάθουν κάτι, ἂς ἐρωτοῦν δι' αὐτὸ εἰς τὸ σπίτι τοὺς ἄνδρας των»[37]. Ἂν ἔτσι διοικοῦμεν τὰ ἰδικά μας σπίτια, θὰ εἴμεθα ἱκανοὶ καὶ διὰ τὴν διοίκησιν τῆς Ἐκκλησία, καθόσον καὶ τὸ σπίτι

καὶ ἡ οἰκία γὰρ Ἐκκλησία ἐστὶ μικρά. Οὕτως ἔνι ἄνδρας καὶ γυναῖκας γενομένους ἀγαθούς, πάντας ὑπερβαλέσθαι. Ἐννόησον τὸν Ἀβραάμ, τὴν Σάρραν, τὸν Ἰσαάκ, τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς· πῶς πᾶσα ἡ οἰκία συγκεκρότητο, πῶς ἅπασα εὐλαβείας ἔγεμεν. Ἐκείνη καὶ τὸ ἀποστολικὸν ἐπλήρου παράγγελμα, καὶ τὸν ἄνδρα ἐφοβεῖτο· ἄκουε γὰρ αὐτῆς λεγούσης· «Οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν, ὁ δὲ κύριός μου πρεσβύτερος»· κἀκεῖνος αὐτὴν οὕτως ἠγάπα, ὡς πάντα κελευούσῃ πείθεσθαι. Καὶ τὸ παιδίον ἐνάρετον ἦν, καὶ οἱ οἰκογενεῖς καὶ αὐτοὶ θαυμαστοί, οἵ γε καὶ κινδυνεῦσαι μετὰ τοῦ δεσπότου, οὐκ ὤκνησαν, οὐκ ἀνεβάλοντο, οὐδὲ τὴν αἰτίαν ἐζήτησαν· ἀλλ' εἷς αὐτῶν ὁ προεστηκὼς οὕτω θαυμαστὸς ἦν, ὡς καὶ γάμον ἐμπιστευθῆναι τοῦ μονογενοῦς παιδός, καὶ ἀποδημίαν ὑπερόριον. Καθάπερ γὰρ ἐπὶ στρατηγοῦ, ὅταν καὶ τὸ στρατιωτικὸν ᾖ συγκεκροτημένον, οὐδαμόθεν ὁ πολέμιος ἐπεισέρχεται, οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ἀνὴρ καὶ γυνὴ καὶ παιδία καὶ οἰκέται ὦσι τῶν αὐτῶν ἐπιμελούμενοι, πολλὴ τῆς οἰκίας ἡ ὁμόνοια· ἐπεί, ἐὰν μὴ οὕτως ᾖ, πολλάκις δι' ἑνὸς οἰκέτου φαύλου τὸ πᾶν ἀνατρέπεται καὶ καταλύεται, καὶ ὁ εἷς πολλάκις τὸ πᾶν ἠφάνισε καὶ διέφθειρε. Πολλὴν οὖν πρόνοιαν ποιώμεθα καὶ γυναικῶν καὶ παίδων καὶ δούλων, εἰδότες ὅτι τὴν ἀρχὴν ἡμῖν αὐτοῖς εὔκολον καταστήσομεν, καὶ ὅτι τὰς εὐθύνας ἡμέρους καὶ ἐπιεικεῖς ἕξομεν, καὶ ἐροῦμεν· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός». Ἐὰν ὁ ἀνὴρ θαυμαστός, καὶ ἡ κεφαλὴ καλή, καὶ τὸ λοιπὸν σῶμα οὐδεμίαν ὑποστήσεται βίαν.

Τὰ μὲν οὖν κατὰ τὴν γυναῖκα πῶς ἂν καλῶς διατεθείη καὶ τὸν ἄνδρα, ἀκριβῶς εἶπε, τὴν μὲν φοβεῖσθαι παραινέσας ὡς κεφαλήν, τὸν δὲ ἀγαπᾶν ὡς γυναῖκα. Πῶς δ' ἂν ταῦτα

38. Γεν. 18, 12.
39. Πρβλ. Γεν. κεφ. 24.
40. Ἡσ. 8, 18.

εἶναι μία μικρὰ Ἐκκλησία. Ἔτσι εἶναι δυνατὸν νὰ γίνουν ἀγαθοὶ ἄνδρες καὶ γυναῖκες, τοὺς πάντας νὰ ὑπερβάλουν. Θυμήσου τὸν Ἀβραάμ, τὴν Σάρραν, τὸν Ἰσαάκ, τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ δούλους· σκέψου πῶς ὅλη ἡ οἰκία ἦτο συγκροτημένη, πῶς ὁλόκληρη ἦτο γεμάτη ἀπὸ εὐλάβειαν. Ἡ Σάρρα ἐξεπλήρωνε καὶ τὸ ἀποστολικὸν παράγγελμα καὶ τὸν ἄνδρα της ἐφοβεῖτο· διότι ἄκουε αὐτὴν ποὺ λέγει· «Δὲν μοῦ ἔχει γίνει ἀκόμη μέχρι τώρα, καὶ ὁ σύζυγός μου εἶναι γέρων»[38]. Καὶ ὁ Ἀβραὰμ τόσον ἠγάπα αὐτήν, ὥστε ἐπείθετο ὅταν παρήγγελλε τὰ πάντα. Καὶ τὸ παιδὶ ἦτο ἐνάρετον, οἱ δοῦλοι καὶ αὐτοὶ ἦσαν ἄξιοι θαυμασμοῦ, ποὺ δὲν ἐδίστασαν βέβαια καὶ νὰ κινδυνεύσουν μαζὶ μὲ τὸν κύριόν των, δὲν ἀνέβαλαν νὰ πράξουν κάτι, οὔτε τὴν αἰτίαν ἐζήτησαν· ἀλλὰ ἕνας ἀπ' αὐτούς, ὁ προϊστάμενος, ἦτο τόσον θαυμαστός, ὥστε τοῦ ἐνεπιστεύθη καὶ τὸν γάμον τοῦ μονογενοῦς του υἱοῦ καὶ ἀποδημίαν ἔξω ἀπὸ τὰ σύνορα τῆς χώρας[39]. Διότι ὅπως εἰς τὴν περίπτωσιν τοῦ στρατηγοῦ, ὅταν καὶ τὸ στράτευμα εἶναι ἑνωμένον, ὁ ἐχθρὸς δὲν ἐπεισέρχεται ἀπὸ πουθενά, ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅταν ὁ ἄνδρας καὶ ἡ γυναῖκα καὶ τὰ παιδιὰ καὶ οἱ ὑπηρέται φροντίζουν μὲ τὸν ἴδιον τρόπον, ἡ ὁμόνοια τῆς οἰκίας εἶναι μεγάλη· διότι ἐὰν δὲν εἶναι ἔτσι, πολλάκις μὲ ἕνα κακὸν ὑπηρέτην ἀνατρέπεται καὶ καταστρέφεται τὸ πᾶν, καὶ πολλάκις ὁ ἕνας ἐξηφάνισε καὶ κατέστρεψε τελείως τὸ πᾶν. Ἂς φροντίζωμεν λοιπὸν πολὺ τὰς γυναῖκας καὶ τὰ παιδιὰ καὶ τοὺς δούλους, γνωρίζοντες ὅτι θὰ καταστήσωμεν τὴν ἐξουσίαν εὔκολον εἰς ἡμᾶς τοὺς ἰδίους καὶ ὅτι θὰ ἔχωμεν τιμωρίας μαλακὰς καὶ ἐπιεικεῖς, καὶ θὰ εἰποῦμεν· «Νὰ ἐγὼ καὶ τὰ παιδιά, ποὺ μοῦ ἔδωσεν ὁ Θεός»[40]. Ἐὰν ὁ ἄνδρας εἶναι θαυμαστὸς καὶ ἡ κεφαλὴ θὰ εἶναι καλή, καὶ τὸ ὑπόλοιπον σῶμα δὲν θὰ ὑποστῇ καμμίαν βίαν.

Ὅσον ἀφορᾷ λοιπὸν εἰς τὸ πῶς θὰ ἦτο δυνατὸν νὰ συμπεριφέρωνται καλῶς καὶ ἡ γυναῖκα καὶ ὁ ἄνδρας, τὰ ἀνέφερε μὲ ἀκρίβειαν ὁ Παῦλος, προτρέψας ἡ μὲν γυναῖκα νὰ φοβῆται καὶ νὰ σέβεται τὸν ἄνδρα της ὡς κεφαλήν, ὁ δὲ ἄνδρας νὰ τὴν ἀγαπᾷ ὡς γυναῖκα. Πῶς ὅμως, λέγει,

γένοιτο; φησίν· Ὅτι μὲν γὰρ δεῖ, ἔδειξε· τὸ δὲ πῶς, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ· ἂν χρημάτων καταφρονῶμεν, ἂν πρὸς ἓν ὁρῶμεν μόνον, ψυχῆς ἀρετήν, ἂν τὸν τοῦ Θεοῦ φόβον ἔχωμεν πρὸ ὀφθαλμῶν. Ὅπερ γὰρ ἐν τοῖς πρὸς τοὺς δούλους διαλεγόμενος ἔλεγεν, «Ὅ τι ἂν ποιήσῃ ἕκαστος ἀγαθὸν ἢ κακόν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου», τοῦτο καὶ ἐνταῦθα. Μὴ δι' ἐκείνην τοίνυν τοσοῦτον, ὅσον διὰ τὸν Χριστὸν αὐτὴν ἀγαπᾶν. Τοῦτο γοῦν καὶ ᾐνίξατο εἰπών· «Ὡς τῷ Κυρίῳ». — «Ὡς τῷ Κυρίῳ» τοίνυν πειθόμενος, καὶ δι' αὐτὸν πάντα ποιῶν, οὕτω πάντα πρᾶττε· τοῦτο ἱκανὸν ἐναγαγεῖν καὶ πεῖσαι, καὶ μὴ ἀφεῖναι ἐρεσχελίαν τινὰ καὶ διχόνοιαν εἶναι. Μηδεὶς ἔστω πιστὸς συκοφαντῶν ἐπὶ τῆς γυναικὸς τὸν ἄνδρα· ἀλλὰ μηδὲ ὁ ἀνὴρ ἁπλῶς πιστευέτω κατὰ τῆς γυναικός, μηδὲ ἡ γυνὴ περιεργαζέσθω εἰσόδους καὶ ἐξόδους ἁπλῶς· μηδὲ μὴν μηδὲ ὁ ἀνὴρ ἄξιον παρεχέτω ἑαυτόν τινος ὑποψίας. Τί γάρ, εἰπέ μοι, πᾶσαν τὴν ἡμέραν τοῖς φίλοις δίδως σαυτόν, τῇ δὲ γυναικὶ τὴν ἑσπέραν, καὶ οὐδὲ οὕτως αὐτὴν πληροφορεῖν, καὶ ἐκτὸς ὑποψίας ποιεῖν; Κἂν ἐγκαλῇ ἡ γυνή, μὴ δυσχέραινε· φιλίας ἐστίν, οὐκ ἀπονοίας· φιλίας ἐστὶ ζεούσης τὰ ἐγκλήματα καὶ διαθέσεως πεπυρωμένης καὶ φόβου. Δέδοικε γὰρ μή τις αὐτῆς ἔκλεψε τὴν εὐνήν, μή τις αὐτὴν περὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἐζημίωσε, μή τις αὐτῆς τὴν κεφαλὴν ἀφείλετο, μή τις διώρυξε τὴν εὐνήν. Ἔστι καὶ ἄλλη μικροψυχίας ὑπόθεσις· μηδεὶς πέρα τοῦ μέτρου τῶν οἰκετῶν ἀντιποιείσθω, μήτε τῆς κόρης ὁ ἀνήρ, μήτε τοῦ οἰκέτου ἡ γυνή· καὶ γὰρ ταῦτα ἱκανὰ τεκεῖν ὑποψίας.

41. Ἐφ. 6, 8.

θὰ ἠμποροῦσαν νὰ γίνουν αὐτά; Ὁ Παῦλος ἔδειξεν, ὅτι αὐτὰ μὲν πρέπει νὰ γίνουν, τὸ δὲ πῶς πρέπει νὰ γίνουν, ἐγὼ θὰ σᾶς εἰπῶ· ἂν περιφρονοῦμεν τὰ χρήματα, ἂν ἀποβλέπωμεν πρὸς ἕνα μόνον, δηλαδὴ πρὸς τὴν ἀρετὴν τῆς ψυχῆς, ἂν ἔχωμεν πρὸ ὀφθαλμῶν τὸν φόβον τοῦ Θεοῦ. Ἐκεῖνο λοιπὸν ποὺ ἔλεγεν, ὅταν ὡμιλοῦσε πρὸς τοὺς δούλους, «Ὅ,τιδήποτε καλὸν ἢ κακὸν ἂν κάμῃ κάθε ἄνθρωπος αὐτὸ θὰ πάρῃ ὡς ἀνταμοιβὴν ἀπὸ τὸν Κύριον»[41], αὐτὸ ἰσχύει καὶ ἐδῶ. Νὰ μὴ ἀγαπᾷ λοιπὸν κανεὶς τὴν γυναῖκα τόσον πολὺ πρὸς χάριν της, ὅσον πρὸς χάριν τοῦ Χριστοῦ. Τοῦτο βέβαια καὶ ὁ Παῦλος ὑπενόησεν εἰπών· «ὅπως εἰς τὸν Κύριον». Ὑπακούων λοιπὸν «ὅπως εἰς τὸν Κύριον», καὶ πρὸς χάριν αὐτοῦ ἐνεργῶν τὰ πάντα, ἔτσι νὰ κάμνῃς τὰ πάντα. Τοῦτο εἶναι ἀρκετὸν νὰ προτρέψῃ καὶ νὰ πείσῃ, καὶ νὰ μὴ ἐπιτρέψῃ νὰ ὑπάρχῃ κάποια φλυαρία καὶ διχόνοια. Κανεὶς πιστὸς νὰ μὴ συκοφαντῇ εἰς τὴν γυναῖκα τὸν ἄνδρα της· ἀλλ' οὔτε ὁ ἄνδρας νὰ πιστεύῃ εὔκολα τὰ λεγόμενα ἐναντίον τῆς γυναικός του, οὔτε ἡ γυναῖκα νὰ ἀσχολεῖται εὔκολα μὲ τὰς ὑποθέσεις τοῦ ἀνδρός, οὔτε βέβαια νὰ δίδῃ ἀφορμὴν δι' ὑποψίας. Πῶς λοιπόν, εἰπέ μου, διαθέτεις τὸν ἑαυτόν σου ὅλην τὴν ἡμέραν εἰς τοὺς φίλους, καὶ εἰς τὴν γυναῖκα σου τὴν ἑσπέραν, καὶ οὔτε ἔτσι ἠμπορεῖς νὰ πληροφορῇς αὐτὴν καὶ νὰ κάνῃς νὰ εἶναι ὑπεράνω κάθε ὑποψίας; Καὶ ἂν ἀκόμη σὲ κατηγορῇ ἡ γυναῖκα, νὰ μὴ δυσανασχετῇς· ἡ ἐνέργειά της αὐτὴ εἶναι δεῖγμα φιλίας, ὄχι ἀπογνώσεως· αἱ κατηγορίαι της εἶναι δεῖγμα θερμῆς φιλίας καὶ θερμῆς διαθέσεως καὶ φόβου. Διότι φοβεῖται μήπως κανεὶς ἔκλεψε τὴν συζυγικήν της κλίνην, μήπως κανεὶς ἐζημίωσεν αὐτὴν ὅσον ἀφορᾷ εἰς τὸ σπουδαιότερόν της ἀγαθόν, μήπως κανεὶς ἀφῄρεσε τὴν κεφαλήν της, μήπως κανεὶς ὑπενόμευσε τὴν κλίνην της. Ὑπάρχει καὶ ἄλλη ὑπόδειξις μικροψυχίας· κανεὶς ἂς μὴ ἐγείρῃ ὑπερβολικὰς ἀξιώσεις μικροψυχίας· κανεὶς ἂς μὴ ἐγείρῃ ὑπερβολικὰς ἀξιώσεις ἐπὶ τῶν δούλων, οὔτε ἐπὶ τῆς κόρης ὁ ἄνδρας, οὔτε ἐπὶ τοῦ ὑπηρέτου ἡ γυναῖκα· διότι αὐτὰ εἶναι ἀρκετὰ νὰ προκαλέσουν ὑποψίας.

Ἐννόησον γάρ μοι τοὺς δικαίους ἐκείνους· αὐτὴ ἡ Σάρρα ἐκέλευσε τῷ πατριάρχῃ λαβεῖν τὴν Ἄγαρ· αὐτὴ προσέταξεν, οὐδεὶς ἠνάγκασεν, οὐδὲ ἐπῆλθεν ὁ ἀνήρ· ἀλλὰ καίτοι μακρὸν χρόνον ἑλκύσας ἐν ἀπαιδίᾳ, εἵλετο μηδέποτε γενέσθαι πατήρ, ἢ τὴν γυναῖκα λυπῆσαι. Ἀλλ' ὅμως μετὰ ταῦτα πάντα, τί φησιν ἡ Σάρρα; «Κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ». Ἆρα εἴ τις ἦν τῶν ἄλλων, οὐκ ἂν εἰς ὀργὴν ἐκινήθη; οὐκ ἂν καὶ χεῖρας ἐξέτεινε, μονονουχὶ φάσκων· Τί λέγεις; οὐκ ἐβουλόμην ἐγὼ συγγενέσθαι τῇ γυναικί, σὺ τὸ πᾶν γέγονε, καὶ πάλιν ἐγκαλεῖς; Ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν ἐκεῖνος· ἀλλὰ τί; «Ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ, ὡς ἂν σοι ἀρεστὸν ᾖ». Τὴν κοινωνὸν τῆς εὐνῆς ἐξέδωκεν, ἵνα μὴ λυπήσῃ τὴν Σάρραν. Καίτοι γε οὐδὲν τούτου μεῖζον εἰς εὐνοίας λόγον ἐστίν. Εἰ γὰρ τὸ τραπέζης κοινωνῆσαι καὶ λῃσταῖς ὁμοψυχίαν ποιεῖ πρὸς τοὺς ἐναντίους (καὶ ὁ Ψαλμῳδός φησιν· «Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα»)· τὸ μίαν σάρκα γενέσθαι λοιπὸν (τοῦτο γάρ ἐστι κοινωνῆσαι τῆς εὐνῆς), πολλῷ μᾶλλον ἱκανὸν ἐπισπάσασθαι. Ἀλλ' οὐδὲν τούτων ἴσχυσε τὸν δίκαιον ἑλεῖν, ἀλλ' ἐξέδωκε τῇ γυναικί, δεικνὺς ὅτι οὐ παρὰ τὴν αὐτοῦ αἰτίαν τι γεγένηται· καὶ τὸ δὴ μεῖζον, κύουσαν ἐξέπεμψεν αὐτήν. Τίς οὐκ ἂν ἠλέησε κυήσασαν ἐξ αὐτοῦ παιδίον; Ἀλλ' οὐχ ὁ δίκαιος ἐπεκάμφθη· πάντων γὰρ τὴν ἀγάπην προὐτίθει τὴν πρὸς τὴν γυναῖκα.

7. Τοῦτον μιμώμεθα καὶ ἡμεῖς· μηδεὶς ὀνειδιζέτω πενίαν τῷ πλησίον, μηδεὶς χρημάτων ἐράτω, καὶ πάντα λέλυται. Μηδὲ λεγέτω γυνὴ πρὸς τὸν ἄνδρα· Ἄνανδρε καὶ δειλέ, ὄκνου γέμων καὶ νωθείας καὶ ὕπνου πολλοῦ, ὁ δεῖνα ταπει-

42. Γεν. 16, 5.
43. Γεν. 16, 6.
44. Ψαλμ. 54, 15.

Ἐνθυμήσου, σὲ παρακαλῶ, τοὺς δικαίους ἐκείνους˙ ἡ Σάρρα ἡ ἰδία παρεκάλεσε τὸν πατριάρχην νὰ λάβῃ ὡς γυναῖκα τὴν Ἄγαρ˙ αὐτὴ διέταξε, κανεὶς δὲν τὴν ἠνάγκασεν, οὔτε τὴν ἐπέπληξεν ὁ ἄνδρας της˙ ἀλλὰ ἂν καὶ ἔζησε πολλὰ χρόνια χωρὶς παιδιά, ἐδέχθη ποτὲ νὰ μὴ γίνῃ πατέρας, παρὰ νὰ λυπήσῃ τὴν γυναῖκα του. Ὕστερα ὅμως ἀπὸ ὅλα αὐτά, τί λέγει ἡ Σάρρα; «Εἴθε ὁ Θεὸς νὰ κρίνῃ μεταξὺ ἐμοῦ καὶ σοῦ»[42]. Ἆρά γε δὲν θὰ ὠργίζετο, ἐὰν ἦτο κάποιος ἄλλος; δὲν θὰ εἶχεν ἁπλώσει καὶ τὰ χέρια νὰ τὴν κτυπήσῃ, λέγων περίπου˙ Τί λέγεις; δὲν ἤθελα ἐγὼ νὰ συνέλθω εἰς σαρκικὴν μεῖξιν μὲ τὴν γυναῖκα, ἔχει γίνει ἡ ἰδική σου ἐπιθυμία, καὶ πάλιν κατηγορεῖς;΄. Ἐκεῖνος ὅμως δὲν εἶπε τίποτε τέτοιο˙ ἀλλὰ τί εἶπε; «Ἰδοὺ ἡ δούλη σου, εἶναι εἰς τὴν ἐξουσίαν σου˙ κάμε την ὅ,τι θέλεις»[43]. Παρέδωσε τὴν σύντροφον τῆς κλίνης του, διὰ νὰ μὴ λυπήσῃ τὴν Σάρραν. Καὶ ἀλήθεια τίποτε δὲν εἶναι μεγαλύτερον εἰς ἐκδήλωσιν συμπαθείας ἀπὸ τοῦτο. Ἐὰν βέβαια τὸ νὰ καθίσουν μαζὶ μὲ ἄλλους διὰ φαγητὸν ἐπιφέρει καὶ εἰς τοὺς ληστὰς ὁμοψυχίαν πρὸς τοὺς ἀντιπάλους των (καὶ ὁ ψαλμῳδὸς λέγει˙ «Ὁ ὁποῖος εἰς τὸ αὐτὸ μέρος μὲ ἐγλύκανες μὲ φαγητά»[44]˙ τὸ νὰ γίνουν εἰς τὸ ἑξῆς ἕνα σῶμα (διότι αὐτὸ σημαίνει τὸ νὰ γίνῃ σύντροφος τῆς κλίνης), εἶναι πολὺ περισσότερον ἱκανὸν νὰ ἐπιφέρῃ ὁμοψυχίαν. Τίποτε ὅμως ἀπ' αὐτὰ δὲν κατώρθωσε νὰ καταβάλῃ τὸν δίκαιον Ἀβραάμ, ἀλλὰ τὴν παρέδωσε εἰς τὴν γυναῖκα του, ἀποδεικνύων ὅτι δὲν ἔχει γίνει κάτι παρὰ τὴν αἰτίαν αὐτοῦ˙ καὶ τὸ σπουδαιότερον βέβαια, ἐνῷ ἦτο ἔγκυος, τὴν ἀπέπεμψε. Ποῖος θὰ ἦτο δυνατὸν νὰ μὴ εὐσπλαγχνισθῇ ἐκείνην, ποὺ ἀπὸ τὸν Ἀβραὰμ ἐκυοφόρησε παιδί; Ἀλλ' ὁ δίκαιος δὲν ἐσυγκινήθη, διότι πρὶν ἀπὸ ὅλα ἔθετε τὴν ἀγάπην πρὸς τὴν γυναῖκα του.

7. Ἂς μιμούμεθα καὶ ἡμεῖς τὸν Ἀβραάμ. Κανεὶς ἂς μὴ ὀνειδίζῃ τὴν πενίαν τοῦ πλησίον, κανεὶς ἂς μὴ ἐπιθυμῇ ὑπερβολικὰ τὰ χρήματα, καὶ τὰ πάντα ἔχουν λυθῆ. Οὔτε νὰ λέγῃ ἡ γυναῖκα πρὸς τὸν ἄνδρα της˙ ‛Ἄνανδρε καὶ δειλέ, εἶσαι πολὺ ἀπρόθυμος καὶ ὀκνηρὸς καὶ ἀγαπᾷς ὑπερ-

νὸς καὶ ἐκ ταπεινῶν, κινδύνους ἀράμενος καὶ ἀποδημίας στειλάμενος, πολλὴν τὴν οὐσίαν ἐποίησε, καὶ ἡ γυνὴ χρυσοφορεῖ, καὶ ἐπὶ ζεύγους λευκῶν ἡμιόνων πρόεισι, περιφέρεται πανταχοῦ, οἰκετῶν ἀγέλας ἔχει καὶ εὐνούχων ἑσμόν· σὺ δὲ κατέπτηχας, καὶ εἰκῇ ζῇς. Μὴ λεγέτω ταῦτα γυνή, καὶ τὰ τούτοις ὅμοια· σῶμα γάρ ἐστιν, οὐχ ἵνα διατάττῃ τῇ κεφαλῇ, ἀλλ' ἵνα πείθηται καὶ ὑπακούῃ. Πῶς οὖν οἴσει, φησί, τὴν πενίαν; πόθεν εὑρήσει παραμυθίαν; Ἐκλεγέσθω παρ' ἑαυτῇ τὰς πενεστέρας, ἀναλογιζέσθω πόσαι πάλιν εὐγενεῖς καὶ ἐξ εὐγενῶν κόραι οὐ μόνον ἐξ ἀνδρῶν οὐδὲν προσέλαβον, ἀλλὰ καὶ προσέδωκαν, καὶ τὰ αὐτῶν ἅπαντα ἀνάλωσαν· ἐννοείτω τοὺς ἐκ τοιούτων πλούτων κινδύνους, καὶ τὸν ἀπράγμονα ἀσπάσεται βίον. Καὶ ὅλως εἰ φιλοστόργως πρὸς τὸν ἄνδρα διακέοιτο, οὐδὲν τοιοῦτον ἐρεῖ, ἀλλ' αἱρήσεται πλησίον αὐτῆς ἔχειν αὐτὸν μηδὲν πορίζοντα, ἢ μυρία τάλαντα χρυσοῦ μετὰ μερίμνης καὶ φροντίδος τῆς ἐκ τῶν ἀποδημιῶν ταῖς γυναιξὶν ἐγγινομένης ἀεί.

Ἀλλὰ μηδὲ ὁ ἀνὴρ ταῦτα ἀκούων ὡς ἀρχὴν ἔχων, ἐπὶ ὕβρεις τρεπέσθω καὶ πληγάς, ἀλλὰ παραινείτω, νουθετείτω, ὡς ἀτελεστέραν λογισμοῖς ἐναπειθέτω, χεῖρας μηδέποτε ἐντεινέτω· πόρρω ἐλευθέρας ψυχῆς ταῦτα· ἀλλὰ μηδὲ ὕβρεις, μηδὲ ὀνείδη, μηδὲ λοιδορίας· ἀλλ' ὡς ἀνοητότερον διακειμένην ῥυθμιζέτω. Πόθεν δὲ τοῦτο ἔσται; Ἐὰν τὸν ἀληθῆ πλοῦτον μανθάνῃ, ἐὰν τὴν ἄνω φιλοσοφίαν, οὐδὲν ἐγκαλέσει τῶν τοιούτων. Διδασκέτω αὐτήν, ὅτι πενία κακὸν οὐδὲν διδασκέτω, μὴ δι' ὧν λέγει μόνον, ἀλλὰ καὶ δι' ὧν ποιεῖ· διδασκέτω δόξης καταφρονεῖν, καὶ οὐδὲν τοιοῦτον ἡ γυνὴ οὔτε ἐρεῖ οὔτε ἐπιθυμήσει. Καθάπερ ἄγαλμα δεχόμενος, οὐ-

βολικὰ τὸν ὕπνον, ὁ τάδε ἂν καὶ ταπεινὸς καὶ καταγόμενος ἀπὸ ταπεινοὺς γονεῖς, ἐκινδύνευσε καὶ ἐξενητεύθη, ἐδημιούργησε μεγάλην περιουσίαν καὶ ἡ γυναῖκα του φορεῖ χρυσᾶ κοσμήματα, καὶ κάθεται ἐπάνω εἰς ζεῦγος λευκῶν ἡμιόνων, περιφέρεται παντοῦ, ἔχει πολλοὺς ὑπηρέτας καὶ πλῆθος εὐνούχων˙ σὺ ὅμως ἔχεις χάσει τελείως τὸ ἠθικόν σου καὶ ζῇς χωρὶς σκοπόν'. Ἂς μὴ λέγῃ αὐτὰ ἡ γυναῖκα, καθὼς καὶ τὰ παρόμοια, διότι εἶναι σῶμα, ὄχι διὰ νὰ δίδῃ διαταγὰς εἰς τὴν κεφαλήν, ἀλλὰ διὰ νὰ πείθεται καὶ νὰ ὑπακούῃ. Πῶς λοιπόν, λέγει, θὰ ὑποφέρῃ τὴν πενίαν, ἀπὸ ποῦ θὰ εὕρῃ παρηγορίαν; Ἂς ξεχωρίζῃ τὰς πτωχοτέρας μόνη της, ἂς ἀναλογίζεται πόσαι πάλιν εὐγενεῖς κόραι καὶ ἀπὸ εὐγενεῖς γονεῖς καταγόμεναι, ὄχι μόνον δὲν ἔλαβαν τίποτε ἀπὸ τοὺς ἄνδρας των, ἀλλὰ ἐπὶ πλέον ἔδωσαν καὶ κατηνάλωσαν ὅλα τὰ ἰδικά των˙ ἂς ἐνθυμεῖται τοὺς κινδύνους ποὺ κροκαλοῦν αὐτοῦ τοῦ εἴδους τὰ πλούτη, καὶ θὰ ἀποδεχθῇ τὸν ἥσυχον τρόπον ζωῆς. Καὶ ἐν ὀλίγοις, ἐὰν θὰ συμπεριφέρεται μὲ ἀγάπην πρὸς τὸν ἄνδρα της, δὲν θὰ εἰπῇ τίποτε τέτοιο, ἀλλὰ θὰ προτιμήσῃ νὰ ἔχῃ αὐτὸν πλησίον της χωρὶς νὰ φέρῃ τίποτε εἰς αὐτὴν παρὰ μύρια τάλαντα χρυσοῦ μαζὶ μὲ τὴν μέριμναν καὶ φροντίδα εἰς τὰς γυναῖκας, ποὺ πάντοτε συμβαίνει εἰς τὰς ἀποδημίας.

Ἀλλ' οὔτε ὁ ἄνδρας, ἐπειδὴ ἔχει ἐξουσίαν, νὰ παρασύρεται εἰς ὕβρεις καὶ κτυπήματα, ἀλλὰ νὰ παραινῇ, νὰ συμβουλεύῃ, νὰ τὴν καταπείθῃ μὲ λόγια ὡς ἀτελεστέραν, χέρια ποτὲ νὰ μὴ ἁπλώνῃ διὰ νὰ τὴν κτυπήσῃ˙ αὐτὰ δὲν ἁρμόζουν εἰς ἐλευθέραν ψυχήν˙ ἀλλὰ νὰ μὴ χρησιμοποιῇ οὔτε ὕβρεις, οὔτε προσβολάς, οὔτε ἐπιπλήξεις, ἀλλὰ νὰ τὴν διευθύνῃ ὡς ἀνοητότερον διακειμένην. Πῶς ὅμως θὰ συμβῇ αὐτό; Ἐὰν μανθάνῃ τὸν ἀληθινὸν πλοῦτον, τὴν φιλοσοφίαν τῶν οὐρανῶν, δὲν θὰ τὴν κατηγορήσῃ καθόλου δι' αὐτά. Ἂς διδάσκῃ αὐτήν, ὅτι δὲν εἶναι κανένα κακὸν ἡ πενία˙ ἂς διδάσκῃ, ὄχι μόνον μὲ ἐκεῖνα ποὺ λέγει, ἀλλὰ καὶ μὲ ἐκεῖνα ποὺ πράττει˙ ἂς τὴν διδάσκῃ νὰ περιφρονῇ τὴν δόξαν, καὶ τίποτε τέτοιο δὲν θὰ ἀγαπήσῃ ἡ γυναῖκα, οὔτε θὰ ἐπιθυμήσῃ. Καὶ ὡσὰν νὰ δέχεται ἄγαλ-

τως ἀπὸ τῆς ἑσπέρας ἐκείνης ἧς ἂν αὐτὴν εἰς τὸν θάλαμον δέχηται, διδασκέτω σωφροσύνην, ἐπιείκειαν, ὅπως βιώσηται σεμνῶς, ἐκ προοιμίων εὐθέως καὶ ἐξ αὐτῶν τῶν προθύρων καταβάλλων τῶν χρημάτων τὸν ἔρωτα· καὶ φιλοσοφίαν παιδευέτω, καὶ παραινείτω ὅπως μὴ εἴη χρυσία κρεμάμενα ἐπὶ τῶν ὤτων καὶ κατὰ τῶν παρειῶν καὶ ἐπὶ τοῦ τραχήλου περικείμενα, μήτε κατακείμενα περὶ τὸν θάλαμον, μήτε ἱμάτια χρυσᾶ καὶ πολυτελῆ ἀποκείμενα· ἀλλ' ἔστω μὲν φαιδρὸς ὁ κόσμος, μὴ μὴν εἰς ὕβριν καὶ φαιδρότης ἐκπιπτέτω· ἀλλὰ ταῦτα ἀφεὶς τοῖς ἐπὶ τῆς σκηνῆς, αὐτὸς μετὰ πολλῆς τῆς κοσμιότητος καλλώπιζε τὸν οἶκον, σωφροσύνης πνέοντα μᾶλλον ἢ ἄλλης τινὸς εὐωδίας. Δύο γὰρ ἐκ τούτου ἔσται, καὶ τρία τὰ καλά· πρῶτον μέν, οὐκ ἀλγήσει ἡ νύμφη, λυθεισῶν τῶν παστάδων, καὶ ἀποπεμπομένων ἑκάστῳ καὶ τῶν ἱματίων καὶ τῶν χρυσίων καὶ τῶν σκευῶν τῶν ἀργυρῶν· δεύτερον, οὐ φροντίσει ὁ νυμφίος ὑπὲρ τῆς ἀπωλείας, καὶ τῆς φυλακῆς τῶν συμπορισθέντων. Τρίτον πάλιν πρὸς τούτοις, τὸ κεφάλαιον τῶν ἀγαθῶν, ἐξ αὐτῶν τούτων ἐνδείξεται τὴν αὐτοῦ γνώμην, ὅτι δὴ τούτων οὐδενὶ χαίρει, καὶ ὅτι καὶ τὰ λοιπὰ πάντα καταλύσει, καὶ μήτε ὀρχήματα, μήτε ἀσέμνους ᾠδὰς γενέσθαι συγχωρήσει ποτέ.

Καὶ οἶδα μὲν ὅτι δοκῶ καταγέλαστος εἶναι ἴσως τισί, τὰ τοιαῦτα νομοθετῶν· πλὴν ἀλλ' ἐὰν πεισθῆτέ μοι, τοῦ χρόνου προϊόντος, καὶ τῆς ἀπὸ τοῦ πράγματος ἀπολαύοντες ὠφελείας, τότε τὸ κέρδος εἴσεσθε· καὶ ὁ μὲν γέλως ῥυήσεται, καὶ καταγελάσεσθε τοῦ νῦν ἔθους, καὶ ὄψεσθε ὅτι ὄντως παίδων ἀνοήτων, καὶ ἀνδρῶν μεθυόντων ἐστὶ τὰ γενόμενα νῦν· ἃ δὲ παραινῶ, σωφροσύνης καὶ φιλοσοφίας, καὶ τῆς ἀνωτάτω πολιτείας ἐστί. Τί οὖν φημι δεῖν; Πάντα τὰ ᾄσματα τὰ αἰσχρά, τὰ σατανικά, τὰς ἀσέμνους ᾠδάς, τὰς συνδρο-

μα, ἔτσι ἀπὸ τὴν ἑσπέραν ἐκείνην, κατὰ τὴν ὁποίαν θὰ δέχεται αὐτὴν εἰς τὸ δωμάτιόν του, νὰ τὴν διδάσκῃ σωφροσύνην, ἐπιείκειαν, διὰ νὰ ζήσῃ μὲ σεμνότητα, ἀμέσως ἀπὸ τὴν ἀρχὴν καὶ ἀπ' αὐτὰ ἀκόμη τὰ πρόθυρα τῆς συζυγικῆς ζωῆς νὰ καταβάλλῃ τὴν σφοδρὰν ἀγάπην τῶν χρημάτων· καὶ νὰ τῆς διδάσκῃ τὴν εὐσέβειαν, καὶ νὰ συμβουλεύῃ αὐτὴν νὰ μὴ φορῇ χρυσᾶ κοσμήματα εἰς τὰ αὐτιά της καὶ εἰς τὰς παρειὰς καὶ γύρω ἀπὸ τὸν λαιμόν της, οὔτε νὰ εἶναι φυλαγμένα εἰς τόν θάλαμον, οὔτε νὰ ἔχῃ ἱμάτια χρυσᾶ καὶ πολυτελῆ· ἀλλὰ νὰ εἶναι μὲν λαμπερὰ τὰ κοσμήματά της, ὅμως νὰ μὴ προκαλοῦν προσβολήν· ἀλλ' ἀφοῦ ἀφήσῃς αὐτὰ εἰς τοὺς ἠθοποιούς, στόλιζε τὸ σπίτι μὲ πολλὴν κοσμιότητα, διὰ νὰ ἀναδίδῃ σωφροσύνην μᾶλλον, παρὰ κάποιαν ἄλλην εὐωδίαν. Διότι ἀπ' αὐτὰ θὰ εἶναι δύο καὶ τρία τὰ καλά· πρῶτον μέν, δὲν θὰ θλίβεται ἡ νύμφη, ὅταν καταστραφοῦν τὰ δωμάτια καὶ ἀποστέλλονται εἰς τὸν καθένα καὶ τὰ ἱμάτια καὶ τὰ χρυσᾶ κοσμήματα καὶ τὰ ἀργυρᾶ σκεύη· δεύτερον, δὲν θὰ φροντίσῃ ὁ νυμφίος διὰ τὴν ἀπώλειαν αὐτῶν, καὶ διὰ τὴν ἀσφάλειαν ἐκείνων, ποὺ ἐπρομηθεύθη. Τὸ τρίτον ἐπὶ πλέον καλόν, ποὺ εἶναι καὶ τὸ σπουδαιότερον, θὰ ἀποδείξῃ ἀπ' αὐτὰ τὰ ἴδια τὴν γνώμην του, ὅτι βέβαια δὲν χαίρει μὲ κανένα ἀπ' αὐτά, καὶ ὅτι καὶ ὅλα τὰ ὑπόλοιπα θὰ καταργήσῃ, καὶ δὲν θὰ ἐπιτρέψῃ ποτὲ νὰ γίνουν οὔτε χοροί, οὔτε ἄσεμνα τραγούδια.

Καὶ γνωρίζω μὲν ὅτι ἴσως φαίνομαι εἰς μερικοὺς καταγέλαστος, συμβουλεύων αὐτά, ἀλλ' ὅμως ἐὰν μὲ ὑπακούσετε, καθὼς θὰ περνᾷ ὁ καιρὸς καὶ ἀπολαμβάνοντες τὴν ὠφέλειαν ἀπ' αὐτὸ τὸ πρᾶγμα, τότε θὰ γνωρίσετε τὸ κέρδος. Καὶ τὸ μὲν γέλιο θὰ διαλυθῇ, καὶ θὰ περιγελάσετε τὴν τωρινὴν συνήθειαν, καὶ θὰ ἀντιληφθῆτε ὅτι πράγματι αὐτὰ ποὺ γίνονται τώρα εἶναι χαρακτηριστικὰ τῶν ἀνοήτων παιδιῶν καὶ μεθυσμένων ἀνδρῶν· αὐτὰ δὲ ποὺ συμβουλεύω εἶναι δεῖγμα σωφροσύνης καὶ σκέψεως καὶ τῆς ἐκ τῶν ἄνω προερχομένης ζωῆς. Τί λοιπὸν λέγω, ὅτι πρέπει νὰ γίνῃ; Ἀπομάκρυνε ἀπὸ τὸν γάμον ὅλα τὰ αἰσχρὰ ἄσματα, τὰ σατανικά, τὰ ἄσεμνα τραγούδια, τὴν συνερ-

μὰς τῶν ἀκολάστων νέων περίελε τοῦ γάμου, καὶ ταῦτα τὴν νύμφην σωφρονίσαι δυνήσεται. Εὐθέως γὰρ παρ' ἑαυτῇ λογιεῖται. Βαβαί! ποῖος οὗτος ὁ ἀνήρ; φιλόσοφός ἐστιν, οὐδὲν τὸν παρόντα ἡγεῖται βίον, ἐπὶ παιδοποιΐαν καὶ παιδοτροφίαν με ἤγαγεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, ἐπὶ οἰκουρίαν. Ἀλλ' ἀηδῆ ταῦτα τῇ νύμφῃ; Μέχρι τῆς πρώτης ἡμέρας, καὶ τῆς δευτέρας· λοιπὸν δὲ οὐκ, ἀλλὰ καὶ μεγίστην καρπώσεται τὴν ἡδονήν, πάσης ἑαυτὴν ὑποψίας ἀπαλλάττουσα. Ὁ γὰρ μήτε αὐλῶν μήτε ὀρχουμένων μήτε ᾀσμάτων κεκλασμένων ἀνασχόμενος, καὶ ταῦτα παρὰ τὸν τοῦ γάμου καιρόν, σχολῇ γ' ἂν οὗτος ἀνέξεταί ποτε πρᾶξαι ἢ εἰπεῖν τι αἰσχρόν. Μετὰ δὲ τοῦτο, ὅταν πάντα περιέλῃς ταῦτα τοῦ γάμου, παραλαβὼν αὐτήν, πλάττε καλῶς, τὸ μὲν αἰσχυντηλὸν ἐπὶ πολὺ τοῦ χρόνου ἐξάγων, καὶ μὴ διαλύων ταχέως. Κἂν γὰρ ἀναισχυντοτέρα ᾖ ἡ κόρη, μέχρι καιροῦ σιγᾶν οἶδεν, αἰδουμένη τὸν ἄνδρα, καὶ ξενιζομένη πρὸς τὰ πράγματα. Σὺ τοίνυν τοῦτο τὸ αἰσχυντηλὸν μὴ διαλύσῃς ταχέως, ὅπερ οἱ ἀκόλαστοι ποιοῦσι τῶν ἀνδρῶν, ἀλλ' ἐπεξάγαγε ἐπὶ πολὺν χρόνον· μέγα γάρ σοι τοῦτο ἔσται κέρδος. Οὐκ ἐγκαλέσει τέως, οὐ μέμψεται ἐφ' οἷς διατυπώσῃς.

8. Πάντα τοίνυν κατ' ἐκεῖνον νομοθέτει τὸν χρόνον, καθ' ὃν ἡ αἰσχύνη, καθάπερ τις χαλινὸς ἐπικείμενος τῇ ψυχῇ, οὐκ ἀφίησιν οὐδὲν μέμφεσθαι, οὐδὲ ἐγκαλεῖν τοῖς γινομένοις. Ὅταν γὰρ παρρησίας ἐπιλάβηται, μετὰ πολλῆς τῆς ἀδείας πάντα ἀνατρέπει καὶ συγχεῖ. Πότε τοίνυν ἐστὶν ἕτερος οὕτω καιρὸς ἐπιτήδειος πρὸς τὸ πλάττειν γυναῖκα, ὡς ἐκεῖνος, καθ' ὃν αἰδεῖται τὸν ἄνδρα, καὶ δέδοικεν ἔτι καὶ δυσωπεῖται; Τότε αὐτῇ τίθει τοὺς νόμους ἅπαντας, καὶ πάντως πεισθήσεται, καὶ ἑκοῦσα καὶ ἄκουσα. Πῶς δὲ τὴν αἰσχύνην

γασίαν τῶν ἀκολάστων νέων, καὶ αὐτὰ θὰ κατορθώσουν νὰ σωφρονίσουν τὴν νύμφην. Διότι ἀμέσως θὰ σκεφθῇ μόνη της. 'Πώ, πώ! ποῖος εἶναι ὁ ἄνδρας αὐτός; εἶναι φιλόσοφος, καθόλου δὲν ὑπολογίζει τὴν παροῦσαν ζωήν, μὲ ὡδήγησεν εἰς τὸ σπίτι του διὰ νὰ γεννήσω καὶ νὰ ἀναθρέψω παιδιά, διὰ νὰ φροντίζω τὸ σπίτι'. 'Αλλ' εἶναι ἀηδιαστικὰ αὐτά εἰς τὴν νύμφην; Ναί, μέχρι τὴν πρώτην ἡμέραν καὶ τὴν δευτέραν· εἰς τὸ ἑξῆς ὅμως δὲν θὰ εἶναι, ἀλλὰ θὰ ἀπολαμβάνῃ καὶ τὴν μεγίστην ἡδονήν, ἀπαλλάσσουσα τὸν ἑαυτόν της ἀπὸ κάθε ὑποψίαν. Διότι ὁ ἄνδρας ποὺ δὲν ἠνέχθη οὔτε αὐλούς, οὔτε χορευτάς, οὔτε θηλυπρεπῆ τραγούδια, καὶ αὐτὰ παρὰ τὴν εὐκαιρίαν τοῦ γάμου, μόλις καὶ μετὰ βίας βέβαια θὰ ἀνεχθῇ νὰ πράξῃ κάποτε ἢ νὰ εἰπῇ κάτι αἰσχρόν. Μετὰ ἀπὸ αὐτό, ὅταν ἀπομακρύνῃς ὅλα αὐτὰ τοῦ γάμου, ἀφοῦ παραλάβῃς αὐτήν, νὰ τὴν διαπαιδαγωγῇς καλῶς, ἐκβάλλων τὴν σεμνότητα ἐπὶ πολὺν χρόνον καὶ μὴ διαλύων αὐτὴν ἀμέσως. Καὶ ἂν βέβαια ἡ κόρη εἶναι περισσότερον ἀναίσχυντος, γνωρίζει νὰ σιωπᾷ ὅσον εἶναι καιρός, σεβομένη τὸν ἄνδρα της καὶ ἐκπλησσομένη πρὸς τὰ πράγματα. Σὺ ὅμως μὴ διαλύσῃς ἀμέσως αὐτὴν τὴν σεμνότητα, πρᾶγμα ποὺ κάνουν οἱ ἀκόλαστοι ἄνδρες, ἀλλὰ νὰ τὴν ἐκβάλῃς ἐπὶ πολὺν χρόνον, διότι θὰ εἶναι εἰς σὲ μέγα τοῦτο τὸ κέρδος. Δὲν θὰ σὲ κατηγορήσῃ κατὰ πρῶτον, οὔτε θὰ σὲ κατακρίνῃ δι' ἐκεῖνα ποὺ θὰ διατυπώσῃς.

8. Τὰ πάντα νὰ νομοθετῇς λοιπὸν κατὰ τὸν χρόνον ἐκεῖνον, κατὰ τὸν ὁποῖον ἡ ἐντροπή, ὡσὰν κάποιος χαλινός, νὰ εἶναι τοποθετημένος ἐπὶ τῆς ψυχῆς, καὶ δὲν θὰ ἐπιτρέπῃ εἰς τὴν γυναῖκα νὰ ψέγῃ τίποτε, οὔτε νὰ κατηγορῇ δι' αὐτὰ ποὺ γίνονται. Διότι ὅταν ὁμιλῇ μὲ ἀθυροστομίαν, μὲ πολλὴν ἀφοβίαν φέρει τὰ πάντα ἄνω - κάτω καὶ τὰ διαταράσσει. Πότε λοιπὸν ὑπάρχει ἄλλος χρόνος τόσον κατάλληλος διὰ νὰ διαπλάσσῃς τὴν γυναῖκα, ὅπως ἐκεῖνος κατὰ τὸν ὁποῖον σέβεται τὸν ἄνδρα της καὶ ἀκόμη φοβεῖται καὶ ἐντρέπεται αὐτόν; Τότε νὰ θέτῃς εἰς αὐτὴν ὅλους τοὺς νόμους, καὶ ὁπωσδήποτε θὰ σὲ ὑπακούσῃ, καὶ ἑκουσίως καὶ ἀκουσίως. Πῶς ὅμως δὲν θὰ καταργήσῃς τὴν ἐντρο-

οὐ λύσεις; Ὅταν φαίνῃ καὶ αὐτὸς οὐδὲν ἧττον ἐκείνης αἰσχυνόμενος, ὀλίγα μὲν προσδιαλεγόμενος, καὶ αὐτὰ δὲ μετὰ πολλῆς τῆς ἐμβριθείας καὶ τῆς συστροφῆς· τότε αὐτῇ τοὺς περὶ φιλοσοφίας κατάθες λόγους· δέχεται γὰρ ἡ ψυχή· εἰς τὴν καλλίστην ἕξιν αὐτὴν κατάστησον, τὴν αἰσχύνην λέγω. Εἰ δὲ βούλεσθε, καὶ ὑποδείγματος ἕνεκεν ἐρῶ, τίνα πρὸς αὐτὴν διαλέγεσθαι χρή. Εἰ γὰρ Παῦλος οὐ παρῃτήσατο εἰπεῖν, «Μὴ ἀποστερεῖτε ἀλλήλους», καὶ νυμφευτρίας ἐφθέγξατο ῥήματα, μᾶλλον δὲ οὐ νυμφευτρίας, ἀλλὰ πνευματικῆς ψυχῆς, πολλῷ μᾶλλον ἡμεῖς οὐ παραιτησόμεθα εἰπεῖν.

Τί τοίνυν αὐτῇ διαλέγεσθαι χρή; Μετὰ πολλῆς μέντοι χάριτος λέγειν πρὸς αὐτήν· Ἡμεῖς, ὦ παιδίον, τοῦ βίου σε κοινωνὸν ἐλάβομεν καὶ εἰσηγάγομεν ἐν τοῖς τιμιωτέροις καὶ ἀναγκαιοτέροις ἡμῖν κοινωνήσουσαν, ἐν παιδοποιΐᾳ, καὶ οἰκίας προστασίᾳ. Τί οὖν δή σε παρακαλοῦμεν; Μᾶλλον δὲ πρὸ τούτου τὰ τῆς ἀγάπης διαλέγου· οὐδὲν γὰρ οὕτω συμβάλλεται πρὸς τὸ πεῖσαι τὸν ἀκούοντα δέξασθαι τὰ λεγόμενα, ὡς τὸ μαθεῖν, ὅτι μετὰ πολλῆς τῆς ἀγάπης λέγεται. Πῶς οὖν δείξεις τὴν ἀγάπην; Ἂν εἴπῃς, πολλὰς ἐνόν λαβεῖν, καὶ εὐπορωτέρας καὶ γένους λαμπροῦ, οὐχ εἱλόμην, ἀλλὰ σοῦ καὶ τῆς σῆς ἠράσθην ἀναστροφῆς τῆς κοσμιότητος, τῆς ἐπιεικείας, τῆς σωφροσύνης. Εἶτα ἀπὸ τούτων εὐθὺς παρασκεύασον ὁδὸν τῶν λόγων τῶν περὶ φιλοσοφίας, καὶ κατηγόρει τοῦ πλούτου μετά τινος περιόδου. Ἁπλῶς μὲν γὰρ ἐὰν κατατείνῃς λόγον κατὰ πλούτου, φορτικὸς ἔσῃ· ἂν δὲ ὑποθέσεως λαβόμενος, πάντα ἀνύσεις. Δόξεις γὰρ ἐν τάξει ἀπολογίας τὸ πρᾶγμα ποιεῖν, οὐχ ὡς αὐστηρός τις καὶ ἄχαρις καὶ μικρολόγος, ἀλλ' ὅταν ἐκ τῶν αὐτῆς τὴν ὑπόθεσιν λάβῃς, καὶ ἡσθήσεται. Ἐρεῖς οὖν (πάλιν γὰρ τὸν λόγον ἀναλαβεῖν ἀναγκαῖον), ὅτι παρὸν πλουσίαν γῆμαι καὶ εὐ-

---

45. Α' Κορ. 7,5.

πήν; Όταν φαίνεσαι νὰ ἐντρέπεσαι καὶ σὺ ὁ ἴδιος καθόλου ὀλιγώτερον ἀπ' ἐκείνην, συζητῶν μὲν ὀλίγα καὶ αὐτὰ δὲ μὲ πολλὴν σοβαρότητα καὶ συντομίαν. Τότε νὰ παρουσιάσῃς εἰς αὐτὴν τοὺς λόγους περὶ εὐσεβείας, διότι δέχεται ἡ ψυχή. Νὰ φέρῃς αὐτὴν εἰς τὴν πλέον καλυτέραν διάθεσιν, τὴν ἐντροπὴν ἐννοῶ. Ἐὰν δὲ θέλετε, καὶ χάριν παραδείγματος θὰ εἰπῶ, τί πρέπει νὰ λέγετε πρὸς αὐτήν. Διότι ἐὰν ὁ Παῦλος δὲν ἀπέφυγε νὰ εἰπῇ· «Ἂς μὴ ἀποστερῇ ὁ ἕνας τὸν ἄλλον μὲ ἀποχὴν καὶ ἐγκράτειαν»[45], καὶ ὡμίλησε λόγια νύμφης, μᾶλλον δὲ ὄχι νύμφης, ἀλλὰ πνευματικῆς ψυχῆς, πολὺ δὲ περισσότερον δὲν θὰ ἀποφύγωμεν ἡμεῖς νὰ εἰποῦμεν.

Τί λοιπὸν πρέπει νὰ λέγωμεν πρὸς αὐτήν; Μὲ πολλὴν λοιπὸν χάριν νὰ λέγωμεν πρὸς αὐτήν: Ἡμεῖς, κόρη, σὲ ἐλάβαμεν σύντροφον τῆς ζωῆς καὶ σὲ ὡδηγήσαμεν νὰ συμμετάσχῃς εἰς τὰ τιμιώτερα καὶ ἀναγκαιότερα ἀγαθά, δηλαδὴ εἰς τὴν τεκνοποιΐαν καὶ ἐπιστασίαν τῆς οἰκίας. Τί λοιπὸν σὲ προτρέπομεν; Εἶναι καλύτερον νὰ λέγῃς πρὶν ἀπ' αὐτὸ τὰ λόγια τῆς ἀγάπης· διότι τίποτε δὲν συμβάλλει τόσον ὥστε νὰ πείσῃς τὸν ἀκούοντα νὰ δεχθῇ τὰ λεγόμενά σου, ὅσον τὸ νὰ μάθῃ, ὅτι αὐτὰ λέγονται μὲ πολλὴν ἀγάπην. Πῶς λοιπὸν θὰ δείξῃς τὴν ἀγάπην; Ἂν εἰπῇς, ὅτι ἐνῷ ἦτο δυνατὸν νὰ λάβω γυναῖκας πολλὰς καὶ πλουσιωτέρας καὶ ἐνδόξου γένους δὲν ἐδέχθην, ἀλλὰ ἠγάπησα καὶ σὲ καὶ τὴν ἰδικήν σου συμπεριφοράν, τὴν κοσμιότητα, τὴν ἐπιείκειαν, τὴν σωφροσύνην. Ἔπειτα ἀπ' αὐτὰ νὰ προετοιμάσῃς ἀμέσως τὸν τρόπον ποὺ θὰ εἰπῇς τὰ περὶ τῆς φιλοσοφίας λόγια, καὶ νὰ κατηγορῇς τὸν πλοῦτον μὲ λόγον, ποὺ περιέχει πλῆρες νόημα. Βεβαίως ἂν μὲν ἐπιμηκύνῃς ἁπλῶς τὸν λόγον κατὰ τοῦ πλούτου θὰ γίνῃς ἐνοχλητικός, ἂν δὲ μεταχειρισθῇς λογικὰ ἐπιχειρήματα, τὰ πάντα θὰ κατορθώσῃς. Διότι θὰ φανῇς ὅτι κάμνεις τὸ πρᾶγμα κατὰ τρόπον ἀπολογητικόν, ὄχι καθὼς ὁ αὐστηρὸς καὶ ἐπαχθὴς καὶ φιλάργυρος, ἀλλ' ὅταν μεταχειρισθῇς ἐπιχειρήματα ἀπὸ τὰ ἰδικά της, καὶ θὰ εὐχαριστηθῇ ἡ ἰδία. Θὰ εἰπῇς (διότι εἶναι ἀνάγκη νὰ λάβῃς πάλιν τὸν λόγον),

πορον, οὐκ ἠνεσχόμην. Τί δήποτε; Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ, ἀλλ' ἐπαιδεύθην ἐγὼ καλῶς, ὅτι πλοῦτος οὐδὲν κτῆμά ἐστιν, ἀλλὰ πρᾶγμα εὐκαταφρόνητον, καὶ λῃσταῖς προσὸν καὶ πόρναις γυναιξὶ καὶ τυμβωρύχοις.

Διὸ ταῦτα ἀφείς, ἐπὶ τὴν τῆς σῆς ἀρετὴν ἦλθον ψυχῆς, ἣν παντὸς προτιμῶ χρυσίου. Συνετὴ γὰρ καὶ ἐλευθέρα κόρη νέα, καὶ εὐλαβείας ἐπιμελουμένη, πάσης τῆς οἰκουμένης ἐστὶν ἀνταξία. Διὰ δὴ ταῦτά σε καὶ ἠσπασάμην καὶ φιλῶ, καὶ τῆς ἐμαυτοῦ προτίθημι ψυχῆς. Οὐδὲν γὰρ ὁ παρὼν βίος ἐστί, καὶ εὔχομαι καὶ παρακαλῶ καὶ πάντα ποιῶ, ὥστε ἡμᾶς οὕτω καταξιωθῆναι τὸν παρόντα στῆσαι βίον, ὥστε δυνηθῆναι καὶ ἐκεῖ ἐν τῷ μέλλοντι αἰῶνι μετὰ πολλῆς τῆς ἀδείας ἀλλήλοις συνεῖναι. Ὁ μὲν γὰρ χρόνος οὗτος βραχὺς καὶ ἐπίκηρος· εἰ δὲ καταξιωθείημεν εὐαρεστήσαντες τῷ Θεῷ οὕτω τὸν βίον μετελθεῖν τοῦτον, ἀεὶ καὶ μετὰ τοῦ Χριστοῦ, καὶ μετ' ἀλλήλων ἐσόμεθα μετὰ πλείονος τῆς ἡδονῆς. Ἐγὼ πάντων τὴν σὴν ἀγάπην προτίθημι, καὶ οὐδὲν οὕτω μοι δύσκολον οὐδὲ ἐπαχθές, ὡς τό ποτε διενεχθῆναι πρὸς σέ· κἂν πάντα ἀπολέσαι δέῃ, κἂν Ἴρου πενέστερον γενέσθαι, κἂν κινδύνους ὑποστῆναι τοὺς ἐσχάτους, κἂν ὁτιοῦν παθεῖν, ἐμοὶ πάντα οἰστὰ καὶ φορητά, ἕως ἂν τὰ πρὸς σὲ εὖ μοι διακέηται· καὶ τὰ παιδία μοι ποθεινὰ τότε ἔσται, ἕως ἂν εὐνοϊκῶς πρὸς ἡμᾶς διακειμένη ᾖς. Δεήσει δὲ καὶ ταῦτα ποιεῖν. Εἶτα παράμιγνυε καὶ τὰ ἀποστολικὰ ῥήματα, ὅτι οὕτως ὁ Θεὸς βούλεται τὴν εὔνοιαν ἡμῖν συγκεκροτῆσθαι. Ἄκουε γὰρ τῆς Γραφῆς λεγούσης· «Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ».

Μηδεμία μικροψυχίας ἔστω πρόφασις ἡμῖν· ἐρρέτω χρή-

---

46. Πρόκειται περὶ εἰρωνικοῦ ὀνόματος, ποὺ ἐδόθη ἀπὸ τοὺς μνηστῆρας εἰς τὸν Ἰθακήσιον ἐπαίτην Ἀρναῖον, ἐπειδὴ ἦτο ἀγγελιαφόρος αὐτῶν, ὅπως ἡ Ἶρις ἦτο ἀγγελιαφόρος τῶν θεῶν (Ὁμήρου Ὀδύσσεια σ', 5).
47. Γεν. 2, 24.

ὅτι ἐνῷ ἐξηρτᾶτο ἀπ' ἐμὲ νὰ λάβω γυναῖκα πλουσίαν καὶ εὔπορον, δὲν ἐδέχθην. Διατί λοιπόν; Ὄχι ἁπλῶς, οὔτε εἰς μάτην, ἀλλ' ἐδιδάχθην ἐγὼ καλῶς, ὅτι ὁ πλοῦτος δὲν εἶναι κανένα κτῆμα, ἀλλὰ πρᾶγμα εὐκαταφρόνητον, καὶ ἀνήκει εἰς τοὺς ληστὰς καὶ τὰς πόρνας γυναῖκας καὶ τοὺς τυμβωρύχους.

Διὰ τοῦτο, ἀφοῦ ἐγκατέλειψα ὅλα αὐτά, ἦλθα εἰς τὴν ἀρετὴν τῆς ἰδικῆς σου ψυχῆς, τὴν ὁποίαν προτιμῶ ἀπὸ κάθε πλοῦτον. Διότι ἡ συνετὴ καὶ ἐλευθέρα νέα κόρη, ποὺ φροντίζει καὶ διὰ τὴν εὐσέβειαν, ἀξίζει ὅσον ὅλη ἡ οἰκουμένη. Δι' αὐτὰ βέβαια καὶ σὲ ἠσπάσθην καὶ σὲ ἀγαπῶ καὶ σὲ θέτω ἐμπρὸς ἀπὸ τὴν ἰδικήν μου ψυχήν. Διότι ἡ παροῦσα ζωὴ δὲν ἀξίζει τίποτε, εὔχομαι δὲ καὶ παρακαλῶ καὶ τὰ πάντα κάμνω, ὥστε νὰ καταξιωθοῦμεν νὰ ζήσωμεν κατὰ τέτοιον τρόπον, ὥστε νὰ ἠμπορέσωμεν καὶ εἰς τὸν μέλλοντα αἰῶνα νὰ ζῶμεν μὲ πολλὴν ἀσφάλειαν. Διότι ὁ μὲν χρόνος αὐτὸς εἶναι σύντομος καὶ φθαρτός· ἐὰν δὲ καταξιωθοῦμεν, ἀφοῦ γίνωμεν εὐάρεστοι εἰς τὸν Θεόν, νὰ περάσωμεν ἔτσι τὴν ζωὴν αὐτήν, θὰ εἴμεθα πάντοτε καὶ μὲ τὸν Χριστὸν καὶ μεταξύ μας μὲ περισσοτέραν εὐχαρίστησιν. Ἐγὼ θέτω ἐμπρὸς ἀπὸ ὅλα τὴν ἰδικήν σου ἀγάπην, καὶ τίποτε δὲν εἶναι εἰς ἐμὲ τόσον δύσκολον καὶ δυσάρεστον, ὅσον τὸ νὰ ἔχω κάποτε διαφορὰς πρὸς σέ. Καὶ ἂν πρέπει τὰ πάντα νὰ χάσω, καὶ ἂν πρέπει νὰ γίνω πτωχότερος ἀπὸ τὸν Ἶρον[46], καὶ ἂν πρέπει νὰ ὑποστῶ τοὺς χειρίστους κινδύνους, καὶ ἂν ἀκόμη πρέπει ὅ,τιδήποτε νὰ πάθω, τὰ πάντα εἶναι ὑποφερτὰ καὶ ἀνεκτὰ εἰς ἐμέ, ἐν ὅσῳ θὰ συμπεριφέρεσαι καλῶς πρὸς ἐμέ· καὶ θὰ εἶναι τότε τὰ παιδιὰ ποθητὰ εἰς ἐμέ, ἕως ὅτου θὰ παραμένῃς καλῶς διατεθειμένη πρὸς ἡμᾶς. Εἶναι ἀνάγκη δὲ καὶ σὺ νὰ εἴπῃς αὐτά. Ἔπειτα νὰ προσθέτῃς καὶ τὰ ἀποστολικὰ λόγια, διότι ἔτσι ὁ Θεὸς θέλει νὰ εἶναι εἰς ἡμᾶς συγκροτημένη ἡ συμπάθεια. Διότι ἄκουε τὴν Γραφὴν ποὺ λέγει· «Ἕνεκα τούτου θὰ ἐγκαταλείψῃ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα, καὶ θὰ προσκολληθῇ πρὸς τὴν γυναῖκα του»[47].

Νὰ μὴ ὑπάρχῃ εἰς ἡμᾶς καμμία πρόφασις μικροψυχίας·

ματα, καὶ ἀνδραπόδων πλῆθος καὶ τιμαὶ αἱ τῶν ἔξωθεν· ἐμοὶ πάντων τοῦτο προτιμότερον. Πόσου χρυσίου, πόσων θησαυρῶν οὐχὶ ποθεινότερα ταῦτα τὰ ῥήματα ἔσται τῇ γυναικί; Μὴ φοβηθῇς μή ποτε ἀπονοηθῇ κατὰ σοῦ φιλουμένη, ἀλλ' ὅτι φιλεῖς ὁμολόγει. Αἱ μὲν γὰρ ἑταῖραι νῦν μὲν τούτῳ, νῦν δὲ ἐκείνῳ προσπλεκόμεναι, εἰκότως ἂν ἐπαίροιντο κατὰ τῶν ἐραστῶν ὅταν τοιαῦτα ἀκούοιεν ῥήματα· ἐλευθέρα δὲ γυνὴ καὶ κόρη εὐγενὴς οὐκ ἄν ποτε τούτοις ἐπαρθείη τοῖς ῥήμασιν, ἀλλὰ πολλῷ μᾶλλον καὶ κατακάμπτεται. Ἐνδείκνυσο δὲ τὴν πρὸς αὐτὴν συνουσίαν πολλοῦ τιθέμενος, καὶ μᾶλλον καὶ τῆς οἰκίας εἶναι βουλόμενος δι' αὐτήν, ἢ ἐπὶ τῆς ἀγορᾶς· καὶ πάντων τῶν φίλων προτίμα, καὶ παίδων τῶν ἐξ αὐτῆς, καὶ αὐτὰ δὲ διὰ ταύτην εἰράσθω παρὰ σοῦ. Ἂν ἀγαθόν τι πράξῃ, ἐπαίνει καὶ θαύμαζε· ἂν ἕτερόν τι καὶ οἷον νεανίσι συμβαίνει, παραίνει καὶ ὑπομίμνησκε. Ἄνω καὶ κάτω χρημάτων κατηγόρει καὶ πολυτελείας, καὶ ὑποδείκνυε τὸν κόσμον τὸν ἀπὸ τῆς κοσμιότητος καὶ ἀπὸ τῆς σεμνότητος, καὶ δίδασκε διηνεκῶς τὰ συμφέροντα.

9. Εὐχαὶ γινέσθωσαν ὑμῖν κοιναί· ἕκαστος εἰς τὴν ἐκκλησίαν προΐτω, καὶ τῶν λεγομένων καὶ τῶν ἀναγινωσκομένων ἐκεῖ, καὶ ὁ ἀνὴρ τὴν γυναῖκα ἀπαιτείτω ἐπὶ τῆς οἰκίας τὸ μέρος, κἀκείνη τὸν ἄνδρα. Εἰ πενία τις κατέχοι, πάραγε εἰς μέσον τοὺς ἁγίους ἄνδρας, τὸν Παῦλον, τὸν Πέτρον, οἳ πάντων μᾶλλον καὶ βασιλέων καὶ πλουσίων εὐδοκίμησαν, καὶ πῶς δὲ καὶ ἐν λιμῷ καὶ ἐν δίψει τὸν βίον διήγαγον· παίδευε αὐτήν, ὅτι οὐδὲν φοβερὸν τῶν ἐν τῷ βίῳ, ἢ μόνον τὸ προσκροῦσαι τῷ Θεῷ. Ἂν οὕτω τις γήμῃ, ἂν ἐπὶ τούτοις, τῶν μοναζόντων οὐκ ἔσται πολλῷ ἐλάττων,

ἄς χαθοῦν τὰ χρήματα, καὶ οἱ πολλοὶ δοῦλοι, καὶ αἱ τιμαὶ ἀπὸ τοὺς ξένους· τοῦτο εἶναι εἰς ἐμὲ προτιμότερον ἀπὸ ὅλα. Πόσου χρυσοῦ, πόσων θησαυρῶν δὲν θὰ εἶναι ποθητότερα τὰ λόγια αὐτὰ εἰς τὴν γυναῖκα; Μὴ φοβηθῇς, μήπως κάποτε, ἐνῷ τὴν ἀγαπᾷς, ἀλαζονευθῇ ἐναντίον σου, ἀλλὰ νὰ ὁμολογῇς ὅτι ἀγαπᾷς αὐτήν. Διότι αἱ μὲν ἑταῖραι, ποὺ ἄλλοτε μὲν προσκολλῶνται μὲ τοῦτον, ἄλλοτε δὲ μὲ ἐκεῖνον εὐλόγως θὰ ἦτο δυνατὸν νὰ ὑπερηφανεύωνται ἐναντίον τῶν ἐραστῶν, ὅταν θὰ ἀκούουν τέτοια λόγια· γυναῖκα ὅμως ἐλευθέρα καὶ κόρη εὐγενὴς δὲν εἶναι δυνατὸν νὰ ὑπερηφανευθῇ ποτὲ μὲ τέτοια λόγια, ἀλλὰ πολὺ περισσότερον καὶ συγκινεῖται. Νὰ ἀποδεικνύεσαι ὅτι θεωρεῖς περὶ πολλοῦ τὴν πρὸς αὐτὴν συνουσίαν, καὶ ὅτι θέλεις νὰ εὑρίσκεσαι περισσότερον δι' αὐτὴν εἰς τὸ σπίτι, παρὰ εἰς τὴν ἀγοράν· καὶ νὰ τὴν προτιμᾷς ἀπὸ ὅλους τοὺς φίλους καὶ τὰ παιδιά, ποὺ ἐγεννήθησαν ἀπ' αὐτήν, καὶ αὐτὰ δὲ νὰ τὰ ἀγαπᾷς ἐξ αἰτίας αὐτῆς. Ἂν ἡ γυναῖκα πράξῃ κάτι καλόν, νὰ τὴν ἐπαινῇς καὶ νὰ τὴν θαυμάζῃς· ἂν πράξῃ κάτι τὸ ἀπρεπὲς καὶ κάτι ποὺ συμβαίνει εἰς τὰς νέας, νὰ τὴν συμβουλεύῃς καὶ νὰ τὴν ὑπενθυμίζῃς. Παντοῦ καὶ πάντοτε νὰ κατηγορῇς τὰ χρήματα καὶ τὴν πολυτέλειαν, καὶ νὰ ὑποδεικνύῃς τὴν εὐπρέπειαν καὶ τὸν καλλωπισμόν, ποὺ προέρχεται ἀπὸ τὴν κοσμιότητα καὶ τὴν σεμνότητα, καὶ νὰ διδάσκῃς πάντοτε τὰ συμφέροντα εἰς αὐτήν.

9. Νὰ κάνετε κοινὰς προσευχὰς μεταξύ σας· ὁ καθένας ἂς μεταβαίνῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἀπὸ τὰ λεγόμενα καὶ ἀναγινωσκόμενα ἐκεῖ καὶ ὁ ἄνδρας νὰ ἀπαιτῇ τὰ ἀνάλογα ἀπὸ τὴν γυναῖκα εἰς τὸ σπίτι, καὶ ἐκείνη ἀπὸ τὸν ἄνδρα. Ἐὰν σᾶς κατέχῃ κάποια πενία, φέρε παράδειγμα τοὺς ἁγίους ἄνδρας, τὸν Παῦλον καὶ τὸν Πέτρον, ποὺ ηὐδοκίμησαν περισσότερον ἀπὸ ὅλους καὶ τοὺς βασιλεῖς καὶ τοὺς πλουσίους, καὶ πῶς ἔζησαν τὴν ζωήν των καὶ μέσα εἰς πεῖναν καὶ μέσα εἰς δίψαν. Νὰ διδάσκῃς αὐτήν, ὅτι τίποτε δὲν εἶναι φοβερὸν ἀπὸ τὰ συμβαίνοντα εἰς τὴν ζωήν, παρὰ μόνον τὸ νὰ ἀντιμάχεται κανεὶς τὸν Θεόν. Ἂν ἔτσι κανεὶς νυμφευθῇ, ἂν εἰς αὐτὰ δὲν θὰ εἶναι πολὺ ὑποδεέστερος

οὐδὲ τῶν μὴ γεγαμηκότων ὁ γεγαμηκώς. Εἰ βούλει καὶ ἄριστα ποιεῖν καὶ ἑστιάσεις ἐπιτελεῖν, μηδὲν ἄσεμνον, μηδένα ἄκοσμον, ἀλλ' εἴ τινα ἅγιον πένητα εὕροις δυνάμενον ὑμῖν εὐλογῆσαι τὴν οἰκίαν, δυνάμενον μετὰ τῆς τῶν ποδῶν ἐπιβάσεως πᾶσαν εἰσενεγκεῖν τοῦ Θεοῦ τὴν εὐλογίαν, τοῦτον κάλει. Εἴπω δὲ καὶ ἕτερον; Μηδεὶς ὑμῶν σπουδαζέτω εὐπορωτέραν γαμεῖν, ἀλλὰ πολλῷ μᾶλλον πενεστέραν. Οὐ γὰρ τοσαύτην ἀπὸ τῶν χρημάτων εἰσελεύσεται εἰσφέρουσα ἀφορμὴν ἡδονῆς, ὅσην ἀηδίαν ἀπὸ τῶν ὀνειδῶν, ἀπὸ τοῦ πλείονα ἀπαιτεῖν ὧν εἰσήγαγεν, ἀπὸ τῶν ὕβρεων, ἀπὸ τῆς πολυτελείας, ἀπὸ τῶν φορτικῶν ῥημάτων.

Ἐρεῖ γὰρ ἴσως· Οὐδέπω τῶν σῶν ἀνάλωσα οὐδέν, ἔτι τὰ ἐμὰ περίκειμαι, ἐξ ὧν οἱ γονεῖς μοι δεδώρηνται. Τί λέγεις, ὦ γύναι; ἔτι τὰ σὰ περίκεισαι; καὶ τί τούτου τοῦ ῥήματος γένοιτ' ἂν ἀθλιώτερον; σῶμα οὐκέτι ἔχεις ἴδιον, καὶ χρήματα ἔχεις ἴδια; Οὐκέτι δύο ἐστὲ σάρκες μετὰ τὸν γάμον, ἀλλ' ἐγένεσθε εἰς μίαν· καὶ αἱ οὐσίαι δύο, καὶ οὐ μία. Ὢ τοῦ τῶν χρημάτων ἔρωτος! εἷς ἄνθρωπος, ἓν ζῶον ἀμφότεροι γεγένησθε, καὶ ἔτι λέγεις, Τὰ ἐμά; Ἐπάρατον τοῦτο τὸ ῥῆμα καὶ μιαρὸν ἀπὸ τοῦ διαβόλου εἰσηνέχθη. Πάντα ἡμῶν κοινὰ ἐποίησεν ὁ Θεὸς τὰ τούτων ἀναγκαιότερα, καὶ ταῦτα οὐ κοινά; Οὐκ ἔστιν εἰπεῖν, τὸ ἐμὸν φῶς, ὁ ἐμὸς ἥλιος, τὸ ἐμὸν ὕδωρ· πάντα ἡμῖν κοινὰ τὰ μείζονα, τὰ δὲ χρήματα οὐ κοινά; Ἀπολλύσθω τὰ χρήματα μυριάκις, μᾶλλον δὲ μὴ τὰ χρήματα, ἀλλ' αἱ προαιρέσεις αἱ μὴ εἰδυῖαι χρήμασι χρήσασθαι, ἀλλὰ πάντων αὐτὰ προτιμῶσαι. Καὶ ταῦτα μετὰ τῶν ἄλλων δίδασκε· ἀλλὰ μετὰ πολλῆς τῆς χάριτος. Ἐπειδὴ γὰρ αὐτὴ καθ' ἑαυτὴν τῆς ἀρετῆς ἡ παραίνεσις πολὺ τὸ σκυθρωπὸν ἔχει, καὶ μάλιστα πρὸς κόρην ἁπα-

ἀπὸ τοὺς μονάζοντας, οὔτε ἐκεῖνος ποὺ ἔχει νυμφευθῆ θὰ εἶναι ὑποδεέστερος ἀπ' αὐτούς, ποὺ δὲν ἔχουν νυμφευθῆ. Ἐὰν θέλῃς καὶ καλῶς νὰ πράττῃς καὶ συμπόσια νὰ πραγματοποιῇς, νὰ μὴ καλῇς κανένα ἄσεμνον, κανένα αἰσχρόν, ἀλλ' ἐὰν θὰ εὕρῃς κάποιον ἅγιον πτωχόν, ποὺ ἠμπορεῖ νὰ εὐλογήσῃ τὸ σπίτι σας καὶ ἠμπορεῖ μὲ τὸ πέρασμα τῶν ποδιῶν του νὰ φέρῃ μέσα εἰς αὐτὸ κάθε εὐλογίαν τοῦ Θεοῦ, νὰ καλῇς αὐτόν. Νὰ εἰπῶ δὲ καὶ κάτι ἄλλο; Κανείς σας νὰ μὴ προσπαθῇ νὰ νυμφευθῇ πλουσιωτέραν γυναῖκα, ἀλλὰ πολὺ περισσότερον πτωχοτέραν. Διότι ἀπὸ τὰ χρήματα, τὰ ὁποῖα θὰ συνεισφέρῃ ἡ γυναῖκα, δὲν θὰ ἐπέλθῃ τόσον μεγάλη ἀφορμὴ ἡδονῆς, ὅσον ἀηδία ἀπὸ τὰς προσβολάς, ἀπὸ τὸ νὰ ἀπαιτῇ περισσότερα ἀπ' ἐκεῖνα ποὺ συνεισέφερε, ἀπὸ τὰς ὕβρεις, τὴν πολυτέλειαν, τὰ ἐνοχλητικὰ λόγια.

Ἴσως βέβαια νὰ εἰπῇ· Μέχρι τώρα δὲν ἐξώδευσα τίποτε ἀπὸ τὰ ἰδικά σου, ἀκόμη φορῶ τὰ ἰδικά μου, ἀπ' ἐκεῖνα ποὺ μοῦ ἔχουν χαρίσει οἱ γονεῖς μου. Τί λέγεις, γυναῖκα; ἀκόμη φορεῖς τὰ ἰδικά σου; καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀθλιώτερον ἀπὸ τὸν λόγον αὐτόν; δὲν ἔχεις πλέον ἰδικόν σου σῶμα, καὶ ἔχεις χρήματα ἰδικά σου; Δὲν εἶσθε πλέον δύο σώματα μετὰ τὸν γάμον, ἀλλὰ ἐγίνατε ἕνα· καὶ αἱ ὑπάρξεις δύο, καὶ ὄχι μία. Ὢ τοῦ ἔρωτος τῶν χρημάτων! ἕνας ἄνθρωπος, μία ζῶσα ὕπαρξις ἔχετε γίνει καὶ οἱ δύο, καὶ ἀκόμη λέγεις, Τὰ ἰδικά μου; Ὁ λόγος αὐτὸς εἶναι ἐπικατάρατος καὶ μιαρὸς καὶ ὁ διάβολος τὸν ἔχει εἰσηγηθῆ. Πάντα τὰ ἀναγκαιότερα ἀπ' αὐτὰ ὁ Θεὸς τὰ ἐδημιούργησε κοινὰ εἰς ἡμᾶς, καὶ αὐτὰ δὲν εἶναι κοινά; Δὲν εἶναι δυνατὸν νὰ εἰπῇς: τὸ ἰδικόν μου φῶς, ὁ ἰδικός μου ἥλιος, τὸ ἰδικόν μου ὕδωρ· πάντα τὰ σπουδαιότερα εἶναι κοινὰ εἰς ἡμᾶς, τὰ χρήματα ὅμως δὲν εἶναι κοινά; Ἂς χάνωνται τὰ χρήματα μυρίας φοράς, μᾶλλον δὲ ὄχι τὰ χρήματα, ἀλλὰ αἱ προαιρέσεις ποὺ δὲν γνωρίζουν νὰ χρησιμοποιοῦν τὰ χρήματα καὶ προτιμοῦν αὐτὰ ἀπὸ ὅλα τὰ ἄλλα ἀγαθά. Δίδασκε καὶ αὐτὰ μαζὶ μὲ τὰ ἄλλας, ἀλλὰ μὲ πολλὴν καλωσύνην. Ἐπειδὴ βέβαια αὐτὴ καθ' ἑαυτὴν ἡ παραίνεσις τῆς ἀρετῆς ἔχει πολλὴν κατήφειαν, καὶ πρὸ πάντων ὅταν ἀπευ-

λὴν καὶ νέαν, ὅταν περὶ φιλοσοφίας λέγοιντο λόγοι, πολλὴν ἐπινόει τὴν χάριν, καὶ τοῦτο μάλιστα ἀπὸ τῆς ψυχῆς ἐξόρισον ἐκείνης, Τὸ ἐμόν, καὶ Τὸ σόν. Ἂν εἴπῃ, Τὰ ἐμά, εἰπὲ αὐτῇ· Ποῖα λέγεις σά; οὐδὲ γὰρ οἶδα· οὐδὲν ἔχω ἐγὼ ἴδιον· πῶς οὖν λέγεις, Τὰ ἐμά, πάντων ὄντων σῶν; Χάρισαι αὐτῇ τὸ ῥῆμα. Οὐχ ὁρᾷς ἐπὶ τῶν παιδίων ὅτι τοῦτο πράττομεν; ὅταν ἡμῶν κατεχόντων τι ἁρπάσῃ, καὶ τὸ ἕτερον πάλιν βούληται λαβεῖν, συγχωροῦμεν καὶ λέγομεν· Ναί, τοῦτο σόν ἐστι, κἀκεῖνο.

Τοῦτο καὶ ἐπὶ τῆς γυναικὸς ποιῶμεν· παιδικωτέρα γὰρ αὐτῆς ἡ διάνοιά ἐστι· κἂν λέγῃ, Τὰ ἐμά, εἰπέ· Πάντα σά ἐστι, καὶ ἐγὼ σός. Οὐκ ἔστι κολακείας τὸ ῥῆμα, ἀλλὰ πολλῆς συνέσεως. Οὕτως αὐτῆς δυνήσῃ χαλάσαι τὸν θυμόν, καὶ τὴν ἀθυμίαν σβέσαι. Κολακεία γάρ ἐστιν, ὅταν τις ἀγεννές τι πράξῃ κακοῦ ἕνεκεν· τοῦτο δὲ φιλοσοφία μεγίστη. Λέγε οὖν· Καὶ ἐγὼ σός ὦ παιδίον· τοῦτό μοι Παῦλος παρῄνεσεν εἰπών· «Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή». Εἰ τοῦ σώματός μου οὐκ ἔχω ἐξουσίαν, ἀλλὰ σύ, πολλῷ μᾶλλον τῶν χρημάτων. Ἀνέπαυσας αὐτὴν ταῦτα φθεγξάμενος, ἔσβεσας τὴν πυράν, κατῄσχυνας τὸν διάβολον, δούλην ἐποίησας μᾶλλον ἀργυρώνητον, τοῖς ῥήμασι τούτοις κατέδησας αὐτήν. Ὥστε ἀφ' ὧν σὺ φθέγγῃ, δίδαξον αὐτὴν μηδέποτε λέγειν, Ἐμὸν καὶ Σόν. Καὶ μηδέποτε ἁπλῶς αὐτὴν κάλει, ἀλλὰ μετὰ κολακείας, μετὰ τιμῆς, μετὰ πολλῆς ἀγάπης. Τίμα αὐτήν, καὶ οὐ δεήσεται τῆς παρ' ἑτέρων τιμῆς, οὐ δεήσεται τῆς παρ' ἑτέρων δόξης, ἂν ἀπολαύῃ τῆς παρὰ σοῦ. Πάντων αὐτὴν προτίθει, πάντων ἕνεκεν, καὶ κάλλους, καὶ

48. Α΄ Κορ. 7, 4.

θύνεται πρὸς κόρην τρυφερὰν καὶ νέαν, ὅταν θὰ λέγῃς τοὺς περὶ φιλοσοφίας λόγους, νὰ ἐπινοῇς πολλὴν χάριν, καὶ τοῦτο μάλιστα νὰ ἐκδιώξῃς ἀπὸ τὴν ψυχὴν ἐκείνης, Τὸ ἰδικόν μου, καὶ Τὸ ἰδικόν σου. Ἂν εἰπῇ, Τὰ ἰδικά μου, εἰπὲ εἰς αὐτήν· Ποῖα λέγεις ἰδικά σου; διότι δὲν γνωρίζω· τίποτε ἐγὼ δὲν ἔχω ἰδικόν μου, πῶς λοιπὸν λέγεις, Τὰ ἰδικά μου, ἐνῷ τὰ πάντα εἶναι ἰδικά σου; Συγχώρησε εἰς αὐτὴν τὸν λόγον. Δὲν βλέπεις ὅτι τοῦτο κάμνομεν εἰς τὴν περίπτωσιν τῶν παιδιῶν; ὅταν τὸ παιδὶ ἁρπάξῃ κάτι, ἐνῷ ἡμεῖς τὸ κατέχομεν, καὶ ἔπειτα θέλῃ νὰ πάρῃ τὸ ἄλλο, συγχωροῦμεν καὶ λέγομεν. Ναί, τοῦτο εἶναι ἰδικόν σου, καθὼς καὶ ἐκεῖνο.

Τοῦτο ἂς κάμνωμεν καὶ εἰς τὴν γυναῖκα, διότι ἡ διάνοιά της εἶναι περισσότερον παιδική· καὶ ἂν λέγῃ, Τὰ ἰδικά μου, εἰπέ· Τὰ πάντα εἶναι ἰδικά σου, ἀκόμη καὶ ἐγὼ ἰδικός σου. Δὲν εἶναι δεῖγμα κολακείας ὁ λόγος αὐτός, ἀλλὰ πολλῆς συνέσεως. Κατ' αὐτὸν τὸν τρόπον θὰ ἠμπορέσῃς νὰ κατευνάσῃς τὸν θυμόν της καὶ νὰ ἐξαλείψῃς τὴν λύπην της. Διότι κολακεία εἶναι, ὅταν ἐξ αἰτίας τοῦ κακοῦ πράξῃ κανεὶς κάτι τὸ εὐτελές· τοῦτο ὅμως εἶναι ἡ μεγίστη φιλοσοφία. Λέγε λοιπόν· Καὶ ἐγὼ εἶμαι ἰδικός σου, παιδί μου· αὐτὸ τὸ συνεβούλευσεν εἰς ἐμὲ ὁ Παῦλος εἰπών· «Ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του, ἀλλ' ἐξουσιαστὴς αὐτοῦ εἶναι ἡ γυναῖκα του»[48]. Ἐὰν δὲν ἔχω ἐξουσίαν ἐπάνω εἰς τὸ σῶμα μου, ἀλλὰ σύ, πολὺ περισσότερον δὲν ἔχω ἐξουσίαν ἐπάνω εἰς τὰ χρήματα. Εἰπὼν αὐτὰ ἀνέκοψες ἐκείνην, ἔσβησες τὴν πυράν, κατεντρόπιασες τὸν διάβολον, τὴν ἔκαμες μᾶλλον δούλην ἀργυρώνυτον, τὴν ἔδεσες καλὰ μὲ τὰ λόγια αὐτά. Συνεπῶς μὲ αὐτὰ ποὺ σὺ λέγεις, δίδαξε αὐτὴν νὰ μὴ λέγῃ ποτέ, Ἰδικόν μου καὶ Ἰδικόν σου. Καὶ ποτὲ νὰ μὴ καλῇς ἁπλῶς αὐτήν, ἀλλὰ μὲ κολακείαν, μὲ τιμήν, μὲ πολλὴν ἀγάπην. Νὰ τιμᾷς αὐτήν, καὶ δὲν θὰ ἔχῃ ἀνάγκην ἀπὸ τῶν ἄλλων τὴν τιμήν, δὲν θὰ ἔχῃ ἀνάγκην ἀπὸ τὸν ἔπαινον τῶν ἄλλων, ἂν ἀπολαμβάνῃ τὸν ἰδικόν σου. Νὰ προτιμᾷς ἀπὸ ὅλα αὐτήν, ἐξ αἰτίας ὅλων, καὶ τοῦ κάλλους καὶ τῆς συνέσεως, καὶ νὰ τὴν ἐπαινῇς πολύ. Ἔτσι

συνέσεως, καὶ ἐγκωμίαζε. Οὕτως αὐτὴν πείσεις μηδενὶ προσέχειν τῶν ἔξωθεν, ἀλλὰ πάντων τῶν ἄλλων καταγελᾶν.

Δίδασκε τοῦ Θεοῦ τὸν φόβον, καὶ πάντα ὥσπερ ἀπὸ πηγῆς ἐπιρρεύσει, καὶ μυρίων ἔσται ἡ οἰκία τῶν ἀγαθῶν γέμουσα. Ἂν τὰ ἄφθαρτα ζητῶμεν, καὶ ταῦτα ἐπελεύσεται τὰ φθαρτά. «Ζητεῖτε γάρ», φησί, «πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Οἵους εἶναι χρὴ νομίζειν τοὺς παῖδας, τῶν τοιούτων πατέρων; οἵους τοὺς οἰκέτας τῶν τοιούτων δεσποτῶν; οἵους τοὺς ἄλλους ἅπαντας τοὺς πλησιάζοντας; ἆρα οὐχὶ μυρίων τῶν ἀγαθῶν καὶ αὐτοὺς γέμειν συμβήσεται; Ὡς γὰρ τὰ πολλὰ πρὸς τοὺς κρατοῦντας καὶ οἱ δοῦλοι τὰ ἤθη ρυθμίζονται καὶ τοῖς ἐκείνων ἐξομοιοῦνται ἐπιθυμίαις, τῶν αὐτῶν ἐρῶσιν, ὧν ἂν καὶ διδαχθῶσι, τὰ αὐτὰ φθέγγονται, ἐν τοῖς αὐτοῖς συναναστρέφονται. Ἐὰν οὕτως ἑαυτοὺς ρυθμίζομεν, καὶ ταῖς Γραφαῖς προσέχωμεν, τὰ πλείονα παρ' ἐκείνων παιδευθησόμεθα· καὶ οὕτω δυνησόμεθα ἀρέσαι τῷ Θεῷ, καὶ τὸν παρόντα βίον ἅπαντα μετὰ ἀρετῆς διεξελθεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

49. Ματθ. 6, 33.

θὰ πείσῃς αὐτὴν νὰ μὴ προσέχῃ κανένα ἄλλον, ἀλλὰ νὰ περιγελᾷ ὅλους τοὺς ἄλλους.

Δίδασκε τὸν φόβον Θεοῦ, καὶ τὰ πάντα ὡσὰν ἀπὸ πηγὴν θὰ εἰσρεύσουν καὶ τὸ σπίτι θὰ γεμίσῃ μύρια ἀγαθά. Ἂν ἐπιζητοῦμεν τὰ πνευματικὰ ἀγαθά, θὰ ἔλθουν καὶ αὐτὰ τὰ ὑλικά. Διότι λέγει· «Ζητεῖτε δὲ πρωτίστως τὰ ἀγαθὰ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τότε ὅλα αὐτὰ τὰ ἐπίγεια θὰ σᾶς δοθοῦν μαζὶ μὲ αὐτά»[48]. Πῶς, νομίζετε, πρέπει νὰ εἶναι τὰ παιδιὰ τέτοιων πατέρων; πῶς οἱ ὑπηρέται τέτοιων κυρίων; πῶς ὅλοι οἱ ἄλλοι οἱ συγγενεῖς; ἆρά γε δὲν θὰ συμβῇ νὰ εἶναι καὶ αὐτοὶ γεμᾶτοι ἀπὸ μύρια ἀγαθά; Διότι ὅπως ρυθμίζονται τὰ πολλὰ σύμφωνα πρὸς τὴν θέλησιν τῶν ἀρχόντων, καὶ οἱ δοῦλοι ρυθμίζονται κατὰ τὸν τρόπον τῆς ζωῆς καὶ συμπεριφορᾶς των, καὶ ἐξομοιώνονται πρὸς τὰς ἐπιθυμίας ἐκείνων, τὰ ἰδικά των ἀγαποῦν, ἐκεῖνα ποὺ θὰ διδαχθοῦν, τὰ ἴδια λέγουν, συναναστρέφονται μὲ τοὺς ἰδίους ποὺ συναναστρέφονται καὶ ἐκεῖνοι. Ἐὰν διαπλάσσωμεν κατ' αὐτὸ ντὸν τρόπον τὸν ἑαυτόν μας, καὶ προσέχωμεν εἰς τὰς Γραφὰς θὰ διδαχθοῦμεν τὰ περισσότερα ἀπ' ἐκείνους· καὶ ἔτσι θὰ ἠμπορέσωμεν νὰ γίνωμεν ἀρεστοὶ εἰς τὸν Θεόν, καὶ νὰ ζήσωμεν τὴν παροῦσαν ζωὴν ὅλην μὲ ἀρετὴν καὶ νὰ ἐπιτύχωμεν τὰ ἀγαθά, ποὺ ἔχει ὑποσχεθῆ ὁ Θεὸς εἰς τοὺς ἀγαπῶντας αὐτόν. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ὅλοι μας νὰ ἀξιωθῶμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΑ΄
Ἐφ. 6, 1 - 4

«Τὰ τέκνα, ὑπακούεται τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς».

1. Καθάπερ τις σῶμα πλάττων, πρῶτον μὲν τὴν κεφαλήν, ἔπειτα τὸν αὐχένα, εἶτα τοὺς πόδας τίθησιν, οὕτω καὶ ὁ μακάριος Παῦλος τῷ λόγῳ πρόεισιν. Εἶπε περὶ τοῦ ἀνδρός, εἶπε περὶ τῆς γυναικός, τῆς δευτέρας ἀρχῆς· χωρεῖ λοιπὸν ὁδῷ βαδίζων ἐπὶ τὴν τρίτην· αὕτη δέ ἐστιν τῶν παίδων. Τῆς μὲν γὰρ γυναικὸς ἄρχει ὁ ἀνήρ, τῶν δὲ παίδων ὁ ἀνὴρ καὶ ἡ γυνή. Ὅρα οὖν τί φησι· «Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· αὕτη γάρ ἐστιν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις»[1]. Οὐδὲ ἐνταῦθα περὶ τοῦ Χριστοῦ διαλέγεται, οὐδὲ περὶ τῶν ὑψηλῶν· ἔτι γὰρ πρὸς ἁπαλὰς διαλέγεται διανοίας· διὸ καὶ βραχεῖαν ποιεῖται τὴν παραίνεσιν, ἅτε οὐ δυναμένων τῶν παίδων μακρῷ παρακολουθῆσαι λόγῳ. Διὰ τοῦτο οὐδὲ περὶ βασιλείας τι διαλέγεται· οὐ γάρ ἐστι τῆς ἡλικίας ἐκείνης ταῦτα ἀκούειν· ἀλλ' ἃ μάλιστα ψυχὴ νηπιώδης ἀκοῦσαι ποθεῖ, ταῦτά φησιν, ὅτι μακροχρόνιος ἔσται. Εἰ γάρ τις ἐξετάζει, διὰ τί μὴ περὶ βασιλείας διελέχθη, ἀλλὰ τὴν ἐν τῷ νόμῳ κειμένην ἐντολὴν αὐτοῖς ἔθηκεν,

1. Ἐφ. 6, 1 - 3.

ΟΜΙΛΙΑ ΚΑ΄
Ἐφ. 6, 1 - 4

«Τὰ τέκνα νὰ ὑπακούετε εἰς τοὺς γονεῖς σας σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου, διότι τοῦτο εἶναι δίκαιον. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Ἡ ἐντολὴ αὐτὴ εἶναι ἡ πρώτη εἰς τὸν Δεκάλογον, ποὺ συνοδεύεται μὲ ὑπόσχεσιν ἀνταμοιβῆς, διὰ νὰ εὐτυχήσῃς καὶ διὰ νὰ ζήσῃς μακρὸν χρόνον ἐπὶ τῆς γῆς»[1].

1. Ὅπως ἀκριβῶς αὐτὸς ποὺ κάνει ἕνα ἄγαλμα, σχηματίζει κατὰ πρῶτον μὲν τὸ κεφάλι, ἔπειτα τὸν αὐχένα καὶ ἔπειτα τὰ πόδια, κατ' αὐτὸν τὸν τρόπον καὶ ὁ μακάριος Παῦλος προχωρεῖ εἰς τὸν λόγον του. Ὡμίλησε διὰ τὸν ἄνδρα, ὡμίλησε διὰ τὴν γυναῖκα, ποὺ ἔχει τὴν δευτέραν σειράν, προχωρεῖ λοιπὸν εἰς τὴν τρίτην, καὶ αὐτὴ εἶναι τὰ τέκνα. Διότι τὴν μὲν γυναῖκα ἐξουσιάζει ὁ ἄνδρας, καὶ τὰ τέκνα ὁ ἄνδρας καὶ ἡ γυναῖκα. Πρόσεχε λοιπὸν τί λέγει· «Τὰ τέκνα νὰ ὑπακούετε εἰς τοὺς γονεῖς σας σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου, διότι αὐτὴ εἶναι ἡ πρώτη ἐντολή, ποὺ συνοδεύεται μὲ ὑπόσχεσιν». Οὔτε ἐδῶ ὁμιλεῖ διὰ τὸν Χριστόν, οὔτε διὰ τὰ οὐράνια. Διότι ἀκόμη ἀπευθύνεται εἰς ἁπαλὰς ψυχάς, δι' αὐτὸ καὶ κάνει σύντομον τὴν συμβουλήν, ἐπειδὴ δὲν ἠμποροῦν νὰ παρακολουθήσουν ἐκτεταμένον λόγον. Διὰ τοῦτο οὔτε διὰ τὴν Βασιλείαν τοῦ Θεοῦ ἀναφέρει τίποτε, διότι ἡ ἡλικία ἐκείνη δὲν ἠμπορεῖ νὰ ἀκούῃ αὐτά. Αὐτὰ ὅμως, ποὺ ἡ ψυχὴ τοῦ μικροῦ παιδιοῦ ποθεῖ νὰ ἀκούσῃ περισσότερον, αὐτὰ λέγει, ὅτι θὰ ζήσῃ μακρὸν χρόνον ἐπὶ τῆς γῆς. Ἐὰν βέβαια ἤθελε κανεὶς ἐρωτήσει, διὰ ποῖον λόγον δὲν εἶπε τίποτε διὰ τὴν Βασιλείαν τοῦ Θεοῦ, ἀλλ' ἔθεσεν εἰς αὐτὰ τὴν ἐντολὴν

ἐροῦμεν, ὅτι ὡς νηπιωδεστέροις οὖσι, καὶ μάλα εἰδὼς ὅτι, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς οὕτω διακειμένων κατὰ τὸν νόμον ὃν ἔθηκεν, οὐ πολλοῦ καμάτου ἐστὶ τὰ παιδία ὑποτάξαι. Ὅταν γὰρ πρᾶγμα τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν λάβῃ καλὴν καὶ ἰσχυρὰν καὶ κοσμίαν, ὁδῷ πάντα καὶ νόμῳ προβαίνει λοιπὸν μετὰ πολλῆς τῆς εὐκολίας. Τὸ γὰρ χαλεπώτερον, τὸ θεμέλιον θέσθαι, καὶ τὴν κρηπῖδα ὑποβαλεῖν.

«Τὰ τέκνα, ὑπακούετε», φησί, «τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ»· τουτέστι, κατὰ Κύριον. Ὁ Θεός, φησίν, οὕτω προσέταξε. Τί οὖν, ἂν ἄτοπα προστάττωσι; Μάλιστα μὲν οὐδέποτε ἐπιτάττει πατὴρ ἄτοπα, κἂν αὐτὸς ἄτοπος ᾖ· πλὴν ἀλλ' ὅμως καὶ οὕτως ἠσφαλίσατο, εἰπών· «Ἐν Κυρίῳ»· τουτέστιν, ἐν οἷς ἂν μὴ προσκρούσῃς Θεῷ· ὡς ἐὰν Ἕλλην ᾖ, ἢ αἱρετικός, οὐκέτι πείθεσθαι δεῖ· οὐ γάρ ἐστιν ἐν Κυρίῳ τὸ πρᾶγμα. Πῶς δέ φησιν, «Ἥτις ἐστὶν ἐντολὴ πρώτη»; πρώτη γάρ ἐστι τό, «Οὐ μοιχεύσεις», τό, «Οὐ φονεύσεις». Οὐ τῇ τάξει εἶπεν αὐτὴν πρώτην, ἀλλὰ τῇ ἐπαγγελίᾳ. Ἐκείναις μὲν οὖν οὐ κεῖται μισθός, ἅτε περὶ κακῶν διατεταγμέναις καὶ τῆς τῶν κακῶν ἀναχωρήσεως· ἐν δὲ ταύταις, ἅτε ἀγαθῶν ἐργασίας οὔσης, καὶ ἐπαγγελία κεῖται. Καὶ ὅρα πῶς θαυμαστὴν κρηπῖδα ἔθηκε τῇ τῆς ἀρετῆς ὁδῷ τὴν εἰς τοὺς γονέας τιμὴν καὶ αἰδώ· καὶ εἰκότως· Ἀπαγαγὼν τῶν πονηρῶν πράξεων, καὶ μέλλων εἰς τὰ ἀγαθὰ ἐμβαίνειν, τοῦτο πρῶτον ἐπέταξε, τὴν εἰς τοὺς γονέας λέγω τιμήν, ἐπειδὴ καὶ πρὸ πάντων τοῦ ζῆν μετὰ τὸν Θεὸν αὐτοί γεγόνασιν αἴτιοι. Ὥστε εἰκότως ἂν πρῶτοι τῶν ἡμετέρων ἀπολαύσειαν καλῶν,

---

2. Ἔξ. 20, 13. 15.

πού γράφει ὁ νόμος, θὰ τοῦ ἀπαντήσωμεν, ὅτι ἐπειδὴ εἶναι ἀθωότερα, καὶ ἐπειδὴ ἐγνώριζε καλῶς ὅτι, ὅταν ὁ ἄνδρας καὶ ἡ γυναῖκα συμμορφώνωνται εἰς τὸν νόμον πού τοὺς ἔδωσε, μικρὸς κόπος χρειάζεται διὰ νὰ ὑποτάξουν τὰ παιδιά τους. Διότι ὅταν ἕνα πρᾶγμα λάβῃ τὴν ἀρχήν του καὶ τὴν ὑπόθεσίν του καλὴν καὶ δυνατὴν καὶ κοσμίαν, ἔπειτα πλέον μὲ πολλὴν εὐκολίαν προχωρεῖ εἰς ὅλον τὸν δρόμον καὶ τὸν νόμον. Διότι τὸ δυσκολώτερον εἶναι νὰ θέσωμεν τὸ θεμέλιον καὶ νὰ στηρίξωμεν τὴν βάσιν.

«Τὰ παιδιὰ νὰ ὑπακούετε, λέγει, εἰς τοὺς γονεῖς σας σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου», δηλαδὴ ὅπως προστάσσει ὁ Κύριος. Ὁ Θεός, λέγει, ἔδωσε τὴν προσταγὴν αὐτήν. Τί λοιπὸν θὰ εἰποῦμεν, ἂν οἱ γονεῖς προστάσσουν παράξενα πράγματα; Βέβαια ὁ πατέρας ποτὲ δὲν προστάσσει παράξενα, καὶ ἂν ἀκόμη αὐτὸς εἶναι παράξενος. Ἀλλ' ὅμως καὶ ἔτσι τὸν προφυλάσσει, λέγων· «Σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου». Δηλαδή, εἰς αὐτὰ πού δὲν θὰ ἔλθῃς ἀντιμέτωπος μὲ τὸν Θεόν. Ὅπως, ἂν ὁ πατέρας εἶναι εἰδωλολάτρης ἢ αἱρετικός, δὲν πρέπει πλέον νὰ ὑπακούῃ τὸ παιδί, διότι αὐτὸ δὲν εἶναι σύμφωνον μὲ τὸ θέλημα τοῦ Κυρίου. Διατί ὅμως λέγει «αὐτὴ εἶναι ἡ πρώτη ἐντολή»; Διότι πρώτη κατ' ἀξίαν εἶναι τὸ «Μὴ μοιχεύσῃς», τὸ «Μὴ φονεύσῃς»[2]. Δὲν εἶπεν ὅτι εἶναι πρώτη εἰς τὴν σειράν, ἀλλὰ πρώτη πού συνοδεύεται μὲ ὑπόσχεσιν ἀνταμοιβῆς. Εἰς ἐκείνας μὲν λοιπὸν τὰς ἐντολὰς δὲν ὑπάρχει ἀνταμοιβή, καθόσον ἀπαγορεύουν τὸ κακὸν καὶ προστάσσουν νὰ ἀπομακρυνώμεθα ἀπὸ τὸ κακόν. Εἰς τὰς ἄλλας ὅμως ἐντολάς, καθόσον προστάσσουν νὰ πράττωμεν τὸ καλόν, ὑπάρχει καὶ ὑπόσχεσις ἀνταμοιβῆς. Καὶ πρόσεχε πῶς ἔθεσε θαυμάσιον θεμέλιον τοῦ δρόμου τῆς ἀρετῆς τὴν τιμὴν καὶ τὸν σεβασμὸν πρὸς τοὺς γονεῖς· καὶ εὐλόγως. Ἀφοῦ ἀπηγόρευσε τὰς ἁμαρτωλὰς πράξεις, καὶ θέλων νὰ μᾶς φέρῃ εἰς τὰς ἀρετάς, αὐτὸ προσέταξε πρῶτον, ἐννοῶ τὴν τιμὴν πρὸς τοὺς γονεῖς, ἐπειδὴ πρὶν ἀπ' ὅλους καὶ μετὰ τὸν Θεὸν αὐτοὶ ἔχουν γίνει αἴτιοι τῆς ζωῆς μας. Ὥστε θὰ εἶναι φυσικὸν νὰ ἀπολαύσουν αὐτοὶ πρῶτοι τὰ καλά μας,

καὶ τότε οἱ ἄλλοι ἅπαντες ἄνθρωποι. Ἂν γὰρ μὴ τοῦτό τις ἔχῃ, οὐδέποτε περὶ τοὺς ἔξωθεν ἔσται ἐπιεικής.

Παραινέσας τοίνυν ἅπερ ἐχρῆν τοῖς παισί, μεταβαίνει ἐπὶ τοὺς πατέρας, καί φησι· «Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλὰ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Οὐκ εἶπεν, Ἀγαπᾶτε αὐτά· τοῦτο γὰρ καὶ ἀκόντων αὐτῶν ἡ φύσις ἐπισπᾶται, καὶ περιττὸν ἦν περὶ τῶν τοιούτων νόμον τιθέναι· ἀλλὰ τί φησι· «Μὴ παροργίζετε τὰ τέκνα ὑμῶν», οἷον οἱ πολλοὶ ποιοῦσιν, ἀποκληρονόμους ἐργαζόμενοι, καὶ ἀποκηρύκτους ποιοῦντες, καὶ φορτικῶς ἐπικείμενοι, οὐχ ὡς ἐλευθέροις, ἀλλ᾽ ὡς ἀνδραπόδοις. Διὰ τοῦτό φησι· «Μὴ παροργίζετε τὰ τέκνα ὑμῶν». Εἶτα τὸ κεφάλαιον πάντων, πῶς ἂν ὑπακούσαιεν δείκνυσιν, εἰς τὴν κεφαλὴν καὶ τὴν ἀρχὴν τὴν οἰκείαν ἅπασαν ἀγαγών. Καὶ καθάπερ ἔδειξε τοῦ τὴν γυναῖκα ὑπακούειν αἴτιον τὸν ἄνδρα γινόμενον (διὸ καὶ τὰ πλείονα αὐτῷ διαλέγεται, τῇ τῆς ἀγάπης τυραννίδι παρακαλῶν αὐτὴν ἐπισπᾶσθαι), οὕτω δὴ καὶ ἐνταῦθα πάλιν εἰς αὐτὴν τὴν αἰτίαν ἀνάγει, λέγων· «Ἀλλὰ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Ὁρᾷς ὅτι τῶν πνευματικῶν ὄντων καὶ τὰ σαρκικὰ ἕψεται; Βούλει εἶναι τὸν υἱὸν πειθήνιον; ἐξ ἀρχῆς αὐτὸν ἔκτρεφε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· μὴ νομίσῃς εἶναι περιττὸν τὸ τῶν θείων Γραφῶν αὐτὸν ἐπακούειν· ἐκεῖ γὰρ τοῦτο πρῶτον ἀκούσεται· «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου». Ὥστε ὑπὲρ σοῦ τοῦτο γίνεται. Μὴ εἴπῃς· Τοῦτο μοναζόντων ἐστί· μὴ γὰρ μονάζοντα αὐτὸν ποιῶ; Οὐκ ἔστιν ἀνάγκη γενέσθαι αὐτὸν μονάζοντα. Τί δέδοικας δέος πολλοῦ κέρδους ἀνάμεστον; Χριστιανὸν αὐτὸν ποίησον. Μάλιστα γὰρ τοῖς κοσμικοῖς ἀναγκαῖον τὰ ἐντεῦθεν εἰδέναι διδάγματα, μάλιστα τοῖς παισί. Πολλὴ γὰρ ἡ ἄνοια ἐν ἐκείνῃ τῇ ἡλικίᾳ· τῇ δὲ ἀνοίᾳ προσθήκη γίνεται καὶ τὰ παρὰ τῶν ἔξωθεν λόγων, ὅταν μάθωσιν ἐκεῖ τοὺς παρ᾽ αὐτοῖς θαυμαζομένους ἥρωας,

---

3. Ἐφ. 6, 4.

καὶ ὕστερα ὅλοι οἱ ἄλλοι ἄνθρωποι. Διότι ἐὰν δὲν ἔχῃ κανεὶς αὐτό, ποτὲ δὲν θὰ εἶναι ἐπιεικὴς εἰς τοὺς ἄλλους.

Ἀφοῦ λοιπὸν ἔδωσε τὰς συμβουλὰς ποὺ ἔπρεπεν εἰς τὰ παιδιά, μεταβαίνει εἰς τοὺς πατέρας, καὶ λέγει· «Καὶ οἱ πατέρες μὴ ἐξοργίζετε τὰ παιδιά σας, ἀλλὰ νὰ ἀνατρέφετε αὐτὰ μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου»[3]. Δὲν εἶπε· Νὰ τὰ ἀγαπᾶτε. Διότι αὐτὸ τὸ προκαλεῖ ἡ φύσις καὶ χωρὶς τὴν θέλησίν των, καὶ ἦτο περιττὸν νὰ δοθῇ νόμος δι' αὐτό. Ἀλλὰ τί λέγει; «Μὴ ἐξοργίζετε τὰ παιδιά σας», ὅπως κάμνουν πολλοὶ ποὺ τὰ ἀποκληρώνουν καὶ τὰ ἀποκηρύσσουν, καὶ φορτικῶς τὰ ἐνοχλοῦν, ὡς νὰ μὴ ἦσαν ἐλεύθεροι ἄνθρωποι, ἀλλὰ δοῦλοι. Διὰ τοῦτο λέγει· «Μὴ ἐξοργίζετε τὰ παιδιά σας». Ἔπειτα τὸ σπουδαιότερον ἀπ' ὅλα, ἐπεξηγεῖ μὲ ποῖον τρόπον θὰ γίνουν ὑπάκουα, φέρων ὅλην τὴν αἰτίαν εἰς τὴν κεφαλὴν καὶ τὴν ἀρχήν. Καὶ ὅπως ἔδειξεν ὅτι ὁ ἄνδρας ἔγινεν ἡ αἰτία νὰ ὑπακούῃ ἡ γυναῖκα (δι' αὐτὸ καὶ τὰ περισσότερα ἀναφέρει εἰς αὐτόν, συμβουλεύων νὰ τὴν κερδίζῃ μὲ τὴν δύναμιν τῆς ἀγάπης), ἔτσι ἀκριβῶς καὶ ἐδῶ πάλιν εἰς αὐτὸν φέρει τὴν αἰτίαν, λέγων· «Ἀλλὰ νὰ ἀνατρέφετε αὐτὰ μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου». Βλέπεις ὅτι ὅταν ὑπάρχουν τὰ πνευματικὰ θὰ ἀκολουθήσουν καὶ τὰ ὑλικά; Θέλεις νὰ εἶναι ὑπεύθυνος ὁ υἱός σου; Ἀπὸ τὴν ἀρχὴν νὰ ἀνατρέφῃς αὐτὸν μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου. Μὴ νομίσῃς ὅτι εἶναι περιττὸν νὰ ἀκούῃ μὲ προσοχὴν τὴν Ἁγίαν Γραφήν, διότι ἐκεῖ αὐτὸ θὰ ἀκούσῃ πρῶτον. «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου». Ὥστε αὐτὸ γίνεται διὰ σέ. Μὴ εἴπῃς. Τοῦτο εἶναι διὰ τοὺς μοναχούς, μήπως ἐγὼ θὰ τὸν κάνω μοναχόν; Δὲν εἶναι ἀνάγκη νὰ γίνῃ αὐτὸς μοναχός. Διατί φοβεῖσαι τὸν φόβον ποὺ εἶναι γεμᾶτος πολὺ κέρδος; Κάμνε τον χριστιανόν. Διότι εἰς τοὺς κοσμικοὺς εἶναι πρὸ πάντων ἀνάγκη νὰ γνωρίζουν τὰ διδάγματα αὐτά, μάλιστα δὲ εἰς τὰ παιδιά. Διότι εἰς τὴν ἡλικίαν ἐκείνην ὑπάρχει πολλὴ μωρία, εἰς τὴν μωρίαν δὲ προστίθενται καὶ τὰ λόγια τῶν εἰδωλολατρῶν, ὅταν μάθουν ὅτι οἱ ἥρωες, ποὺ θαυμάζονται ἀπὸ αὐτούς, εἶναι δοῦλοι

παθῶν δούλους ὄντας καὶ δειλοὺς πρὸς θάνατον· οἷον ὁ Ἀχιλλεύς, ὅταν μετανοῇ, ὅταν ὑπὲρ παλλακίδος ἀποθνήσκῃ, ὅταν ἕτερος μεθύῃ, καὶ ἕτερα πολλὰ τοιαῦτα. Δεῖ τοίνυν αὐτῷ τῶν φαρμάκων τούτων.

2. Πῶς γὰρ οὐκ ἄτοπον εἰς τέχνας μὲν ἐκπέμπειν καὶ εἰς διδασκαλεῖον, καὶ πάντα πράττειν ὑπὲρ τούτου, ἐν δὲ παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου μὴ ἐκτρέφειν τὰ παιδία; Διά τοι τοῦτο πρῶτοι τῶν καρπῶν ἡμεῖς ἀπολαύομεν θρασεῖς, ἀκολάστους, ἀπειθεῖς, βαναύσους ἐκτρέφοντες τοὺς παῖδας. Μὴ τοίνυν τοῦτο ποιῶμεν, ἀλλὰ πειθώμεθα τῷ μακαρίῳ τούτῳ παραινοῦντι· ἐκτρέφωμεν αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· δῶμεν αὐτοῖς ὑπόδειγμα, ἐκ πρώτης ἡλικίας τῇ τῶν Γραφῶν ἀναγνώσει ποιοῦντες αὐτοὺς ἐνσχολάζειν. Οἴμοι! ὅτι συνεχῶς ταῦτα λέγων, ληρεῖν νομίζομαι· πλὴν ἀλλ' ὅμως οὐ παύσομαι τὸ ἐμαυτοῦ ποιῶν. Τίνος ἕνεκεν, εἰπέ μοι, οὐ μιμεῖσθε τοὺς παλαιούς; Μάλιστα ὑμεῖς αἱ γυναῖκες, τὰς θαυμαστὰς ἐκείνας γυναῖκας ζηλώσατε. Ἐτέχθη τὸ παιδίον; Μίμησαι τὴν Ἄνναν· κατάμαθε τί πεποίηκεν ἐκείνη· ἀνήγαγεν αὐτὸν εὐθέως εἰς τὸν ναόν. Τίς ὑμῶν οὐκ ἂν ἐθελήσειε Σαμουὴλ τὸν υἱὸν τὸν ἑαυτοῦ ἅπαξ γενέσθαι, ἢ μυριάκις βασιλέα τῆς οἰκουμένης ἁπάσης;

Καὶ πῶς δυνατόν, φησί, γενέσθαι τοιοῦτον; Διὰ τί μὴ δυνατόν; Ὅτι οὐ θέλεις, οὐδὲ παραδίδως τοῖς δυναμένοις αὐτὸν ποιῆσαι τοιοῦτον. Καὶ τίς τοιοῦτός ἐστι, φησίν; Ὁ Θεός· ἐπεὶ κἀκείνη αὐτῷ αὐτὸν ἐνεχείρισεν. Οὐδὲ γὰρ ὁ Ἠλεὶ τῶν σφόδρα δυναμένων αὐτὸν πλάσαι ἦν· πῶς γάρ, ὁ μηδὲ τοὺς υἱοὺς δυνηθεὶς τοὺς ἑαυτοῦ; ἀλλ' ἡ πίστις τῆς γυναικὸς καὶ ἡ προθυμία τὸ αὐτὸ εἰργάσατο. Πρῶτον ἔτεκε, καὶ μόνον, καὶ οὐδὲ ᾔδει εἰ καὶ ἑτέρους τέξεται. Καὶ οὐκ εἶπεν· Ἀναμείνω αὐξηθῆναι τὸ παιδίον, ἵνα πράγμασι χρή-

4. Ὁ Σαμουήλ, υἱὸς τῆς Ἄννης, ἦτο προφήτης, ὁ τελευταῖος κριτὴς τοῦ Ἰσραὴλ καὶ ἱδρυτὴς τοῦ θεσμοῦ τῆς βασιλείας. Ἔχρισε πρῶτον βασιλέα τὸν Σαοὺλ καὶ μετὰ τοῦτον τὸν Δαυῒδ (Α´ Βασιλ.).

5. Ὁ προτελευταῖος τῶν Κριτῶν, ἦτο καὶ ἱερεύς· τὰ τελευταῖα ἔτη του ἱστοροῦνται εἰς Α´ Βασ. κεφ. 1 - 4.

εἰς τὰ πάθη καὶ δειλοὶ εἰς τὸν θάνατον. Ὅπως, ἐπὶ παραδείγματι, ὁ Ἀχιλλεὺς ὅταν ἀλλάζῃ γνώμην, ὅταν πεθαίνῃ διὰ μίαν ἐρωμένην, ὅταν ἄλλος εἶναι μεθυσμένος καὶ πολλὰ ἄλλα παρόμοια. Χρειάζονται λοιπὸν εἰς τὸ παιδὶ αὐτὰ τὰ φάρμακα.

2. Δὲν εἶναι παράξενον νὰ στέλνωμεν μὲν τὰ παιδιά μας εἰς τὰς τέχνας καὶ τὸ σχολεῖον, καὶ νὰ κάμνωμεν τὰ πάντα διὰ τὸν σκοπὸν αὐτόν, νὰ μὴ τὰ ἀνατρέφωμεν ὅμως μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου; Διὰ τοῦτο βέβαια ἡμεῖς πρῶτον ἀπολαμβάνομεν τοὺς καρπούς, ὅταν ἀνατρέφωμεν τὰ παιδιά μας διὰ νὰ γίνουν ἀναιδῆ, ἀκόλαστα, ἀπείθαρχα, βάναυσα. Ἂς μὴ κάμνωμεν λοιπὸν τοῦτο, ἀλλ' ἂς ὑπακούωμεν εἰς τὸν μακάριον Παῦλον, ποὺ μᾶς παραινεῖ νὰ ἀνατρέφωμεν αὐτὰ μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου. Νὰ δώσωμεν εἰς αὐτὰ τὸ παράδειγμα, νὰ τὰ κάμνωμεν νὰ συνηθίζουν ἀπὸ μικρὰν ἡλικίαν εἰς τὴν ἀνάγνωσιν τῶν Γραφῶν. Ἀλλοίμονον! Διότι λέγων συνεχῆς αὐτά, θεωροῦμαι ὅτι φλυαρῶ, ἀλλ' ὅμως δὲν θὰ παύσω νὰ κάνω ὅ,τι ἠμπορῶ. Διὰ ποῖον λόγον, εἰπέ μου, δὲν μιμεῖσθε τοὺς παλαιούς; Μάλιστα σεῖς αἱ γυναῖκες, ζηλέψατε τὰς θαυμαστὰς ἐκείνας γυναῖκας. Ἐγεννήθη τὸ παιδί σου; Μιμήσου τὴν Ἄνναν[4], μάθε καλῶς τί ἔχει κάνει ἐκείνη· τὸν ἐπῆγεν ἀμέσως εἰς τὸν ναόν. Ποῖος ἀπὸ σᾶς δὲν θὰ ἤθελε νὰ γίνῃ ὁ υἱός του μίαν φορὰν ὁ Σαμουήλ, ἢ πάρα πολλὰς φορὰς βασιλεὺς ὅλης τῆς οἰκουμένης;

Καὶ πῶς εἶναι δυνατόν, λέγει, νὰ γίνῃ ὅπως αὐτός; Διατί νὰ μὴ εἶναι δυνατόν; Διότι δὲν θέλεις, οὔτε τὸν παραδίδεις εἰς αὐτοὺς ποὺ ἠμποροῦν νὰ τὸν κάμουν τέτοιον. Καὶ ποῖος εἶναι τέτοιος; λέγει. Ὁ Θεός· ἀφοῦ καὶ ἐκείνη ἐνεπιστεύθη εἰς αὐτὸν τὸν υἱόν της. Διότι οὔτε καὶ ὁ Ἠλεί[5], ποὺ ἦτο πάρα πολὺ κατάλληλος, εἶχε τὴν δύναμιν νὰ τὸν διαπλάσῃ. Διότι πῶς θὰ ἠμποροῦσεν αὐτός, ποὺ δὲν ἠμπόρεσεν οὔτε τοὺς ἰδικούς του υἱούς; Ἡ πίστις ὅμως τῆς γυναικὸς καὶ ἡ προθυμία της τὸ κατώρθωσεν. Ἐγέννησε τὸ πρῶτον παιδὶ καὶ μόνον, οὔτε καὶ ἐγνώριζεν ἐὰν θὰ γεννήσῃ καὶ ἄλλα. Καὶ δὲν εἶπε· Θὰ περιμένω νὰ μεγαλώσῃ

σηται βιωτικοῖς· συγχωρήσω αὐτὸν μικρὸν ἐνδιατρέψαι τῇ παιδικῇ ἡλικίᾳ· ἀλλὰ πάντα ταῦτα ἡ γυνὴ παρωσαμένη, ἑνὸς μόνου γέγονε, πῶς ἐκ προοιμίων τὸ ἄγαλμα τὸ πνευματικὸν ἀναθῇ τῷ Θεῷ. Αἰσχυνθῶμεν, οἱ ἄνδρες, τῆς γυναικὸς τὴν φιλοσοφίαν· ἀνήνεγκεν αὐτὸν τῷ Θεῷ, καὶ ἐκεῖ εἴασε. Διὰ τοῦτο καὶ ὁ γάμος ἐγένετο λαμπρότερος, ἐπειδὴ τὴν ἀπαρχὴν ἀνέθηκε· διὰ τοῦτο εὔφορος αὐτῆς γέγονεν ἡ γαστήρ, καὶ ἑτέρους ἐκτήσατο παῖδας, διὰ τοῦτο καὶ ἐν τῷ κόσμῳ εἶδεν εὐδοκιμοῦντα. Εἰ γὰρ ἄνθρωποι τιμώμενοι ἀντιτιμῶσιν, οὐ πολλῷ μᾶλλον ὁ Θεός, ὁ καὶ χωρὶς τοῦ τιμηθῆναι τοῦτο ποιῶν;

Μέχρι τίνος ἐσμὲν σάρκες; μέχρι τίνος ἐπὶ γῆς κύπτομεν; Πάντα ἡμῖν δεύτερα ἔστω τῆς προνοίας τῶν παίδων, καὶ τοῦ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου αὐτὰ ἐκτρέφεσθαι. Ἂν μάθῃ φιλόσοφος εἶναι ἐκ προοιμίων, πλοῦτον ἐκτήσατο παντὸς πλούτου μείζονα, καὶ δόξαν δυνατωτέραν. Οὐδὲν τοσοῦτον ἐργάσῃ τέχνην διδάσκων αὐτὸν καὶ παιδείαν τὴν ἔξωθεν, δι' ἧς χρήματα κτήσεται, ὅσον ἐὰν διδάξῃς αὐτὸν τέχνην, δι' ἧς χρημάτων καταφρονήσει. Εἰ βούλει ποιῆσαι αὐτὸν πλούσιον, οὕτω ποίησον. Πλούσιος γὰρ οὐχ ὁ πολλῶν χρημάτων δεόμενος, καὶ πολλὰ περιβεβλημένος, ἀλλ' ὁ μηδενὸς χρείαν ἔχων. Τοῦτο παίδευσον τὸν υἱόν, τοῦτο δίδαξον· οὗτος μέγιστος πλοῦτος. Μὴ ζήτει πῶς εὐδόκιμον ἐργάσῃ ἐν διδάγμασι τοῖς ἔξωθεν, καὶ ἐπίδοξον ποιήσεις, ἀλλὰ φρόντισον πῶς αὐτὸν διδάξεις καταφρονεῖν τῆς δόξης τῆς ἐν τῷ βίῳ τούτῳ· ἐκεῖθεν λαμπρότερος καὶ ἐνδοξότερος γένοιτο ἄν. Ταῦτα καὶ τῷ πένητι καὶ τῷ πλουσίῳ δυνατὸν ποιεῖν· ταῦτα οὐκ ἐκ διδασκάλου μανθάνει τις, οὐδὲ διὰ τέχνης,

τὸ παιδί, διὰ νὰ γνωρίσῃ τὸν κόσμον αὐτόν, θὰ τὸ ἀφήσω ἐπ' ὀλίγον νὰ ζήσῃ τὴν παιδικὴν ἡλικίαν. Ὅλα αὐτὰ ὅμως ἀφοῦ τὰ παρεμέρισεν, ἕνα μόνον ἐφρόντισε, πῶς ἀπὸ τὴν ἀρχὴν νὰ ἀναθέσῃ εἰς τὸν Θεὸν τὸ πνευματικὸν αὐτὸ ἄγαλμα. Ἂς ἐντραποῦμεν, οἱ ἄνδρες, τῆς γυναικὸς τὴν σκέψιν. Προσέφερεν αὐτὸ εἰς τὸν Θεὸν καὶ ἐκεῖ τὸ ἄφησε. Διὰ τοῦτο καὶ ὁ γάμος της ἔγινε λαμπρότερος, ἐπειδὴ προηγουμένως ἐζήτησε τὰ πνευματικά, ἐπειδὴ προσέφερε τὸν πρῶτον της καρπόν. Δι' αὐτὸ ἔγινεν εὔφορος ἡ κοιλία της, καὶ ἀπέκτησε καὶ ἄλλα παιδιά, διὰ τοῦτο καὶ εἶδε τὰ παιδιά της νὰ εὐδοκιμοῦν εἰς τὸν κόσμον. Διότι ἐὰν οἱ ἄνθρωποι τιμοῦν ὅταν τιμηθοῦν, κατὰ πολὺ περισσότερον δὲν τιμᾷ ὁ Θεός, ποὺ κάμνει αὐτὸ καὶ χωρὶς νὰ τιμηθῇ;

Μέχρι πότε θὰ εἴμεθα σάρκες; μέχρι πότε θὰ κύπτωμεν ἐπάνω εἰς τὴν γῆν; Ὅλα ἂς ἔρχωνται εἰς ἡμᾶς δεύτερα εἰς τὴν σειράν, προκειμένου διὰ τὴν φροντίδα τῶν παιδιῶν καὶ τὴν ἀνατροφήν των μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου. Ἂν τὸ παιδὶ μάθῃ νὰ σκέπτεται ἀπὸ τὴν ἀρχήν, ἀπέκτησε πλοῦτον μεγαλύτερον ἀπὸ κάθε ἄλλον καὶ δόξαν μεγαλυτέραν. Δὲν θὰ κατορθώσῃς τίποτε τόσον σπουδαῖον, ἂν διδάξῃς τὸ παιδί σου τὴν τέχνην καὶ τὴν ἔξωθεν παιδείαν, μὲ τὴν ὁποίαν θὰ ἀποκτήσῃ χρήματα, ὅσον ἂν τὸ διδάξῃς τὴν τέχνην, μὲ τὴν ὁποίαν θὰ περιφρονήσῃ τὰ χρήματα. Ἐὰν θέλῃς νὰ τὸ κάμνῃς πλούσιον, ἔτσι κάμνε το. Διότι πλούσιος δὲν εἶναι αὐτὸς ποὺ ἔχει ἀνάγκην ἀπὸ πολλὰ χρήματα, καὶ τὸν περιτριγυρίζουν πολλὰ ἀγαθά, ἀλλ' ἐκεῖνος ποὺ δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε. Αὐτὸ νὰ μάθῃς τὸν υἱόν σου, αὐτὸ νὰ διδάξῃς, αὐτὸς εἶναι ὁ μεγαλύτερος πλοῦτος. Μὴ ἀναζητῇς πῶς νὰ τὸν κάμνῃς νὰ προκόψῃ εἰς τὰ κοσμικὰ διδάγματα, καὶ νὰ τὸν καταντήσῃς φιλόδοξον, ἀλλὰ φρόντισε μὲ ποῖον τρόπον νὰ τὸν διδάξῃς νὰ περιφρονῇ τὴν δόξαν εἰς αὐτὴν τὴν ζωήν. Μετὰ ταῦτα θὰ ἠμποροῦσε νὰ γίνῃ λαμπρότερος καὶ ἐνδοξότερος. Αὐτὰ εἶναι δυνατὸν νὰ τὰ κάμνουν καὶ ὁ πτωχὸς καὶ ὁ πλούσιος, αὐτὰ δὲν τὰ μανθάνει κανεὶς ἀπὸ διδάσκαλον, οὔτε μὲ τέχνην, ἀλλὰ μὲ τὰ θεῖα λόγια. Νὰ μὴ θέλῃς νὰ

ἀλλὰ διὰ τῶν θείων λογίων. Μὴ ζήτει ὅπως μακρὸν ὧδε ζήσεται βίον, ἀλλ' ὅπως ἐκεῖ ἄπειρον καὶ ἀτελεύτητον.

Τὰ μεγάλα αὐτῷ χαρίζου, μὴ τὰ μικρά. Ἄκουε Παύλου λέγοντος· «Ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Μὴ ῥήτορα αὐτὸν σπούδαζε ποιῆσαι, ἀλλὰ φιλοσοφεῖν παίδευε. Ἐκείνου μὲν γὰρ οὐκ ὄντος, οὐδὲν ἔσται βλάβος· τούτου δὲ ἀπόντος, οὐδὲν ἔσται κέρδος μυρίας ῥητορείας. Τρόπων χρεία, οὐ λόγων, ἤθους, οὐ δεινότητος, ἔργων, οὐ ῥημάτων. Ταῦτα προξενεῖ τὴν βασιλείαν, ταῦτα χαρίζεται καὶ τὰ ὄντως ἀγαθά. Μὴ τὴν γλῶτταν ἀκονήσῃς, ἀλλὰ τὴν ψυχὴν ἐκκάθαρε. Οὐ κωλύων παιδεύειν ταῦτα λέγω, ἀλλὰ κωλύων ἐκείνοις μόνοις προσέχειν. Μὴ νομίσῃς, ὅτι τῷ μονάζοντι μόνῳ τούτων δεῖ τῶν παιδευμάτων τῶν ἀπὸ τῶν Γραφῶν· μάλιστα γὰρ τούτων δεῖ τοῖς παισὶ τοῖς μέλλουσιν εἰς τὸν βίον τοῦτον ἥκειν. Ὥσπερ γὰρ τῆς ἀπὸ τοῦ πλοίου κατασκευῆς καὶ κυβερνήτου καὶ πληρώματος τῶν ναυτῶν οὐχ οὗτος δεῖται ὁ διαπαντὸς ἐπὶ λιμένος ἑστώς, ἀλλ' ὁ θαλαττεύων ἀεί· οὕτω καὶ ὁ κοσμικός, καὶ ὁ μονάζων. Ὁ μὲν γάρ, καθάπερ εἰς λιμένα ἐστὶν ἀκύμαντον, βίον ἀπράγμονα ζῶν, καὶ πάσης ἀπηλλαγμένον καταιγίδος· οὗτος δὲ διαπαντὸς πελάγιός ἐστι, καὶ θαλαττεύει ἐν μέσῳ πελάγει πολλαῖς τρικυμίαις μαχόμενος· κἂν αὐτὸς μὴ δέηται, ἀλλὰ παρεσκευασμένον εἶναι δεῖ, ὥστε τὰς ἑτέρων ἐμφράξαι γλώττας.

3. Ὥστε ὅσῳ ἂν εὐδόκιμος γένηται ἐν τῷ βίῳ τῷ παρόντι, τοσούτῳ αὐτῷ δεῖ τῆς παιδεύσεως ταύτης. Ἄν τε γὰρ ἐν βασιλείοις τρέφηται, πολλοὶ καὶ Ἕλληνες ἐκεῖ καὶ φιλόσοφοι καὶ οἱ πεφυσημένοι ἐπὶ τῇ παρούσῃ δόξῃ, καθάπερ τάπος τις ὑδερικῶν ἐμπεπλησμένος. Τοιοῦτόν τί ἐστι τὰ βασίλεια· πάντες εἰσὶ πεφυσημένοι καὶ φλεγμαίνοντες οἱ

ζήσῃ ἐδῶ μίαν μακρὰν ζωήν, ἀλλὰ διὰ νὰ ζήσῃ ἐκεῖ αἰωνίαν καὶ ἀτελεύτητον ζωήν.

Νὰ χαρίζῃς εἰς αὐτὸν τὰ μεγάλα, ὄχι τὰ μικρά. Ἄκουε τὸν Παῦλον ποὺ λέγει· «Ἀνατρέφετε αὐτὰ μὲ παιδείαν καὶ νουθεσίαν Κυρίου». Νὰ μὴ φροντίζῃς νὰ τὸν κάμνῃς ρήτορα, ἀλλὰ νὰ τὸν ἐκπαιδεύῃς νὰ φιλοσοφῇ. Διότι ὅταν ἐκεῖνο δὲν ὑπάρχῃ, δὲν θὰ γίνῃ καμμία βλάβη· ὅταν ὅμως αὐτὸ ἀπουσιάζῃ, κανένα κέρδος δὲν θὰ εἶναι ἀπὸ τὴν ἀμέτρητον ρητορείαν. Χρειάζονται τρόποι καὶ ὄχι λόγια, ἦθος καὶ ὄχι ἱκανότης, ἔργα καὶ ὄχι λόγια. Αὐτὰ φέρουν τὴν Βασιλείαν τοῦ Θεοῦ, αὐτὰ χαρίζουν καὶ τὰ πραγματικὰ ἀγαθά. Μὴ ἐξασκῇς τὴν γλῶσσαν του, ἀλλὰ καθάριζε τὴν ψυχήν του. Δὲν λέγω αὐτὰ διὰ νὰ σὲ ἐμποδίσω νὰ μορφώσῃς ἔτσι τὸ παιδί σου, ἀλλὰ διὰ νὰ σὲ ἐμποδίσω νὰ προσέχῃς μόνον εἰς ἐκεῖνα. Μὴ νομίσῃς ὅτι μόνον εἰς αὐτὸν ποὺ μονάζει πρέπει νὰ ἐπιβάλλωνται τὰ διδάγματα τῆς ἁγίας Γραφῆς, περισσότερον καὶ ἀπ᾽ αὐτοὺς πρέπει νὰ ἐπιβάλλωνται εἰς τὰ παιδιά, ποὺ πρόκειται νὰ ἔλθουν εἰς τὴν ζωὴν αὐτήν. Διότι ὅπως ἀκριβῶς αὐτὸς ποὺ μένει μονίμως εἰς τὸ λιμάνι δὲν ἔχει ἀνάγκην κατασκευῆς πλοίου καὶ κυβερνήτου καὶ πληρώματος τῶν ναυτῶν, ἀλλ᾽ αὐτὸς ποὺ εἶναι πάντοτε μέσα εἰς τὴν θάλασσαν· ἔτσι καὶ ὁ κοσμικὸς καὶ ὁ μοναχός. Ὁ πρῶτος δηλαδή, ὡς νὰ εὑρίσκεται εἰς λιμάνι χωρὶς κύματα, ζῇ μίαν ἀδρανῆ ζωήν, καὶ εἶναι ἀπηλλαγμένος ἀπὸ κάθε καταιγίδα, ὁ δεύτερος ὅμως συνεχῶς εὑρίσκεται μέσα εἰς τὸ πέλαγος, καὶ ταξιδεύει εἰς τὸ μέσον τοῦ πελάγους μαχόμενος μὲ πολλὰς τρικυμίας, καὶ ἐὰν αὐτὸς δὲν ἔχῃ ἀνάγκην, ὅμως πρέπει νὰ εἶναι προετοιμασμένος, ὥστε νὰ κλείσῃ τὰ στόματα τῶν ἄλλων.

3. Ὥστε ὅσον περισσότερον θὰ προκόψῃ εἰς τὴν ζωὴν αὐτήν, τόσον περισσότερον χρειάζεται τὴν μόρφωσιν αὐτήν. Διότι ἂν ἀκόμη ἀνατρέφεται εἰς παλάτια, ὑπάρχουν ἐκεῖ καὶ πολλοὶ εἰδωλολάτραι καὶ φιλόσοφοι καὶ ἐκεῖνοι ποὺ ἐπαίρονται ἀπὸ τὴν κοσμικὴν δόξαν, ὡς νὰ εἶναι ἕνας τόπος γεμᾶτος ἀπὸ ὑδρωπικούς. Κάτι τέτοιο εἶναι τὰ παλάτια. Ὅλοι εἶναι ματαιόδοξοι καὶ φλεγμαίνοντες, αὐτοὶ δὲ

δὲ οὐκ ὄντες σπουδάζουσι τοῦτο γενέσθαι. Ἐννόησον οὖν ὅσον ἐστὶ τὸν υἱὸν τὸν σὸν εἰσελθόντα ἐκεῖ, καθάπερ ἰατρὸν ἄριστον, μετὰ τῶν ὀργάνων εἰσιέναι τῶν δυναμένων καταστέλλειν τὴν ἑκάστου φλεγμονήν, καὶ προσιέναι ἑκάστῳ καὶ διαλέγεσθαι, καὶ ὑγιὲς τὸ κάμνον σῶμα ποιεῖν, φάρμακα ἐπιτιθέντι τὰ ἀπὸ τῶν Γραφῶν, καὶ τοὺς περὶ φιλοσοφίας ἐκχέοντα λόγους. Ὁ γὰρ μονάζων τίνι διαλέξεται; τῷ τοίχῳ καὶ τῷ ὀρόφῳ; ἀλλὰ τῇ ἐρημίᾳ καὶ ταῖς νάπαις; ἢ τοῖς ὄρνισι καὶ τοῖς δένδροις; Οὐκ ἔχει τοίνυν πολλὴν ἀνάγκην ἐκεῖνος τῆς τοιαύτης διδασκαλίας· ἀλλ' ὅμως ἔργον τίθεται τοῦτο κατορθῶσαι, οὐχ ὥστε ἑτέρους τοσοῦτον παιδεῦσαι, ἀλλ' ὥστε ἑαυτόν. Πολλὴ οὖν χρεία μάλιστα τοῖς ἐν τῷ βίῳ τούτῳ στρεφομένοις τῆς τοιαύτης διδασκαλίας· καὶ γὰρ τοῦ ἁμαρτάνειν πλείονα οὗτος ἀνάγκην ἔχει ἢ ἐκεῖνος. Εἰ δὲ βούλει γνῶναι, καὶ ἐν τῷ κόσμῳ αὐτῷ ἐπιτηδειότερος ἔσται. Πάντες γὰρ αὐτὸν αἰδεσθήσονται ἀπὸ τῶν ρημάτων ἐκείνων, ὅταν ὁρῶσιν αὐτὸν ἐν πυρὶ μὴ καιόμενον, μηδὲ ἀρχῆς ἐπιθυμοῦντα· τότε καὶ τεύξεται ταύτης, ὅταν μὴ ἐπιθυμῇ, καὶ βασιλεῖ αἰδεσιμώτερος ἔσται. Οὐ γὰρ ἔνι τὸν τοιοῦτον λαθεῖν. Ἐν μὲν γὰρ πολλοῖς ὑγιαίνουσι λήσεται ὁ ὑγιαίνων· ἐν δὲ πολλοῖς κάμνουσιν ὅταν εἷς ὑγιαίνων ᾖ, ταχέως καὶ εἰς τὰς βασιλικὰς ἀκοὰς ἡ φήμη διαδραμεῖται, καὶ πολλοῖς αὐτὸν ἐπιστήσει ἔθνεσι. Ταῦτα οὖν εἰδότες ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου τὰ τέκνα.

Ἀλλὰ πένης τίς ἐστι; Πάλιν πένης· ἀλλὰ τοῦ ἐν βασιλείοις στρεφομένου οὐδὲν ἔσται εὐτελέστερος, ἐπειδὴ μὴ ἐν βασιλείοις ἐστίν, ἀλλὰ θαυμασθήσεται, καὶ ταχέως εἰς ἀρχὴν ἥξει τὴν ἑκούσιον, οὐ τὴν χειροτονητήν. Εἰ γὰρ Ἕλληνες ἄνδρες τριωβολιμαῖοί τινες καὶ κύνες, φιλοσοφίαν τοιαύτην ἀναδεξάμενοι τριωβολιμαῖον (τοιαύτη γὰρ ἡ Ἑλ-

6. Τριωβολιμαῖοι· οἱ ἔχοντες ἀξίαν τριῶν ὀβολῶν, ποὺ ἰσοδυναμεῖ πρὸς ἡμίσειαν δραχμήν.

7. Κύνες = κυνικοὶ φιλόσοφοι. Μὲ τὴν λέξιν αὐτὴν ὁ Χρυσόστομος χαρακτηρίζει τοὺς εἰδωλολάτρας φιλοσόφους.

ποὺ δὲν εἶναι, φροντίζουν νὰ γίνουν. Σκέψου λοιπὸν τὶ σημαίνει νὰ εἰσέλθῃ ὁ υἱός σου ἐκεῖ, ὡς ἄριστος ἰατρός, νὰ εἰσέλθῃ μὲ τὰ ὄργανα ποὺ ἔχουν τὴν δύναμιν νὰ θεραπεύουν τὴν φλεγμονὴν τοῦ καθενός, νὰ πλησιάζῃ τὸν καθένα καὶ νὰ συζητῇ, καὶ νὰ θεραπεύῃ τὸ ἀσθενὲς σῶμα, ἐπιθέτων τὰ φάρμακα ἀπὸ τὴν ἁγίαν Γραφὴν καὶ ἐκχέων τὰ λόγια τῆς πνευματικῆς ζωῆς. Ὁ μοναχὸς εἰς ποῖον θὰ ὁμιλήσῃ; εἰς τὸν τοῖχον καὶ τὴν ὀροφήν; μήπως εἰς τὴν ἔρημον καὶ τὰ φαράγγια, ἢ εἰς τὰ πουλιὰ καὶ τὰ δένδρα; Δὲν ἔχει λοιπὸν ἐκεῖνος μεγάλην ἀνάγκην τὴν διδασκαλίαν αὐτήν. Ἀλλ' ὅμως ἔχει νὰ κατορθώσῃ τὸ ἔργον αὐτό, διὰ νὰ μορφώσῃ ὄχι τόσον πολὺ τοὺς ἄλλους, ἀλλὰ τὸν ἑαυτόν του. Αὐτοὶ λοιπὸν ποὺ ἀναστρέφονται εἰς τὸν κόσμον αὐτὸν χρειάζονται κατὰ πολὺ περισσότερον τὴν διδασκαλίαν αὐτήν, διότι αὐτὸς εὑρίσκεται περισσοτέρας φορὰς εἰς τὴν ἀνάγκην διὰ νὰ ἁμαρτάνῃ παρὰ ὁ μοναχός. Καὶ ἐὰν θέλῃς νὰ πληροφορηθῇς καὶ εἰς τὸν κόσμον τοῦτον θὰ εἶναι χρησιμώτερος. Διότι ὅλοι θὰ τὸν σεβασθοῦν ἀπὸ τὰ λόγια ἐκεῖνα, ὅταν βλέπουν αὐτὸν νὰ μὴ καίεται εἰς τὸ πῦρ, οὔτε νὰ ἐπιθυμῇ τὰ ἀξιώματα. Τότε θὰ ἐπιτύχῃ καὶ αὐτά, ὅταν δὲν τὰ ἐπιθυμῇ, καὶ θὰ εἶναι σεβαστότερος ἀπὸ τὸν βασιλέα. Διότι δὲν εἶναι δυνατὸν τέτοιος ἄνθρωπος νὰ μείνῃ ἀπαρατήρητος. Διότι εἰς τοὺς πολλοὺς μὲν ὑγιεῖς θὰ φανῇ αὐτὸς ποὺ εἶναι ὑγιής. Ὅταν ὅμως εἰς τοὺς πολλοὺς ἀσθενεῖς ὑπάρχῃ ἕνας ὑγιής, γρήγορα θὰ τρέξῃ ἡ φήμη καὶ εἰς τὰ αὐτιὰ τοῦ βασιλέως, καὶ θὰ τὸν κάνῃ γνωστὸν εἰς μεγάλα πλήθη. Λοιπὸν ἀφοῦ γνωρίσετε αὐτά, ἀνατρέφετε τὰ παιδιά σας μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου.

Ἀλλ' εἶναι κανεὶς πτωχός; Ἂς μείνῃ πτωχός. Ἀλλὰ δὲν θὰ εἶναι καθόλου εὐτελέστερος ἀπὸ αὐτὸν ποὺ ἀναστρέφεται εἰς τὰ παλάτια, ἀλλὰ θὰ γίνῃ θαυμαστός, καὶ ταχέως θὰ ἀποκτήσῃ τὴν ἐξουσίαν ποὺ θέλει, ὄχι αὐτὴν ποὺ δίδουν οἱ ἄλλοι. Διότι ἐὰν μερικοὶ εἰδωλολάτραι, ἄνθρωποι χωρὶς ἀξίαν[6] καὶ κύνες[7], ἀφοῦ παρεδέχθησαν τέτοιαν φιλοσοφίαν χωρὶς ἀξίαν (διότι τέτοια εἶναι ἡ εἰδω-

ληνική) μᾶλλον δὲ οὐδὲ αὐτήν, ἀλλ' ὄνομα αὐτῆς, καὶ τρίβωνα περιθέμενοι, καὶ κόμην θρέψαντες, πολλοὺς δυσωποῦσι· πόσῳ μᾶλλον ὁ ὄντως φιλόσοφος; Εἰ σχῆμα ψευδές, εἰ σκιὰ φιλοσοφίας φαινομένη οὕτως αἱρεῖ, τί ἐὰν τὴν ἀληθῆ φιλοσοφίαν ἀγαπήσωμεν καὶ τὴν εἰλικρινῆ; οὐχὶ πάντες θεραπεύσουσι; καὶ οἰκίας καὶ γυναῖκας καὶ παῖδας τοῖς τοιούτοις μετὰ πολλῆς τῆς ἀδείας ἐγχειρίσουσιν; Ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστι τοιοῦτος φιλόσοφος νῦν. Διὰ τοῦτο οὐδὲ τὸ ὑπόδειγμα ἔστιν εὑρεῖν. Εἰσὶ μὲν γὰρ ἐν μονάζουσιν, ἐν δὲ κοσμικοῖς οὐκέτι. Καὶ ὅτι ἐν μονάζουσίν εἰσι, δυνατὸν πολλοὺς παραγαγεῖν· ὅμως ἕνα ἀπὸ πλειόνων ἐρῶ.

Ἴστε δήπου, καὶ ἀκηκόατε, οἱ δὲ καὶ ἐθεωρήσατε τὸν ἄνδρα, ὃν μέλλω νῦν ἐρεῖν· Ἰουλιανὸν λέγω τὸν θαυμάσιον. Οὗτος ἦν ἀνὴρ ἄγροικος, ταπεινὸς καὶ ἐκ ταπεινῶν· οὐδὲ ὅλως τῆς ἔξωθεν παιδείας ἔμπειρος, ἀλλὰ τῆς ἀπλάστου φιλοσοφίας πεπληρωμένος. Τούτου εἰς τὰς πόλεις ἐμβάλλοντος (σπανιάκις δὲ τοῦτο ἐγένετο), οὔτε ῥητόρων, οὔτε σοφιστῶν, οὔτε ἄλλου τινὸς εἰσελαύνοντος, τοιαύτη τις ἐγένετο συστροφή. Τί δὲ λέγω; οὐχὶ πάντων βασιλέων καὶ τὸ ὄνομα αὐτοῦ λαμπρότερον ᾄδεται ἔτι καὶ νῦν; Εἰ δὲ ἐν τῷ κόσμῳ τούτῳ ταῦτα, ἐν τῷ κόσμῳ, ἐν ᾧ μηδὲν ἡμῖν ἐπηγγείλατο ἀγαθὸν ὁ Δεσπότης, ἐν ᾧ ξένους ἡμᾶς εἶπεν εἶναι, ἐννοήσωμεν ἐν τοῖς οὐρανοῖς πόσα ἔσται τὰ ἀποκείμενα ἀγαθά· εἰ ἔνθα πάροικοι ἦσαν, τοσαύτης ἀπέλαυον τιμῆς, ἔνθα αἱ πόλεις εἰσί, πόσης ἀπολαύσουσι δόξης; εἰ ἔνθα θλῖψιν ἐπηγγείλατο, τοσαύτη θεραπεία, ἔνθα ὄντως τιμὰς ἐπαγγέλλεται, πόση ἔσται ἡ ἄνεσις; Ἀλλὰ βούλεσθε καὶ κοσμικοὺς ἐπιδείξωμεν; Νῦν μὲν γὰρ οὐκ ἔχομεν· πλὴν εἰσι μὲν ἴσως καὶ κοσμικοὶ ἐπιεικεῖς, ἀλλ' εἰς τὴν ἄκραν οὐχ ἥκον-

8. Ἰουλιανός, ὁ λεγόμενος καὶ Σάββας. Ἀναχωρητὴς καὶ ἱδρυτὴς μοναστικῆς Λαύρας ΒΑ τῆς Ἐδέσσης (Συρίας)· συγκαταλέγεται μεταξὺ τῶν διαπρεπεστέρων στυλοβατῶν τοῦ μοναχισμοῦ κατὰ τὸν 4ον αἰῶνα

λολατρική), μᾶλλον δὲ οὔτε αὐτήν, ἀλλὰ τὸ ὄνομα αὐτῆς, καὶ ἐνεδύθησαν τὸν τρίβωνα καὶ ἔθρεψαν μακρὰν κόμην, καταισχύνουν τοὺς πολλούς, πόσον περισσότερον ὁ πραγματικὸς φιλόσοφος; Ἐὰν τὸ ψεύτικον σχῆμα, ἐὰν ἡ σκιὰ τῆς φιλοσοφίας, παρουσιαζομένη ἔτσι ἐντυπωσιάζῃ, τί θὰ γίνῃ ἐὰν ἀγαπήσωμεν τὴν ἀληθινὴν καὶ γνησίαν φιλοσοφίαν; Δὲν θὰ τὴν σέβωνται ὅλοι; Καὶ δὲν θὰ παραχωρήσουν μὲ μεγάλην εὐκολίαν εἰς τοὺς φιλοσόφους αὐτοὺς καὶ τὰ σπίτια καὶ τὰς γυναῖκας καὶ τὰ παιδιά των; Ἀλλὰ δὲν ὑπάρχει, δὲν ὑπάρχει τώρα τέτοιος φιλόσοφος. Διὰ τοῦτο οὔτε τὸ παράδειγμα εἶναι δυνατὸν νὰ εὕρωμεν. Ὑπάρχουν βεβαίως μεταξὺ τῶν μοναχῶν, μεταξὺ τῶν κοσμικῶν ὅμως δὲν ὑπάρχουν πλέον. Καὶ ὅτι ὑπάρχουν μεταξὺ τῶν μοναχῶν, θὰ ἠμποροῦσα νὰ σᾶς παρουσιάσω πολλούς, ἀλλὰ θὰ σᾶς εἰπῶ ἕνα ἀπὸ τοὺς πολλούς.

Ἴσως γνωρίζετε καὶ ἔχετε ἀκούσει, ἄλλοι δὲ καὶ εἴδατε τὸν ἄνδρα, ποὺ πρόκειται νὰ εἰπῶ τώρα· ἐννοῶ τὸν Ἰουλιανὸν τὸν θαυμάσιον[8]. Αὐτὸς ἦτο ἄνδρας τραχύς, ταπεινός, καταγόμενος ἀπὸ ταπεινοὺς γονεῖς, δὲν εἶχε καμμίαν ἀπολύτως ἐμπειρίαν τῆς κοσμικῆς παιδείας, ἀλλ' ἦτο γεμᾶτος μὲ τὴν αἰωνίαν φιλοσοφίαν. Ὅταν εἰσήρχετο εἰς τὰς πόλεις (καὶ τοῦτο συνέβαινε σπανίως), ἐγίνετο τόσον μεγάλη συνάθροισις ἀνθρώπων, ποὺ δὲν ἐγίνετο οὔτε ὅταν κατέφθανον ρήτορες ἢ σοφισταὶ ἢ οἱοσδήποτε ἄλλος. Τί ὅμως λέγω; Δὲν ἀνυμνεῖται ἀκόμη καὶ τώρα τὸ ὄνομά του λαμπρότερον ἀπὸ ὅλους τοὺς βασιλεῖς; Ἐὰν δὲ αὐτὰ συμβαίνουν εἰς τὸν κόσμον αὐτόν, εἰς τὸν ὁποῖον ὁ Κύριος δὲν μᾶς ὑπεσχέθη κανένα ἀγαθόν, ἂς ἀντιληφθοῦμεν πόσα θὰ εἶναι τὰ ἀγαθὰ ποὺ ἔχουν ἀποτεθῆ εἰς τοὺς οὐρανούς. Ἐὰν ἐδῶ, ποὺ ἦσαν πάροικοι, ἐτιμήθησαν τόσον πολύ, ἐκεῖ ποὺ θὰ εἶναι μόνιμοι κάτοικοι, πόσον θὰ δοξασθοῦν; Ἐὰν ἐδῶ ποὺ μᾶς ὑπεσχέθη θλῖψιν, ὑπάρχει τόση περιποίησις, ἐκεῖ ποὺ ὑπόσχεται πράγματι τιμάς, πόση θὰ εἶναι ἡ ἄνεσις; Ἀλλὰ θέλετε νὰ παρουσιάσωμεν καὶ κοσμικούς; Τώρα ὅμως δὲν ἔχομεν. Βεβαίως ὑπάρχουν ἴσως καὶ κοσμικοὶ μορφωμένοι, ἀλλὰ δὲν φθάνουν εἰς τὴν ὑψίστην φιλοσο-

τες φιλοσοφίαν. Διὸ ἀπὸ τῶν παλαιῶν καὶ ἁγίων ἐρῶ ὑμῖν τὰ ὑποδείγματα. Πόσοι γυναῖκας ἔχοντες, καὶ παῖδας τρέφοντες, τῶν εἰρημένων οὐδὲν ἔλαττον, οὐδὲν ἔλαττον ἔσχον; Ἀλλὰ νῦν οὐκέτι ἐστὶ διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, καθώς φησιν ὁ μακάριος οὗτος. Τίνα οὖν βούλεσθε εἴπω; τὸν Νῶε ἢ τὸν Ἀβραάμ; τὸν τούτου παῖδα ἢ τὸν ἐκείνου; ἀλλὰ τὸν Ἰωσήφ; Ἀλλὰ βούλεσθε ἐπὶ τοὺς προφήτας ἔλθωμεν; τὸν Μωϋσέα λέγω, τὸν Ἡσαΐαν.

4. Ἀλλ', εἰ δοκεῖ, ἐπὶ τὸν Ἀβραὰμ τὸν λόγον ἑλκύσωμεν, ὃν μάλιστα πάντες προφέρουσιν ἡμῖν ἀεί. Οὐχὶ γυναῖκα εἶχεν; οὐχὶ παῖδας; καὶ γὰρ καὶ ἐγὼ τοῦτο λέγω πρὸς ὑμᾶς, ὅπερ ὑμεῖς πρὸς ἡμᾶς. Γυναῖκα εἶχεν, ἀλλ' οὐκ ἐπειδὴ γυναῖκα εἶχε, θαυμαστὸς ἦν· χρήματα εἶχεν, ἀλλ' οὐκ ἐπειδὴ χρήματα εἶχεν, ἤρεσε τῷ Θεῷ, παῖδας ἔτεκεν, ἀλλ' οὐκ ἐπειδὴ παῖδας ἔτεκεν, ἐμακαρίζετο· τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἐκέκτητο, ἀλλ' οὐ τούτου χάριν ἐθαυμάζετο. Ἀλλὰ βούλει μαθεῖν πόθεν; ἀπὸ τῆς φιλοξενίας, ἀπὸ τῆς τῶν χρημάτων ὑπεροψίας, ἀπὸ τῆς κοσμιότητος. Τί γάρ ἐστιν, εἰπέ μοι, φιλοσόφου; οὐχὶ καὶ χρημάτων καὶ δόξης καταφρονεῖν; καὶ φθόνου καὶ παντὸς πάθους ἀνώτερον εἶναι; Φέρε οὖν, αὐτὸν εἰς μέσον ἀγαγόντες ἀποδύσωμεν, καὶ δείξωμεν ὑμῖν οἷος φιλόσοφος ἦν. Οὐδὲν ἡγεῖτο πατρίδα πρῶτον· «Ἔξελθε» γάρ, ἤκουσεν, «ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου»· καὶ εὐθέως ἐξῆλθεν. Οὐ προσεδέδετο οἰκίᾳ· ἢ γὰρ ἂν οὐκ ἐξῆλθεν· οὐ συνηθείας φιλίᾳ, οὐκ ἄλλῳ οὐδενί. Εἶτα δόξης μάλιστα πάντων ἐκεῖνος κατεφρόνησε καὶ χρημάτων· καὶ γὰρ πόλεμον τροπωσάμενος, καὶ λάφυρα ἀξιούμενος λαβεῖν, κατέπτυσεν. Ἀλλ' ὁ παῖς ὁ τούτου, οὐ διὰ τὰ χρήματα πάλιν ἐθαυμάζετο, ἀλλὰ διὰ τὴν

9. Γεν. 12 1.

φίαν. Διὰ τοῦτο θὰ σᾶς ἀναφέρω παραδείγματα ἀπὸ τοὺς παλαιοὺς καὶ ἁγίους. Πόσοι ποὺ ἔχουν γυναῖκας καὶ ἀνατρέφουν παιδιά, ἀπ' αὐτοὺς ποὺ ἔχομεν ἀναφέρει καθόλου ὀλιγώτερον, καθόλου ὀλιγώτερον δὲν ὑστεροῦν; Ἀλλὰ τώρα δὲν γίνεται πλέον λόγος διὰ τὴν παροῦσαν ἀνάγκην, καθὼς λέγει ὁ μακάριος αὐτός. Ποῖον λοιπὸν θέλετε νὰ εἰπῶ; τὸν Νῶε ἢ τὸν Ἀβραάμ; τὸν υἱὸν αὐτοῦ ἢ τὸν υἱὸν ἐκείνου; μήπως τὸν Ἰωσήφ; Μήπως θέλετε νὰ ἔλθωμεν εἰς τοὺς προφήτας; τὸν Μωϋσῆ λέγω, τὸν Ἠσαΐαν.

4. Ἀλλ' ἂν φαίνεται καλὸν εἰς σᾶς, ἂς φέρωμεν τὸν λόγον εἰς τὸν Ἀβραάμ, ποὺ ὅλοι τὸν ἀναφέρουν εἰς ἡμᾶς πάρα πολὺ πάντοτε. Δὲν εἶχε γυναῖκα; δὲν εἶχε παιδιά; Διότι καὶ ἐγὼ αὐτὸ λέγω εἰς σᾶς, ποὺ σεῖς λέγετε εἰς ἐμέ. Γυναῖκα εἶχεν, ἀλλὰ δὲν ἦτο θαυμαστὸς ἐπειδὴ εἶχε γυναῖκα. Χρήματα εἶχεν, ὅμως δὲν ἤρεσεν εἰς τὸν Θεὸν ἐπειδὴ εἶχε χρήματα. Παιδιὰ ἀπέκτησεν, ἀλλὰ δὲν τὸν ἐμακάριζον ἐπειδὴ ἀπέκτησε παιδιά. Τριακοσίους δέκα καὶ ὀκτὼ δούλους εἶχεν, ὅμως δὲν τὸν ἐθαύμαζαν δι' αὐτό. Ἀλλὰ θέλεις νὰ μάθῃς διὰ ποῖον λόγον τὸν ἐθαύμαζαν; Διὰ τὴν φιλοξενίαν, διὰ τὴν περιφρόνησιν τῶν χρημάτων, διὰ τὴν σεμνότητα. Διότι, εἰπέ μου, ποῖον τὸ χαρακτηριστικὸν γνώρισμα τοῦ φιλοσόφου; Δὲν εἶναι ἡ περιφρόνησις καὶ τῶν χρημάτων καὶ τῆς δόξης; Καὶ νὰ εἶναι ἀνώτερος ἀπὸ τὸν φθόνον καὶ ἀπὸ κάθε πάθος; Ἐμπρὸς λοιπόν, ἀφοῦ τὸν φέρωμεν εἰς τὸ μέσον μας, ἂς τὸν ἀποκαλύψωμεν, καὶ νὰ σᾶς δείξω πόσον μεγάλος φιλόσοφος ἦτο. Δὲν ἐνόμιζε τὴν πατρίδα πρῶτον ἀγαθόν. Διότι ἤκουσεν ἀπὸ τὸν Θεόν· «Φύγε ἀπὸ τὴν πατρίδα σου καὶ ἀπὸ τοὺς συγγενεῖς σου»*, καὶ ἀμέσως ἔφυγε. Δὲν ἦτο προσδεδεμένος μὲ τὴν κατοικίαν. Διότι δὲν θὰ ἔφευγεν, οὔτε μὲ φιλίαν οἰκειότητος, οὔτε μὲ ὅ,τιδήποτε ἄλλο. Ἔπειτα περιεφρόνησεν ἐκεῖνος τὴν δόξαν καὶ τὰ χρήματα κατὰ πολὺ περισσότερον ἀπὸ ὅλα. Διότι ἀφοῦ κατετρόπωσε εἰς πόλεμον τοὺς ἐχθροὺς του καὶ εἶχε τὸ δικαίωμα νὰ λάβῃ λάφυρα, τὰ περιεφρόνησεν. Ἀλλὰ καὶ ὁ υἱός του, δὲν ἐθαυμάζετο πάλιν διὰ τὰ χρήματά του, ἀλλὰ διὰ τὴν φιλοξενίαν του, ὄχι διὰ τὰ παιδιά

φιλοξενίαν, οὐ διὰ τὰ παιδία, ἀλλὰ διὰ τὴν ὑπακοήν, οὐ διὰ τὴν γυναῖκα, ἀλλὰ διὰ τὴν στείρωσιν τὴν ἐπὶ τῇ γυναικί. Οὐδὲν τὴν παροῦσαν ἡγοῦντο ζωήν, οὐκ ἐχρηματίζοντο, ὑπερεώρων ἁπάντων.

Εἰπὲ γάρ μοι, ποῖα τῶν φυτῶν ἐστιν ἄριστα; οὐχ ἅπερ ἂν οἴκοθεν ἔχῃ τὴν ἰσχύν, καὶ μήτε ὄμβροις, μήτε χαλάζαις, μήτε ἀνέμων ῥύμαις, μήτε ἄλλῃ τινὶ τοσαύτῃ ἀνωμαλίᾳ βλάπτηται, ἀλλὰ γυμνὰ ἕστηκε πάντων καταφρονοῦντα, μήτε θριγκίων, μήτε φραγμῶν δεόμενα; Τοιοῦτος ὁ φιλόσοφός ἐστι, τοιοῦτος ὁ πλοῦτος ἐκεῖνος· οὐδὲν ἔχει, καὶ πάντα ἔχει· πάντα ἔχει, καὶ οὐδὲν ἔχει. Ὁ γὰρ τοῖχος οὐκ ἔνδον, ἀλλ' ἔξωθέν ἐστιν, ὁ θριγκὸς οὐ τῆς φύσεώς ἐστιν, ἀλλ' ἔξωθεν περιβαλλόμενος. Τί δέ, εἰπέ μοι; ποῖον σῶμα ἰσχυρόν ἐστιν; οὐχ ὅπερ ἂν ὑγιαίνων ᾖ, καὶ μήτε λιμῷ, μήτε πλησμονῇ, μήτε ψύχει, μήτε καύματι ἁλίσκηται· ἢ τὸ πρὸς πάντα ταῦτα ὑποκείμενον, καὶ τραπεζοποιῶν καὶ ὑφαντῶν καὶ θηρευτῶν καὶ ἰατρῶν δεόμενον, ἵνα ὑγιαίνῃ; Ἐκεῖνός ἐστι πλούσιος, ὁ ὄντως φιλόσοφος, ὁ μηδενὸς τούτων δεόμενος. Διὰ τοῦτο ὁ μακάριος οὗτος ἔλεγεν· «Ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Μὴ τοίνυν θριγκία ἔξωθεν περιβάλλετε· τοῦτο γὰρ ὁ πλοῦτος, τοῦτο ἡ δόξα. Ὅταν γὰρ ταῦτα καταπέσῃ, καταπίπτει δέ, γυμνὸν ἕστηκε καὶ εὐάλωτον τὸ φυτόν, οὐ μόνον οὐδὲν κερδᾶναν ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ βλαβέν. Ἐκεῖνα γὰρ τὰ θριγκία τὰ κωλύοντα αὐτὸ ἐγγυμνάζεσθαι πρὸς τὰς τῶν ἀνέμων προσβολάς, νῦν ἀθρόον καταπεσεῖν παρεσκεύασεν.

Ὥστε βλάπτει μᾶλλον ὁ πλοῦτος, ἀμελετήτους παρασκευάζων πρὸς τὰς ἀνωμαλίας τοῦ βίου. Τοιούτους τοίνυν παρασκευάζομεν τοὺς παῖδας, ὥστε δύνασθαι πρὸς πάντα ἀντέχειν, καὶ μὴ ξενίζεσθαι τοῖς ἐπιοῦσιν· ἐκτρέφωμεν αὐ-

του, ἀλλὰ διὰ τὴν ὑπακοήν του, ὄχι διὰ τὴν γυναῖκα του, ἀλλὰ διὰ τὴν στειρότητα τῆς γυναικός του. Ἐθεωροῦσαν τὴν παροῦσαν ζωὴν ὡς ἕνα τίποτε, δὲν ἠσχολοῦντο μὲ χρηματικὰς ὑποθέσεις, περιεφρόνουν τὰ πάντα.

Εἰπέ μου, λοιπόν, ποῖα φυτὰ εἶναι τὰ καλύτερα; Δὲν εἶναι ἐκεῖνα ποὺ ἔχουν ἀπὸ τὴν φύσιν των τὴν δύναμιν, καὶ δὲν τὰ βλάπτουν οὔτε αἱ βροχαί, οὔτε αἱ χάλαζαι, οὔτε ἡ ὁρμὴ τῶν ἀνέμων, οὔτε παρομοία ἄλλη ἀνωμαλία, ἀλλὰ στέκονται γυμνὰ ἀδιαφοροῦντα δι' ὅλα αὐτά, χωρὶς νὰ ἔχουν ἀνάγκην οὔτε ἀπὸ στηρίγματα, οὔτε ἀπὸ φράκτας; Τέτοιος εἶναι ὁ φιλόσοφος, τέτοιος ὁ πλοῦτος ἐκεῖνος. Τίποτε δὲν ἔχει καὶ τὰ ἔχει ὅλα, ὅλα τὰ ἔχει καὶ τίποτε δὲν ἔχει. Διότι ὁ τοῖχος δὲν εἶναι ἐκ τῶν ἔσω, ἀλλ' ἐκ τῶν ἔξω, τὸ στήριγμα δὲν εἶναι ἀπὸ τὴν φύσιν, ἀλλὰ ἀπ' ἔξω τοποθετούμενον. Τί ὅμως, εἰπέ μου; ποῖον σῶμα εἶναι ἰσχυρόν; Δὲν εἶναι αὐτὸ ποὺ εἶναι ὑγιὲς καὶ δὲν τὸ καταβάλλει οὔτε ἡ πεῖνα, οὔτε ὁ κορεσμός, οὔτε τὸ ψῦχος, οὔτε ὁ καύσων, ἢ ἐκεῖνο ποὺ εἶναι εἰς τὴν διάθεσιν ὅλων αὐτῶν καὶ ἔχει ἀνάγκην ἀπὸ τραπεζοκόμους καὶ τεχνίτας εἰδικοὺς εἰς τὴν ὑφαντικὴν καὶ κυνηγοὺς καὶ ἰατρούς, διὰ νὰ ἔχῃ τὴν ὑγείαν του; Ἐκεῖνος εἶναι πλούσιος, ὁ πραγματικὸς φιλόσοφος, ποὺ δὲν ἔχει ἀνάγκην διὰ τίποτε ἀπ' αὐτά. Δι' αὐτὸ ὁ μακάριος Παῦλος ἔλεγεν· «Ἀνατρέφετε αὐτὰ μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου». Μὴ τοποθετεῖτε λοιπὸν στηρίγματα ἀπ' ἔξω, διότι τοῦτο εἶναι ὁ πλοῦτος, τοῦτο εἶναι ἡ δόξα. Διότι ὅταν αὐτὰ θὰ πέσουν κάτω, καὶ πίπτουν κάτω, τὸ φυτὸν στέκει γυμνὸν καὶ εὐάλωτον, ὄχι μόνον χωρὶς κέρδος ἀπὸ τὸν χρόνον ποὺ προῆλθεν, ἀλλὰ καὶ μὲ βλάβην. Διότι τὰ στηρίγματα ἐκεῖνα, ποὺ τὸ παρεκώλυαν νὰ ἐξασκῆται εἰς τὰ κτυπήματα τῶν ἀνέμων, τώρα τὸ προητοίμασαν νὰ πέσῃ κάτω ἀμέσως.

Ὥστε ὁ πλοῦτος βλάπτει περισσότερον, διότι κάμνει τοὺς ἀνθρώπους ἀπροετοιμάστους διὰ τὰς ἀνωμαλίας τῆς ζωῆς. Ἂς προετοιμάζωμεν λοιπὸν τὰ παιδιά μας ἔτσι, ὥστε νὰ ἠμποροῦν νὰ ἀντέχουν ὅλα, καὶ νὰ μὴ ἐκπλήσσωνται δι' αὐτὰ ποὺ ἔρχονται. Ἂς ἀνατρέφωμεν αὐτὰ μὲ

τοὺς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, καὶ πολὺς ἡμῖν ὁ μισθὸς ἀποκείσεται. Εἰ γὰρ ἄνθρωποι ἀγάλματα ποιοῦντες βασιλέων, καὶ εἰκόνας γράφοντες, τοσαύτης ἀπολαύουσι τιμῆς· ἡμεῖς τὴν βασιλικὴν εἰκόνα καλλωπίζοντες (εἰκὼν γὰρ τοῦ Θεοῦ ἄνθρωπος), οὐ μυρίων ἀπολαύσομεν τῶν ἀγαθῶν, τὸ καθ' ὁμοίωσιν ἀποδιδόντες; Τοῦτο γάρ ἐστιν ὅμοιον, ἡ τῆς ψυχῆς ἀρετή, ὅταν ἀγαθοὺς εἶναι παιδεύσωμεν τοὺς παῖδας, ὅταν ἀοργήτους, ὅταν ἀμνησικάκους· ταῦτα πάντα Θεοῦ ἴδια, ὅταν εὐεργετικούς, ὅταν φιλανθρώπους, ὅταν παιδεύσωμεν τὰ παρόντα μηδὲν ἡγεῖσθαι. Τοῦτο τοίνυν ἡμῖν ἔργον ἔστω καὶ ἑαυτούς, κἀκείνους πλάττειν καὶ ρυθμίζειν εἰς δέον· ἐπεὶ ποίᾳ παρρησίᾳ στησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ; Εἰ γὰρ ἐπισκοπῆς ἀνάξιος ὁ παῖδας ἀνυποτάκτους ἔχων, πολλῷ μᾶλλον τῆς βασιλείας τῶν οὐρανῶν. Τί λέγεις; κἂν γυναῖκα ἄτακτον ἔχωμεν, κἂν παῖδας, εὐθύνας ὑφέξομεν; Ναί, ἐὰν μὴ μετὰ ἀκριβείας τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν· οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ οἰκεία ἀρετὴ πρὸς σωτηρίαν. Εἰ γὰρ ὁ τὸ τάλαντον τὸ ἓν μὴ καταβαλόμενος, οὐδὲν ἐκέρδανεν, ἀλλὰ καὶ οὕτω κολάζεται· δῆλον ὅτι οὐκ ἀρκεῖ ἡ οἰκεία ἀρετὴ εἰς σωτηρίαν, ἀλλὰ δεῖ καὶ τῆς ἑτέρου.

Πολλὴν τοίνυν ποιώμεθα καὶ τῶν γυναικῶν φρον- ἡμῶν ἐτύθη Χριστός», φησίν. Ἄρα καὶ ἡμεῖς πάσχα ἐκείνους ρυθμίζειν, τὸν Θεὸν παρακαλῶμεν, ὥστε συναντιλαβέσθαι ἡμῖν τοῦ ἔργου. Ἂν ἴδῃ ἡμᾶς τοῦτο μεριμνῶντας, τούτου φροντίζοντας, συναντιλήψεται· ἂν δὲ μηδένα ποιουμένους λόγον, οὐ δώσει χεῖρα. Οὐ γὰρ καθεύδουσιν ἡμῖν χορηγεῖ τὴν βοήθειαν ὁ Θεός, ἀλλὰ πονουμένοις καὶ αὐτοῖς.

10. Πρβλ. Ματθ. 25, 24-30.

τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου, καὶ θὰ μᾶς περιμένῃ πολὺς μισθός. Διότι ἐὰν οἱ ἄνθρωποι, ποὺ κάμνουν ἀγάλματα τῶν βασιλέων καὶ ζωγραφίζουν εἰκόνας, ἀπολαμβάνουν τόσον μεγάλην τιμήν, ἡμεῖς ποὺ καλλωπίζομεν τὴν βασιλικὴν εἰκόνα (διότι ὁ ἄνθρωπος εἶναι εἰκὼν τοῦ Θεοῦ), δὲν θὰ ἀπολαύσωμεν ἀμέτρητα ἀγαθά, ἐφ' ὅσον ἀνταποδίδομεν τὸ καθ' ὁμοίωσιν; Διότι αὐτὸ σημαίνει ὅμοιον, ἡ ἀρετὴ τῆς ψυχῆς, ὅταν ἐκπαιδεύσωμεν τὰ παιδιά μας νὰ εἶναι ἀγαθά, νὰ μὴ ὀργίζωνται, νὰ εἶναι ἀνεξίκακα. Ὅλα αὐτὰ εἶναι γνωρίσματα τοῦ Θεοῦ, ὅταν ἐκπαιδεύσωμεν τὰ παιδιὰ νὰ εὐεργετοῦν, νὰ εἶναι φιλάνθρωπα, ὅταν τὰ ἐκπαιδεύσωμεν νὰ περιφρονοῦν τὰ παρόντα. Αὐτὸ λοιπὸν ἂς εἶναι τὸ ἔργον μας, τὸ νὰ διαπαιδαγωγοῦμεν τὸν ἑαυτόν μας καὶ ἐκεῖνα καὶ νὰ συνηθίζωμεν εἰς τὸ πρέπον. Διότι μὲ ποῖον θάρρος θὰ σταθοῦμεν ἐμπρὸς εἰς τὸ βῆμα τοῦ Χριστοῦ; Διότι ἐὰν εἶναι ἀνάξιος δι' ἐπισκοπὴν ἐκεῖνος, ποὺ ἔχει ἀνυπάκουα παιδιά, κατὰ πολὺ περισσότερον θὰ εἶναι ἀνάξιος διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν. Τί λέγεις; Καὶ ἐὰν ἔχωμεν ἄτακτον γυναῖκα καὶ παιδιά, θὰ δώσωμεν λόγον; Βεβαίως, ἐὰν δὲν εἰσφέρωμεν ἀκριβῶς αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἡμᾶς· διότι δὲν εἶναι ἀρκετὴ ἡ ἰδική μας ἀρετὴ διὰ τὴν σωτηρίαν μας. Διότι ἐὰν αὐτὸς ποὺ δὲν ἐχρησιμοποίησε τὸ ἕνα τάλαντον, δὲν ἐκέρδισε τίποτε, ἀλλὰ καὶ κατ' αὐτὸν τὸν τρόπον τιμωρεῖται[10], εἶναι φανερὸν ὅτι δὲν εἶναι ἀρκετὴ ἡ ἰδική μας ἀρετὴ διὰ τὴν σωτηρίαν, ἀλλὰ πρέπει νὰ φροντίζωμεν καὶ διὰ τὴν ἀρετὴν τοῦ ἄλλου.

Ἂς φροντίζωμεν λοιπὸν καὶ διὰ τὴν γυναῖκα μας πολύ, καὶ ἂς προνοοῦμεν διὰ τὰ παιδιὰ καὶ τοὺς ὑπηρέτας μας, καὶ διὰ τοὺς ἑαυτούς μας πολύ, καὶ διὰ νὰ διορθώσωμεν τοὺς ἑαυτούς μας καὶ ἐκείνους· ἂς παρακαλοῦμεν τὸν Θεόν, ὥστε νὰ μᾶς βοηθήσῃ εἰς τὸ ἔργον μας. Ἂν μᾶς ἰδῇ νὰ μεριμνῶμεν τοῦτο, νὰ φροντίζωμεν δι' αὐτό, θὰ μᾶς βοηθήσῃ, ἂν ὅμως μᾶς ἰδῇ νὰ μὴ ἐνδιαφερώμεθα καθόλου, δὲν θὰ μᾶς δώσῃ τὸ χέρι του. Διότι ὁ Θεὸς δὲν μᾶς δίδει τὴν βοήθειάν του, ὅταν κοιμώμεθα, ἀλλ' ὅταν κοπιά-

Ὁ γὰρ βοηθὸς οὐ τοῦ ἀργοῦντός ἐστι βοηθός, ἀλλὰ τοῦ καὶ αὐτοῦ ἐργαζομένου. Δυνατὸς δὲ ὁ ἀγαθὸς Θεὸς δι᾿ ἑαυτοῦ τὸ ἔργον εἰς τέλος ἀγαγεῖν, ἵνα ἀξιωθῶμεν πάντες ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾿ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ζωμεν καὶ ἡμεῖς οἱ ἴδιοι. Διότι ὁ βοηθὸς δὲν εἶναι βοηθὸς εἰς αὐτὸν ποὺ μένει ἀργός, ἀλλ' εἰς ἐκεῖνον ποὺ καὶ ὁ ἴδιος ἐργάζεται. Ἔχει δὲ τὴν δύναμιν ὁ ἀγαθὸς Θεὸς μόνος του νὰ φέρῃ εἰς πέρας τὸ ἔργον, διὰ νὰ ἀξιωθῶμεν ὅλοι νὰ ἀπολαύσωμεν τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθῆ εἰς ἡμᾶς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ΄
Ἐφ. 6, 5 - 13

«Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ· μὴ κατ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις· εἰδότες ὅτι ἐάν τις ἄνθρωπος ποιήσῃ ἀγαθόν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος».

1. Ὥστε οὐκ ἀνὴρ μόνον, οὔτε γυνή, οὔτε παιδία, ἀλλὰ καὶ οἰκετῶν ἀρετὴ συντελεῖ εἰς σύστασιν καὶ πρόστασιν οἰκίας. Διὰ τοῦτο ὁ μακάριος Παῦλος οὐδὲ τούτου τοῦ μέρους ἠμέλησεν· ἀλλ' ἔρχεται μὲν ἔσχατον ἐπ' αὐτό, ἐπειδὴ καὶ ἔσχατον κεῖται τῷ ἀξιώματι. Πολλὰ δὲ καὶ πρὸς αὐτοὺς διαλέγεται, οὐκέτι ἐν τοῖς παισίν, ἀλλὰ πολλῷ τελειότερον· οὐ γὰρ ἐνταῦθα δίδωσιν αὐτοῖς τὴν ὑπόσχεσιν, ἀλλ' ἐν τῷ μέλλοντι. «Εἰδότες», φησίν, «ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν ἢ κακόν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου». Καὶ φιλοσοφεῖν ἤδη διδάσκει. Εἰ γὰρ καὶ τῷ ἀξιώματι τῶν παίδων εἰσὶν ἐλάττους, ἀλλὰ τῷ φρονήματι μείζους. «Οἱ δοῦλοι», φησίν, «ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα». Εὐθέως τὴν λελυπημένην ἀνέστησε ψυχήν, εὐθέως παρεμυθήσατο. Μὴ ἄλγει, φησίν, ὅτι ἔλαττον ἔχεις καὶ τῆς γυναικός, καὶ τῶν παίδων· ὄνομα δουλείας ἐστὶ μόνον· κατὰ σάρκα ἐστὶν ἡ δεσποτεία, πρόσκαιρος καὶ βραχεῖα· ἅπερ γὰρ ἂν ᾖ σαρκικόν, ἐπίκηρόν ἐστι. «Μετὰ φόβου», φησί, «καὶ τρόμου».

1. Ἐφ. 6, 5 - 8.

ΟΜΙΛΙΑ ΚΒ΄
'Εφ. 6, 5 - 13

«Οἱ δοῦλοι νὰ ὑπακούετε εἰς τοὺς κατὰ σάρκα κυρίους μὲ φόβον καὶ τρόμον, μὲ ἁπλότητα τῆς καρδίας σας, ὡς νὰ ὑπακούετε εἰς τὸν Χριστόν. Ὄχι μὲ προσποιητὴν ὑπακοήν, ὡς νὰ προσπαθῆτε νὰ ἀρέσετε εἰς τοὺς ἀνθρώπους, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ἐκτελοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἀπὸ τὴν ψυχήν σας, μὲ καλὴν διάθεσιν, ὡς νὰ δουλεύτε εἰς τὸν Κύριον καὶ ὄχι εἰς ἀνθρώπους, γνωρίζοντες ὅτι ἐὰν κάμῃ ἕνας ἄνθρωπος καλόν, τοῦτο καὶ θὰ λάβῃ ὡς βραβεῖον ἀπὸ τὸν Κύριον, εἴτε εἶναι δοῦλος, εἴτε ἐλεύθερος»[1].

1. Ὥστε ὄχι μόνον ὁ ἄνδρας, οὔτε ἡ γυναῖκα, οὔτε τὰ παιδιά, ἀλλὰ καὶ ἡ ἀρετὴ τῶν δούλων συντελεῖ εἰς τὴν συγκρότησιν καὶ ἐξωτερικὴν μεγαλοπρέπειαν τῆς οἰκίας. Διὰ τοῦτο ὁ μακάριος Παῦλος δὲν ἠμέλησεν αὐτούς, ἀλλ' ἔρχεται εἰς τοὺς δούλους εἰς τὸ τέλος, ἐπειδὴ καὶ εἰς τὸ τέλος εὑρίσκονται ὡς πρὸς τὴν θέσιν. Πολλὰ δὲ καὶ πρὸς αὐτοὺς λέγει, ὄχι πλέον ὅπως εἰς τὰ παιδιά, ἀλλὰ κατὰ πολὺ τελειότερον. Διότι εἰς αὐτοὺς δὲν δίδει ὑπόσχεσιν διὰ τὴν παροῦσαν ζωήν, ἀλλὰ διὰ τὴν μέλλουσαν. «Γνωρίζοντες», λέγει, «ὅτι οἱονδήποτε καλὸν ἢ κακὸν ἐὰν κάμῃ κάθε ἄνθρωπος, τοῦτο θὰ λάβῃ πάλιν ἀπὸ τὸν Κύριον». Καὶ ἤδη διδάσκει αὐτοὺς νὰ φιλοσοφοῦν. Διότι ἐὰν ὡς πρὸς τὸ ἀξίωμα εἶναι ὑποδεέστεροι τῶν παιδιῶν, ὡς πρὸς τὸ φρόνημα ὅμως εἶναι ἀνώτεροι. «Οἱ δοῦλοι», λέγει, «νὰ ὑπακούετε εἰς τοὺς κατὰ σάρκα κυρίους». Ἀμέσως ἀνέστησε τὴν λυπημένην ψυχήν των, ἀμέσως τοὺς παρηγόρησε. Μὴ λυπεῖσαι, λέγει, ἐπειδὴ εὑρίσκεσαι εἰς ὑποδεεστέραν θέσιν καὶ ἀπὸ τὴν γυναῖκα καὶ ἀπὸ τὰ παιδιά. Ἡ δουλεία εἶναι μόνον κατ' ὄνομα. Ἡ ἐξουσία τοῦ κυρίου εἶναι κατὰ σάρκα, πρόσκαιρος

Ὁρᾷς ὅτι οὐ τὸν αὐτὸν ἀπαιτεῖ παρὰ γυναικὸς καὶ δούλων φόβον; Ἐκεῖ μὲν γὰρ ἁπλῶς εἶπεν, «Ἡ δὲ γυνή, ἵνα φοβεῖται τὸν ἄνδρα», ἐνταῦθα δὲ μετ' ἐπιτάσεως, «Μετὰ φόβου», φησί, «καὶ τρόμου. Ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ». Συνεχῶς τοῦτό φησι.

Τί λέγεις, ὦ μακάριε Παῦλε; ἀδελφός ἐστι, τῶν αὐτῶν ἀπέλαυσεν, εἰς τὸ αὐτὸ σῶμα τελεῖ· μᾶλλον δὲ ἀδελφὸς ἐγένετο οὐ τοῦ κυρίου τοῦ ἑαυτοῦ, ἀλλὰ καὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τῶν αὐτῶν ἀπολαύει πάντων, καὶ λέγεις, «Ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου»; Διὰ γὰρ τοῦτο, φησί, φημί. Εἰ γὰρ τοὺς ἐλευθέρους ἀλλήλοις ὑποτάσσεσθαι κελεύω διὰ τὸν τοῦ Θεοῦ φόβον, καθάπερ ἀνωτέρω ἔλεγεν· «Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ»· εἰ γὰρ τὴν γυναῖκα προστάσσω φοβεῖσθαι τὸν ἄνδρα, καίτοι αὕτη καὶ ὁμότιμός ἐστι· πολλῷ μᾶλλον τὸν οἰκέτην. Οὐ γὰρ δυσγένεια τὸ πρᾶγμά ἐστιν, ἀλλ' ἡ πρώτη εὐγένεια, τὸ εἰδέναι ἐλαττοῦσθαι, καὶ μετριάζειν, καὶ εἴκειν τῷ πλησίον. Καὶ ἐλεύθεροι ἐλευθέροις μετὰ πολλοῦ φόβου καὶ τρόμου ἐδούλευον. «Ἐν ἁπλότητι», φησί, «καρδίας». Καλῶς εἶπεν· ἐπειδὴ ἔνι μετὰ φόβου καὶ τρόμου δουλεύειν, οὐκ ἐξ εὐνοίας δέ, ἀλλ' ὡς ἂν ἐξῇ. Λανθάνουσι γὰρ πολλοὶ πολλὰ κακουργοῦντες περὶ τοὺς δεσπότας τοὺς αὐτῶν. Καὶ ταύτην γοῦν ἀναιρεῖ τὴν κακουργίαν, λέγων· «Ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Κυρίῳ. Μὴ κατ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας δουλεύοντες, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις».

Ὁρᾷς πόσων ἐδεήθη, ὥστε τοῦτο ἐμφυτεῦσαι τὸ καλόν, τό, «Μετ' εὐνοίας», λέγω, «καὶ ἐκ ψυχῆς»; Ἐκεῖνο μὲν γὰρ πολλοὺς ὁρῶμεν τοῖς δεσπόταις παρέχοντας, τὸ «τοῦ φόβου καὶ τὸ τοῦ τρόμου» λέγω, καὶ πρὸς ἐκεῖνο ἡ τοῦ Δε-

2. Ἐφ. 5, 33.
3. Ἐφ. 5, 21.

καὶ σύντομος· καθόσον ἐκεῖνο ποὺ εἶναι σαρκικόν, εἶναι πρόσκαιρον. «Μὲ φόβον», λέγει, «καὶ τρόμον». Βλέπεις ὅτι δὲν ἀπαιτεῖ τὸν ἴδιον φόβον καὶ ἀπὸ τὴν γυναῖκα καὶ ἀπὸ τοὺς δούλους; Διότι ἐκεῖ μὲν εἶπεν ἁπλῶς, «Ἡ δὲ γυναῖκα νὰ φοβῆται τὸν ἄνδρα»[2], ἐδῶ ὅμως μὲ ἔμφασιν λέγει· «Μὲ φόβον καὶ τρόμον. Μὲ ἁπλότητα τῆς καρδίας σας, ὡς νὰ ὑπακούετε εἰς τὸν Χριστόν». Συνεχῶς τοῦτο λέγει.

Τί λέγεις, μακάριε Παῦλε; Εἶναι ἀδελφός, ἀπέλαυσε τὰ ἴδια ἀγαθά, ἔχει τὸ αὐτὸ σῶμα, μᾶλλον δὲ ἔγινεν ἀδελφὸς ὄχι τοῦ κυρίου του, ἀλλὰ καὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀπολαμβάνει ὅλα τὰ ἴδια ἀγαθά, καὶ λέγεις, «Νὰ ὑπακούετε εἰς τοὺς κατὰ σάρκα κυρίους μὲ φόβον καὶ τρόμον»; Διὰ τοῦτο ἀκριβῶς, λέγει, τὸ λέγω. Διότι, ἐὰν προτρέπω τοὺς ἐλευθέρους νὰ ὑποτάσσωνται ὁ ἕνας εἰς τὸν ἄλλον διὰ τὸν φόβον τοῦ Θεοῦ, ὅπως ἀκριβῶς ἔλεγεν ἀνωτέρω· «Νὰ ὑποτάσσεσθε μεταξύ σας ὁ ἕνας εἰς τὸν ἄλλον μὲ φόβον Χριστοῦ»[3]· διότι ἐὰν προστάσσῃ τὴν γυναῖκα νὰ φοβῆται τὸν ἄνδρα, ἂν καὶ αὐτὴ εἶναι ἰσότιμος πρὸς αὐτόν, κατὰ πολὺ περισσότερον τὸν δοῦλον. Διότι τὸ ζήτημα δὲν εἶναι ἡ κακὴ καταγωγή, ἀλλ' ἡ πρώτη εὐγένεια, τὸ νὰ γνωρίζῃ νὰ γίνεται μικρότερος καὶ νὰ εἶναι μετριόφρων καὶ νὰ ὑποχωρῇ εἰς τὸν πλησίον. Καὶ οἱ ἐλεύθεροι εἰργάζοντο εἰς ἐλευθέρους μὲ πολὺν φόβον καὶ τρόμον. «Μὲ ἁπλότητα», λέγει, «τῆς καρδίας σας». Καλῶς εἶπε· διότι εἶναι δυνατὸν νὰ ὑπηρετοῦν μὲ φόβον καὶ τρόμον, ὄχι μὲ εἰλικρίνειαν, ἀλλ' ὅπως θὰ ἐπετρέπετο. Διότι πολλοὶ δοῦλοι κρυφὰ βλάπτουν πολὺ τοὺς κυρίους των. Καὶ αὐτὸ λοιπὸν τὸ ἀδίκημα ἀναιρεῖ, λέγων· «Μὲ ἁπλότητα τῆς καρδίας σας, ὡς νὰ ὑπακούετε εἰς τὸν Κύριον. Ὄχι μὲ προσποιητὴν ὑπακοὴν ὡς νὰ ἀρέσετε εἰς ἀνθρώπους, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ἐκτελοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἀπὸ τὴν ψυχήν σας, μὲ εἰλικρίνειαν, ὡς νὰ δουλεύτε εἰς τὸν Κύριον, καὶ ὄχι εἰς τοὺς ἀνθρώπους».

Βλέπεις πόσα ἐχρειάσθη νὰ εἰπῇ, ὥστε νὰ φυτεύσῃ τοῦτο τὸ καλόν, τὸ «μετ' εὐνοίας», ἐννοῶ, «καὶ ἐκ ψυχῆς»; Διότι ἐκεῖνο μὲν βλέπομεν πολλοὺς νὰ παρέχουν εἰς τοὺς κυρίους των, τὸ «μὲ φόβον καὶ τρόμον», δηλαδή, καὶ

σπότου ἀπειλὴ πολλὰ ἀνύει· Ἀλλὰ δεῖξον, φησίν, ὅτι ὡς Χριστοῦ δοῦλος δουλεύεις, οὐχ ὡς ἀνθρώπου· ποίησον εἶναι σὸν τὸ κατόρθωμα, μὴ τῆς ἀνάγκης. Ὥσπερ τὸν παρ' ἑτέρου κακῶς πάσχοντα πείθει καὶ διδάσκει διὰ τῶν ἑξῆς, αὐτοῦ ποιῆσαι τὸ κατόρθωμα καὶ τῆς αὐτοῦ προαιρέσεως· οὕτω καὶ τοῦτον. Ἐπειδὴ γὰρ ὁ πλήξας τὴν σιαγόνα, οὐκ ἀπὸ τῆς διανοίας τῆς τοῦ πληγέντος εἰς τοῦτο ἦλθεν, ἀλλ' ἀπὸ τῆς οἰκείας κακίας, τί φησι; «Στρέψον αὐτῷ καὶ τὴν ἄλλην», ἵνα δείξῃς ὅτι καὶ ταύτην οὐκ ἄκων ὑπέστης. Ὁ γὰρ ἐπιδαψιλευσάμενος τῷ παθεῖν κακῶς, καὶ ὅπερ οὐκ ἦν αὐτοῦ ἐποίησεν ἑαυτοῦ τῷ ῥαπισθῆναι καὶ τὴν ἄλλην σιαγόνα, μὴ τῷ μόνον ἐνεγκεῖν. Τοῦτο μὲν γὰρ ἴσως δόξει καὶ φόβου εἶναι, ἐκεῖνο δὲ φιλοσοφίας πολλῆς. Οὐκοῦν ἔδειξας ὅτι καὶ τοῦτο διὰ φιλοσοφίαν ἤνεγκας. Ὥστε καὶ νῦν δεῖξον ἐνταῦθα, ὅτι καὶ ταύτην ἑκοντὶ φέρεις τὴν δουλείαν, καὶ οὐχ ὡς ἀνθρωπάρεσκος. Ὁ ἄρα τοιοῦτος, οὐ δοῦλος τοῦ Χριστοῦ· ὁ δὲ δοῦλος τοῦ Χριστοῦ, οὐκ ἀνθρωπάρεσκος. Τίς γὰρ Θεοῦ δοῦλος ὤν, ἀνθρώποις ἀρέσκειν βούλεται; τίς δὲ ἀνθρώποις ἀρέσκων, Θεοῦ δύναται εἶναι δοῦλος; «Ἐκ ψυχῆς», φησί, «μετ' εὐνοίας δουλεύοντες». Καλῶς οὕτως εἶπεν· ἐπειδὴ γὰρ ἔνι καὶ ἐν ἁπλότητι δουλεύειν, καὶ μὴ κακούργως, μὴ μὴν πάσῃ δυνάμει, ἀλλὰ τὸ ὀφειλόμενον μόνον πληροῦν, διὰ τοῦτό φησιν, ἀπὸ προθυμίας, μὴ ἀπὸ ἀνάγκης, ἀπὸ προαιρέσεως, μὴ ἀπὸ βίας. Ἂν οὕτω δουλεύσῃς, οὐκ εἶ δοῦλος, ἂν ἐκ προαιρέσεως, ἂν μετ' εὐνοίας, ἂν ἀπὸ ψυχῆς, ἂν διὰ τὸν Χριστόν. Ταύτην γὰρ τὴν δουλείαν καὶ Παῦλος δουλεύει ὁ ἐλεύθερος, καὶ βοᾷ λέγων·

---

4. Ματθ. 5, 39.

πρὸς ἐκεῖνο πολλὰ συμβάλλει ἡ ἀπειλὴ τοῦ Κυρίου. Ὅμως ἀπόδειξε, λέγει, ὅτι ὑπηρετεῖ ὡς δοῦλος Χριστοῦ, ὄχι ὡς δοῦλος ἀνθρώπου· κάμε νὰ εἶναι ἰδικόν σου τὸ κατόρθωμα, ὄχι ἐπιβαλλόμενον ἐξ ἀνάγκης. Ὅπως ἀκριβῶς πείθει ἐκεῖνον, ποὺ ὑφίσταται κακὴν μεταχείρισιν ἀπὸ κάποιον ἄλλον, καὶ διδάσκει μὲ τὰ ἑξῆς, νὰ κάμῃ τὸ κατόρθωμα ἰδικόν του καὶ νὰ προέρχεται ἀπὸ τὴν προαίρεσίν του· ἔτσι ἀκριβῶς διδάσκει καὶ αὐτόν. Ἐπειδὴ λοιπὸν αὐτός, ποὺ ἐρράπισε τὴν σιαγόνα κάποιου, δὲν ἔπραξε τοῦτο παρακινηθεὶς ἀπὸ τὴν σκέψιν ἐκείνου ποὺ ἐρραπίσθη, ἀλλὰ ἀπὸ τὴν ἰδικήν του κακίαν, τί λέγει; «Στρέψε εἰς αὐτὸν καὶ τὴν ἄλλην»[4], διὰ νὰ ἀποδείξῃς ὅτι καὶ τὸ ράπισμα αὐτὸ τὸ ἐδέχθης μὲ τὴν θέλησίν σου. Διότι αὐτὸς ποὺ ὑπέστη πολλάκις κακὴν μεταχείρισιν, καὶ ἐκεῖνο, ποὺ δὲν ἐξηρτᾶτο ἀπ' αὐτόν, ἔκαμε νὰ ραπισθῇ ἐξ αἰτίας του καὶ εἰς τὴν ἄλλην, χωρὶς νὰ ὑπομένῃ τὸ ράπισμα εἰς τὴν μίαν σιαγόνα. Αὐτὸ βεβαίως ἴσως φανῇ ὅτι προέρχεται ἀπὸ φόβον, ἐκεῖνο ὅμως ἀπὸ πολλὴν σκέψιν. Λοιπὸν ἀπέδειξες, ὅτι καὶ τοῦτο ὑπέμενες ἐξ αἰτίας τῆς φιλοσοφίας σου. Συνεπῶς δεῖξε καὶ ἐδῶ, ὅτι ὑπομένεις ἑκουσίως τὴν δουλείαν αὐτὴν καὶ ὄχι ὡς νὰ ἀρέσῃς εἰς τοὺς ἀνθρώπους. Ἐπομένως ἕνας τέτοιος δοῦλος, δὲν εἶναι δοῦλος τοῦ Χριστοῦ· ὁ δοῦλος ὅμως τοῦ Χριστοῦ δὲν ἐνεργεῖ ἔτσι, ὥστε νὰ ἀρέσῃ εἰς τοὺς ἀνθρώπους. Διότι ποῖος, ἐνῷ εἶναι δοῦλος τοῦ Θεοῦ, ἐπιθυμεῖ νὰ ἀρέσῃ εἰς τοὺς ἀνθρώπους; Ποῖος δὲ ποὺ ἀρέσει εἰς τοὺς ἀνθρώπους, ἠμπορεῖ νὰ εἶναι δοῦλος τοῦ Θεοῦ; «Ἀπὸ τὴν ψυχήν σας», λέγει, «μὲ εἰλικρίνειαν νὰ δουλεύτε». Καλῶς εἶπεν ἔτσι. Ἐπειδὴ βέβαια εἶναι δυνατὸν νὰ δουλεύῃ καὶ μὲ ἁπλότητα, καὶ ὄχι μὲ κακίαν, ὄχι ὅμως μὲ ὅλας του τὰς δυνάμεις, ἀλλὰ νὰ ἐκπληρώνῃ μόνον τὰς ὑποχρεώσεις του, διὰ τοῦτο λέγει, νὰ δουλεύτετε ἀπὸ προθυμίαν, ὄχι ἀπὸ ἀνάγκην, ἀπὸ καλὴν διάθεσιν, ὄχι ἀπὸ βίαν. Ἂν δουλεύσῃς κατ' αὐτὸν τὸν τρόπον, δὲν εἶσαι δοῦλος, ἂν δουλεύσῃς δηλαδὴ ἀπὸ καλὴν διάθεσιν, μὲ εἰλικρίνειαν, ἀπὸ τὴν ψυχήν σου, διὰ τὸν Χριστόν. Διότι αὐτὴν τὴν δουλείαν δουλεύει καὶ ὁ Παῦλος, ποὺ εἶναι ἐ-

«Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν».

2. Ὅρα πῶς ἀφαιρεῖταί σου τὴν δυσγένειαν τῆς δουλείας. Ὥσπερ γὰρ ὁ χρήματα ἀφῃρημένος, ἂν καὶ ἕτερα προσδῷ τῷ λαβόντι, οὐκ ἐν τοῖς ἀφῃρημένοις, ἀλλ' ἐν τοῖς φιλοτίμως κεῖται, οὐκ ἐν τοῖς παθοῦσι κακῶς, ἀλλ' ἐν τοῖς ποιοῦσι καλῶς, καὶ μᾶλλον ὀνείδει περιέβαλε τῷ χαρίσασθαι, ἢ περιεβλήθη τῷ ἀφαιρεθῆναι· οὕτω δὴ ἐνταῦθα, τῇ δαψιλείᾳ καὶ μεγαλοψυχότερος φανεῖται, καὶ δεικνὺς ὅτι οὐκ ᾔσθειο τῆς ἁρπαγῆς, ἐντρέψει ἐκεῖνον. Οὐκοῦν διὰ τὸν Χριστὸν δουλεύομεν τοῖς δεσπόταις, «Εἰδότες», φησίν, ὅτι ὃ ἄν τι ἄνθρωπος ποιήσῃ ἀγαθόν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος». Ἐπειδὴ γὰρ εἰκὸς ἦν πολλοὺς τῶν δεσποτῶν ἀπίστους ὄντας μὴ αἰσχύνεσθαι, μηδὲ ἀμείβεσθαι τοὺς οἰκέτας τῆς ὑπακοῆς, ὅρα πῶς αὐτοὺς παρεμυθήσατο, ὥστε μὴ ὑποπτεύειν τὴν ἀνταπόδοσιν, ἀλλὰ σφόδρα θαρρεῖν περὶ τῆς ἀμοιβῆς. Καθάπερ γὰρ οἱ καλῶς πάσχοντες, ὅταν μὴ ἀμείβωνται τοὺς εὐεργέτας, τὸν Θεὸν αὐτοῖς ὀφειλέτην ποιοῦσιν, οὕτω δὴ καὶ οἱ δεσπόται, ἂν παθόντες εὖ παρὰ σοῦ μὴ ἀμείψωνταί σε, μᾶλλον ἠμείψαντο, τὸν Θεὸν ὀφειλέτην σοι καταστήσαντες.

«Καὶ εἱ κύριοι», φησί, «τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς». «Τὰ αὐτά»· ποῖα; Μετ' εὐνοίας δουλεύετε. Ἀλλ' οὐκ εἶπε, δουλεύετε, καίτοι γε εἰπὼν τὰ αὐτά, τοῦτο ἐδήλωσε· δουλεύει γὰρ καὶ ὁ δεσπότης. Μὴ ὡς ἀνθρωπάρεσκοι, φησί, μετὰ φόβου καὶ τρόμου, τουτέστι, τοῦ πρὸς τὸν Θεόν, δεδοικότες μήποτε ὑμῖν ἐγκαλέσῃ ὑπὲρ τῆς εἰς τοὺς δούλους ὠφελείας. «Ἀνιέντες τὴν ἀπειλήν». Μὴ φορτικοί, φησί, μηδὲ ἐπαχθεῖς γίνεσθε. «Εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ Κύ-

5. Β' Κορ. 4, 5.

λεύθερος καὶ φωνάζει λέγων· «Δὲν κηρύσσομεν τοὺς ἑαυτούς μας, ἀλλὰ τὸν Κύριον Ἰησοῦν Χριστόν, τοὺς ἑαυτούς μας δὲ δούλους ἰδικούς σας πρὸς δόξαν τοῦ Ἰησοῦ»[5].

2. Πρόσεχε πῶς ἀφαιρεῖ ἀπὸ σὲ τὴν κακὴν καταγωγὴν τὴν δουλείας. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος, ἀπὸ τὸν ὁποῖον ἔχουν κλέψει χρήματα, καὶ ἂν ἀκόμη δώσῃ καὶ ἄλλα χρήματα εἰς τὸν κλέπτην, ἀνήκει ὄχι εἰς τοὺς στερηθέντας, ἀλλ' εἰς τοὺς φιλοτίμους, ὄχι εἰς αὐτοὺς ποὺ ὑπέστησαν κακὴν μεταχείρισιν, ἀλλ' εἰς αὐτοὺς ποὺ ἐνεργοῦν καλῶς· καὶ μᾶλλον προσέβαλε μὲ τὸ νὰ χαρίσῃ, παρὰ προσεβλήθη μὲ τὸ νὰ ἁρπάξουν ἀπ' αὐτὸν χρήματα. Ἔτσι λοιπὸν ἐδῶ, μὲ τὴν γενναιοδωρίαν θὰ φανῇ καὶ μεγαλοψυχότερος, καὶ ἀποδεικνύων ὅτι δὲν ἀντελήφθη τὴν ἁρπαγήν, θὰ ἐλέγξῃ ἐκεῖνον. Ἂς δουλεύωμεν λοιπὸν εἰς τοὺς κυρίους διὰ τὸν Χριστόν. «Γνωρίζοντες», λέγει, «ὅτι οἱονδήποτε καλὸν θὰ κάμῃ ὁ ἄνθρωπος, τοῦτο θὰ λάβῃ ὡς βραβεῖον ἀπὸ τὸν Κύριον, εἴτε δοῦλος εἶναι, εἴτε ἐλεύθερος». Ἐπειδὴ λοιπὸν ἦτο φυσικὸν πολλοὶ ἄπιστοι κύριοι νὰ μὴ αἰσχύνωνται, οὔτε νὰ ἀνταμείβουν τοὺς εὐπειθεῖς δούλους, πρόσεχε πῶς συνεβούλευσεν αὐτούς, ὥστε νὰ μὴ ὑποθέτουν τὴν ἀνταπόδοσιν, ἀλλὰ νὰ ἔχουν μεγάλην πεποίθησιν περὶ τῆς ἀμοιβῆς των. Διότι ὅπως ἀκριβῶς οἱ εὐεργετούμενοι, ὅταν δὲν ἀμείβουν τοὺς εὐεργέτας των, κάμνουν τὸν Θεὸν ὀφειλέτην εἰς αὐτούς, ἔτσι ἀκριβῶς καὶ οἱ κύριοι, ἂν εὐεργετηθοῦν ἀπὸ σὲ καὶ δὲν σὲ ἀμείψουν, καταστήσαντες τὸν Θεὸν ὀφειλέτην σου, σὲ ἤμειψαν περισσότερον.

«Καὶ οἱ κύριοι», λέγει, «νὰ κάμνετε τὰ ἴδια πρὸς αὐτούς». «Τὰ ἴδια»· ποῖα εἶναι αὐτά; Νὰ δουλεύτετε μὲ καλὴν διάθεσιν. Ἀλλὰ δὲν εἶπε, νὰ δουλεύετε, ἂν καὶ βεβαίως εἰπών, «τὰ ἴδια», τοῦτο ἐδήλωσε, διότι δουλεύει καὶ ὁ κύριος. Ὄχι ὡς νὰ ἀρέσετε εἰς τοὺς ἀνθρώπους, λέγει, μὲ φόβον καὶ τρόμον, δηλαδή, αὐτὸν ποὺ ὀφείλετε εἰς τὸν Θεόν, φοβούμενοι μήπως σᾶς κατηγορήσῃ κάποτε διὰ τὴν ἀμέλειάν σας πρὸς τοὺς δούλους. «Ἀποφεύγοντες τὴν ἀπειλήν». Μὴ γίνεσθε ἐνοχλητικοί, λέγει, καὶ δυσάρεστοι. «Γνωρίζοντες ὅτι καὶ σεῖς οἱ ἴδιοι ἔχετε Κύριον εἰς τοὺς

*ριός ἐστιν ἐν οὐρανοῖς». Βαβαί! ἡλίκον ἠνίξατο! πῶς ἐφόβησε! Τουτέστι, τῷ μέτρῳ ᾧ μετρεῖς, ἀντιμετρηθήσεταί σοι. **Μὴ ἀκούσῃς**· (δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην **ἀφῆκά σοι**». «Καὶ προσωποληψίαν», φησίν, «οὐκ ἔστι παρ' αὐτῷ». Μὴ νομίσῃς, φησίν, ὅτι τὰ εἰς τὸν δοῦλον, ὡς εἰς **δοῦλον** γινόμενα, οὕτως ἀφήσει. Οἱ μὲν γὰρ ἔξωθεν νόμοι **διαφορὰν ἴσασι** τούτων τῶν γενῶν, ἅτε ἀνθρώπων ὄντες **νόμοι**· ὁ δὲ νόμος ὁ τοῦ κοινοῦ Δεσπότου οὐδεμίαν οἶδε διαφοράν, ἅτε κοινῇ πάντας εὖ ποιῶν, καὶ πᾶσι τῶν αὐτῶν μεταδιδούς.*

***Εἰ δέ** τις **ἔροιτο πόθεν** ἡ δουλεία καὶ διὰ τί εἰς τὸν **βίον εἰσῆλθεν** τὸν ἀνθρώπινον (καὶ γὰρ οἶδα πολλοὺς καὶ ἐρωτῶντας τὰ τοιαῦτα ἡδέως καὶ μαθεῖν βουλομένους), ἐγὼ πρὸς ὑμᾶς ἐρῶ· Ἡ πλεονεξία τὴν δουλείαν ἔτεκεν, ἡ βαναυσία, ἡ ἀπληστία· ἐπεὶ Νῶε δοῦλον οὐκ εἶχεν, οὐδὲ Ἄβελ, οὐδὲ Σήθ, ἀλλ' οὐδὲ οἱ μετὰ ταῦτα. Ἁμαρτία τοῦτο τὸ πρᾶγμα ἔτεκεν, ἡ εἰς τοὺς πατέρας ὕβρις. Ἀκουέτωσαν **οἱ παῖδες**, ὅτι ἄξιοί εἰσι δοῦλοι εἶναι, ὅταν εἰς τοὺς πατέρας **ἀγνώμονες ὦσιν**. Ἀφείλετο ἑαυτοῦ ὁ τοιοῦτος τὴν ἀγένειαν· ὁ γὰρ ὑβρίζων τὸν πατέρα, οὐκ ἔστιν ἔτι υἱός. Εἰ δὲ ὁ **πατέρα ὑβρίζων, οὐκ** ἔστιν υἱός, ὁ τῶν ὄντως ἡμῶν Πατέρα **ὑβρίζων**, πῶς ἔσται υἱός; Ἐξῆλθεν ἀπὸ τῆς εὐγενείας, **ἐξύβρισεν** εἰς τὴν φύσιν. Εἶτα καὶ πόλεμοι, καὶ μάχαι αἰχμαλώτους ἔλαβον. Ἀλλ' ὁ Ἀβραὰμ εἶχεν οἰκέτας, φησίν. Ἀλλ' οὐχ ὡς οἰκέτας ἐκέχρητο. Ὅρα πῶς πάντα εἰς τὴν κεφαλὴν ἀναρτᾷ· τὴν γυναῖκα, Ἵνα, φησίν, ἀγαπᾷ ταύτην· τὰ παιδία, Ἵνα **ἐκτρέφῃ ἐν παιδείᾳ** καὶ νουθεσίᾳ Κυρίου· τοὺς δούλους, «**Εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν** ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς».*

*Οὕτω, φησί, καὶ **αὐτοί**, ὡς δοῦλοι ὄντες, φιλάνθρωποι*

---

6. Ματθ. 18, 32.

7. Ὁ δέκατος τῶν προκατακλυσμιαίων πατριαρχῶν· διεσώθη ἀπὸ τὸν κατακλυσμὸν ἐπιβαίνων κιβωτοῦ, ἐντὸς τῆς ὁποίας ἐσώθη καὶ ἡ οἰκογένειά του καθὼς καὶ ἀνὰ ἕνα ἢ περισσότερα ζεύγη κάθε εἴδους ζώων.

7α. Δευτερότοκος υἱὸς τῶν πρωτοπλάστων, ποιμὴν προβάτων καὶ εὐσεβής, φονευθεὶς ἀπὸ τὸν ἀδελφόν του Κάϊν.

7β. Υἱὸς τοῦ Ἀδάμ, μετὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, γεννηθεὶς μετὰ τὸν φόνον τοῦ τελευταίου. Εἰς αὐτὸν ἀνάγεται ἡ ἀπαρχὴ τοῦ θρησκευτικο - πνευματικοῦ πολιτισμοῦ.

οὐρανούς». Πόσον ὁμιλεῖ αἰνιγματωδῶς! πῶς τοὺς ἐφόβησε! Δηλαδή, μὲ τὸ αὐτὸ μέτρον, μὲ τὸ ὁποῖον ἐξετάζεις τὸν ἄλλον, θὰ ἐξετασθῇς καὶ σύ. Νὰ μὴ ἀκούσῃς τὰ λόγια· «Δοῦλε πονηρέ, ὅλον τὸ χρέος ἐκεῖνο σοῦ τὸ ἐχάρισα»[6] «Καὶ δὲν μεροληπτεῖ αὐτός», λέγει. Νὰ μὴ νομίσῃς, λέγει, ὅτι αὐτὰ ποὺ ἔχουν γίνει εἰς τὸν δοῦλον, ὡς εἰς δοῦλον γινόμενα, ἔτσι θὰ τὰ συγχωρήσῃ. Διότι οἱ μὲν κοσμικοὶ νόμοι ἀναγνωρίζουν τὴν διαφορὰν τούτων τῶν γενῶν, ἐπειδὴ ἀκριβῶς εἶναι ἀνθρώπινοι νόμοι· ὁ νόμος ὅμως τοῦ Κυρίου τῶν πάντων δὲν γνωρίζει καμμίαν διαφοράν, ἐπειδὴ εὐεργετεῖ ὅλους μαζὶ καὶ εἰς ὅλους δίδει τὰ ἴδια ἀγαθά.

Ἐὰν ὅμως ἤθελεν ἐρωτήσει κάποιος ἀπὸ ποῦ προῆλθεν ἡ δουλεία καὶ διατί εἰσῆλθεν εἰς τὸν ἀνθρώπινον βίον (καὶ γνωρίζω μάλιστα πολλοὺς ποὺ ἐρωτοῦν αὐτὰ εὐχαρίστως καὶ ἐπιθυμοῦν νὰ τὰ μάθουν), ἐγὼ θὰ σᾶς εἰπῶ. Τὴν δουλείαν ἐγέννησεν ἡ πλεονεξία, ἡ βαναυσότης, ἡ ἀπληστία· διότι ὁ Νῶε[7] δὲν εἶχε δοῦλον, οὔτε ὁ Ἄβελ[7α], οὔτε ὁ Σὴθ[7β], ἀλλ' οὔτε οἱ μετὰ ἀπ' αὐτούς. Ἡ ἁμαρτία ἐγέννησεν αὐτὸ τὸ πρᾶγμα, ἡ ἀλαζονεία πρὸς τοὺς πατέρας. Ἂς ἀκούσουν τὰ παιδιά, διότι εἶναι ἄξια νὰ εἶναι δοῦλοι, ὅταν εἶναι ἀγνώμονα πρὸς τοὺς πατέρας των. Μόνος του κανεὶς ἀφαιρεῖ τὴν εὐγένειαν· διότι αὐτὸς ποὺ ὑβρίζει τὸν πατέρα του, δὲν εἶναι πλέον υἱός του. Ἐὰν ὅμως ἐκεῖνος ποὺ ὑβρίζει τὸν πατέρα του, δὲν εἶναι υἱός, αὐτὸς ποὺ ὑβρίζει τὸν ἀληθινὸν Πατέρα μας, πῶς θὰ εἶναι υἱός του; Ὑπερέβη τὰ ὅρια τῆς εὐγενείας, ἔγινεν ὑβριστὴς τῆς φύσεως. Ἔπειτα καὶ οἱ πόλεμοι καὶ αἱ μάχαι ἐδημιούργησαν αἰχμαλώτους. Καὶ ὁ Ἀβραὰμ εἶχε δούλους, λέγει. Ὅμως δὲν τοὺς μετεχειρίζετο ὡς δούλους. Πρόσεχε πῶς τὰ πάντα ἐναποθέτει εἰς τὴν κεφαλήν· τὴν γυναῖκα, διὰ νὰ ἀγαπᾷ αὐτήν, λέγει· τὰ παιδιά· διὰ νὰ τὰ ἀνατρέφῃ μὲ τὴν παιδείαν καὶ τὴν νουθεσίαν τοῦ Κυρίου· τοὺς δούλους, «Γνωρίζοντες ὅτι καὶ σεῖς οἱ ἴδιοι ἔχετε Κύριον εἰς τοὺς οὐρανούς».

Ἔτσι, λέγει, καὶ σεῖς οἱ ἴδιοι, ἐπειδὴ εἶσθε ὡς δοῦλοι,

γίνεσθε καὶ συγγνωμονικοί. Εἰ δὲ βούλεσθε ἀκοῦσαι, τὰ αὐτὰ ἐροῦμεν περὶ τῶν οἰκετῶν, ἃ καὶ πρότερον περὶ τῶν παίδων· διδάσκετε αὐτοὺς εἶναι εὐλαβεῖς, καὶ πάντως πάντα ἕπεται. Νῦν δὲ εἰς μὲν θέατρον ἀνιών, καὶ εἰς βαλανεῖον ἀπιών τις, πάντας ἐπισύρεται τοὺς παῖδας· εἰς δὲ ἐκκλησίαν, οὐκέτι, οὐδὲ ἀναγκάζει παρεῖναι καὶ ἀκούειν. Πῶς δὲ ὁ οἰκέτης, σοῦ τοῦ δεσπότου ἑτέροις προσέχοντος; Ἠγόρασας, ἐπρίω τὸν δοῦλον; ἐπίταττε πρότερον αὐτῷ τὰ κατὰ Θεόν, ὥστε πρὸς τοὺς συνδούλους εἶναι ἤπιον, ἀρετῆς πολὺν ποιεῖσθαι λόγον. Πόλις ἐστὶν ἡ ἑκάστου οἰκία, ἄρχων ἐστὶν ἕκαστος τῆς ἑαυτοῦ οἰκίας. Καὶ ὅτι μὲν τοιαύτη ἡ τῶν πλουτούντων, εὔδηλον, ἔνθα καὶ ἀγροὶ καὶ ἐπίτροποι καὶ ἄρχοντες ἐπὶ ἄρχουσιν· ἐγὼ δὲ καὶ τὴν τῶν πενήτων οἰκίαν φημὶ πόλιν εἶναι. Καὶ γὰρ καὶ ἐνταῦθά εἰσιν ἀρχαί· οἷον, κρατεῖ τῆς γυναικὸς ὁ ἀνήρ, ἡ γυνὴ τῶν οἰκετῶν, οἱ οἰκέται τῶν ἰδίων γυναικῶν· πάλιν αἱ γυναῖκες καὶ οἱ ἄνδρες τῶν παίδων. Ἆρα οὐ δοκεῖ σοι, καθάπερ τις βασιλεὺς εἶναι, τοσούτους ἔχων ἄρχοντας ὑποτεταγμένους ἑαυτῷ, καὶ πάντων προσήκειν αὐτὸν οἰκονομικώτερον εἶναι καὶ πολιτικώτερον; Ὁ γὰρ εἰδὼς διαφόρως κεχρῆσθαι τούτοις, οἶδε τοὺς ἐπιτηδείους ἄρχοντας αἱρεῖσθαι, καὶ αἱρήσεταί γε λαμπρούς. Οὐκοῦν ἔσται βασιλεὺς ἕτερος ἡ γυνὴ ἐν οἰκίᾳ χωρὶς τοῦ διαδήματος, καὶ ὁ εἰδὼς τὸν βασιλέα τοῦτον αἱρεῖσθαι, πάντα τὰ ἄλλα καλῶς διαθήσει. «Τὸ λοιπόν, ἀδελφοί μου», φησίν, «ἐνδυναμοῦσθε ἐν Κυρίῳ». Ὅταν μέλλῃ τελευτᾶν ὁ λόγος, ἀεὶ τούτῳ κέχρηται τῷ τρόπῳ.

3. Οὐχὶ καλῶς ἔλεγον ἐξ ἀρχῆς, ὅτι στρατόπεδόν ἐστιν ὁλόκληρον ἡ ἑκάστου οἰκία; Ἰδοὺ γὰρ διατάξας πάσας τὰς ἀρχάς, λοιπὸν αὐτοὺς καθοπλίζει, καὶ ἐπὶ πόλεμον ἐξάγει.

---

8. Ἐφ. 6, 10.

νὰ γίνεσθε φιλάνθρωποι καὶ νὰ παρέχετε συγγνώμην. Ἐὰν ὅμως θέλετε νὰ ἀκούσετε, θὰ εἰποῦμεν καὶ διὰ τοὺς δούλους τὰ ἴδια, ποὺ εἴπαμεν καὶ προηγουμένως διὰ τὰ παιδιά. Νὰ τοὺς διδάσκετε νὰ εἶναι εὐλαβεῖς, καὶ ὅλα τὰ ἄλλα ἀκολουθοῦν. Σήμερον ὅμως ὅταν μεταβαίνῃ κανεὶς εἰς τὸ θέατρον καὶ ἔρχεται εἰς τὸν λουτρόν, σύρει μαζί του ὅλα τὰ παιδιά· εἰς τὴν ἐκκλησίαν ὅμως δὲν τὰ σύρει, οὔτε τὰ ἀναγκάζει νὰ παρευρίσκωνται καὶ νὰ ἀκούουν. Πῶς λοιπὸν θὰ σὲ ἀκούσῃ ὁ δοῦλος, ὅταν σύ, ὁ κύριος, προσέχῃς εἰς ἄλλους; Ἠγόρασες αὐτόν, ἔγινες κύριος τοῦ δούλου; διάτασσε πρῶτον εἰς αὐτὸν ἐκεῖνα ποὺ εἶναι ἀρεστὰ εἰς τὸν Θεόν, ὥστε νὰ εἶναι ἤπιος πρὸς τοὺς ὁμοδούλους του, νὰ κάμνῃς συνεχῶς λόγον περὶ τῆς ἀρετῆς. Ἡ οἰκία τοῦ καθενὸς εἶναι πόλις, ὁ καθένας εἶναι ἄρχων τῆς οἰκίας του. Καὶ ὅτι μὲν εἶναι πόλις ἡ οἰκία τῶν πλουσίων, εἶναι ὁλοφάνερον, διότι ἐδῶ ὑπάρχουν καὶ ἀγροὶ καὶ ἐπιστάται καὶ ἄρχοντες πολλοί. Ἐγὼ ὅμως λέγω ὅτι καὶ ἡ οἰκία τῶν πτωχῶν εἶναι πόλις. Διότι καὶ ἐδῶ ὑπάρχουν ἐξουσίαι· ὅπως, ὁ ἄνδρας εἶναι κύριος τῆς γυναικός, ἡ γυναῖκα τῶν δούλων, οἱ δοῦλοι τῶν ἰδικῶν των γυναικῶν, αἱ γυναῖκες, ἐξ ἄλλου καὶ οἱ ἄνδρες τῶν παιδιῶν. Ἄρα δὲν σοῦ φαίνεται ὡσὰν νὰ εἶναι κάποιος βασιλεύς, ἔχων ὑπὸ τὴν ἐξουσίαν του τόσον πολλοὺς ἄρχοντας, καὶ ὅτι πρέπει νὰ εἶναι αὐτὸς οἰκονομικώτερος καὶ κοινωνικώτερος ὅλων; Διότι ἐκεῖνος ποὺ γνωρίζει νὰ μεταχειρίζεται αὐτοὺς μὲ διαφορετικὸν τρόπον, γνωρίζει νὰ ἐκλέγῃ τοὺς ἱκανοὺς ἄρχοντας καὶ θὰ ἐκλέγῃ βεβαίως τοὺς ἐξαιρέτους. Ἀσφαλῶς ἡ γυναῖκα θὰ εἶναι εἰς τὴν οἰκίαν ὡσὰν κάποιος βασιλεὺς χωρὶς τὸ στέμμα, καὶ ἐκεῖνος ποὺ γνωρίζει νὰ ἐκλέγῃ τὸν βασιλέα αὐτόν, θὰ διαθέσῃ καλῶς ὅλα τὰ ἄλλα. «Ὅθεν, ἀδελφοί μου», λέγει ,«ἐνισχύεσθε μὲ τὴν δύναμιν, ποὺ δίδει ἡ μετὰ τοῦ Κυρίου κοινωνία σας»[8]. Ὅταν πρόκειται νὰ τελειώσῃ ὁ λόγος, πάντοτε χρησιμοποιεῖ αὐτὸν τὸν τρόπον.

3. Δὲν ἔλεγα καλὰ ἀπὸ τὴν ἀρχήν, ὅτι ἡ οἰκία τοῦ καθενὸς εἶναι ὁλόκληρον στρατόπεδον; Διότι ἰδού, ἀφοῦ παρέταξεν ὅλας τὰς ἐξουσίας, εἰς τὴν συνέχειαν τοὺς ἐξοπλίζει καλῶς καὶ τοὺς ὁδηγεῖ εἰς πόλεμον. Ἐὰν βέβαια

Ἐὰν γὰρ μηδεὶς τὴν ἀρχὴν ἁρπάξῃ τὴν τοῦ ἑτέρου, ἀλλὰ κατὰ χώραν ἕκαστος μένῃ, πάντα εὖ διακείσεται. «Ἐνδυναμοῦσθε», φησίν, «ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ», τουτέστιν, ἐν τῇ ἐλπίδι τῇ εἰς αὐτὸν διὰ τῆς αὐτοῦ βοηθείας. Ἐπειδὴ γὰρ πολλὰ ἐπέταξεν ἅπερ ἔδει γενέσθαι, μὴ δείσητε, φησίν, ἐπιρρίψατε τὴν ἐλπίδα ἐπὶ τὸν Κύριον, καὶ πάντα ἐξευμαρίσει. «Καὶ ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου». Οὐκ εἶπε, Πρὸς τὰς μάχας, οὐδέ, Πρὸς τοὺς πολέμους, ἀλλά, «Πρὸς τὰς μεθοδείας». Οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ φανερῶς ἡμῖν ὁ ἐχθρὸς πολεμεῖ, ἀλλὰ μεθοδείᾳ. Τί ἐστι μεθοδεία; Μεθοδεῦσαί ἐστι τὸ ἀπατῆσαι, καὶ διὰ μηχανῆς ἑλεῖν, ὅπερ καὶ ἐπὶ τῶν τεχνῶν γίνεται, καὶ ἐν λόγοις, καὶ ἐν ἔργοις, καὶ ἐν παλαίσμασιν, ἐπὶ τῶν παραγόντων ἡμᾶς. Οἷόν τι λέγω· Οὐδέποτε φανερὰ προτίθησι τὰ ἁμαρτήματα, εἰδωλολατρείαν οὐ λέγει, ἀλλ' ἑτέρως αὐτὸ κατασκευάζει μεθοδεύων, τουτέστι, πιθανὸν κατασκευάζων τὸν λόγον, ἐπικαλύμμασι κεχρημένος.

Ἤδη μὲν οὖν καὶ τούτῳ διήγειρε τοὺς στρατιώτας, καὶ νήφειν ἐποίησε, τῷ πεῖσαι καὶ διδάξαι, ὅτι πρὸς ἔμπειρον τῶν πολεμικῶν ἡμῖν ἡ μάχη, καὶ οὐχ ἁπλῶς οὐδὲ φανερῶς πολεμοῦντα, ἀλλὰ μετὰ πολλῆς τῆς μεθοδείας. Καὶ πρῶτον μὲν ἀπὸ τῆς φύσεως καὶ τοῦ πλήθους τοὺς μαθητὰς ἐπαίρει. Οὐχὶ καταβαλεῖν βουλόμενος τοὺς ὑπ' αὐτὸν ἑστῶτας στρατιώτας, ἀλλ' ἐπᾶραι καὶ διεγεῖραι, εἶπε τὰ σοφίσματα, καὶ παρεσκεύασε νήφειν. Εἰ μὲν γὰρ μόνον διηγησάμενος αὐτῶν τὴν δύναμιν μέχρι τούτου τὸν λόγον ἔστησε, κἂν κατέβαλεν αὐτούς· εἰ δὲ καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο δείκνυσι δυνατὸν εἶναι τὸν τοιοῦτον ἑλεῖν, μᾶλλον αὐτοὺς ἐπαίρει. Ἡ γὰρ τῶν ἐναντίων ἰσχὺς ὅσῳ ἂν σαφέστερον παρ' ἡμῶν

9. Ἐφ. 6, 11.

δὲν ἁρπάζῃ κανεὶς τὴν ἐξουσίαν τοῦ ἄλλου, ἀλλὰ ὁ καθεὶς μένει εἰς τὸ ἀξίωμά του, ὅλα θὰ εἶναι διευθετημένα καλῶς. «Ἐνισχύεσθε μὲ τὴν δύναμιν, ποὺ δίδει ἡ μετὰ τοῦ Κυρίου κοινωνία σας καὶ ποὺ πηγάζει ἀπὸ τὴν κραταιὰν ἰσχύν του», λέγει· δηλαδή, ἐλπίζοντες εἰς αὐτὸν διὰ τὴν βοήθειάν του. Ἐπειδὴ λοιπὸν παρήγγειλε πολλὰ ποὺ ἔπρεπε νὰ γίνουν, μὴ φοβεῖσθε, λέγει, στηρίξατε τὴν ἐλπίδα σας εἰς τὸν Κύριον, καὶ ὅλα θὰ τὰ ἀνακουφίσῃ. «Καὶ ἐνδυθῆτε τὴν πανοπλίαν τοῦ Θεοῦ, διὰ νὰ ἠμπορεῖτε νὰ ἀντιστέκεσθε εἰς τὰ πανοῦργα τεχνάσματα τοῦ διαβόλου»[9]. Δὲν εἶπεν· Εἰς τὰς μάχας, οὔτε, Εἰς τοὺς πολέμους, ἀλλά, «Εἰς τὰ τεχνάσματα». Διότι ὁ ἐχθρὸς δὲν μᾶς πολεμεῖ οὔτε ἁπλῶς, οὔτε φανερῶς, ἀλλὰ μὲ τεχνάσματα. Τί σημαίνει μεθοδεία; Μεταχειρίζομαι τέχνασμα σημαίνει παραπλανῶ καὶ μὲ ἐπινοήσεις καταβάλλω κάποιον, πρᾶγμα ποὺ γίνεται καὶ εἰς τὴν περίπτωσιν τῶν τεχνασμάτων, καὶ μὲ λόγια, καὶ μὲ ἔργα, καὶ μὲ παλαιστικὰ τεχνάσματα, εἰς ἐκείνους οἱ ὁποῖοι μᾶς παραπλανοῦν. Ἐπεξηγῶ τί ἐννοῶ· Ποτὲ δὲν παρουσιάζει φανερὰ τὰ ἁμαρτήματα, τὴν εἰδωλολατρείαν δὲν τὴν λέγει, ἀλλὰ διαφορετικὰ παριστάνει τοῦτο μεταχειριζόμενος τεχνάσματα, δηλαδή, παριστάνει πιθανὸν τὸν λόγον καὶ χρησιμοποιεῖ ἐπικαλύμματα.

Ἤδη λοιπὸν καὶ μὲ αὐτὸ διήγειρε τοὺς στρατιώτας καὶ τοὺς ἔκαμε νὰ εἶναι νηφάλιοι μὲ τὸ νὰ τοὺς πείσῃ καὶ νὰ τοὺς διδάξῃ, ὅτι ἡ μάχη μας εἶναι πρὸς ἔμπειρον εἰς τὰ πολεμικά, ποὺ πολεμεῖ ὄχι ἁπλῶς, οὔτε φανερῶς, ἀλλὰ μὲ πολλὰ τεχνάσματα. Καὶ πρῶτον μὲν ἀπὸ τὴν φύσιν καὶ τὸ πλῆθος διεγείρει τοὺς μαθητάς. Εἶπε τὰ σοφίσματα καὶ τοὺς ἡτοίμασε νὰ εἶναι νηφάλιοι, ἐπειδὴ ἤθελεν ὄχι νὰ καταβάλῃ τοὺς ὑπ' αὐτὸν παρατεταγμένους στρατιώτας, ἀλλὰ νὰ τοὺς ἐρεθίσῃ καὶ νὰ τοὺς διεγείρῃ. Ἐὰν μὲν ἐτελείωνε τὸν λόγον μέχρι τούτου τοῦ σημείου διηγησάμενος μόνον τὴν δύναμιν αὐτῶν, ἴσως νὰ κατέβαλλεν αὐτούς· ἐὰν ὅμως καὶ πρὶν ἀπ' αὐτὸ καὶ μετὰ δεικνύῃ ὅτι εἶναι δυνατὸν νὰ καταβάλουν τὸν ἐχθρὸν αὐτόν, διεγείρει περισσότερον αὐτούς. Διότι ὅσον σαφέστερον ἀπὸ ἡμᾶς θὰ ἀναγγέλλεται εἰς τοὺς ἰδικούς μας ἡ δύναμις τῶν ἀντι-

ἀπαγγέλληται πρὸς τοὺς οἰκείους, τοσούτῳ σπουδαιοτέρους ποιεῖ τοὺς ἡμετέρους. «Ὅτι οὐκ ἔστιν ἡμῖν», φησίν, «ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Προτρέψας ἀπὸ τοῦ εἴδους τῆς μάχης, λοιπὸν καὶ ἀπὸ τῶν ἐπάθλων τῶν κειμένων αὐτοὺς διεγείρει. Τί γάρ; Εἰπὼν ὅτι σφοδροὶ οἱ ἐχθροί, ἐπήγαγεν, ὅτι καὶ μεγάλα ἡμᾶς ἀποστεροῦσι. Ποῖα; Ἐν τοῖς ἐπουρανίοις ἡ μάχη κεῖται· οὐ περὶ χρημάτων, οὐ περὶ δόξης, ἀλλ' ὑπὲρ ἀνδραποδισμοῦ ὁ ἀγών. Ὥστε ἀκατάλλακτος ἡ ἔχθρα γίνεται. Σφοδροτέρα ἡ φιλονεικία καὶ ἡ μάχη, ὅταν ὑπὲρ μεγάλων ᾖ. Τὸ γάρ, «Ἐν τοῖς ἐπουρανίοις», ἀντὶ τοῦ, ὑπὲρ τῶν ἐπουρανίων, ἐστίν· οὐχ ἵνα αὐτοί τινος τύχωσι νικήσαντες, ἀλλ' ἵνα ἡμᾶς ἀποστερήσωσιν· ὡς ἂν εἰ ἔλεγεν, Ἡ συνθήκη ἔν τινι κεῖται, τὸ «ἐν», «ὑπέρ» ἐστι, καὶ τὸ «ἐν», «διά» ἐστιν. Ὅρα πῶς ἡμᾶς διεγείρει ἡ δύναμις τοῦ ἐχθροῦ, καὶ νήφειν ποιεῖ, τὸ εἰδέναι ὑπὲρ μεγάλων ὄντα τὸν κίνδυνον, καὶ ὑπὲρ μεγάλων τὴν νίκην· τοῦ γὰρ οὐρανοῦ ἡμᾶς ἐκβάλλειν σπουδάζει. Ἀρχὰς τίνας φησὶ καὶ ἐξουσίας καὶ κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου; ποίου σκότους; ἆρα τῆς νυκτός; Οὐδαμῶς, ἀλλὰ τῆς πονηρίας· Ἦμεν γάρ, φησί, σκότος ποτέ, οὕτω τὴν πονηρίαν λέγων τὴν ἐν τῷ παρόντι βίῳ. Οὐ γὰρ οὐδὲ περαιτέρω χώραν, οὐκ ἐν οὐρανῷ, οὐκ ἐν τῷ μετὰ ταῦτα αἰῶνι.

Κοσμοκράτορας δὲ αὐτούς φησιν, οὐχ ὡς τοῦ κόσμου κρατοῦντας, ἀλλ' ὡς τῶν πονηρῶν ἔργων ὄντας αἰτίους. Οἶδε γὰρ κόσμον καλεῖν ἡ Γραφὴ τὰς πονηρὰς πράξεις· ὡς ὅταν λέγῃ ὁ Χριστός· «Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου, ὥσπερ ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου». Ἆρα οὖν οὐκ ἦσαν ἐκ τοῦ κόσμου; οὐχὶ σάρκα περιέκειντο; οὐ τῶν ἐν

10. Ἐφ. 6, 12.
11. Ἰω. 17, 14.

πάλων, τόσον σπουδαιοτέρους κάμνει τοὺς ἰδικούς μας στρατιώτας. «Διότι δὲν ἔχομεν νὰ παλαίσωμεν, λέγει, πρὸς ἀντιπάλους μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, ποὺ ἐπικρατεῖ εἰς τὸν αἰῶνα τοῦτον, πρὸς τὰ πνευματικὰ ὄντα, τὰ ὁποῖα εἶναι γεμᾶτα πονηρίαν καὶ κατοικοῦν εἰς τὰ ἐπουράνια»[10]. Ἀφοῦ τοὺς προέτρεψεν ἀπὸ τὸ εἶδος τῆς μάχης, εἰς τὸ ἑξῆς τοὺς διεγείρει ἀπὸ τὰ ἔπαθλα ποὺ εἶναι δι' αὐτούς. Τί λοιπὸν συμβαίνει; Ἀφοῦ εἶπεν ὅτι οἱ ἐχθροί μας εἶναι δυνατοί, προσέθεσεν, ὅτι μᾶς στεροῦν μεγάλα ἀγαθά. Ποῖα εἶναι αὐτά; Ἡ μάχη κεῖται εἰς τοὺς οὐρανούς. Ὁ ἀγὼν δὲν εἶναι διὰ χρήματα, οὔτε διὰ τὴν δόξαν, ἀλλὰ περὶ δουλείας. Ὥστε ἡ ἔχθρα γίνεται ἀδιάλλακτος. Ἡ φιλονεικία καὶ ἡ μάχη εἶναι σφοδροτέρα, ὅταν γίνεται διὰ μεγάλα ἀγαθά. Διότι τὸ «ἐν τοῖς ἐπουρανίοις», τίθεται ἀντὶ τοῦ, ὑπὲρ τῶν ἐπουρανίων. Ὄχι διὰ νὰ λάβουν αὐτοὶ κάποιο ἔπαθλον, ἐπειδὴ μᾶς ἐνίκησαν, ἀλλὰ διὰ νὰ τὸ στερήσουν ἀπὸ ἡμᾶς, ὡς ἐὰν ἔλεγεν· Ἡ συνθήκη ἐξαρτᾶται ἐντελῶς ἀπὸ κάτι, τὸ «ἐν» σημαίνει «ὑπέρ», καὶ τὸ «ἐν» σημαίνει «διά». Πρόσεχε πῶς μᾶς διεγείρει ἡ δύναμις τοῦ ἐχθροῦ καὶ μᾶς κάμνει νὰ εἴμεθα προσεκτικοί, ἡ γνῶσις ὅτι ὁ κίνδυνος καὶ ἡ νίκη εἶναι διὰ τὰ μεγάλα ἀγαθά, διότι πασχίζει νὰ μᾶς ἐκδιώξῃ ἀπὸ τὸν οὐρανόν. Ποίας ἀρχὰς λέγει καὶ ἐξουσίας καὶ κοσμοκράτορας τοῦ σκότους, ποὺ ἐπικρατεῖ εἰς τὸν αἰῶνα τοῦτον; ποίου σκότους; μήπως τὸ σκότος τῆς νυκτός; Καθόλου, ἀλλὰ τὸ σκότος τῆς πονηρίας, διότι ἤμεθα, λέγει, κάποτε σκότος, λέγων ἔτσι τὴν πονηρίαν, ποὺ ἐπικρατεῖ εἰς τὴν παροῦσαν ζωήν. Διότι δὲν θὰ ἔχῃ πλέον χώραν, οὔτε εἰς τὸν οὐρανόν, οὔτε εἰς τὸν αἰῶνα.

Ὀνομάζει δὲ αὐτοὺς κοσμοκράτορας, ὄχι ἐπειδὴ εἶναι κύριοι τοῦ κόσμου, ἀλλ' ἐπειδὴ εἶναι αἴτιοι τῶν πονηρῶν ἔργων. Διότι γνωρίζει ἡ Γραφὴ νὰ ὀνομάζῃ κόσμον τὰς πονηρὰς πράξεις, ὅπως ὅταν ὁ Χριστὸς λέγῃ· «Σεῖς δὲν εἶσθε ἀπὸ τὸν κόσμον τοῦτον, καθὼς ἀκριβῶς ἐγὼ δὲν εἶμαι ἀπὸ τὸν κόσμον»[11]. Ἄρα λοιπὸν δὲν ἦσαν ἀπὸ τὸν κόσμον; δὲν ἔφεραν σάρκα; δὲν ἦσαν ἀπὸ τοὺς ἀνθρώ-

κόσμῳ ἦσαν; Καὶ πάλιν· «Ὁ κόσμος ἐμὲ μισεῖ, ὑμᾶς δὲ οὐ δύναται μισεῖν»· πάλιν τὰς πονηρὰς πράξεις λέγων, οὕτως. Ἢ κόσμον ἐνταῦθα τοὺς πονηροὺς ἀνθρώπους λέγει· οἱ γὰρ δαίμονες μᾶλλον τούτων κρατοῦσι. «Πρὸς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικά», φησί, «τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». Ἀρχὰς καὶ ἐξουσίας φησί, καθάπερ καὶ ἐπὶ τῶν ἐπουρανίων εἰσὶ θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι. «Διὰ τοῦτο», φησίν, «ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι». Ἡμέραν πονηράν, τὸν παρόντα βίον καὶ αἰῶνα δὲ πονηρὸν τοῦτον καλεῖ, ἀπὸ τῶν ἐν αὐτῷ γινομένων κακῶν. Τουτέστιν, Ἀεὶ ὁπλίζεσθε. «Καὶ ἅπαντα», φησί, «κατεργασάμενοι»· τουτέστι, καὶ πάθη καὶ ἐπιθυμίας ἀτόπους καὶ τὰ ἐνοχλοῦντα ἡμῖν ἅπαντα. Οὐχ ἁπλῶς ἐργάσασθαι εἶπεν, ἀλλὰ κατεργάσασθαι, ὥστε οὐκ ἀνελεῖν μόνον, ἀλλὰ καὶ στῆναι μετὰ τὸ ἀνελεῖν. Πολλοὶ γὰρ τὴν νίκην ταύτην νικήσαντες, πάλιν ἔπεσον. «Πάντα», φησί, «κατεργασάμενοι», οὐ τὸ μὲν ναί, τὸ δὲ οὔ· δεῖ γὰρ καὶ μετὰ τὴν νίκην στάσεως. Ἐβλήθη ποτέ, ἀλλὰ πάλιν ἀναζῇ τὰ βαλλόμενα· ἂν μὴ στῶμεν, ἤδη καὶ πεσόντα ἀνίσταται. Ἕως ἂν στήκωμεν, πέπτωκεν· ἕως ἂν μὴ περιφερώμεθα, ἐκεῖνος οὐκ ἀνίσταται. Ἐνδυσώμεθα τὴν πανοπλίαν τοῦ Θεοῦ.

4. Ὁρᾷς πῶς τὸν φόβον ἐξεῖλεν; Εἰ γὰρ δυνατὸν κατεργάσασθαι καὶ στῆναι, τί ἀποφεύγεις τὴν μάχην; Στῆθι κατεργασάμενος, καὶ νενίκηκας. Καὶ μὴ θαυμάσῃς ὅτι, τοσαῦτα περὶ τῆς τῶν ἐχθρῶν δυνάμεως διεξέρχεται· τὸ γὰρ ταῦτα διεξιέναι οὐ δειλίαν ἐμποιεῖ καὶ φόβον, ἀλλὰ τὴν ῥᾳθυμίαν

12. Ἰω. 7, 7.
13. Ἐφ. 6, 13.

που τοῦ κόσμου; Καὶ πάλιν' «Ὁ κόσμος ἐμὲ μισεῖ, δὲν ἠμπορεῖ ὅμως νὰ μισῇ σᾶς»[12], καλῶν ἔτσι πάλιν τὰς πονηρὰς πράξεις. Ἢ καλεῖ ἐδῶ κόσμον τοὺς πονηροὺς ἀνθρώπους, διότι οἱ δαίμονες περισσότερον αὐτοὺς ἐξουσιάζουν. «Πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ ὄντα», λέγει, «ποὺ εἶναι γεμᾶτα πονηρίαν καὶ κατοικοῦν εἰς τὰ ἐπουράνια». Ἀρχὰς καὶ ἐξουσίας λέγει, ὅπως ἀκριβῶς καὶ εἰς τὰ ἐπουράνια ὑπάρχουν θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι. «Διὰ τοῦτο», λέγει, «ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, διὰ νὰ ἠμπορέσετε νὰ ἀντισταθῆτε κατὰ τὴν ἡμέραν τὴν πονηρὰν καὶ ἀφοῦ ἐκτελέσετε ἐντελῶς ὅλα τὰ καθήκοντά σας νὰ σταθῆτε εἰς τὴν θέσιν σας»[13]. Ὀνομάζει ἡμέραν πονηρὰν τὴν παροῦσαν ζωήν, καὶ αἰῶνα δὲ πονηρὸν τὸν παρόντα, ἐξ αἰτίας τῶν κακῶν ποὺ γίνονται εἰς αὐτόν. Δηλαδή, Πάντοτε νὰ εἶσθε ἐξοπλισμένοι. «Καὶ ἀφοῦ ἐκτελέσετε», λέγει, «ὅλα ἐντελῶς», δηλαδή, καὶ πάθη καὶ παραδόξους ἐπιθυμίας καὶ ὅλα ἐκεῖνα τὰ ὁποῖα προκαλοῦν εἰς ἡμᾶς ἐνόχλησιν. Δὲν εἶπεν ἁπλῶς ἐξετελέσατε, ἀλλ' ἐξετελέσατε ἐντελῶς, ὥστε ὄχι μόνον νὰ νικήσετε, ἀλλὰ καὶ νὰ σταθῆτε εἰς τὴν θέσιν σας μετὰ τὴν νίκην. Διότι πολλοί, ἀφοῦ ἐπέτυχαν αὐτὴν τὴν νίκην, πάλιν ἔπεσαν. «Ὅλα», λέγει, «ἀφοῦ τὰ ἐκτελέσετε ἐντελῶς», ὄχι αὐτὸ μὲν ναί, ἐκεῖνο δὲ ὄχι' διότι εἶναι ἀνάγκη καὶ μετὰ τὴν νίκην νὰ σταθῶμεν εἰς τὴν θέσιν μας. Ἐτραυματίσθησαν κάποτε, ἀλλὰ πάλιν ἐπανέρχονται εἰς τὴν ζωὴν ἐκεῖνα ποὺ τραυματίζονται' ἐὰν δὲν θὰ σταθοῦμεν, ἤδη καὶ αὐτὰ ποὺ ἔπεσαν σηκώνονται. Ἕως ὅτου θὰ εἴμεθα ὄρθιοι, θὰ εἶναι πεσμένος ὁ ἐχθρός' ἕως ὅτου δὲν θὰ εἴμεθα ἀσταθεῖς, ἐκεῖνος δὲν σηκώνεται. Ἃς ἐνδυθοῦμεν τὴν πανοπλίαν τοῦ Θεοῦ.

4. Βλέπεις πῶς ἐξεδίωξε τὸν φόβον; Ἐὰν βέβαια εἶναι δυνατὸν νὰ ἐκτελῇς ὅλα καὶ νὰ σταθῇς ὄρθιος, διατί ἀποφεύγεις τὴν μάχην; Στάσου ὄρθιος ὅταν ἐκτελῇς καὶ ἔχῃς νικήσει. Καὶ μὴ ἀπορήσῃς ἐπειδὴ λέγει τόσα πολλὰ διὰ τὴν δύναμιν τῶν ἐχθρῶν. Διότι μὲ τὸ νὰ εἰπῇ αὐτὰ δὲν προκαλεῖ δειλίαν καὶ φόβον, ἀλλ' ἀποτινάσσει τὴν νω-

ἀποτινάσσει. «Ἵνα δυνηθῆτε», φησίν, «ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ». Καὶ ἀπὸ τοῦ χρόνου παραμυθεῖται. Βραχύς, φησίν, ὁ καιρός· ὥστε χρὴ ἑστάναι· μὴ κάμητε μετὰ τὴν σφαγήν. Εἰ τοίνυν πόλεμός ἐστιν, εἰ τοιαῦται αἱ παρατάξεις εἰσίν, εἰ ἀσώματοι αἱ ἀρχαί, εἰ κοσμοκράτορες, εἰ πνευματικὰ τῆς πονηρίας, πῶς τρυφᾷς, εἰπέ μοι; πῶς διακεχυμένος εἶ; πῶς ἀφωπλισμένοι περιγενέσθαι δυνησόμεθα; Ταῦτα ἕκαστος ἑαυτῷ λεγέτω καθ' ἑκάστην ἡμέραν ὅταν ὑπὸ τοῦ θυμοῦ κρατῆται, ὅταν ὑπὸ ἐπιθυμίας, ὅταν τὸν ὑγρὸν τοῦτον βίον καὶ εἰκῇ ἐπιζητῇ. Ἀκουέτω τοῦ μακαρίου Παύλου λέγοντος· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας». Χαλεπώτερος οὗτος ὁ πόλεμος τοῦ αἰσθητοῦ, σφοδροτέρα ἡ μάχη. Ἐννόησον ὅσον οὗτος παλαίει χρόνον, ὑπὲρ τίνος πυκτεύει καὶ γενοῦ σεαυτοῦ ἀσφαλέστερος.

Ναί, φησίν, ἀλλ' ἔδει ὄντα διάβολον ἐκ μέσου γενέσθαι, καὶ πάντες ἂν ἐσώζοντο. Ταῦτά τινες τῶν ῥαθύμων προφασιζόμενοι φθέγγονται. Δέον σε εὐχαριστεῖν, ἄνθρωπε, ὅτι τοιούτου περιγένῃ, ἂν ἐθέλῃς, ἐκ τῶν ἐναντίων καὶ ἀγανακτεῖς, νωθροῦ τινος καὶ ὑπνηλοῦ στρατιώτου φθεγγόμενος ῥήματα. Οἶδας τὰς λαβάς, ἂν ἐθέλῃς· περισκόπει πάντοθεν, σαυτὸν τείχιζε. Οὐχὶ πρὸς τὸν διάβολόν ἐστιν ἡ μάχη μόνον, ἀλλὰ καὶ πρὸς τὰς ἐκείνου δυνάμεις. Πῶς οὖν παλαίσομεν τῷ σκότῳ, φησί; Φῶς γενόμενοι. Πῶς τοῖς πνευματικοῖς τῆς πονηρίας; Ἀγαθοὶ γενόμενοι. Ἀγαθῷ γὰρ ἐναντίον ἡ πονηρία, καὶ φῶς ἀπελαύνει σκότος· ἂν δὲ καὶ αὐτοὶ ὦμεν σκότος, ἁλωσόμεθα πάντως. Πῶς οὖν αὐτῶν περιεσόμεθα; Ἂν ὅπερ εἰσὶν ἀπὸ φύσεως ἐκεῖνοι, τοῦτο γενώμεθα ἀπὸ προαιρέσεως ἡμεῖς, σαρκὸς ἐκτὸς καὶ αἵματος· οὕτως αὐτοὺς αἱρήσομεν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὑπὸ πολλῶν

θρότητα. «Διὰ νὰ ἠμπορέσετε», λέγει, «νὰ ἀντισταθῆτε κατὰ τὴν ἡμέραν τὴν πονηράν». Καὶ ἀπὸ τὸν χρόνον τοὺς παρηγορεῖ. Σύντομος, λέγει, εἶναι ὁ καιρός, ὥστε πρέπει νὰ σταθῆτε εἰς τὴν θέσιν σας, νὰ μὴ καταβληθῆτε μετὰ τὴν μάχην. Ἐὰν λοιπὸν ὑπάρχῃ πόλεμος, ἐὰν ὑπάρχουν αὐταὶ αἱ παρατάξεις, ἐὰν αἱ ἀρχαὶ εἶναι ἀσώματοι, ἐὰν ὑπάρχουν οἱ κοσμοκράτορες, ἐὰν ὑπάρχουν τὰ πνευματικὰ ὄντα τῆς πονηρίας, εἰπέ μου, πῶς ζῇς ζωὴν τρυφῆς; πῶς εἶσαι διακεχυμένος; πῶς θὰ ἠμπορέσωμεν νὰ νικήσωμεν ἀφωπλισμένοι; Ὁ καθένας ἄς λέγῃ αὐτὰ εἰς τὸν ἑαυτόν του κάθε ἡμέραν, ὅταν κυριαρχῆται ἀπὸ τὸν θυμόν, ἀπὸ ἐπιθυμίας ὑλικάς, ὅταν ἐπιζητῇ τὸν φιλήδονον καὶ μάταιον τοῦτον βίον. Ἄς ἀκούῃ τὸν μακάριον Παῦλον ποὺ λέγει· «Δὲν ἔχομεν νὰ παλαίσωμεν πρὸς ἀντιπάλους μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας». Αὐτὸς ὁ πόλεμος εἶναι δυσκολώτερος τοῦ αἰσθητοῦ, ἡ πάλη εἶναι σφοδροτέρα. Κατανόησε πόσον χρόνον παλαίει αὐτός, διὰ ποῖον πυγμαχεῖ, καὶ γίνε ἀσφαλέστερος τοῦ ἑαυτοῦ σου.

Ναί, λέγει, ἀλλ' ἔπρεπε νὰ φύγῃ ὁ διάβολος ἀπὸ τὸ μέσον καὶ ὅλοι θὰ ἐσῴζοντο. Μερικοὶ ἀπὸ τοὺς ὀκνηροὺς προφασιζόμενοι λέγουν αὐτά. Εἶναι ἀνάγκη νὰ σὲ εὐχαριστήσω, ἄνθρωπε, διότι ὑπερισχύεις, ἄν θέλῃς, ἑνὸς τέτοιου ἀντιπάλου, καὶ ἀγανακτεῖς λέγων τὰ λόγια ἑνὸς νωθροῦ καὶ ὑπναλέου στρατιώτου. Γνωρίζεις τὰς ἀφορμάς, ἄν θέλῃς, πρόσεχε ἀπὸ παντοῦ, ὀχύρωνε τὸν ἑαυτόν σου. Διότι ἡ πάλη δὲν εἶναι μόνον πρὸς τὸν διάβολον, ἀλλὰ καὶ πρὸς τὰς δυνάμεις ἐκείνου. Πῶς λοιπόν, λέγει, θὰ ἀντιμετωπίσωμεν τὸ σκοτάδι; Γενόμενοι φῶς. Πῶς τὰ πνευματικὰ ὄντα τῆς πονηρίας; Γενόμενοι ἀγαθοί. Διότι ἡ πονηρία εἶναι ἀντίθετος πρὸς τὸ ἀγαθόν, καὶ τὸ φῶς ἀπομακρύνει τὸ σκοτάδι. Ἄν ὅμως καὶ ἡμεῖς οἱ ἴδιοι εἴμεθα σκοτάδι, θὰ πέσωμεν ὁπωσδήποτε εἰς τὸ χέρι τοῦ ἐχθροῦ. Πῶς λοιπὸν θὰ γίνωμεν ὑπέρτεροι αὐτῶν; Ἄν ἐκεῖνο, ποὺ ἐκ φύσεως εἶναι αὐτοί, τοῦτο θὰ γίνωμεν ἐκ προαιρέσεως ἡμεῖς, χωρὶς σάρκα καὶ αἷμα· κατ' αὐτὸν τὸν τρόπον θὰ καταβάλωμεν αὐτούς. Ἐπειδὴ βέβαια ἦτο φυσικὸν νὰ ἐκδιώκωνται

ἐλαύνεσθαι, μὴ νομίσητε, φησίν, ὅτι αὐτοὶ πολεμοῦσιν ἡμῖν. Οἱ ἐνεργοῦντες ἐν αὐτοῖς δαίμονές εἰσιν, οἱ πολεμοῦντες· πρὸς ἐκείνους ἡμῖν ἡ μάχη. Δύο δὲ ἀπὸ τούτων κατασκευάζει, αὐτούς τε προθυμοτέρους ποιῶν πρὸς τοὺς πολεμοῦντας αὐτοῖς καὶ πρὸς ἐκείνους τὸν θυμὸν ἐγείρων.

Καὶ τίνος ἕνεκεν πρὸς τούτους ἡμῖν ἡ μάχη γεγένηται; Ἐπειδὴ καὶ σύμμαχον ἔχομεν ἄμαχον, τοῦ Πνεύματος τὴν χάριν, τέχνην ἐδιδάχθημεν τοιαύτην, ὥστε μὴ πρὸς ἀνθρώπους δύνασθαι παλαίειν, ἀλλὰ πρὸς δαίμονας. Ἂν δὲ ἐθέλωμεν, οὐδὲ παλαίσομεν, ἐπειδὴ γὰρ βουλόμεθα, πάλη ἐστίν· ἐπεὶ τοσαύτη ἡ δύναμις τοῦ ἐνοικοῦντος ἐν ἡμῖν, ὡς λέγειν· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ». Πᾶσαν ἡμῖν δέδωκεν ἐξουσίαν καὶ τοῦ παλαίειν, καὶ τοῦ μὴ παλαίειν· ἐπειδὴ δὲ ἡμεῖς νωθεῖς ἐσμεν, παλαίομεν αὐτοῖς· ἐπεὶ ὅτι Παῦλος οὐκ ἐπάλαισεν, ἄκουσον αὐτοῦ λέγοντος· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία, ἢ λιμὸς ἢ διωγμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;». Καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος· «Ὁ Θεὸς συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει». Εἶχε γὰρ αὐτὸν ὑποτεταγμένον· διὸ καὶ ἔλεγε· «Παραγγέλλω σοι ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ ἐξελθεῖν ἀπ' αὐτῆς». Τοῦτο δὲ οὐκ ἔστι παλαίοντος. Ὁ γὰρ παλαίων οὐδέπω ἐνίκησεν, ὁ δὲ νικήσας οὐκέτι παλαίει. Ὑπέταξεν αὐτόν, ἐξηχμαλώτισε. Καὶ Πέτρος δὲ οὐκ ἐπάλαιε τῷ διαβόλῳ, ἀλλ' ὃ τοῦ παλαῖσαι βέλτιον ἦν, τοῦτο εἰργάζετο. Ἐν τοῖς πιστοῖς, ἐν τοῖς ὑπακούουσιν, ἐν τοῖς κατηχουμένοις ἐκ πολλοῦ τοῦ περιόντος ἐκράτουν αὐτοῦ. Διὸ καὶ ἔλεγεν ὁ μακάριος Παῦλος· «Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν». Ὅθεν καὶ μάλιστα αὐτοῦ περιεγένετο.

---

14. Λουκᾶ 10, 19.
15. Ρωμ. 8, 35.
16. Ρωμ. 16, 20.
17. Πράξ. 16, 18.
18. Β΄ Κορ. 2, 11.

ἀπὸ πολλοὺς αὐτοί, μὴ νομίσετε, λέγει, ὅτι αὐτοὶ μᾶς πολεμοῦν. Οἱ δαίμονες, ποὺ ἐνεργοῦν εἰς αὐτούς, εἶναι ἐκεῖνοι ποὺ μᾶς πολεμοῦν· πρὸς ἐκείνους πρέπει νὰ πολεμήσωμεν. Ἀπ' αὐτὰ δὲ δύο πράγματα κατορθώνει· πρῶτον κάμνει αὐτοὺς προθυμοτέρους πρὸς ἐκείνους ποὺ τοὺς πολεμοῦν καὶ δεύτερον ἐξάπτει τὸν θυμὸν πρὸς ἐκείνους.

Καὶ διὰ ποῖον λόγον ἔχει γίνει εἰς ἡμᾶς ἡ μάχη πρὸς αὐτούς; Ἐπειδὴ ἔχομεν καὶ σύμμαχον ἄμαχον, τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ἐδιδάχθημεν τὴν τέχνην αὐτήν, ὥστε νὰ ἠμποροῦμεν νὰ ἀγωνιζώμεθα ὄχι πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τοὺς δαίμονας. Ἂν ὅμως θέλωμεν, οὔτε θὰ παλαίσωμεν· ἐπειδὴ βεβαίως θέλομεν, ὑπάρχει ὁ ἀγών. Διότι εἶναι τόσον μεγάλη ἡ δύναμις τοῦ Πνεύματος ποὺ ἐνοικεῖ μέσα μας, καθὼς λέγει· «Ἰδοὺ σᾶς ἔχω δώσει ἐξουσίαν νὰ βαδίζετε ἐπάνω εἰς τοὺς δηλητηριώδεις ὄφεις καὶ σκορπιοὺς καὶ ἐπάνω εἰς κάθε δύναμιν τοῦ ἐχθροῦ»[14]. Ἔχει δώσει εἰς ἡμᾶς κάθε ἐξουσίαν καὶ νὰ ἀγωνιζώμεθα καὶ νὰ μὴ ἀγωνιζώμεθα, ἐπειδὴ ὅμως εἴμεθα νωθροί, ἀγωνιζόμεθα πρὸς αὐτούς. Λοιπὸν ὅτι ὁ Παῦλος δὲν ἐπάλαισεν, ἄκουσε αὐτὸν νὰ λέγῃ· «Ποῖος ἠμπορεῖ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ; μήπως ἡ θλῖψις ἢ στενοχωρία ἢ πεῖνα ἢ διωγμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;»[15]. Καὶ πάλιν ἄκουε αὐτὸν νὰ λέγῃ «Ὁ Θεὸς θὰ συντρίψῃ τὸν σατανᾶν κάτω ἀπὸ τὰ πόδια σας γρήγορα»[16]. Βέβαια εἶχεν αὐτὸν ὑποτεταγμένον, διὰ τοῦτο καὶ ἔλεγε· «Σὲ διατάσσω εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ νὰ ἐξέλθῃς ἀπ' αὐτήν»[17]. Τοῦτο ὅμως δὲν εἶναι χαρακτηριστικὸν ἐκείνου ποὺ ἀγωνίζεται. Διότι ὁ ἀγωνιζόμενος δὲν ἐνίκησε μέχρι τώρα, αὐτὸς δὲ ποὺ ἐνίκησε δὲν ἀγωνίζεται πλέον. Ὑπέταξεν αὐτόν, τὸν ᾐχμαλώτισεν ἐντελῶς. Καὶ ὁ Πέτρος δὲν ἠγωνίζετο πρὸς τὸν διάβολον, ἀλλ' ἐκεῖνο ποὺ ἦτο καλύτερον τῆς πάλης, τοῦτο ἔπραττε. Πολλοὶ ἀπὸ τοὺς πιστούς, τοὺς ὑπακούοντας, τοὺς κατηχομένους ποὺ ἦσαν γύρω του, ἦσαν ἀνώτεροι αὐτοῦ. Διὰ τοῦτο ἔλεγε καὶ ὁ μακάριος Παῦλος· «Γνωρίζομεν τὰς δολίας ἐπινοήσεις του»[18]. Διὰ τοῦτο καὶ ὑπερίσχυσεν αὐτοῦ κατὰ πολύ.

Καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος· «Οὐ θαυμαστόν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης». Οὕτως ᾔδει πᾶσαν τὴν μάχην, καὶ οὐδὲν αὐτὸν ἐλάνθανε. Καί, «Τὸ μυστήριον γάρ», φησί, «ἤδη ἐνεργεῖται τῆς ἀνομίας». Ἀλλὰ πρὸς ἡμᾶς ἡ πάλη ἐστίν. Ἐπεὶ ἄκουε πάλιν αὐτοῦ λέγοντος· «Πέπεισμαι ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἐξουσίαι, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ». Οὐκ εἶπεν ἁπλῶς, Ἀπὸ τοῦ Χριστοῦ, ἀλλ', «Ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ». Πολλοὶ γάρ εἰσιν ἡνωμένοι δῆθεν τῷ Χριστῷ, οὐκ ἀγαπῶντες δὲ αὐτόν. Οὐ μόνον, φησίν, ἀρνήσασθαί με οὐ πείσεις, ἀλλ' οὐδὲ ἧττον αὐτὸν ἀγαπῆσαι. Εἰ δὲ αἱ ἄνω δυνάμεις οὐκ ἂν τοῦτο ἴσχυσαν, τίς ἕτερος αὐτὸν μετέστησεν; Οὐχ ὡς δι' ἐκείνων ἐπιχειρουσῶν, ταῦτά φησιν, ἀλλὰ καθ' ὑπόθεσιν. Διὸ καὶ ἔλεγε· «Πέπεισμαι». Οὐκοῦν οὐκ ἐπάλαιον, ἀλλ' ὅμως φοβεῖται αὐτοῦ τὰς πανουργίας. Ἄκουε γὰρ αὐτοῦ λέγοντος· «Φοβοῦμαι μή πως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν». Ναί φησίν· ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ τούτῳ τῷ ῥήματι κέχρηται, λέγων· «Φοβοῦμαι γάρ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Πῶς οὖν πέπεισαι, ὅτι οὐδείς σε χωρίσει;

5. Ὁρᾷς ὅτι ταπεινοφροσύνης τὸ ῥῆμά ἐστι καὶ μετριότητος; Ἤδη γὰρ ἐκεῖνος ᾤκει τὸν οὐρανόν· διὸ καὶ ἔλεγεν· «Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα»· καὶ πάλιν, «Τὸν δρόμον τετέλεκα». Ὥστε οὐκ εἰς ταῦτα ἐνεπόδιζεν αὐτῷ ὁ διάβολος, ἀλλ' εἰς τὰ τῶν μαθητῶν. Τί δήποτε; Ἐπειδὴ τούτων οὐκ αὐτὸς ἦν κύριος μόνον, ἀλλὰ καὶ ἡ ἐκείνων προαίρεσις. Ἐκεῖ ἐστιν ὅπου ἐκράτει· μᾶλλον δὲ οὐδὲ ἐκεῖ αὐτοῦ ἐ-

19. Β΄ Κορ. 11, 15.
20. Β΄ Θεσ. 2, 7.
21. Ρωμ. 8, 38, 39.
22. Β΄ Κορ. 11, 3.
23. Α΄ Κορ. 9, 27.
24. Α΄ Κορ. 4, 4.
25. Β΄ Τιμ. 4, 7.

Καὶ πάλιν ἄκουε αὐτὸν νὰ λέγῃ˙ «Δὲν εἶναι παράδοξον πρᾶγμα, ἐὰν καὶ οἱ ὑπηρέται του ἀλλάζουν σχῆμα καὶ παρουσιάζωνται ὡσὰν ὑπηρέται δικαιοσύνης»[19]. Ἔτσι ἐγνώριζεν ὅλην τὴν μάχην καὶ τίποτε δὲν διέφευγε τῆς προσοχῆς του. Καὶ πάλιν˙ «Διότι τώρα εἶναι εἰς ἐνέργειαν ἡ δύναμις τῆς ἀνομίας»[20]. Ἀλλὰ ὁ ἀγὼν εἶναι πρὸς ἡμᾶς. Ἄκουε λοιπὸν αὐτὸν πάλιν νὰ λέγῃ˙ «Εἶμαι πεπεισμένος ὅτι οὔτε οἱ ἄγγελοι, οὔτε αἱ ἀρχαί, οὔτε αἱ ἐξουσίαι, οὔτε αἱ δυνάμεις, οὔτε γεγονότα τοῦ παρόντος, οὔτε γεγονότα τοῦ μέλλοντος, οὔτε ὁποιαδήποτε ἄλλη κτίσις θὰ ἠμπορέσῃ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ»[21]. Δὲν εἶπε μόνον, Ἀπὸ τὸν Χριστόν, ἀλλ' «ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ». Διότι πολλοὶ εἶναι ἡνωμένοι δῆθεν μὲ τὸν Χριστόν, δὲν ἀγαποῦν ὅμως αὐτόν. Ὄχι μόνον, λέγει, δὲν θὰ μὲ πείσῃς νὰ τὸν ἀρνηθῶ, ἀλλ' οὔτε νὰ τὸν ἀγαπήσω ὀλιγώτερον. Ἐὰν ὅμως αἱ οὐράνιοι δυνάμεις δὲν ἦτο δυνατὸν νὰ κατορθώσουν τοῦτο, ποῖος ἄλλος θὰ ἀπεμάκρυνεν αὐτόν; Ὄχι δὲ ἐπειδὴ ἐκεῖναι τὸ ἐπιχειροῦν, λέγει αὐτά, ἀλλὰ καθ' ὑπόθεσιν. Διὰ τοῦτο καὶ ἔλεγεν˙ «Εἶμαι πεπεισμένος». Ἄρα δὲν ἐπάλαιεν, ἀλλ' ὅμως φοβεῖται τὰς πανουργίας του. Διότι ἄκουε αὐτὸν νὰ λέγῃ˙ «Φοβοῦμαι, μήπως, ὅπως ὁ ὄφις ἐξηπάτησε μὲ τὴν πανουργίαν του τὴν Εὔαν, ἔτσι διαφθαροῦν αἱ σκέψεις σας καὶ χάσετε τὴν εἰλικρίνειαν, ποὺ ὀφείλομεν νὰ ἔχωμεν πρὸς τὸν Χριστόν»[22]. Ναί, λέγει κάποιος˙ ἀλλὰ καὶ διὰ τὸν ἑαυτόν του χρησιμοποιεῖ τὸ ρῆμα αὐτό, καθόσον λέγει˙ «Διότι φοβοῦμαι, μήπως ἐγὼ ποὺ ἐκήρυξα εἰς ἄλλους γίνω ἀνάξιος»[23]. Πῶς λοιπὸν εἶσαι πεπεισμένος, ὅτι κανεὶς δὲν θὰ σὲ χωρίσῃ;

5. Βλέπεις ὅτι ὁ λόγος δηλώνει τὴν ταπεινοφροσύνην καὶ τὴν μετριοφροσύνην; Ἤδη ἐκεῖνος ἐκατοικοῦσεν εἰς τὸν οὐρανόν, διὰ τοῦτο καὶ ἔλεγε˙ «Δὲν μοῦ μαρτυρεῖ ἡ συνείδησις καμμίαν ἐνοχὴν»[24] καὶ πάλιν˙ «Ἔχω φθάσει εἰς τὸ τέλος τοῦ δρόμου»[25]. Ὥστε δὲν τὸν ἐκώλυεν εἰς αὐτὰ ὁ διάβολος, ἀλλ' εἰς τὰς ὑποθέσεις τῶν μαθητῶν. Τί συμβαίνει λοιπόν; Ἐπειδὴ δὲν ἦτο κύριος ἐκείνων μόνον αὐτός, ἀλλὰ καὶ ἡ προαίρεσίς των. Ἐκεῖ κάπως ἦτο κύριος,

κράτει, ἀλλὰ τῆς ῥᾳθυμίας τῶν μὴ προσεχόντων. Εἰ μὲν γὰρ τὰ παρ' αὐτοῦ μὴ ἐπλήρου, ἢ διὰ νωθείαν, ἢ δι' ἄλλο τι τοιοῦτον, αὐτοῦ ἐκράτει· εἰ δὲ αὐτὸς μὲν πάντα ἔπραττεν, ἐκεῖνοι δὲ οὐκ ἐπείθοντο, οὐκ αὐτοῦ ἐκράτει, ἀλλὰ τῆς ἐκείνων ἀπειθείας· καὶ τὸ νόσημα οὐ τοῦ ἰατροῦ ἐκράτει, ἀλλὰ τῆς ἀταξίας τοῦ κάμνοντος. Ὅταν γὰρ αὐτὸς μὲν πάντα παρασκευάσηται, ἐκεῖνος δὲ πάντα διαφθείρῃ, ἐκεῖνος ἥττηται, οὐχ οὗτος. Ὥστε οὐδαμοῦ ἐκράτησε τοῦ Παύλου. Πλὴν ἀλλ' ἐφ' ἡμῶν ἀγαπητὸν τὸ καὶ δύνασθαι παλαίειν. Ρωμαίοις μὲν οὐ τοῦτο ἐπεύχεται, ἀλλὰ τί; «Συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει»· καὶ τούτοις οὕτως ἐπεύχεται. «Τῷ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ, ὧν αἰτούμεθα ἢ νοοῦμεν».

Ὁ παλαίων, ἔτι κατέχεται· πλὴν ἀλλ' ἀγαπητὸν καὶ τὸ μὴ πεσεῖν. Τότε ἡ νίκη λαμπρὰ γίνεται, ὅταν ἐξέλθωμεν ἐντεῦθεν. Οἷον, ἔστω τις ἐπιθυμία πονηρά· τὸ μὲν παράδοξον, μηδὲ δέχεσθαι ταύτην, ἀλλὰ σβεννύναι· εἰ δὲ τοῦτο οὐ δυνατόν, κἂν παλαίωμεν καὶ διαπαντὸς κατέχωμεν· ἂν παλαίοντες ἐξέλθωμεν, νενικήκαμεν. Οὐ γὰρ ὡς ἐπὶ τῶν ἀθλητῶν, οὕτω καὶ ἐνταῦθα· ἐκεῖ μὲν γὰρ ἂν μὴ καταβάλῃς, οὐ νενίκηκας· ἐνταῦθα δὲ ἂν μὴ καταβληθῇς, νενίκηκας· ἂν μὴ καταβληθῇς, κατέβαλες. Εἰκότως· ἐκεῖ μὲν γὰρ ἀμφότεροι ὑπὲρ νίκης σπουδάζουσι, κἂν ὁ ἕτερος καταβληθῇ, ὁ ἕτερος στεφανοῦται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὁ διάβολος ὑπὲρ τῆς ἡμετέρας ἥττης σπουδάζει. Ὅταν οὖν αὐτὸν ἀφέλωμαι τοῦτο ὑπὲρ οὗ σπουδάζει, ἐνίκησα· οὐ γὰρ ὥστε καταβαλεῖν, ἀλλ' ὥστε συγκαταβαλεῖν ἐπείγεται. Ἤδη οὖν νενίκηται· αὐτὸς γὰρ ἤδη βέβληται, καὶ ἐν τῇ ἀπωλείᾳ ἐστίν.

26. Ρωμ. 16, 20.
27. Ἐφ. 3, 21.

μᾶλλον δὲ οὔτε ἐκεῖ ἦτο κύριος αὐτοῦ, ἀλλὰ τῆς ραθυμίας ἐκείνων, ποὺ δὲν ἐπρόσεχαν. Διότι ἐὰν μὲν δὲν ἐξεπλήρωνε τὰ καθήκοντά του, ἢ ἐξ αἰτίας τῆς νωθρότητος ἢ ὁποιασδήποτε ἄλλης αἰτίας, ἦτο κύριος αὐτοῦ· ἐὰν ὅμως αὐτὸς μὲν ἔπραττε τὰ πάντα, ἐκεῖνοι δὲ δὲν ἐπείθοντο, δὲν ἦτο κύριος αὐτοῦ, ἀλλὰ τῆς ἀπειθείας ἐκείνων. Καὶ ἡ ἀσθένεια δὲν ὑπερίσχυεν τοῦ ἰατροῦ, ἀλλὰ τῆς ἀδυναμίας τοῦ ἀσθενοῦς. Ὅταν λοιπὸν αὐτὸς μὲν ἔχῃ κάμει τὰ πάντα, ἐκεῖνος ὅμως καταστρέφει τὰ πάντα, ἐκεῖνος εἶναι ἡττημένος, ὄχι αὐτός. Ὥστε πουθενὰ δὲν ὑπερίαχυσε τοῦ Παύλου. Ἀλλ' ὅμως εἶναι ἀγαπητὸν εἰς ἡμᾶς τὸ καὶ νὰ ἠμποροῦμεν νὰ ἀγωνιζώμεθα. Εἰς τοὺς Ρωμαίους δὲν εὔχεται τοῦτο, ἀλλὰ τί; «Θὰ συντρίψῃ τὸν σατανᾶν κάτω ἀπὸ τὰ πόδια σας γρήγορα»[26]· καὶ εἰς αὐτοὺς ἔτσι εὔχεται. «Εἰς τὸν Θεόν, ὁ ὁποῖος ἔχει τὴν δύναμιν νὰ κάμῃ εἰς ἡμᾶς παραπάνω ἀπ' ὅλα, πολὺ περισσότερον ἀπὸ ὅσα ἡμεῖς ζητοῦμεν ἢ σκεπτόμεθα»[27].

Ἐκεῖνος ποὺ ἀγωνίζεται, ἀκόμη κατέχεται· εἶναι ὅμως ἀγαπητὸν καὶ τὸ νὰ μὴ πέσωμεν. Ἡ νίκη τότε γίνεται λαμπρά, ὅταν ἐξέλθωμεν ἀπὸ τὴν πάλην αὐτήν. Ἐπὶ παραδείγματι, ἂς ὑποτεθῇ ὅτι ὑπάρχει μία πονηρὰ ἐπιθυμία. Τὸ παράδοξον εἶναι, ὄχι νὰ τὴν δεχθοῦμεν, ἀλλὰ νὰ τὴν ἐξαλείψωμεν· ἐὰν ὅμως τοῦτο δὲν εἶναι δυνατόν, τουλάχιστον ἂς ἀγωνιζώμεθα καὶ ἂς τὴν κατέχωμεν πάντοτε· ἂν ἀγωνιζόμενοι ἐξέλθωμεν, ἔχομεν νικήσει. Διότι δὲν συμβαίνει ἐδῶ ἔτσι, ὅπως καὶ εἰς τὴν περίπτωσιν τῶν ἀθλητῶν. Διότι ἐκεῖ μὲν ἂν δὲν καταβάλῃς τὸν ἀντίπαλον, δὲν ἔχεις νικήσει· ἐδῶ ὅμως ἂν δὲν σὲ καταβάλῃ ὁ ἀντίπαλος, εἶσαι ὁ νικητής· ἂν δὲν σὲ καταβάλῃ, ἐνίκησες. Εἶναι εὔλογον· διότι ἐκεῖ καὶ οἱ δύο πασχίζουν διὰ τὴν νίκην, καὶ ἂν ὁ ἕνας νικηθῇ, ὁ ἄλλος στεφανώνεται. Ἐδῶ ὅμως δὲν συμβαίνει ἔτσι, ἀλλ' ὁ διάβολος πασχίζει διὰ τὴν ἰδικήν μας ἧτταν. Ὅταν λοιπὸν ἀποστερήσω ἀπὸ αὐτὸν ἐκεῖνο, διὰ τὸ ὁποῖον πασχίζει, ἐνίκησα· διότι ὁ διάβολος δὲν ἐπείγεται διὰ νὰ νικήσῃ, ἀλλὰ διὰ νὰ νικήσῃ τελείως. Ἤδη λοιπὸν ἔχει νικηθῇ, διότι ἔχει καταβληθῇ αὐτὸς καὶ εὑρίσκεται εἰς τὴν

Ἡ δὲ νίκη αὐτοῦ οὐκ ἐν τῷ στεφανωθῆναι, ἀλλ' ἐν τῷ ἐμὲ ἀπολέσαι· ὥστε ἂν μὴ καταβάλω, μὴ καταβληθῶ δέ, νενίκηκα. Τίς οὖν ἐστι λαμπρὰ νίκη; Τὸ ἐκ περιουσίας καταπατεῖν αὐτόν, οἷον ὁ Παῦλος ἐποίει, οὐδὲν ἡγούμενος εἶναι τὰ παρόντα πράγματα. Τοῦτον καὶ ἡμεῖς μιμώμεθα, καὶ σπουδάζωμεν ἀνώτεροι γενέσθαι, καὶ μηδαμόθεν παρέχειν αὐτῷ λαβήν.

Ὁ πλοῦτος δίδωσιν αὐτῷ λαβήν, τὰ χρήματα, ἡ κενοδοξία· καὶ πολλάκις μὲν αὐτὸν ἀνέστησε, πολλάκις δὲ ἠγρίανεν. Ἀλλὰ τίς χρεία πάλης; τίς χρεία συμπλοκῆς; Ὁ συμπλεκόμενος ἄδηλον ἔχει τὸ τέλος, πότερον μὴ ἡττηθείη καὶ αὐτὸς καὶ ἁλώσεται· ὁ δὲ καταπατῶν, δήλην ἔχει τὴν νίκην. Οὐκοῦν καταπατήσωμεν τοῦ διαβόλου τὴν δύναμιν, καταπατήσωμεν τὰς ἁμαρτίας, πάντα λέγω τὰ βιωτικά, θυμόν, ἐπιθυμίαν, ἀλαζονείαν, πάντα τὰ πάθη· ἵνα ἀπελθόντες ἐκεῖ, τὴν ἐξουσίαν, ἥν ἔδωκεν ἡμῖν ὁ Θεός, μὴ εὑρεθῶμεν προδιδόντες. Οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα. Εἰ δὲ περὶ τοῦτο γινόμεθα κακοί, τίς ἡμῖν ἐγχειρίσει τὰ μείζονα; Εἰ γὰρ τὸν προσκεκρουκότα, τὸν ἠτιμωμένον, τὸν καταπεφρονημένον, τὸν ὑπὸ τοὺς πόδας κείμενον, πατῆσαι οὐκ ἠδυνήθημεν, πῶς ἡμῖν δώσει τὰ πατρῷα ὁ Πατήρ; εἰ τοῦ οὕτως ὑποτεταγμένου οὐ περιεγενόμεθα, ποίαν ἕξομεν παρρησίαν εἰς τὴν πατρῴαν εἰσελθεῖν οἰκίαν; Εἰπὲ γάρ μοι· εἴ τινα υἱὸν ἔχοις, ἐκεῖνος δὲ ἀφεὶς τοὺς εὐγνωμονοῦντας τῶν οἰκετῶν, ἀναμιγνύηται τοῖς σὲ λελυπηκόσι, τοῖς ἐκπεπτωκόσι τῆς πατρῴας οἰκίας, τοῖς περὶ κυβείαν ἠσχολημένοις, καὶ μέχρι τέλους τοῦτο ποιῇ, οὐχὶ ἀποκληρονόμος ἔσται; Εὔδηλον ὅτι.

Οὕτω καὶ ἡμεῖς, ἂν ἀφέντες τοὺς εὐηρεστηκότας καὶ τοὺς ἐπιτεταγμένους ἡμῖν ἀγγέλους, ἀναστρεφώμεθα μετὰ

ἀπώλειαν. Ἡ δὲ νίκη του δὲν ἀποβλέπει εἰς τὸ νὰ στεφανωθῇ αὐτός, ἀλλ' εἰς τὸ νὰ ἀπολέσῃ ἐμέ. Ἐπομένως ἂν δὲν καταβάλω, ἀλλὰ καὶ δὲν καταβληθῶ, ἔχω νικήσει. Ποία λοιπὸν εἶναι ἔνδοξος νίκη; Νὰ καταπατῶμεν αὐτὸν διὰ τῆς περιουσίας, καθὼς ἔκαμεν ὁ Παῦλος, θεωρῶν ὅτι δὲν ἔχουν καμμίαν ἀξίαν τὰ παρόντα πράγματα. Ἂς μιμούμεθα καὶ ἡμεῖς αὐτόν, καὶ ἂς ἐπιδιώκωμεν νὰ γίνωμεν ἀνώτεροι καὶ νὰ μὴ δίδωμεν ἀπὸ πουθενὰ ἀφορμὴν εἰς αὐτόν.

Εἰς αὐτὸν δίδει ἀφορμὴν ὁ πλοῦτος, τὰ χρήματα, ἡ κενοδοξία· καὶ πολλὰς φορὰς μὲν ἀνέστησεν αὐτόν, πολλὰς δὲ φορὰς τὸν ἠρέθισεν. Ἀλλὰ διατί ἔχομεν ἀνάγκην τοῦ ἀγῶνος; διατί ἔχομεν ἀνάγκην τῆς συμπλοκῆς; Ἐκεῖνος ποὺ συμπλέκεται μὲ ἄλλον ἔχει ἀβέβαιον τὸ τέλος, ποῖον ἐκ τῶν δύο νὰ μὴ ἡττηθῇ καὶ αὐτὸς καὶ θὰ πέσῃ εἰς τὰ χέρια τοῦ ἀντιπάλου του. Αὐτὸς ὅμως ποὺ καταπατᾷ, ἔχει βεβαίαν τὴν νίκην. Λοιπὸν ἂς καταπατήσωμεν τὰς ἁμαρτίας, ἐννοῶ ὅλα τὰ βιωτικά, τὸν θυμόν, τὴν ἐπιθυμίαν, τὴν ἀλαζονείαν, ὅλα τὰ πάθη, διὰ νὰ μὴ εὑρεθοῦμεν, ὅταν ἀπέλθωμεν εἰς τὴν ἄλλην ζωήν, ὅτι δὲν ἐτηρήσαμεν τὴν ἐξουσίαν, τὴν ὁποίαν μᾶς ἔδωσεν ὁ Θεός. Διότι κατ' αὐτὸν τὸν τρόπον θὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθά. Ἂν ὅμως γινώμεθα κακοὶ ὅσον ἀφορᾷ εἰς τοῦτο, ποῖος θὰ μᾶς ἐμπιστευθῇ τὰ μεγαλύτερα; Διότι, ἂν δὲν ἠμπορέσωμεν νὰ πατήσωμεν τὸν ἀποκρουσθέντα, τὸν κατησχυμένον, τὸν περιφρονημένον, τὸν εὑρισκόμενον κάτω ἀπὸ τὰ πόδια μας, πῶς θὰ μᾶς δώσῃ ὁ Πατὴρ αὐτὰ ποὺ εἶναι ἰδικά του; Ἐὰν δὲν ἐνικήσαμεν αὐτὸν ποὺ εἶναι ἔτσι ὑποτεταγμένος, ποῖον θάρρος θὰ ἔχωμεν νὰ εἰσέλθωμεν εἰς τὴν πατρικὴν οἰκίαν; Διότι εἰπέ μου, ἐὰν ἔχῃς υἱόν, καὶ ἐκεῖνος ἀφοῦ ἐγκαταλείψῃ τοὺς εὐγνωμονοῦντας δούλους, συναναστρέφεται μὲ αὐτοὺς ποὺ σὲ ἔχουν λυπήσει, οἱ ὁποῖοι ἔχουν ἐκδιωχθῇ ἀπὸ τὴν πατρικὴν οἰκίαν, καὶ ἀσχολοῦνται μὲ τοὺς κύβους, καὶ μέχρι τέλους κάμνει τοῦτο, δὲν θὰ τὸν ἀποκληρώσῃς; Εἶναι ὁλοφάνερον.

Ἔτσι καὶ ἡμεῖς, ἂν συναναστρεφώμεθα μαζὶ μὲ τὸν διάβολον, ἀφοῦ ἐγκαταλείψωμεν τοὺς ἀγγέλους ποὺ εἶναι

τοῦ διαβόλου, πάντως ἀποκληρονόμοι ἐσόμεθα. Ἀλλὰ μὴ γένοιτο τοῦτο μηδένα παθεῖν ἡμῶν, ἀλλὰ τὸν πόλεμον ἀναδεξαμένους τὸν πρὸς αὐτόν, καὶ νικήσαντας μετὰ τῆς ἄνωθεν συμμαχίας, κληρονόμους γενέσθαι τῆς βασιλείας τῶν οὐρανῶν. Εἴ τις ἐχθρὸν ἔχει, εἴ τις ὑπ' αὐτοῦ ἠδίκηται, εἴ τις ἀγριαίνει, πάντα τὸν θυμὸν ἐκεῖνον, πᾶσαν τὴν χαλεπότητα συναγαγὼν κενούτω κατὰ τῆς τοῦ διαβόλου κεφαλῆς. Ἐνταῦθα ὁ θυμὸς καλόν, ἐνταῦθα ἡ ὀργὴ χρήσιμον, ἐνταῦθα ἡ μνησικακία ἐπαινετόν. Ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν τοῦτο τὸ μνησικακεῖν κακόν, οὕτως ἐνταῦθα τὸ μνησικακεῖν ἀγαθόν. Ὥστε εἰ ἐλαττώματα ἔχεις, ἐνταῦθα αὐτὰ ἀποσκεύαζε· εἰ δὲ μὴ δύνασαι αὐτὸς ἀποθέσθαι, κἂν μετὰ τῶν μελῶν τῶν σῶν. Ἔπληξέ σέ τις; Μνησικάκισον τῷ διαβόλῳ, καὶ μηδέποτε καταλύσῃς τὴν ἔχθραν τὴν πρὸς αὐτόν. Ἀλλ' οὐκ ἔπληξε; Καὶ οὕτω μνησικάκει, ὅτι τὸν δεσπότην ὕβρισε τὸν σόν, ὅτι προσέκρουσεν, ὅτι τοὺς ἀδελφοὺς λυμαίνεται καὶ πολεμεῖ.

Ἀεὶ ἐχθρὸς ἔσο, ἀεὶ πικρός, ἀεὶ ἀνήμερος· οὕτω ταπεινὸς ἔσται ἐκεῖνος, οὕτως εὐκαταφρόνητος, οὕτως εὐχείρωτος. Ἂν ἡμεῖς ἀγριαίνωμεν πρὸς αὐτόν, ἐκεῖνος οὐκ ἔσται ἡμῖν ἄγριος· ἂν ἡμεῖς ὦμεν ἐπιεικεῖς, τότε ἐκεῖνος ἄγριος ἔσται· οὐχ ὡς ἐπὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων. Ἐχθρός ἐστι καὶ πολέμιος καὶ τῆς ζωῆς καὶ τῆς σωτηρίας τῆς ἡμετέρας καὶ τῆς αὐτοῦ. Εἰ ἑαυτὸν οὐ φιλεῖ, πῶς ἡμᾶς φιλῆσαι δυνήσεται; Παραιτώμεθα τοίνυν καὶ βάλλωμεν αὐτόν, ἔχοντες σύμμαχον μέγαν τὸν Κύριον Ἰησοῦν Χριστόν, ὃς δυνήσεται καὶ ἡμᾶς ἀχειρώτους ποιῆσαι ταῖς ἐκείνου πάγαις, καὶ τῶν μελλόντων ἀξιῶσαι ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εὐάρεστοι καὶ ἐπιτεταγμένοι εἰς ἡμᾶς, ὁπωσδήποτε θὰ στερηθοῦμεν τῆς κληρονομίας. Ἀλλὰ μακάρι νὰ μὴ πάθῃ τοῦτο κανείς μας, ἀλλ' ἀφοῦ ἀναλάβωμεν τὸν πόλεμον πρὸς αὐτόν, καὶ νικήσωμεν μὲ τὴν βοήθειαν τῆς ἄνωθεν συμμαχίας, νὰ γίνωμεν κληρονόμοι τῆς Βασιλείας τῶν Οὐρανῶν. Ἐὰν κανεὶς ἔχῃ ἐχθρόν, ἐὰν κανεὶς ἔχῃ ἀδικηθῆ ἀπ' αὐτόν, ἐὰν κανεὶς εἶναι ἄγριος, ἀφοῦ συγκεντρώσῃ ὅλον ἐκεῖνον τὸν θυμόν, ὅλην τὴν ὀργήν, ἂς τὰ ἀδειάσῃ εἰς τὸ κεφάλι τοῦ διαβόλου. Ἐδῶ ὁ θυμὸς εἶναι καλόν, ἐδῶ ἡ ὀργὴ εἶναι χρήσιμος, ἐδῶ ἡ μνησικακία εἶναι ἐπαινετή. Διότι ὅπως ἀκριβῶς ἡ μνησικακία αὐτὴ ἐπὶ τῶν ἔξωθεν εἶναι κακόν, ἔτσι ἐδῶ ἡ μνησικακία εἶναι ἀγαθόν. Ἐπομένως ἐὰν ἔχῃς ἐλαττώματα, ἐδῶ νὰ ἀποβάλῃς αὐτά, εἰδεμὴ ἠμπορεῖς σὺ ὁ ἴδιος νὰ τὰ ἀπομακρύνῃς, ἔστω καὶ μὲ τὰ ἰδικά σου μέλη. Σὲ ἔπληξε κανείς; Νὰ γίνῃς μνησίκακος ἐναντίον τοῦ διαβόλου, καὶ ποτὲ νὰ μὴ διαλύσῃς τὴν πρὸς αὐτὸν ἔχθραν. Ἀλλὰ δὲν σὲ ἔπληξε; Καὶ ἔτσι νὰ εἶσαι μνησίκακος, διότι ἐξύβρισε τὸν Δεσπότην σου, τὸν ἐπολέμησε, διότι καταστρέφει καὶ πολεμεῖ τοὺς ἀδελφούς.

Ἂς εἶσαι πάντοτε ἐχθρός, πάντοτε πικρός, πάντοτε ἄγριος· ἔτσι θὰ εἶναι ἐκεῖνος τόσον ταπεινός, τόσον εὐκαταφρόνητος, τόσον εὐάλωτος. Ἐὰν εἴμεθα ἡμεῖς ἄγριοι πρὸς αὐτόν, ἐκεῖνος δὲν θὰ εἶναι εἰς ἡμᾶς ἄγριος· ἐὰν εἴμεθα ἡμεῖς ἐπιεικεῖς, τότε ἐκεῖνος θὰ εἶναι ἄγριος, ὄχι ὅπως ἐπὶ τῶν ἀδελφῶν μας. Εἶναι ἐχθρὸς καὶ πολέμιος καὶ τῆς ζωῆς καὶ τῆς σωτηρίας τῆς ἰδικῆς μας καὶ τῆς ἰδικῆς του. Ἐὰν τὸν ἑαυτόν του δὲν ἀγαπᾷ, πῶς θὰ ἠμπορέσῃ νὰ ἀγαπήσῃ ἡμᾶς; Ἂς παρατασσώμεθα λοιπὸν καὶ ἂς πλήττωμεν αὐτὸν ἔχοντες ἰσχυρὸν σύμμαχον τὸν Κύριον Ἰησοῦν Χριστόν, ὁ ὁποῖος θὰ ἠμπορέσῃ νὰ καταστήσῃ καὶ ἡμᾶς ἀκαταβλήτους εἰς τὰς παγίδας ἐκείνου, καὶ ἀξίους τῶν μελλόντων ἀγαθῶν, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΓ΄
Ἐφ. 6-14

«Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ».

1. Συντάξας τὸ στρατόπεδον τοῦτο καὶ διεγείρας αὐτῶν τὴν προθυμίαν (ἀμφοτέρων γὰρ ἔδει, καὶ τοῦ συντεταγμένους εἶναι, καὶ τοῦ θυμὸν αὐτῶν διεγερθῆναι), καὶ παραθαρσύνας αὐτοὺς (καὶ γὰρ καὶ τούτου ἔδει), λοιπὸν αὐτοὺς καὶ καθοπλίζει. Οὐδὲν γὰρ τῶν ὅπλων ὄφελος, ἐκείνων πρότερον μὴ διατεταγμένων, μηδὲ τοῦ θυμοῦ διεγερθέντος τῆς τοῦ στρατιώτου ψυχῆς. Δεῖ γὰρ πρότερον αὐτὸν ἔνδοθεν ὁλπίζειν, καὶ τότε ἔξωθεν. Εἰ δὲ ἐπὶ τῶν αἰσθητῶν τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τῶν νοητῶν στρατιωτῶν· μᾶλλον δὲ ἐπὶ τούτων οὐδὲ ἔστιν ἔξωθεν ὁπλίσασθαι, ἀλλὰ πάντα ἔνδοθεν. Διήγειρε τὸν θυμὸν καὶ ἀνέκαυσε, προσέθηκε τὸ θάρρος, ἔστησεν αὐτοὺς εὐτάκτως· λοιπὸν καθοπλίζει. Ἀλλ' ὅρα πῶς καὶ περιτίθησι τὰ ὅπλα. «Στῆτε οὖν», φησί. Πρῶτον τῶν τακτικῶν εἶδος, τὸ εἰδέναι ἑστάναι καλῶς, καὶ πολλὰ παρὰ τοῦτο γένοιτο ἄν. Διὰ τοῦτο πολλὰ περὶ τοῦ στῆναι διαλέγεται καὶ ἑτέρωθι λέγων· Στῆτε, γρηγορεῖτε»· καὶ πάλιν, «Οὕτω στήκετε ἐν Κυρίῳ» καὶ πάλιν, «Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ»· καὶ πάλιν, «Ἵνα δυνηθῆτε πάντα κατεργασάμενοι στῆναι». Οὐκ ἄρα ἁπλῶς τινα στάσιν

1. Ἐφ. 6, 14.
2. Α΄ Κορ. 16, 13.
3. Φιλιπ. 4, 1.
4. Α΄ Κορ. 10, 12.
5. Ἐφ. 6, 13.

ΟΜΙΛΙΑ ΚΓ΄
Ἐφ. 6 - 14

«Σταθῆτε λοιπὸν εἰς τὴν παράταξιν τοῦ ἀγῶνος, ἀφοῦ ζωσθῆτε ὡς ἄλλην ζώνην τὴν ἀλήθειαν»[1].

1. Ἀφοῦ ἐσύνταξε τὸ στράτευμα τοῦτο καὶ ἀφοῦ διήγειρε τὴν διάθεσίν των (διότι ἦσαν ἀναγκαῖα καὶ τὰ δύο, καὶ νὰ εἶναι συντεταγμένοι καὶ νὰ διεγείρῃ τὴν διάθεσίν των), καὶ ἀφοῦ τοὺς ἔδωσε θάρρος (καθ' ὅσον καὶ αὐτὸ ἦτο ἀναγκαῖον), εἰς τὴν συνέχειαν τοὺς ἐξοπλίζει τελείως. Διότι δὲν ὠφελοῦν καθόλου τὰ ὅπλα, ἂν δὲν ἔχουν παραταχθῇ ἐκεῖνοι προηγουμένως καὶ ἂν δὲν διεγερθῇ ἡ διάθεσις τῆς ψυχῆς τοῦ στρατιώτου. Διότι πρέπει νὰ ὁπλίζῃ πρῶτα αὐτὸν ἐσωτερικὰ καὶ ἔπειτα ἐξωτερικά. Ἐὰν δὲ τοῦτο ἰσχύῃ διὰ τοὺς αἰσθητοὺς στρατιώτας, κατὰ πολὺ περισσότερον θὰ ἰσχύῃ διὰ τοὺς νοητούς· μᾶλλον δὲ αὐτοὶ δὲν εἶναι δυνατὸν νὰ ὁπλισθοῦν ἐξωτερικά, ἀλλὰ πάντοτε ἐσωτερικά. Διήγειρε τὴν διάθεσιν καὶ τὴν παρώξυνε, προσέθεσε τὸ θάρρος, παρέταξεν αὐτοὺς μὲ τάξιν, εἰς τὴν συνέχειαν τοὺς ὁπλίζει. Πρόσεχε ὅμως πῶς χορηγεῖ τὰ ὅπλα. «Σταθῆτε λοιπόν», λέγει. Τὸ πρῶτον ποὺ πρέπει νὰ προσέχουν οἱ στρατιῶται εἶναι, νὰ γνωρίζουν νὰ παρατάσσωνται μὲ τάξιν, καὶ ἀπ' αὐτὸ πολλὰ ἠμποροῦν νὰ γίνουν. Διὰ τοῦτο πολλὰ λέγει διὰ τὸν τρόπον τῆς παρατάξεως, καὶ εἰς ἄλλο σημεῖον λέγων· «Μένετε ὄρθιοι, προσέχετε ὡς ἄγρυπνοι φρουροί»[2]· καὶ πάλιν· «Ἔτσι νὰ στέκεσθε εἰς τὴν κατὰ Κύριον ζωήν[3]· καὶ πάλιν· «Ἐκεῖνος ποὺ ἔχει τὴν ἰδέαν, ὅτι στέκεται καλά, ἂς προσέχῃ, μήπως πέσῃ»[4]· καὶ πάλιν· «Διὰ νὰ ἠμπορέσετε, ἀφοῦ ἐκτελέσετε ὅλα τὰ καθήκοντά σας, νὰ σταθῆτε εἰς τὴν θέσιν σας»[5]. Ἄρα δὲν ἐννοεῖ ἁπλῶς οἱανδήποτε παράταξιν, ἀλλὰ τὴν διατεταγμέ-

φησίν, ἀλλ' εὔτακτον· καὶ ὅσοι πολέμων εἰσὶν ἔμπειροι, ἴσασιν ὅσον ἐστὶ τὸ εἰδέναι ἑστάναι.

Εἰ γὰρ ἐπὶ τῶν πυκτευόντων καὶ παλαιόντων τοῦτο πρὸ τῶν ἄλλων ὁ παιδοτρίβης παρεγγυᾷ, τὸ ἑστάναι, πολλῷ μᾶλλον ἐν τοῖς πολέμοις καὶ τοῖς στρατιωτικοῖς πράγμασιν. Ὁ ἑστὼς ὀρθός, ἕστηκεν οὐ διακεχυμένος, οὐκ ἐπικλινόμενός τινι· ἡ ἀκριβὴς ὀρθότης ἐν τῇ στάσει φαίνεται. Ὥστε οἱ ὄντως ὀρθοί, οὗτοι ἑστήκασιν· οἱ δὲ μὴ ἑστῶτες, οὐκ ἂν εἶεν ὀρθοί, ἀλλὰ διαλελυμένοι καὶ διακεχυμένοι. Ὁ τρυφῶν οὐχ ἕστηκεν ὀρθός, ἀλλὰ κέκλιται, ὁ λάγνος, ὁ φιλοχρήματος. Ὁ ἑστάναι εἰδώς, ἀπ' αὐτῆς τῆς στάσεως, ὥσπερ ἀπό τινος θεμελίου πάντα εὔμαρῆ ἕξει τὰ τῆς πάλης. «Στῆτε οὖν», φησί, «περιζωσάμενοι τὴν ὀσφὴν ὑμῶν ἐν ἀληθείᾳ». Οὐ περὶ αἰσθητῆς ζώνης φησί· πάντα γὰρ τὰ ἐν τῷ χωρίῳ τούτῳ νοητῶς λέγει. Καὶ ὅρα πῶς ὁδῷ προβαίνει. Πρῶτον ἀναζώννυσι τὸν στρατιώτην. Τί δὴ τοῦτό ἐστι; Διαρρέοντα καὶ διακεχυμένον ταῖς ἐπιθυμίαις, καὶ χαμαὶ τοὺς λογισμοὺς ἔχοντα συρομένους ἀναστέλλει διὰ τῆς ζώνης, οὐκ ἐῶν αὐτὸν ἐμποδίζεσθαι ὑπὸ τῶν ἱματίων συμπλεκομένων ταῖς κνημῖσιν ἀλλ' εὐλύτοις τοῖς ποσὶν ἀφεὶς τρέχειν. «Στῆτε οὖν περιζωσάμενοι», φησί, τὴν ὀσφὴν ὑμῶν». Ὀσφὺν δὲ ἐνταῦθά φησι· καθάπερ ἐπὶ τῶν νηῶν ἡ τρόπις, οὕτω καὶ ἐφ' ἡμῶν ἡ ὑπόθεσις παντὸς τοῦ σώματος ἡ ὀσφύς ἐστιν· ὥσπερ γὰρ θεμέλιόν ἐστι, καὶ ἐπ' αὐτῷ τὸ πᾶν οἰκοδομεῖται, καθάπερ ἰατρῶν παῖδές φασι. Τὴν τοίνυν ψυχὴν ἡμῶν συσφίγγει, ζωννύων τὴν ὀσφύν· οὐ γὰρ δὴ ταύτην τὴν ὀσφύν φησιν, ἀλλὰ νοητῶς διαλέγεται. Καὶ ὥσπερ τῶν κάτω, καὶ τῶν ἄνω ἡ ὀσφὺς θεμέλιός ἐστιν, οὕτω καὶ ἐπὶ τῆς νοητῆς

---

6. Τρόπις· τὸ κατώτατον μέρος τοῦ σκελετοῦ τῶν πλοίων, ἀπὸ τῆς πρώρας μέχρι τῆς πρύμνης, ἡ καρῖνα.

νην καλῶς· καὶ ὅσοι εἶναι ἔμπειροι τῶν πολεμικῶν ζητημάτων, γνωρίζουν πόσον ἀξίζει τὸ νὰ γνωρίζουν νὰ παρατάσσωνται.

τὰ βέλη τοῦ διαβόλου. Καὶ ἂν λοιπὸν μᾶς ἐπιστρατεύωνται κακαὶ σκέψεις, ἂς προβάλλωμεν τὴν πίστιν, καὶ ἂν ἐπιθυμίαι παράδοξοι, ἂς χρησιμοποιοῦμεν αὐτήν, καὶ ἐὰν κακουχίαι καὶ ταλαιπωρίαι, ἂς ἀναπαυώμεθα εἰς αὐτήν. Ἡ πίστις εἶναι τὸ φρούριον ὅλων τῶν ὅπλων· ἂν δὲν ἔχωμεν αὐτήν, καὶ ἐκεῖνα γρήγορα θὰ καταστραφοῦν. «Μαζὶ μὲ ὅλα», λέγει, «νὰ λάβετε ἐπάνω σας ὡς ἄλλην ἀσπίδα τὴν πίστιν». Τί σημαίνει· «Ἐν πᾶσι»; Καὶ τὴν ἀλήθειαν καὶ τὴν δικαιοσύνην καὶ τὴν ἑτοιμασίαν τοῦ Εὐαγγελίου. Δηλαδὴ ὅλα αὐτὰ εἶναι ἀπαραίτητα δι' αὐτήν. Διὰ τοῦτο προσέθεσε· «Καὶ νὰ δεχθῆτε ὡς ἄλλην περικεφαλαίαν τὴν ἐλπίδα τῆς σωτηρίας», δηλαδή, θὰ ἠμπορέσετε μὲ αὐτὴν νὰ γίνετε ἀσφαλεῖς εἰς τὸ μέλλον καὶ νὰ διαφύγετε κάθε κίνδυνον. Διότι ὅπως ἀκριβῶς ἡ περικεφαλαία καλύπτει καλῶς ἀπὸ παντοῦ τὸ κεφάλι καὶ δὲν ἐπιτρέπει νὰ πάθῃ κανένα κακόν, ἀλλὰ τὸ σώζει· ἔτσι καὶ ἡ πίστις γίνεται ὡς ἄλλη ἀσπίς, καὶ ὡς ἄλλη περικεφαλαία τῆς σωτηρίας. Ἂν σβήσωμεν τὰ βέλη τοῦ διαβόλου, θὰ δεχθοῦμεν ἀμέσως τὰς σωτηρίους σκέψεις, ποὺ δὲν ἐπιτρέπουν νὰ πάθῃ κανένα κακὸν ὁ νοῦς μας. Διότι ἂν σβήνωνται αἱ ἐχθρικῶς διακείμεναι σκέψεις, γρήγορα θὰ γεννηθοῦν μέσα μας αἱ ἀντίθετοι τούτων, αἱ ὁποῖαι μᾶς σώζουν, καὶ μᾶς καθιστοῦν εὐέλπιδας, καὶ θὰ εὑρίσκωνται εἰς τὸν νοῦν μας, ὅπως ἀκριβῶς ἡ περικεφελαία εἰς τὸ κεφάλι.

3. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ θὰ δεχθοῦμεν καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὥστε ὄχι μόνον νὰ προφυλαττώμεθα ἀπὸ τὰ πεμπόμενα βέλη του, ἀλλὰ καὶ νὰ πλήττωμεν τὸν ἴδιον τὸν διάβολον. Διότι ὅταν ἡ ψυχὴ δὲν εἶναι ἐν ἀπογνώσει καὶ δὲν δέχεται τὰ πύρινα βέλη, θὰ σταθῇ μὲ πολλὴν προθυμίαν ἐναντίον τοῦ ἐχθροῦ, θὰ διαρρήξῃ τὸν θώρακά του μὲ τὴν μάχαιραν αὐτήν, μὲ τὴν ὁποίαν διέρρηξε καὶ ᾐχμαλώτισε τὰ νοήματά του ὁ Παῦλος· θὰ ἀποκόψῃ καὶ θὰ ἀποκεφαλίσῃ τὸν δράκοντα. «Ἡ ὁποία εἶναι ὁ λόγος τοῦ Θεοῦ». Λόγος τοῦ Θεοῦ· δηλαδή, τὴν προσταγὴν ἐννοεῖ ἐδῶ, ἢ τὴν διαταγήν· τὸν ὁποῖον βέβαια καὶ οἱ ἀπόστολοι ἔλεγον ὅταν ἔκαμνον τὰ θαύματα παντοῦ

Ἰησοῦ Χριστοῦ ἔλεγον. Μόνον καὶ ἡμεῖς ἐν πᾶσι τὰ προστάγματα τοῦ Θεοῦ διατηρῶμεν· ἐὰν γὰρ ποιῶμεν αὐτά, διὰ τούτων αὐτὸν ἀνελοῦμεν καὶ κτενοῦμεν τὸν δράκοντα, τὸν ὄφιν τὸν σκολιόν. Καὶ σκόπει μοι σύνεσιν ἐνταῦθα τοῦ Παύλου. Ἐπειδὴ γὰρ εἶπε, «Δυνήσεσθε τὰ βέλη τοῦ διαβόλου τὰ πεπυρωμένα σβέσαι», ἵνα μὴ αὐτοὺς φυσήσῃ, δείκνυσι μάλιστα πάντων πρὸς τοῦτο τοῦ Θεοῦ δεομένους. Τί γάρ φησι; «Διὰ πάσης προσευχῆς καὶ δεήσεως». Ὡσεὶ ἔλεγε· Ταῦτα ἔσται, καὶ κατορθώσετε τὸ πᾶν προσευχόμενοι μηδέποτε δὲ προσιών, ὑπὲρ σαυτοῦ μόνον ἀξίου καὶ οὕτω τὸν Θεὸν ἵλεων ἕξεις.

«Διὰ πάσης», φησί, «προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ, ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει, καὶ δεήσει περὶ πάντων τῶν ἁγίων». Μή μοι καιροὺς ὅριζε τῆς ἡμέρας· ἄκουε γὰρ τί φησιν· «Ἐν παντὶ καιρῷ», πρόσιθι. Ἀδιαλείπτως, φησί, προσευχόμενοι. Οὐκ ἤκουσας τῆς χήρας ἐκείνης, πῶς τῇ προσεδρείᾳ περιεγένετο; οὐκ ἤκουσας τοῦ φίλου ἐκείνου τοῦ μέσων νυκτῶν τῇ εὐτονίᾳ δυσωπήσαντος; οὐκ ἤκουσας περὶ τῆς Συροφοινίσσης, πῶς τῇ συνεχείᾳ τῆς ἐντεύξεως τὸν Δεσπότην ἐξεκαλέσατο; Οὗτοι πάντες τῇ προσεδρείᾳ ἤνυσαν. «Προσευχόμενοι», φησίν, «ἐν παντὶ καιρῷ ἐν πνεύματι». Τουτέστι, Τὰ κατὰ Θεὸν ζητῶμεν, μηδὲν κοσμικόν, μηδὲν βιωτικόν. Οὐ τοίνυν τοῦ ἀδιαλείπτως προσεύχεσθαι χρεία μόνον, ἀλλὰ καὶ ἀγρυπνοῦντας· «Καὶ εἰς αὐτό», φησίν, «ἀγρυπνοῦντες». Εἴτε παννυχίδας ἐνταῦθα λέγει, εἴτε τὴν νῆψιν τῆς ψυχῆς, ἀμφότερα δέχομαι. Ὁρᾷς πῶς ἠγρύπνει ἐκείνη ἡ Χαναναία, ὅτι καὶ τοῦ Κυρίου μὴ ἀποκρινομένου, ἀλλὰ καὶ ἀποσειομένου, καὶ κυνάριον αὐτὴν καλέσαντος,

μὲ τὴν βοήθειαν τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ἡμεῖς ἂς διαφυλάττωμεν μόνον τὰς προσταγὰς τοῦ Θεοῦ εἰς ὅλα· διότι ἐὰν ἐκτελοῦμεν αὐτάς, μὲ αὐτὰς θὰ συντρίψωμεν καὶ θὰ φονεύσωμεν τὸν δράκοντα, τὸν ὄφιν τὸν διεστραμμένον. Καὶ πρόσεχε, σὲ παρακαλῶ, τὴν σύνεσιν ἐδῶ τοῦ Παύλου. Διότι, ἀφοῦ εἶπε, «Θὰ ἠμπορέσετε νὰ σβήσετε τὰ πύρινα βέλη τοῦ διαβόλου», διὰ νὰ μὴ τοὺς ἐξυψώσῃ, δεικνύει ὅτι διὰ τοῦτο ἔχουν τὴν ἀνάγκην τοῦ Θεοῦ περισσότερον ἀπὸ ὅλους. Τί λοιπὸν λέγει; «Μὲ πᾶν εἶδος προσευχῆς καὶ αἰτήσεως». Ὡς ἐὰν ἔλεγεν· Αὐτὰ θὰ γίνουν καὶ τὰ πάντα θὰ κατορθώσετε ὅταν προσεύχεσθε, ποτὲ δὲ νὰ μὴ προσέρχεσαι θεωρῶν μόνον τὸν ἑαυτόν σου ἄξιον, καὶ ἔτσι θὰ ἔχῃς τὸν Θεὸν εὐμενῆ ἀπέναντί σου.

«Μὲ πᾶν εἶδος», λέγει, «προσευχῆς καὶ αἰτήσεως προσευχόμενοι εἰς κάθε καιρόν, μὲ τὸν φωτισμὸν τοῦ ἁγίου Πνεύματος, καὶ εἰς αὐτὸ τοῦτο τὸ ἔργον τῆς προσευχῆς νὰ εἶσθε ἄγρυπνοι μὲ κάθε δυνατὴν ἐμμονὴν καὶ δέησιν δι' ὅλους τοὺς χριστιανούς». Νὰ μὴ ὁρίζῃς, σὲ παρακαλῶ, ὥρας τῆς ἡμέρας· διότι ἄκουε τί λέγει· «Εἰς κάθε καιρόν», προσέθεσε. Συνεχῶς, λέγει, νὰ προσεύχεσθε. Δὲν ἤκουσες διὰ τὴν χήραν ἐκείνην, πῶς ἐπέζησε διὰ τῆς ἐπιμονῆς; Δὲν ἤκουσες διὰ τὸν φίλον ἐκεῖνον, ποὺ καθικέτευσε μὲ καρτερίαν κατὰ τὸ μέσον τῶν νυκτῶν; Δὲν ἤκουσες διὰ τὴν Συροφοίνισσαν, πῶς μὲ τὴν συνεχῆ προσευχήν της ἐκάλεσε ἐπιμόνως τὸν Δεσπότην; Ὅλοι αὐτοὶ διὰ τῆς ἐπιμονῆς κατώρθωσαν αὐτά. «Προσευχόμενοι», λέγει, «εἰς κάθε καιρὸν μὲ τὸν φωτισμὸν τοῦ ἁγίου Πνεύματος». Δηλαδή, ἂς ζητοῦμεν αὐτὰ ποὺ εἶναι σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, τίποτε τὸ κοσμικόν, τίποτε τὸ βιωτικόν. Δὲν εἶναι λοιπὸν ἀναγκαῖον νὰ προσευχώμεθα συνεχῶς, ἀλλὰ καὶ νὰ εἴμεθα ἄγρυπνοι. «Καὶ εἰς αὐτὸ τὸ ἔργον τῆς προσευχῆς νὰ εἶσθε ἄγρυπνοι», λέγει. Εἴτε τὰς παννυχίδας ἐννοεῖ ἐδῶ, εἴτε τὴν νηφαλιότητα τῆς ψυχῆς, τὰ δέχομαι καὶ τὰ δύο. Βλέπεις πῶς ἔμεινε ἄγρυπνος ἐκείνη ἡ Χαναναία, διότι καὶ ὅταν ὁ Κύριος δὲν τῆς ἀπεκρίνατο ἀλλὰ καὶ τὴν ἀπεμάκρυνε καὶ τὴν ἐκάλεσε κυνάριον, ἐκείνη

ἐκείνη ἔλεγε, «Ναί, Κύριε, καὶ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέέζης τῶν κυρίων αὐτῶν»· καὶ οὐκ ἀφίστατο, ἕως ἐπέτυχε τῆς αἰτήσεως; πῶς δὲ ἡ χήρα ἐκείνη ἔκραζε, καὶ μέχρι τοσούτου ὑπέμεινεν, ἕως ὅτου τὸν ἄρχοντα, τὸν μήτε τὸν Θεὸν φοβούμενον, μήτε ἄνθρωπον αἰδούμενον ἠδυνήθη δυσωπῆσαι; πῶς δὲ ὁ φίλος ἐπέμενεν ἀωρὶ τῶν νυκτῶν παραμένων, ἕως ὅτου ἐγερθῆναι παρεσκεύασε, δυσωπήσας ἐκεῖνον τῇ προσεδρίᾳ; Τοῦτό ἐστιν ἀγρυπνεῖν.

Βούλει μαθεῖν ἀγρυπνίαν ψυχῆς; ἄπειθι πρὸς τὴν Ἄνναν, ἄκουσον αὐτῶν τῶν ῥημάτων αὐτῆς· «Ἀδωναΐ, Ἐλωῒ Σαβαώθ». Μᾶλλον δὲ τὰ πρὸ τῶν ῥημάτων ἄκουσον. Ἀνέστησαν, φησί, πάντες ἀπὸ τῆς τραπέζης, καὶ ἐκείνη εὐθέως οὐ πρὸς ὕπνον ἐτρέπετο, οὐ πρὸς ἀνάπαυσιν. Ὅθεν μοι δοκεῖ καὶ ἐπὶ τῆς τραπέζης καθημένη, κούφη τις εἶναι, καὶ μὴ βεβαρῆσθαι σιτίοις τισίν· οὐ γὰρ ἂν τοσαῦτα ἠφίει δάκρυα. Εἰ γὰρ ἡμεῖς νήστεις ὄντες καὶ ἄσιτοι, μόλις οὕτως εὐχόμεθα, μᾶλλον δὲ οὐδέποτε οὕτως εὐχόμεθα, πολλῷ μᾶλλον ἐκείνη μετὰ τράπεζαν οὐκ ἂν οὕτως ηὔξατο, εἰ μὴ καὶ ἐν τῇ τραπέζῃ τοῖς ἀσίτοις ἐῴκει. Αἰσχυνθῶμεν οἱ ἄνδρες τὴν γυναῖκα, αἰσχυνθῶμεν οἱ ὑπὲρ βασιλείας ἱκετεύοντες καὶ χασμώμενοι τὴν ὑπὲρ παιδίου δεομένην καὶ δακρύουσαν. «Καὶ κατέστη», φησίν, «ἐνώπιον Κυρίου», καὶ τί φησιν; «Ἀδωναΐ Κύριε, Ἐλωῒ Σαβαώθ». Τοῦτο δὲ ἑρμηνευόμενόν ἐστι, 'Κύριε ὁ Θεὸς τῶν δυνάμεων'. Προέτρεχε τῆς γλώττης τὰ δάκρυα· τούτοις ἐπικάμπτειν τὸν Θεὸν ἤλπιζεν. Ἔνθα δάκρυα, πάντως ἐκεῖ καὶ θλῖψις· ἔνθα θλῖψις, καὶ φιλοσοφία πολλὴ καὶ προσοχή.

«Ἐὰν ἀκούων εἰσακούσῃ», φησί, «τῆς προσευχῆς τῆς δούλης σου, καὶ δῷς μοι υἱὸν δώσω αὐτὸν δο-

---

20. Ματθ. 15, 27.
21. Α΄ Βασ. 1, 11.

ἔλεγε «Ναί, Κύριε, καὶ τὰ σκυλάκια τρώγουν ἀπὸ τὰ ψίχουλα, ποὺ πίπτουν ἀπὸ τὸ τραπέζι τῶν κυρίων των»[20], καὶ δὲν ἀπεμακρύνετο, ἕως ὅτου ἐπραγματοποίησε τὸ αἴτημά της; πῶς δὲ ἡ χήρα ἐκείνη ἐκραύγαζε καὶ ἐπέμεινε τόσον πολύ, ἕως ὅτου ἠμπόρεσε νὰ ἐντροπιάσῃ τὸν ἄρχοντα, ποὺ δὲν σέβεται οὔτε τὸν Θεόν, οὔτε τὸν ἄνθρωπον φοβεῖται; πῶς δὲ ὁ φίλος παρέμενε ἐπιμόνως ἀργὰ κατὰ τὰς νύκτας, ἕως ὅτου παρεσκεύασε νὰ ἐγερθῇ, καταισχύνας ἐκεῖνον διὰ τῆς ἐπιμονῆς; Τοῦτο σημαίνει νὰ εἶναι κανεὶς ἄγρυπνος.

Θέλεις νὰ μάθῃς τί σημαίνει ἀγρυπνία τῆς ψυχῆς; Πήγαινε πρὸς τὴν Ἄνναν, ἄκουσε αὐτὰ τὰ λόγια της· «Ἀδωναΐ, Ἐλωΐ, Σαβαώθ»[21]· Μᾶλλον δὲ ἄκουσε αὐτὰ ποὺ συνέβησαν πρὶν ἀπὸ τὰ λόγια. Ἐσηκώθησαν, λέγει, ὅλοι ἀπὸ τὸ τραπέζι, καὶ ἐκείνη δὲν κατηυθύνθη ἀμέσως διὰ νὰ κοιμηθῇ, οὔτε διὰ νὰ ἀναπαυθῇ. Συνεπῶς, μοῦ φαίνεται, καὶ ὅταν ἐκάθητο ἀκόμη εἰς τὸ τραπέζι, ὅτι ἦτο ἐλαφρὰ καὶ δὲν εἶχε βαρυνθῇ ἀπὸ τὰ φαγητά· διότι δὲν θὰ ἔχυνε τόσον πολλὰ δάκρυα. Ἐὰν βέβαια ἡμεῖς, ὄντες νηστικοὶ καὶ ἄσιτοι, μετὰ βίας προσευχόμεθα ἔτσι, μᾶλλον δὲ ποτὲ δὲν προσευχόμεθα ἔτσι, πολὺ περισσότερον ἐκείνη δὲν θὰ ἠμποροῦσε νὰ προσευχηθῇ ἔτσι μετὰ ἀπὸ τὸ φαγητόν, ἐὰν δὲν ὡμοίαζε καὶ εἰς τὸ τραπέζι μὲ τοὺς ἀσίτους. Ἂς αἰσχυνθοῦμεν οἱ ἄνδρες τὴν γυναῖκα, ἂς αἰσχυνθοῦμεν ἡμεῖς, οἱ ὁποῖοι ἱκετεύομεν ὑπὲρ τῆς βασιλείας καὶ μένομεν κατάπληκτοι μὲ ἐκείνην, ποὺ δέεται καὶ χύνει δάκρυα ὑπὲρ τοῦ παιδιοῦ. «Καὶ ἐστάθη», λέγει, «ἔμπροσθεν τοῦ Κυρίου», καὶ τί λέγει; «Ἀδωναΐ, Κύριε, Ἐλωΐ, Σαβαώθ». Τοῦτο δὲ ἑρμηνευόμενον σημαίνει, 'Κύριε, Θεὲ τῶν δυνάμεων'. Τὰ δάκρυα προέτρεχαν τῆς γλώσσης· ἤλπιζε μὲ αὐτὰ νὰ συγκινήσῃ τὸν Θεόν. Ὅπου ὑπάρχουν δάκρυα, ὁπωσδήποτε ἐκεῖ καὶ θλῖψις· ὅπου θλῖψις, ὑπάρχει ἐπίσης καὶ εὐσέβεια πολλὴ καὶ προσοχή.

«Ἐὰν πράγματι θὰ εἰσακούσῃς», λέγει, «τὴν προσευχὴν τῆς δούλης σου, καὶ δώσῃς εἰς ἐμὲ υἱόν, τότε θὰ ἀφιε-

τὸν τῷ Κυρίῳ πάντα τὸν χρόνον». Οὐκ εἶπεν, ἐνιαυτὸν μόνον ἢ δύο, καθάπερ ἡμεῖς· οὐδὲ εἶπεν, ἐὰν δῷς μοι παιδίον δίδωμι χρήματα· ἀλλ', Ὁλόκληρον αὐτὸ τὸ δῶρον ἀντιδίδωμι, τὸν πρωτότοκον, τὸν τῆς εὐχῆς υἱόν. Αὕτη θυγάτηρ ἦν τοῦ Ἀβραάμ. Ἐκεῖνος αἰτηθείς, ἔδωκεν· αὕτη δὲ καὶ πρὸ τῆς αἰτήσεως δίδωσιν. Ἀλλ' ὅρα καὶ ἐντεῦθεν αὐτῆς τὴν εὐλάβειαν. «Φωνὴ αὐτῆς», φησίν, «οὐκ ἠκούετο, τὰ δὲ χείλη αὐτῆς ἐκινεῖτο». Οὕτω ὁ βουλόμενος ἀνύσαι προσέρχεται τῷ Θεῷ, οὐ μαλακιζόμενος, οὐδὲ χασμώμενος, οὐδὲ ἐκλελυμένος, οὐδὲ κνώμενος, οὐδὲ ἀκηδιῶν. Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς καὶ χωρὶς εὐχῆς δοῦναι; μὴ γὰρ οὐκ ᾔδει καὶ πρὸ τῆς αἰτήσεως τὴν ἐπιθυμίαν τῆς γυναικός; ἀλλ' εἰ ἔδωκε πρὸ τῆς αἰτήσεως, οὐκ ἂν ἐφάνη τῆς γυναικὸς ἡ προθυμία, οὐκ ἂν γέγονεν ἡ ἀρετὴ αὐτῆς δήλη, οὐκ ἂν τοσοῦτον ἐκτήσατο μισθόν. Ὥστε ἡ ἀναβολή, οὐχὶ φθόνου ἐστὶν οὐδὲ βασκανίας, ἀλλὰ κηδεμονίας.

4. Ὅταν οὖν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, «Ὅτι ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς, καὶ ὅτι παρώργιζεν αὐτὴν ἡ ἀντίζηλος αὐτῆς», ἐννόησον ὅτι τὴν φιλοσοφίαν δεῖξαι βούλεται τῆς γυναικός. Σκόπει γάρ· Εἶχε τὸν ἄνδρα δεδουλωμένον· ἔλεγε γὰρ πρὸς αὐτήν· «Οὐκ ἀγαθός σοι ἐγὼ ὑπὲρ δέκα τέκνα;». «Καὶ παρώργιζεν αὐτήν», φησίν, «ἡ ἀντίζηλος αὐτῆς»· τουτέστιν, ὠνείδιζεν, ἐφήλλετο· καὶ οὐδέποτε αὐτὴν ἠμύνατο, οὐδὲ κατηύξατο αὐτῆς, οὐδὲ εἶπεν· Ἐπειδὴ ὀνειδίζει μοι ἡ ἀντίζηλος, ἐκδίκησόν με. Εἶχεν ἐκείνη παιδία, ἀλλ' εἶχεν αὕτη τὴν ἀγάπην τὴν τοῦ ἀνδρὸς ἀντίρροπον. Τούτῳ γοῦν αὐτὴν καὶ παρεμυθήσατο λέγων· «Οὐκ ἀγαθός σοι ἐγὼ ὑπὲρ δέκα τέκνα;». Ἀλλὰ πάλιν ἴδωμεν τῆς γυναικὸς τὴν φιλοσοφίαν. «Καὶ ἐλογίσατο αὐτήν», φησί, «Ἠλεὶ εἰς μεθύουσαν». Ἀλλ' ὅρα καὶ πρὸς αὐτὸν τί φησι· «Μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λύμης, ὅτι ἐκ πλή-

---

22. Α' Βασ. 1, 11.
23. Α' Βασ. 1, 13.
24. Α' Βασ. 1, 5-6.
25. Α' Βασ. 1, 8.
26. Α' Βασ. 1, 13.

ρώσω αὐτὸν εἰς τὸν Κύριον ὅλας τὰς ἡμέρας τῆς ζωῆς του»[22]. Δὲν εἶπεν, ἕνα μόνον χρόνον ἢ δύο, ὅπως ἀκριβῶς ἡμεῖς. Οὔτε εἶπεν· Ἐὰν δώσῃς εἰς ἐμὲ υἱόν, δίδω χρήματα· ἀλλά· Τὸ δῶρον αὐτὸ ὁλόκληρον τὸ ἀνταποδίδω, τὸν πρωτότοκον, τὸν υἱὸν τῆς προσευχῆς. Αὐτὴ ἦτο ἀπόγονος τοῦ Ἀβραάμ. Ἐκεῖνος, ὅταν τοῦ ἐζητήθη ἀπὸ τὸν Θεόν, προσέφερεν· αὐτὴ ὅμως προσφέρει καὶ πρὸ τῆς αἰτήσεως. Πρόσεχε ὅμως καὶ εἰς τὸ ἑξῆς τὴν εὐλάβειαν αὐτῆς. «Ἡ φωνή της δὲν ἠκούετο», λέγει, «ἐνῷ τὰ χείλη της ἐκινοῦντο»[23]. Ἔτσι ἐκεῖνος ποὺ ἐπιθυμεῖ νὰ ἐπιτύχῃ δὲν προσέρχεται εἰς τὸν Θεὸν νωθρός, οὔτε χασμώμενος, οὔτε ἐξηχρειωμένος, οὔτε βιαστικός, οὔτε ἀπερίσκεπτος. Μήπως λοιπὸν δὲν ἠμποροῦσε καὶ ὁ Θεὸς νὰ δώσῃ χωρὶς προσευχήν; μήπως ἆρά γε δὲν ἐγνώριζε καὶ πρὸ τῆς αἰτήσεως τὴν ἐπιθυμίαν τῆς γυναικός; Ἀλλ' ἐὰν ἔδιδε πρὸ τῆς αἰτήσεως, δὲν θὰ ἐφαίνετο ἡ προθυμία τῆς γυναικός, δὲν θὰ ἐγίνετο φανερὰ ἡ ἀρετή της, δὲν θὰ εἶχεν ἀποκτήσει τόσον μεγάλην ἀνταμοιβήν. Ὥστε ἡ ἀναβολὴ δὲν εἶναι δεῖγμα φθόνου, οὔτε βασκανίας, ἀλλὰ δεῖγμα κηδεμονίας.

4. Ὅταν λοιπὸν ἀκούσῃς τὴν Γραφὴν νὰ λέγῃ «Ὅτι ὁ Κύριος τὴν εἶχε καταστήσει στεῖραν, καὶ ὅτι τὴν περιεγέλα μὲ χαιρεκακίαν ἡ ἄλλη σύζυγος»[24], ἐννόησε ὅτι θέλει νὰ δείξῃ τὴν φιλοσοφίαν τῆς γυναικός. Διότι πρόσεχε· Εἶχε τὸν ἄνδρα της ὑπάκουον, καθὼς ἔλεγε πρὸς αὐτήν· «Δὲν εἶμαι ἐγὼ εἰς ἐσὲ προσφιλέστερος ἀπὸ δέκα τέκνα;»[25]. Καὶ τὴν περιεγέλα μὲ χαιρεκακίαν», λέγει «ἡ ἄλλη σύζυγος», δηλαδὴ τὴν ἐξύβριζε, τὴν ἐπρόσβαλλε· καὶ ποτὲ δὲν ἀνταπέδωσεν εἰς αὐτὴν τὰς προσβολάς, οὔτε τὴν ἐβλασφήμησεν, οὔτε εἶπεν· Ἐπειδὴ μὲ ἐξυβρίζει ἡ ἄλλη σύζυγος, πάρε ἐκδίκησιν δι' ἐμέ. Ἐκείνη εἶχε τὰ παιδιά της, ὅμως αὐτὴ εἶχε τὴν ἀγάπην τοῦ ἀνδρός της ἀντίρροπον. Μὲ τοῦτο λοιπὸν τὴν παρηγόρησε λέγων· «Δὲν εἶμαι ἐγὼ εἰς σὲ προσφιλέστερος ἀπὸ δέκα τέκνα;». Ἀλλὰ πάλιν ἂς προσέξωμεν τὴν φιλοσοφίαν τῆς γυναικός. «Καὶ τὴν ἐξέβαλεν ὁ Ἠλεὶ ὡς γυναῖκα μεθυσμένην», λέγει ἡ Γραφή[26]. Ἀλλὰ πρόσεχε τί λέγει καὶ πρὸς αὐτόν· «Μὴ ἐκλάβῃς τὴν δού-

θους ἀδολεσχίας μου ἐκτέτηκα ἕως τοῦ νῦν». Τοῦτο ἀληθῶς καρδίας συντετριμμένης, ὅταν πρὸς τοὺς ὑβρίζοντας μὴ χαλεπαίνωμεν, ὅταν μὴ δυσχεραίνωμεν, ὅταν ἀπολογώμεθα. Οὐδὲν οὕτω ποιεῖ καρδίαν φιλόσοφον, ὡς θλῖψις· οὐδὲν οὕτω πρᾶγμα ἡδύ, ὡς πένθος τὸ κατὰ Θεόν. «Ἐκ πλήθους», φησίν, «ἀδολεσχίας μου ἐκτέτηκα ἕως τοῦ νῦν».

Ταύτην μιμώμεθα ἅπαντες. Ἀκούετε ὅσαι στεῖραι, ἀκούετε ὅσαι παίδων ἐρᾶτε, ἀκούετε καὶ ἄνδρες καὶ γυναῖκες· καὶ γὰρ καὶ ἄνδρες συνεβάλλοντο πολλάκις. Ἄκουε γὰρ τῆς Γραφῆς λεγούσης· «Καὶ ἐδεῖτο Ἰσαὰκ Ῥεβέκκα τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν». Μεγάλα γὰρ δύναται ἡ εὐχή. «Ἐν πάσῃ», φησί, «προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ», ἑαυτὸν ἔσχατον τιθείς. Τί ποιεῖς, ὦ μακάριε Παῦλε, ἑαυτὸν ἔσχατον τιθείς; Ναί, φησίν, «Ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ Εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἀλύσει». Ποῦ πρεσβεύεις; Πρὸς ἀνθρώπους, φησί. Βαβαὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ! Ἔπεμψε πρεσβεύοντας ἐκ τῶν οὐρανῶν ὑπὲρ αὐτοῦ, ὑπὲρ εἰρήνης, καὶ λαβόντες ἔδησαν αὐτοὺς οἱ ἄνθρωποι, καὶ οὐδὲ τὸν κοινὸν νόμον ᾐδέσθησαν, ὅτι ὁ πρεσβεύων οὐδέποτε πάσχει τι κακόν. Ἀλλ' ὅμως ἐγὼ πρεσβεύω ἐν ἀλύσει. Ἡ ἅλυσις ἐπίκειται τὴν παρρησίαν ἐπιστομίζουσα, ἀλλ' ἡ εὐχὴ ἡ ὑμετέρα ἀνοίγει μου τὸ στόμα, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι· τουτέστιν, Ἵνα πάντα ἃ ἐπέμφθην εἰπεῖν, εἴπω. «Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχι-

---

27. Α' Βασ. 1, 16.
28. Γεν. 25, 21.

λην σου ὡς χαμερπῆ γυναῖκα, διότι ἀπὸ τὸ πλῆθος τῆς φλυαρίας μου ἔχω ἐξαντληθῆ ἕως τώρα»[27]. Τοῦτο πράγματι εἶναι γνώρισμα συντετριμμένης καρδίας, ὅταν δὲν ὀργιζώμεθα ἐναντίον ἐκείνων ποὺ μᾶς ὑβρίζουν, ὅταν δὲν δυσανασχετοῦμεν, ὅταν ἀπολογούμεθα. Τίποτε δὲν κάμνει τὴν καρδίαν τόσον φιλόσοφον, ὅπως ἡ θλῖψις· τίποτε δὲν εἶναι τόσον εὐχάριστον, ὅπως τὸ κατὰ Θεὸν πένθος. «Ἀπὸ τὸ πλῆθος», λέγει, «τῆς φλυαρίας μου ἔχω ἐξαντληθῆ ἕως τώρα».

Αὐτὴν ἂς μιμούμεθα ὅλοι. Ἀκούετε αἱ στεῖραι γυναῖκες, ἀκούετε ὅσαι ἀγαπᾶτε τὰ παιδιά σας, ἀκούετε καὶ ἄνδρες καὶ γυναῖκες· διότι βέβαια καὶ οἱ ἄνδρες πολλάκις συνέβαλλον εἰς τοῦτο. Διότι ἄκουε τὴν Γραφὴν ποὺ λέγει· «Καὶ ἐπροσεύχετο ὁ Ἰσαὰκ χάριν τῆς Ρεβέκκας, τῆς γυναικός του, διότι ἦτο στεῖρα»[28]. Διότι ἡ προσευχὴ ἠμπορεῖ νὰ κατορθώσῃ μεγάλα πράγματα. «Μὲ κάθε δυνατὴν ἐπιμονὴν καὶ δέησιν δι' ὅλους τοὺς χριστιανούς, καὶ ὑπὲρ ἐμοῦ», θέσας τελευταῖον τὸν ἑαυτόν του. Τί κάνεις, μακάρι Παῦλε, θέτων τελευταῖον τὸν ἑαυτόν σου; Ναί, λέγει, «Διὰ νὰ μοῦ δοθῇ ὁ λόγος, ὅταν ὁ Θεὸς μοῦ ἀνοίξῃ τὸ στόμα, νὰ γνωστοποιήσω μὲ παρρησίαν τὸ μυστήριον τοῦ Εὐαγγελίου, διὰ τὸ ὁποῖον πρεσβεύω ἁλυσοδεμένος». Ποῦ πρεσβεύεις; Πρὸς ἀνθρώπους, λέγει. Πῶ πῶ φιλανθρωπία Θεοῦ! Ἔστειλεν ἀπὸ τοὺς οὐρανοὺς τοὺς πρεσβεύοντας ὑπὲρ αὐτοῦ, ὑπὲρ τῆς εἰρήνης, καὶ οἱ ἄνθρωποι συνέλαβον καὶ ἔδεσαν αὐτούς, καὶ δὲν ἐσεβάσθησαν οὔτε τὸν κοινὸν ἀνθρώπινον νόμον, ὅτι ὁ πρεσβεύων ποτὲ δὲν πάσχει κανένα κακόν. Ἀλλ' ὅμως ἐγὼ πρεσβεύω ἁλυσοδεμένος. Αἱ ἁλυσίδες ἐπικρέμανται καὶ μοῦ ἐμποδίζουν τὴν παρρησίαν, ἀλλ' ἡ ἰδική σας προσευχὴ μοῦ ἀνοίγει τὸ στόμα, διὰ νὰ ὁμιλήσω μὲ παρρησίαν διὰ τὸ μυστήριον τοῦ Εὐαγγελίου, καθὼς πρέπει νὰ ὁμιλήσω. Δηλαδή, διὰ νὰ εἰπῶ ὅλα ἐκεῖνα, τὰ ὁποῖα ἐστάλην νὰ εἰπῶ. «Διὰ νὰ μάθετε καὶ σεῖς τὰ ἰδικά μου νέα, τί πράττω δηλαδή, θὰ σᾶς τὰ καταστήσῃ γνωστὰ ὁ Τυχικός, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διά-

κὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ». Εἰ πιστός, οὐδὲν ψεύσεται, ἀλλὰ πάντα ἀληθεύσει.

«Ὃν ἔπεμψα πρὸς ὑμᾶς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν». Βαβαί, πόση ἡ ἀγάπη! Ἵνα μὴ ἐξῇ, φησί, τοῖς βουλομένοις πτοεῖν ὑμᾶς· εἰκὸς γὰρ αὐτοὺς ἐν δεινοῖς εἶναι· τὸ γάρ, «Παρακαλέσει τὰς καρδίας ὑμῶν», τοῦτο αἰνίττεται. Ἵνα μὴ ἀφῇ, φησί, καταπεσεῖν. «Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Ἐπεύχεται αὐτοῖς εἰρήνην καὶ ἀγάπην μετὰ πίστεως. Καλῶς εἶπε· βούλεται γὰρ μὴ ἁπλῶς ἔχειν τὸν τῆς ἀγάπης λόγον, καὶ τοῖς ἑτεροπίστοις ἑαυτοὺς ἀναμιγνύναι. Ἢ τοῦτο, ἢ ἐκεῖνό φησιν, ὥστε καὶ πίστιν αὐτοὺς ἔχειν, ὥστε θαρρεῖν καὶ περὶ τῶν μελλόντων. Ἡ εἰρήνη πρὸς τὸν Θεόν, καὶ ἡ ἀγάπη. Ἐὰν γὰρ εἰρήνη ᾖ, καὶ ἀγάπη ἔσται· ἂν ἀγάπη, καὶ εἰρήνη ἔσται. «Μετὰ πίστεως». Οὐδὲν γὰρ ὄφελος ἀγάπης, πίστεως χωρίς· μᾶλλον δὲ οὐδ' ἂν γένοιτο ἀγάπη ἑτέρως. «Καὶ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. Ἀμήν». Ἐνταῦθα διεῖλε, τὴν εἰρήνην κατ' ἰδίαν θείς, καὶ τὴν χάριν. «Ἐν ἀφθαρσίᾳ», φησίν, «Ἀμήν». Τί ἐστιν, «Ἐν ἀφθαρσίᾳ». Ἤτοι ἐν κοσμιότητι, ἢ ὑπὲρ τῶν ἀφθάρτων· οἷον μὴ ἐν πλούτῳ, μηδὲ ἐν δόξῃ, ἀλλ' ἐν ἐκείνοις τοῖς ἀφθάρτοις. Τό, «ἐν», «διά» ἐστι. Διὰ ἀφθαρσίας, φησί· τουτέστι, δι' ἀρετῆς. Πᾶσα γὰρ ἁμαρτία φθορά· καὶ καθάπερ τὴν παρθένον φθείρεσθαι λέγομεν, οὕτω καὶ τὴν ψυχήν. Διὰ τοῦτο Παῦλος ἔλεγε· «Μή πως φθαρῇ τὰ νοήματα ὑμῶν»· καὶ πάλιν ἀλλαχοῦ, «Ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν», φησί.

5. Τί γάρ, εἰπέ μοι, φθορὰ σώματος; οὐχὶ διάλυσις τοῦ παντός, καὶ τῆς συνθέσεως αὐτῆς; Τοῦτο καὶ ἐπὶ τῆς

29. Ἐφ. 6, 23.
30. Ἐφ. 6, 24.
31. Β' Κορ. 11, 3· Τίτ. 2, 7.

κονος εἰς τὸ ἔργον τοῦ Κυρίου». Ἐὰν εἶναι πιστός, δὲν θὰ εἰπῇ κανένα ψεῦδος, ἀλλὰ θὰ εἰπῇ ὅλην τὴν ἀλήθειαν.

«Σᾶς τὸν ἔστειλα δι' αὐτὸν ἀκριβῶς τὸν σκοπόν, διὰ νὰ μάθετε ὅλα τὰ ἰδικά μας νέα καὶ διὰ νὰ παρηγορήσῃ τὰς καρδίας σας». Πὼ πώ, πόση εἶναι ἡ ἀγάπη! Διὰ νὰ μὴ ἐπιτρέπῃ, λέγει, αὐτοὺς ποὺ ἐπιθυμοῦν νὰ σᾶς πτοοῦν· διότι εἶναι φανερὸν ὅτι αὐτοὶ εὑρίσκονται εἰς κινδύνους· διότι τό· «θὰ παρηγορήσῃ τὰς καρδίας σας», τοῦτο ὑπονοεῖ. Διὰ νὰ μὴ ἀφήσῃ, λέγει, νὰ καταβληθοῦν αὐτοί. «Ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν εἴθε νὰ δοθοῦν εἰς τοὺς ἀδελφοὺς εἰρήνη καὶ ἀγάπη μαζὶ μὲ τὴν πίστιν»[29]. Εὔχεται εἰς αὐτοὺς εἰρήνην καὶ ἀγάπην μαζὶ μὲ πίστιν. Καλῶς εἶπε· διότι ἐπιθυμεῖ νὰ μὴ ἔχουν μόνον τὸν λόγον τῆς ἀγάπης καὶ νὰ ἀναμιγνύουν τοὺς ἑαυτούς των μὲ τοὺς ἑτεροπίστους. Ἢ τοῦτο, ἢ ἐκεῖνο ἐννοεῖ, ὥστε νὰ ἔχουν πίστιν αὐτοί, ὥστε νὰ ἔχουν θάρρος καὶ διὰ τὰ μέλλοντα. Ἡ εἰρήνη, καθὼς καὶ ἡ ἀγάπη νὰ εἶναι πρὸς τὸν Θεόν. Διότι ἐὰν ὑπάρχῃ εἰρήνη, θὰ ὑπάρχῃ καὶ ἀγάπη· ἂν ἀγάπη, καὶ εἰρήνη θὰ ὑπάρχῃ. «Μαζὶ μὲ πίστιν». Διότι καμμία ὠφέλεια τῆς ἀγάπης δὲν ὑπάρχει, χωρὶς τὴν πίστιν· μᾶλλον δὲ οὔτε θὰ ἠμποροῦσε νὰ γίνῃ διαφορετικὰ ἡ ἀγάπη. «Καὶ ἡ χάρις εἴθε νὰ εἶναι μὲ ὅλους, ὅσοι ἀγαποῦν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μὲ ἀφθαρσίαν. Ἀμήν»[30]. Ἐδῶ διεχώρισε τὴν εἰρήνην τοποθετήσας ἰδιαιτέρως, καὶ τὴν χάριν. «Μὲ ἀφθαρσίαν», λέγει, «Ἀμήν». Τί σημαίνει τό, «Μὲ ἀφθαρσίαν»; Δηλαδή, μὲ κοσμιότητα ἢ διὰ τὰ ἄφθαρτα ἀγαθά· ἐπὶ παραδείγματι ὄχι μὲ πλοῦτον, οὔτε μὲ δόξαν, ἀλλὰ μὲ ἐκεῖνα τὰ ἄφθαρτα ἀγαθά. Τὸ «ἐν», σημαίνει «διά». Μὲ ἀφθαρσίαν, λέγει· δηλαδή, μὲ ἀρετήν. Διότι κάθε ἁμαρτία εἶναι φθορά· καὶ ὅπως λέγομεν ὅτι διαφθείρεται ἡ παρθένος, ἔτσι καὶ ἡ ψυχή. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· «Μήπως διαφθαροῦν αἱ σκέψεις σας»· καὶ πάλιν ἀλλοῦ, «Καὶ εἰς τὴν διδασκαλίαν τὴν ἀδιάφθορον ἀλήθειαν», λέγει[31].

5. Καὶ τί εἶναι, εἰπέ μου, ἡ φθορὰ τοῦ σώματος; Δὲν εἶναι ἡ διάλυσις τοῦ παντὸς καὶ αὐτῆς τῆς συνθέσεως;

ψυχῆς γίνεται, τῆς ἁμαρτίας εἰσελθούσης. Κάλλος γὰρ ψυχῆς σωφροσύνη, δικαιοσύνη· ὑγίεια ψυχῆς ἀνδρεία, φρόνησις. Ὅ τε γὰρ αἰσχρὸς δυσειδής, ὅ τε πλεονέκτης, ὅ τε πονηροῖς πράγμασιν ἑαυτὸν ἐκδιδούς, ὅ τε δειλός, ἄνανδρος καὶ ἀσθενὴς καχεκτεῖ. Ὅτι δὲ αἱ ἁμαρτίαι φθορὰν ἐργάζονται, ἐντεῦθεν δῆλον· καὶ γὰρ αἰσχροὺς ποιοῦσι καὶ ἀσθενεῖς, καὶ κάμνειν παρασκευάζουσι. Φθαρῆναι γὰρ τὴν παρθένον καὶ διὰ τοῦτο κυρίως λέγομεν, οὐχ ὅτι τὸ σῶμα φθείρεται μόνον, ἀλλὰ διὰ τὴν παρανομίαν· τὸ γὰρ γινόμενον μῖξίς ἐστιν· εἰ δὲ τοῦτο ἦν ἡ φθορά, ἦν ἂν καὶ γάμος φθορά. Ὥστε οὐχ ἡ μῖξις φθορά, ἀλλ' ἡ ἁμαρτία· ᾔσχυνε γὰρ αὐτήν. Σκόπει δὲ καὶ ἄλλως φθορὰ οἰκίας τί γένοιτ' ἄν, ἢ διάλυσις; Καὶ πανταχοῦ ἡ φθορὰ μεταβολή τίς ἐστιν ἐπὶ τὸ χεῖρον, ἐφ' ἑτέραν ἕξιν καὶ ἀφανισμὸν τοῦ προτέρου γινομένη. Ἄκουε γὰρ τῆς Γραφῆς λεγούσης· «Κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς»· καὶ πάλιν, «Ἐν καταφθορᾷ ἀνυπομονήτῳ»· καὶ πάλιν· «Ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν». Φθαρτὸν ἡμῖν τὸ σῶμά ἐστιν, ἀλλ' ἄφθαρτος ἡ ψυχή. Μὴ δὴ οὖν καὶ αὐτὴν φθείρωμεν· τοῦτο ἡ ἁμαρτία εἰργάσατο ἡ προτέρα· ἡ δὲ μετὰ τὸ λουτρὸν καὶ τὴν ψυχὴν φθεῖραι δύναται, καὶ εὐάλωτον ποιῆσαι τῷ σκώληκι τῷ ἀθανάτῳ· οὐ γὰρ ἂν ἥψατο, εἰ μὴ φθαρτὴν εὗρε ψυχήν. Ἀδάμαντος σκώληξ οὐχ ἅπτεται· κἂν ἅψηται, οὐδὲν εἰργάσατο.

Μὴ δὴ φθείρῃς τὴν ψυχήν· τὸ γὰρ φθειρόμενον δυσωδίας ἐστὶ μεστόν. Ἄκουε γὰρ τοῦ Προφήτου λέγοντος· «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου». Ἀλλ' αὕτη ἡ φθορὰ ἐνδύσεται ἀφθαρσίαν, ἐκείνη δὲ οὐκέτι· ἔνθα γὰρ ἀφθαρσία, φθορὰ οὐκ ἔστιν. Ὥστε φθορὰ ἄφθαρτός ἐστι, τέλος οὐκ ἔχουσα, θάνατος ἀθάνατος. Ὅπερ ἔμελλε γίνεσθαι, εἰ τὸ σῶμα ἔμεινεν ἀθά-

32. Γεν. 6, 12. Β΄ Τιμ. 3, 8.
33. Ψαλμ. 37, 6.

Τοῦτο γίνεται καὶ εἰς τὴν ψυχήν, ὅταν εἰσέλθῃ εἰς αὐτὴν ἡ ἁμαρτία. Διότι κάλλος τῆς ψυχῆς εἶναι ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη, ὑγεία τῆς ψυχῆς ἡ ἀνδρεία καὶ ἡ φρόνησις. Διότι καὶ ὁ αἰσχρὸς δυσειδής, καὶ ὁ πλεονέκτης, καὶ ἐκεῖνος ποὺ ἐπιδίδεται εἰς πονηρὰς πράξεις καὶ ὁ δειλός, ὡς ἄνανδρος καὶ ἀσθενὴς εἶναι καχεκτικός. Ὅτι αἱ ἁμαρτίαι προκαλοῦν φθοράν, καθίσταται φανερὸν ἀπὸ τοῦτο· διότι καὶ αἰσχροὺς κάμνουν τοὺς ἀνθρώπους καὶ ἀσθενεῖς, καὶ τὰς προετοιμάζουν νὰ κουράζωνται. Διὰ τοῦτο κυρίως λέγομεν ὅτι διεφθάρη ἡ παρθένος, ὄχι διότι φθείρεται μόνον τὸ σῶμα, ἀλλ' ἐξ αἰτίας τῆς παρανομίας της· διότι ἡ πρᾶξις αὐτὴ εἶναι μῖξις· ἐὰν ὅμως τοῦτο ἦτο ἡ φθορά, θὰ ἦτο καὶ ὁ γάμος φθορά. Συνεπῶς δὲν εἶναι ἡ μῖξις φθορά, ἀλλ' ἡ ἁμαρτία· περιφρόνησε λοιπὸν αὐτήν. Πρόσεχε δὲ ἀκόμη καὶ τοῦτο· τί θὰ ἠμποροῦσε νὰ γίνῃ φθορὰ τῆς οἰκίας ἢ ἡ διάλυσις αὐτῆς; Καὶ παντοῦ ἡ φθορὰ εἶναι κάποια μεταβολὴ ποὺ γίνεται εἰς τὸ χειρότερον, εἰς ἄλλην κατάστασιν καὶ ἐξαφάνισιν τοῦ προηγουμένου. Διότι ἄκουε τὴν Γραφὴν ποὺ λέγει· «Ὅλοι οἱ ἄνθρωποι διέφθειρον τὴν ζωήν των»· καὶ πάλιν· «Εἰς διαφθορὰν ἀφόρητον»· καὶ πάλιν· «Ἄνθρωποι ποὺ ἔχουν κατεφθαρμένον τὸν νοῦν»[32]. Τὸ σῶμα μας εἶναι φθαρτόν, ἡ ψυχή μας ὅμως ἄφθαρτος. Ἂς μὴ φθείρωμεν λοιπὸν καὶ αὐτήν· τοῦτο ἔπραξεν ἡ προγενεστέρα ἁμαρτία, ἡ ὁποία ἠμπορεῖ καὶ μετὰ τὸ βάπτισμα νὰ φθείρῃ καὶ τὴν ψυχήν, καὶ νὰ τὴν καταστήσῃ εὐάλωτον εἰς τὸν σκώληκα τῆς κολάσεως. Δὲν θὰ τὴν ἐπλησίαζεν, ἂν τὴν εὕρισκεν ἄφθαρτον. Ὁ σκώληξ δὲν πλησιάζει τὸν ἀδάμαντα, καὶ ἂν ἀκόμη θὰ πλησιάσῃ, δὲν θὰ ἐπιτύχῃ τίποτε.

Μὴ φθείρῃς λοιπὸν τὴν ψυχήν, καθόσον αὐτὸ ποὺ φθείρεται εἶναι γεμᾶτον ἀπὸ δυσωδίαν. Διότι ἄκουε τὸν προφήτην ποὺ λέγει· «Τὰ τραύματά μου μυρίζουν καὶ ἐσάπησαν ἐξ αἰτίας τῆς ἀνοησίας μου»[33]. Ἀλλ' ἡ φθορὰ αὐτὴ θὰ ἐνδυθῇ τὴν ἀφθαρσίαν, ἐκείνη ὅμως ὄχι· διότι ὅπου ὑπάρχει ἀφθαρσία, δὲν ὑπάρχει φθορά. Ὥστε ἡ φθορὰ εἶναι ἄφθαρτος, δὲν ἔχει τέλος, εἶναι θάνατος αἰώνιος. Πρᾶγμα ποὺ ἐπρόκειτο νὰ γίνεται, ἂν τὸ σῶμα παρέμεινεν ἀθάνα-

νατον. Οὕτως ἂν φθορὰν ἔχοντες ἀπέλθωμεν ἐκεῖ, ἄφθαρτον καὶ ἀτελεύτητον ἕξομεν τὴν φθοράν. Τὸ γὰρ καίεσθαι καὶ σκώληκι διαπαντὸς δαπανᾶσθαι, φθορά ἐστιν ἄφθαρτος· οἷον ἦν καὶ ἐπὶ τοῦ μακαρίου Ἰώβ· ἐφθείρετο, καὶ οὐκ ἀπώλλυτο, καὶ ταῦτα χρόνου πολλοῦ προβεβηκότες· ἀλλ' ἀεὶ ἔτηκε βώλακας γῆς ἀπὸ ἰχῶρος ξέων. Τοιοῦτόν τι ἡ ψυχὴ πείσεται τότε, τῶν σκωλήκων αὐτῇ περιεστώτων καὶ διατρωγόντων, οὐκ ἐπὶ δύο ἔτεσιν, οὐδὲ ἐπὶ τρισίν, οὐδὲ ἐπὶ δέκα, οὐδὲ ἐπὶ ἑκατόν, οὐδὲ ἐπὶ μυρίοις, ἀλλ' ἐπὶ ἀτελευτήτοις· «Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει», φησί.

Φοβηθῶμεν τοίνυν, παρακαλῶ, δείσωμεν τὰ ῥήματα, ἵνα μὴ περιπέσωμεν τοῖς πράγμασι. Φθορὰ ἡ πλεονεξία ἐστί, φθορὰ πασῶν χαλεπωτέρα εἰς εἰδωλολατρείαν ἄγουσα. Φύγωμεν τὴν φθοράν, ἑλώμεθα τὴν ἀφθαρσίαν. Ἐπλεονέκτησας τὸν δεῖνα; Τὰ μὲν πλεονεκτηθέντα φθείρεται, ἡ δὲ πλεονεξία μένει, φθορὰ ἀφθαρσίας ὑπόθεσις γινομένη· ἡ μὲν ἀπόλαυσις παρέρχεται, ἄφθαρτος δὲ ἡ ἁμαρτία μένει. Δεινὸν κακὸν μὴ ἐν τῷ παρόντι βίῳ ἅπαντα ἀποδύσασθαι· μεγάλη συμφορὰ φορτία ἁμαρτημάτων ἔχοντας ἀπελθεῖν ἐκεῖ. «Ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί σοι;». Κριτήριόν ἐστιν ἐκεῖ, μετανοίας λοιπὸν οὐκέτι καιρός. Πόσα ἀπωδύρατο ὁ πλούσιος τότε! ἀλλ' ὅμως οὐδὲν ἤνυσε. Πόσα εἶπον οἱ μὴ θρέψαντες τὸν Χριστόν! ἀλλ' ὅμως ἀπήχθησαν εἰς τὸ πῦρ τὸ αἰώνιον. Πόσα οἱ τὴν ἀνομίαν ἐργασάμενοι τότε εἶπον, «Κύριε, οὐκ ἐν τῷ ὀνόματί σου προεφητεύσαμεν, καὶ ἐν τῷ ὀνόματί σου δαιμόνια ἐξεβάλομεν;». Ἀλλ' ὅμως οὔτε ἐγνωρίσθησαν. Πάντα τότε μὲν γίνεται ταῦτα· οὐδεμία δὲ ὄνησις, ἐὰν μὴ νῦν γένηται.

Φοβηθῶμεν οὖν, μή ποτε εἴπωμεν τότε· «Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ οὐκ ἐθρέψαμεν;». Νῦν

---

34. Ἰὼβ 7,5.
35. Μάρκ. 9, 46.
36. Ψαλμ. 6, 6.
37. Πρβλ. Λουκᾶ 16, 19 - 31.
38. Ματθ. 7, 22.

τον. Ἔτσι ἂν ἀπέλθωμεν εἰς τὴν ἄλλην ζωὴν ἔχοντες τὴν φθοράν, θὰ ἔχωμεν τὴν φθορὰν ἄφθαρτον καὶ ἀτελεύτητον. Διότι τὸ νὰ καίεται κανεὶς καὶ νὰ τὸν κατατρώγῃ διὰ παντὸς ὁ σκώληξ, εἶναι φθορὰ ἄφθαρτος. Ὅπως συνέβη καὶ εἰς τὸν μακάριον Ἰώβ· ἐφθείρετο καὶ δὲν κατεστρέφετο, καὶ μάλιστα διὰ πολὺν χρόνον· ἀλλὰ πάντοτε διέλυε τοὺς σβώλους τῆς κοπριᾶς, ξέων ἀπὸ τὸ αἷμα τῶν πληγῶν του[34]. Κάτι τέτοιο θὰ πάθῃ καὶ ἡ ψυχὴ τότε, ὅταν τὴν περικυκλώσουν καὶ τὴν κατατρώγουν οἱ σκώληκες, ὄχι διὰ δύο ἔτη, οὔτε διὰ τρία, οὔτε διὰ δέκα, οὔτε δι' ἑκατόν, οὔτε διὰ πολλά, ἀλλ' αἰωνίως. «Διότι ὁ σκώληξ, ποὺ θὰ κατατρώγῃ αὐτούς, δὲν θὰ ἔχῃ τέλος»[35], λέγει. Ἂς φοβηθοῦμεν λοιπόν, σᾶς παρακαλῶ, ἂς φοβηθοῦμεν τὰ λόγια, διὰ νὰ μὴ περιπέσωμεν εἰς τὰ πράγματα. Φθορὰ εἶναι ἡ πλεονεξία, ἡ περισσότερον δυσάρεστος ὅλων τῶν ἄλλων, ἡ ὁποία ὁδηγεῖ εἰς τὴν εἰδωλολατρείαν. Ἂς ἀποφύγωμεν τὴν φθοράν, ἂς προτιμήσωμεν τὴν ἀφθαρσίαν. Ἀπέκτησες περισσότερα ἀπὸ τὸν τάδε; Αὐτὰ μὲν ποὺ ἀπέκτησες φθείρονται, ἡ πλεονεξία ὅμως μένει, καὶ γίνεται αἰτία φθορᾶς τῆς ἀφθαρσίας· ἡ μὲν ἀπόλαυσις παρέρχεται, ἡ ἁμαρτία ὅμως μένει ἄφθαρτος. Εἶναι φοβερὸν κακὸν νὰ ἀποβάλωμεν τὰ πάντα εἰς τὴν παροῦσαν ζωήν. Εἶναι μεγάλη ἡ συμφορὰ νὰ ἀπέλθωμεν εἰς τὴν ἄλλην ζωὴν καὶ νὰ φέρωμεν μαζί μας φορτία ἁμαρτιῶν. «Διότι», λέγει, «εἰς τὸν Ἅδην ποῖος θὰ ἐξομολογηθῇ εἰς σέ, Κύριε;»[36]. Ἐκεῖ ὑπάρχει δικαστήριον, καιρὸς μετανοίας δὲν ὑπάρχει πλέον. Πόσον ὠδύρετο ὁ πλούσιος τότε![37] ἀλλ' ὅμως δὲν ἐκέρδισε τίποτε. Πόσα εἶπαν ἐκεῖνοι ποὺ δὲν ἔδωσαν τροφὴν εἰς τὸν Χριστόν! ἀλλ' ὅμως ὠδηγήθησαν εἰς τὸ πῦρ τὸ αἰώνιον. Πόσα εἶπαν τότε ἐκεῖνοι ποὺ ἔπραξαν τὴν ἁμαρτίαν· «Κύριε, δὲν ἐπροφητεύσαμεν διὰ τῆς πίστεώς μας εἰς σὲ καὶ διὰ τῆς πίστεώς μας εἰς σὲ δὲν ἐβγάλαμεν δαιμόνια;»[38], ἀλλ' ὅμως δὲν τοὺς ἐγνώρισεν. Τότε μὲν ὅλα αὐτὰ γίνονται, καμμία ὅμως δὲν εἶναι ἡ ὠφέλεια, ἐκτὸς ἐὰν γίνουν τώρα.

Ἂς φοβηθοῦμεν λοιπόν, μήπως εἰποῦμεν τότε· «Κύριε, πότε σὲ εἴδαμεν νὰ πεινᾷς καὶ δὲν σοῦ ἐδώσαμεν

αὐτὸν θρέψωμεν, μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, μηδὲ τρίτην· «Ἐλεημοσύναι» γάρ, φησι, «καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε». Οὐκ εἶπεν, Ἅπαξ ποίησον, οὐδὲ δεύτερον· ἐπεὶ αἱ παρθένοι ἔλαιον εἶχον, ἀλλ' οὐ διαρκές. Ὥστε πολλοῦ ἡμῖν δεῖ τοῦ ἐλαίου, καὶ ὡς ἐλαίαν ἡμᾶς εἶναι κατάκαρπον δεῖ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Ἐννοήσωμεν οὖν ὅσα ἡμῶν ἕκαστος ἔχει φορτία ἁμαρτημάτων, καὶ ἀντιρρόπους ποιήσωμεν τὰς φιλανθρωπίας, μᾶλλον δὲ καὶ πολλῷ πλείους, ἵνα μὴ μόνον σβεσθῶσιν αἱ ἁμαρτίαι, ἀλλ' ἵνα καὶ εἰς δικαιοσύνην ἡμῖν λογισθῶσιν αἱ δικαιοσύναι. Ἂν γὰρ μὴ τοσαῦτα ᾖ τὰ ἀγαθά, ὡς καὶ τὰ ἐγκλήματα ἀποδύσασθαι, καὶ ἐκ τῶν ὑποληφθέντων εἰς δικαιοσύνην ἡμῖν λογισθῆναι, οὐδεὶς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως· ἧς γένοιτο πάντας ἡμᾶς ἀπαλλαγῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, καὶ τὰ ἑξῆς.

---

39. Ματθ. 25, 44.
40. Παροιμ. 3, 3.

τροφήν;»[39]. Ἂς δώσωμεν τροφὴν εἰς τὸν Κύριον τώρα, ὄχι μίαν ἡμέραν, οὔτε δύο, οὔτε τρεῖς, διότι λέγει· «Ἡ ἐλεημοσύνη καὶ ἡ πίστις ἂς μὴ σὲ ἐγκαταλείψουν»[40]. Δὲν εἶπε· κάμε μίαν φοράν, οὔτε δύο· διότι αἱ παρθένοι εἶχαν ἔλαιον, καὶ πρέπει νὰ εἴμεθα ὡς ἐλαία γεμάτη καρπὸν εἰς τὸν οἶκον τοῦ Θεοῦ. Ἂς κατανοήσωμεν λοιπὸν ὁ καθένας μας πόσα φορτία ἁμαρτιῶν ἔχει, καὶ ἂς πράξωμεν ἀντιρρόπους τὰς φιλανθρωπίας, μᾶλλον δὲ καὶ κατὰ πολὺ περισσοτέρας, διὰ νὰ μὴ ἐξαλειφθοῦν μόνον αἱ ἁμαρτίαι, ἀλλὰ καὶ διὰ νὰ ὑπολογισθοῦν εἰς ἡμᾶς κατὰ τὴν κρίσιν αἱ εὐαργεσίαι αὐταί. Διότι ἂν δὲν εἶναι τόσον πολλὰ τὰ ἀγαθὰ ὥστε καὶ τὰ ἁμαρτήματα νὰ ἀποβάλωμεν καὶ ἐκ τῶν ὑπολειφθέντων νὰ ὑπολογισθοῦν εἰς ἡμᾶς κατὰ τὴν κρίσιν, κανεὶς δὲν θὰ μᾶς σώσῃ ἀπὸ τὴν κόλασιν· ἀπὸ τὴν ὁποίαν εἴθε νὰ συμβῇ νὰ ἀπαλλαγῶμεν ὅλοι ἡμεῖς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΛΟΓΟΣ Α΄

Οἱ Φιλιππήσιοι ἀπὸ πόλεώς εἰσι τῆς Μακεδονίας, πόλεως κολωνίας, καθὼς ὁ Λουκᾶς φησιν. Ἐνταῦθα ἡ πορφυρόπολις ἐπέστρεψεν, εὐλαβὴς γυνὴ σφόδρα καὶ προσεκτική· ἐνταῦθα ὁ ἀρχισυνάγωγος ἐπίστευσεν· ἐνταῦθα ἐμαστίχθη ὁ Παῦλος μετὰ τοῦ Σίλα· ἐνταῦθα οἱ στρατηγοὶ ἠξίωσαν αὐτοὺς ἐξελθεῖν, καὶ ἐφοβήθησαν αὐτούς· καὶ λαμπρὰν ἔσχε τὸ κήρυγμα τὴν ἀρχήν. Μαρτυρεῖ δὲ αὐτοῖς καὶ αὐτὸς πολλὰ καὶ μεγάλα, στέφανον αὐτοῦ καλῶν αὐτούς, καὶ πολλὰ πεπονθέναι λέγων, «Ὑμῖν γὰρ ἐχαρίσθη», φησίν, «ἀπὸ Θεοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν». Ὅτε δὲ ἔγραφε πρὸς αὐτούς, συνέβη αὐτὸν δεδέσθαι. Διὰ τοῦτό φησιν, «Ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ»· πραιτώριον τὰ βασίλεια τοῦ Νέρωνος καλῶν. Ἀλλ' ἐδέθη καὶ ἀφείθη, καὶ τοῦτο πρὸς Τιμόθεον ἐδήλωσε, λέγων· «Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες ἐγκατέλειπον· μὴ αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με». Τὰ οὖν δεσμά, ἐν οἷς ἦν πρὸ τῆς ἀπολογίας ἐκείνης λέγει. Ὅτε γὰρ οὐ παρῆν Τιμόθεος τότε, δῆλον. «Ἐν γὰρ τῇ πρώτῃ μου», φησίν, «ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο». Καὶ τοῦτο αὐτῷ γράφων ἐδήλου. Οὐκ ἂν οὖν, εἰ

1α. Φίλιπποι· ἡ πόλις ἱδρύθη ἀπὸ τὸν Φίλιππον Β΄ τὸ ἔτος 356 π.Χ. Ὁ Αὔγουστος, μετὰ τὸ 31 π.Χ., ἐχαρακτήρισε τὴν πόλιν «κολωνίαν», ἐγκαταστήσας εἰς αὐτὴν πραιτωριανοὺς καὶ πολὺν λαόν. Ὁ χριστιανισμὸς διεδόθη εἰς Φιλίππους ἀπὸ τὸν ἀπ. Παῦλον. Ἐδῶ συνεκροτήθη ἡ πρώτη ἐπὶ εὐρωπαϊκοῦ ἐδάφους Ἐκκλησία.

1. ΠράΞ. 16, 12.
2. Βλ. ΠράΞ. 16, 12 - 40, ὅπου ἡ δρᾶσις τοῦ Παύλου εἰς Φιλίππους.
3. Φιλιπ. 1, 29.
4. Φιλιπ. 1, 13.
5. Β΄ Τιμ. 4, 16 - 17.

2. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΛΟΓΟΣ Α΄

Οἱ Φιλιππήσιοι εἶναι κάτοικοι τῶν Φιλίππων[1α], πόλεως τῆς Μακεδονίας, ἡ ὁποία, καθὼς λέγει ὁ Λουκᾶς, εἶναι ἀποικία[1]. Ἐδῶ ἐπέστρεψεν εἰς τὸν Χριστὸν ἡ πορφυρόπωλις, γυναῖκα ὑπερβολικὰ εὐλαβὴς καὶ προσεκτική· ἐδῶ ἐπίστευσεν ὁ δεσμοφύλαξ· ἐδῶ ἐμαστιγώθη ὁ Παῦλος μαζὶ μὲ τὸν Σίλαν· ἐδῶ οἱ στρατηγοὶ τῆς πόλεως παρεκάλεσαν αὐτοὺς νὰ φύγουν ἀπὸ τὴν πόλιν, ἐπειδὴ ἐφοβήθησαν τοὺς ἀποστόλους· ἐδῶ καὶ ἡ ἀρχὴ τοῦ κηρύγματος ἦτο λαμπρά[2]. Μαρτυρεῖ δὲ ὑπὲρ αὐτῶν καὶ ὁ Παῦλος πολλὰ καὶ μεγάλα, καλῶν αὐτοὺς στέφανον αὐτοῦ καὶ λέγει ὅτι πολλὰ ἔχει πάθει. «Διότι εἰς σᾶς ἐδόθη ἡ χάρις», λέγει, «ἀπὸ τὸν Θεὸν ὄχι μόνον νὰ πιστεύτε εἰς αὐτόν, ἀλλὰ καὶ νὰ πάσχετε ὑπὲρ τοῦ ὀνόματός του»[3]. Ὅταν δὲ ἔγραφε πρὸς αὐτούς, συνέβη νὰ εἶναι φυλακισμένος. Διὰ τοῦτο λέγει· «Ὥστε ἔγινε φανερὸν μεταξὺ ὅλου τοῦ πραιτωρίου, ὅτι ἐξ αἰτίας τῆς σχέσεώς μου μὲ τὸν Χριστὸν ἐρρίφθην εἰς τὴν φυλακὴν δεμένος»[4], ἀποκαλῶν πραιτώριον τὴν φρουρὰν τῶν πραιτωριανῶν τοῦ Νέρωνος. Ἀλλὰ ἐδέθη καὶ ἀφέθη ἐλεύθερος, καὶ αὐτὸ τὸ ἐδήλωσε πρὸς τὸν Τιμόθεον, λέγων· «Κατὰ τὴν πρώτην μου ἀπολογίαν δὲν ἦλθε κανεὶς μαζί μου, ἀλλ' ὅλοι μὲ ἐγκατέλειψαν. Εἴθε νὰ μὴ τοὺς λογαριασθῇ τοῦτο ἀπὸ τὸν Κύριον. Ὁ Κύριός μου ὅμως παρεστάθη καὶ μοῦ ἔδωσε δύναμιν»[5]. Ἀναφέρει τὰ δεσμά, εἰς τὰ ὁποῖα εὑρίσκετο πρὶν ἀπὸ τὴν ἀπολογίαν του ἐκείνην. Διότι εἶναι φανερόν, ὅτι τότε δὲν ἦτο παρὼν ὁ Τιμόθεος. «Κατὰ τὴν πρώτην μου ἀπολογίαν», λέγει, «δὲν ἦλθε κανεὶς μαζί μου». Καὶ αὐτὸ ἀκριβῶς ἐδήλωνε γράφων πρὸς τὸν Τιμόθεον. Δὲν θὰ ἦτο δυνατὸν λοιπὸν νὰ γράψῃ πρὸς αὐτὸν

ᾔδει τοῦτο, ἔγραψεν αὐτῷ. Ὅτε δὲ τὴν ἐπιστολὴν ἔγραφε ταύτην, μετ' αὐτοῦ Τιμόθεος ἦν· καὶ δηλοῖ ἐξ ὧν φησιν· «Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέως πέμψαι ὑμῖν»· καὶ πάλιν, «Τοῦτον μὲν ἐλπίζω εὐθέως πέμψαι ὑμῖν, ὅταν ἀπίδω τὰ περὶ ἐμέ, ἐξαυτῆς».

Ἀφείθη γὰρ ἀπὸ τῶν δεσμῶν, καὶ πάλιν ἐδέθη μετὰ τὸ πρὸς αὐτοὺς ἐλθεῖν. Εἰ δὲ λέγει, ὅτι «Καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν», οὐχ ὡς ἤδη τούτου γενομένου, ἀλλ' ὅτι καὶ ὅταν τοῦτο συμβῇ, χαίρω, φησί, διανιστῶν αὐτοὺς ἀπὸ τῆς ἀθυμίας τῆς ἐπὶ τοῖς δεσμοῖς. Ὅτι γὰρ οὐκ ἔμελλε τότε ἀποθανεῖσθαι, δῆλον ἐξ ὧν φησιν, ὅτι «Ἐλπίζω δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι πρὸς ὑμᾶς»· καὶ πάλιν, «Καὶ τοῦτο πεπειθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν». Ἦσαν δὲ πέμψαντες πρὸς αὐτὸν Φιλιππήσιοι τὸν Ἐπαφρόδιτον, χρήματα ἀποίσοντα αὐτῷ, καὶ εἰσόμενον τὰ κατ' αὐτόν· διέκειντο γὰρ σφόδρα περὶ αὐτόν. Ὅτι γὰρ ἔπεμψαν, ἄκουε αὐτοῦ λέγοντος, «Ἀπέχω πάντα, καὶ περισσεύω· πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν». Ἐν τούτῳ ἔπεμψαν τοῦτο εἰσόμενοι. Ὅτι γὰρ καὶ τοῦτο ἔπεμψαν εἰσόμενοι, δηλοῖ εὐθέως ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς τὰ κατ' αὐτὸν γράφων, καὶ λέγων· «Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθε»· καὶ πάλιν, «Ἐλπίζω Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν». Τό, «ἵνα κἀγώ», δηλοῦντός ἐστιν, ὅτι ὥσπερ ὑμεῖς ὑπὲρ πολλῆς πληροφορίας ἐπέμψατε εἰσόμενοι, οὕτω καὶ ἐγώ, «ἵνα εὐψυχῶ, γνοὺς τὰ περὶ

6. Φιλιπ. 2, 19 - 23.
7. Φιλιπ. 2, 17.
8. Φιλιπ. 2, 24· 1, 25.
9. Φιλιπ. 4, 18.
10. Φιλιπ. 1, 12· 2, 19.

ἐὰν ἐγνώριζε τοῦτο. Ὅταν ὅμως ἔγραφε τὴν ἐπιστολὴν αὐτήν, ἦτο μαζί του ὁ Τιμόθεος· καὶ τὸ δηλώνει ἀπὸ ὅσα λέγει· «Ἐλπίζω δὲ στηριζόμενος εἰς τὸν Κύριον Ἰησοῦν νὰ σᾶς στείλω γρήγορα τὸν Τιμόθεον»· καὶ ἀλλοῦ· «Τοῦτον λοιπὸν ἐλπίζω νὰ σᾶς στείλω ἀμέσως μόλις ἰδῶ τὴν ἔκβασιν τῆς ὑποθέσεώς μου, τὴν ἰδίαν ἡμέραν ποὺ θὰ τελειώσῃ ἡ δίκη μου»[6].

Ἀφέθη λοιπὸν ἐλεύθερος ἀπὸ τὰ δεσμά του, καὶ πάλιν ἐφυλακίσθη ὕστερα ἀπὸ τὴν ἐπίσκεψίν του πρὸς αὐτούς. Ἐὰν ὅμως λέγῃ ὅτι «Καὶ προσφέρομαι σπονδὴ ἐπάνω εἰς τὴν θυσίαν καὶ τὴν λειτουργίαν τῆς πίστεώς σας»[7], τὸ λέγει χωρὶς τοῦτο νὰ ἔχῃ γίνει ἤδη, ἀλλὰ καὶ ὅταν θὰ συμβῇ αὐτό, λέγει, θὰ χαρῶ, διαλύων τὴν λύπην αὐτῶν ποὺ προήρχετο ἀπὸ τὰ δεσμά του. Ὅτι βέβαια δὲν ἐπρόκειτο τότε νὰ ἀποθάνῃ, γίνεται φανερὸν ἀπὸ ὅσα λέγει, ὅτι «Ἐλπίζω ἐν Κυρίῳ ὅτι καὶ ἐγὼ ὁ ἴδιος γρήγορα θὰ ἔλθω πρὸς ἐσᾶς»· καὶ πάλιν· «Καὶ μὲ ἀδίστακτον πεποίθησιν γνωρίζω, ὅτι θὰ μείνω εἰς τὴν παροῦσαν ζωὴν καὶ θὰ συμπαραμείνω μαζὶ μὲ ὅλους σας»[8]. Οἱ Φιλιππήσιοι εἶχαν στείλει πρὸς αὐτὸν τὸν Ἐπαφρόδιτον, μὲ σκοπὸν νὰ μεταφέρῃ εἰς τὸν Παῦλον χρηματικὴν βοήθειαν καὶ νὰ γνωρίσῃ τὰ ἰδικά του νέα· διότι διέκειντο μὲ ὑπερβολικὴν συμπάθειαν πρὸς αὐτόν. Ὅτι δὲ ἔστειλαν, ἄκουε τὸν ἴδιον ποὺ λέγει· «Ἔχω ὅλα μὲ τὸ παραπάνω καὶ μοῦ περισσεύουν. Εἶμαι γεμᾶτος ἀφοῦ ἐδέχθην ἀπὸ τὸν Ἐπαφρόδιτον αὐτὰ ποὺ ἐστάλησαν ἀπὸ σᾶς»[9]. Συγχρόνως ἔστειλαν καὶ διὰ νὰ γνωρίσουν τοῦτο. Ὅτι βέβαια ἔστειλαν νὰ πληροφορηθοῦν τὰ κατ' αὐτόν, τὸ δηλώνει καθαρὰ ὁ ἴδιος εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς, ὅπου γράφει τὰ σχετικὰ μὲ τὸν ἴδιον, καὶ λέγει· «Θέλω δὲ νὰ γνωρίζετε, ὅτι ἐκεῖνα τὰ δυσάρεστα ποὺ μοῦ συνέβησαν, περισσότερο συνετέλεσαν εἰς τὴν πρόοδον τῆς διαδόσεως τοῦ Εὐαγγελίου»· καὶ πάλιν· «Ἐλπίζω νὰ σᾶς στείλω γρήγορα τὸν Τιμόθεον, διὰ νὰ καλοκαρδίσω καὶ ἐγώ, ὅταν λάβω καλὰ εἰδήσεις διὰ σᾶς»[10]. Τὸ «ἵνα κἀγώ», δηλώνει ὅτι, ὅπως ἀκριβῶς σεῖς ἐστείλατε διὰ νὰ γνωρίσετε πολὺ καλά, ἔτσι καὶ ἐγώ, «διὰ νὰ καλοκαρδίσω, πληροφορούμενος κα-

ὑμῶν». Ἐπεὶ οὖν καὶ πολὺν χρόνον ἦσαν μὴ πέμψαντες· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, «Ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν»· καὶ τότε ἤκουον αὐτὸν ἐν δεσμοῖς εἶναι· εἰ γὰρ περὶ Ἐπαφροδίτου ἤκουσαν, ὅτι ἠσθένησεν, οὐκ ὄντος σφόδρα ἐπισήμου, ὡς ὁ Παῦλος, πολλῷ μᾶλλον περὶ Παύλου· καὶ εἰκὸς ἦν αὐτοὺς θορυβεῖσθαι· διὰ τοῦτο ἐν τοῖς προοιμίοις τῆς ἐπιστολῆς πολλὴν προσάγει παράκλησιν ὑπὲρ τῶν δεσμῶν, δεικνὺς ὅτι οὐ μόνον οὐ χρὴ θορυβεῖσθαι, ἀλλὰ καὶ χαίρειν.

Εἶτα περὶ ὁμονοίας συμβουλεύει καὶ ταπεινοφροσύνης, ταύτην εἶναι ἀσφάλειαν αὐτοῖς διδάσκων μεγίστην, καὶ οὕτω τῶν ἐχθρῶν αὐτοὺς εὐκόλως δύνασθαι περιγενέσθαι. Οὐ γὰρ τὸ δεσμεῖσθαι λυπηρὸν τοῖς διδασκάλοις ὑμῶν, ἀλλὰ τὸ μὴ ὁμονοεῖν τοὺς μαθητάς. Τοῦτο μὲν γὰρ καὶ ἐπίδοσιν τῷ εὐαγγελίῳ δίδωσιν, ἐκεῖνο δὲ διασπᾷ. Παραινέσας τοίνυν αὐτοῖς ὁμονοεῖν, καὶ δείξας ὅτι ἀπὸ ταπεινοφροσύνης ἡ ὁμόνοια γίνεται, καὶ διατεινάμενος πρὸς τοὺς πανταχοῦ τῷ δόγματι λυμαινομένους Ἰουδαίους προσχήματι Χριστιανισμοῦ, κύνας τε αὐτοὺς καλέσας καὶ κακοὺς ἐργάτας, καὶ παραινέσας ἀπέχεσθαι αὐτῶν, καὶ πείσας τίσι δεῖ προσέχειν, καὶ περὶ ἠθικῶν πολλὰ διαλεχθείς, καὶ ρυθμίσας αὐτούς, καὶ ἀνακτησάμενος διὰ τοῦ εἰπεῖν, «Ὁ Κύριος ἐγγύς»· μέμνηται μετὰ τῆς προσηκούσης αὐτῷ συνέσεως καὶ τῶν πεμφέντων, καὶ οὕτω πολλὴν τὴν παράκλησιν προσάγει. Φαίνεται δὲ μετὰ πολλῆς αὐτοῖς μάλιστα γράφων τιμῆς, καὶ οὐδὲν ἐπιπληκτικὸν οὐδαμοῦ, ὅπερ ἦν τεκμήριον τῆς ἀρετῆς αὐτῶν, τὸ μηδεμίαν δοῦναι τῷ διδασκάλῳ λαβήν, μηδὲ ἐν τάξει ἐπιτιμήσεως, ἀλλ' ἐν τάξει παραινέσεως πάντα πρὸς αὐτοὺς ἐπεσταλκέναι.

Ὅπερ δὲ ἔφην καὶ ἐξ ἀρχῆς, ἡ πόλις αὕτη πολλὴν

11. Φιλιπ. 4, 10.
12. Φιλιπ. 4, 5.

λὰ διὰ σᾶς». Ἐπειδὴ λοιπὸν εἶχαν ἀρκετὸν χρόνον ποὺ δὲν ἔστειλαν· διότι τοῦτο δηλώνει ὅταν λέγῃ, «Ἐπὶ τέλους ἐξαναβλάστησε τὸ ἐνδιαφέρον σας δι' ἐμέ»[11]· καὶ τότε ἐπληροφοροῦντο ὅτι ἦτο φυλακισμένος· διότι ἐὰν ἐπληροφορήθησαν ὅτι ἠσθένησεν ὁ Ἐπαφρόδιτος, ποὺ δὲν ἦτο τόσον ἐπίσημος, ὅπως ὁ Παῦλος, πολὺ περισσότερον θὰ ἐστενοχωροῦντο διὰ τὸν Παῦλον· καὶ ἦτο φυσικὸν νὰ στενοχωροῦνται αὐτοί. Διὰ τοῦτο εἰς τὸ προοίμιον τῆς ἐπιστολῆς φέρει πολλὴν παράκλησιν ὑπὲρ τῶν δεσμῶν του, ἀποδεικνύων ὅτι ὄχι μόνον δὲν πρέπει νὰ στενοχωροῦνται, ἀλλὰ καὶ νὰ χαίρουν.

Εἰς τὴν συνέχειαν συμβουλεύει περὶ ὁμονοίας καὶ ταπεινοφροσύνης, διδάσκων ὅτι αὐτὴ εἶναι ἡ μεγαλυτέρα ἀσφάλειά των, καὶ ἔτσι εὔκολα θὰ ἠμπορέσουν νὰ νικήσουν τοὺς ἐχθρούς των. Διότι δὲν εἶναι τὰ δεσμὰ λυπηρὸν εἰς τοὺς διδασκάλους σας, ἀλλά τὸ νὰ μὴ ἔχουν ὁμόνοιαν οἱ μαθηταί. Διότι τὸ πρῶτον μὲν φέρει καὶ αὔξησιν εἰς τὸ Εὐαγγέλιον, τὸ δεύτερον ὅμως διασπᾷ αὐτό. Ἀφοῦ συνεβούλευσε λοιπὸν αὐτοὺς νὰ ἔχουν ὁμόνοιαν, καὶ ἀποδείξας ὅτι ἡ ὁμόνοια πηγάζει ἀπὸ τὴν ταπεινοφροσύνην, καὶ ἐναντιωθεὶς πρὸς τοὺς Ἰουδαίους ποὺ παντοῦ λυμαίνονται τὴν διδασκαλίαν τοῦ Χριστοῦ μὲ τὸ πρόσχημα τοῦ Χριστιανισμοῦ, καλέσας αὐτοὺς καὶ κύνας καὶ κακοὺς ἐργάτας, καὶ ἀφοῦ τοὺς προέτρεψε νὰ ἀπέχουν ἀπ' αὐτούς, καὶ τοὺς ἔπεισε νὰ προσέχουν αὐτούς, καὶ ἀφοῦ εἶπεν ἀρκετὰ περὶ τῶν ἠθικῶν ζητημάτων καὶ διαπλάσσας αὐτούς, τοὺς ἔδωσε θάρρος μὲ τὸ νὰ εἰπῇ, «Ὁ Κύριος πλησιάζει νὰ ἔλθῃ»[12]· εἰς τὴν συνέχειαν ἐνθυμεῖται μὲ τὴν πρέπουσαν εἰς αὐτὸν σύνεσιν καὶ τοὺς πεμφθέντας εἰς αὐτόν, καὶ ἔτσι φέρει πολλὴν παρηγορίαν. Φαίνεται δὲ νὰ γράφῃ εἰς αὐτοὺς μὲ ὑπερβολικὴν τιμὴν καὶ δὲν προσθέτει πουθενὰ καμμίαν ἐπίπληξιν, πρᾶγμα ποὺ εἶναι ἀπόδειξις τῆς ἀρετῆς των, τὸ νὰ μὴ δίδουν δηλαδὴ καμμίαν ἀφορμὴν εἰς τὸν διδάσκαλον· ἔχει γράψει τὰ πάντα πρὸς αὐτοὺς μὲ τάξιν παραινέσεως καὶ ὄχι μὲ τάξιν ἐπιτιμήσεως.

Αὐτὸ ποὺ εἶπα καὶ εἰς τὴν ἀρχήν, πάλιν θὰ τὸ εἰπῶ,

ἐπεδείξατο εἰς τὴν πίστιν ἐπιτηδειότητα, εἴγε ὁ δεσμοφύλαξ· ἴστε δέ, ὅτι πάσης τὸ πρᾶγμα κακίας μεστόν· εὐθέως ἀπὸ ἑνὸς σημείου καὶ προσέδραμε, καὶ ἐβαπτίσθη μετὰ τοῦ οἴκου αὐτοῦ παντός. Τὸ μὲν γὰρ γεγονὸς σημεῖον εἶδε μόνος αὐτός· τὸ δὲ κέρδος οὐ μόνος ἐκαρπώσατο, ἀλλὰ μετὰ τῆς γυναικὸς καὶ τοῦ οἴκου παντός. Ἀλλὰ καὶ αὐτοὶ οἱ στρατηγοὶ οἱ μαστίξαντες αὐτὸν εὑρίσκονται ἀπὸ συναρπαγῆς μᾶλλον, καὶ οὐ πονηρίας τοῦτο πεποιηκότες, τῷ τε εὐθέως πέμψαι καὶ ἀφεῖναι αὐτόν, καὶ τῷ φοβηθῆναι ὕστερον. Μαρτυρεῖ δὲ αὐτοῖς οὐκ ἐν πίστει μόνον, οὐδὲ ἐν κινδύνοις, ἀλλὰ καὶ ἐν εὐποιΐᾳ, δι' ὧν φησιν, ὅτι «Καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου, καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μου ἐπέμψατε», οὐδενὸς ἑτέρου τοῦτο ποιοῦντος· «Οὐδεμία γάρ μοι», φησίν, «ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως»· καὶ τὴν ἔλλειψιν δὲ ἀκαιρίας εἶναι μᾶλλον ἢ προαιρέσεως· «Οὐχ ὅτι οὐκ ἐφρονεῖτε», φησίν, «ὑπὲρ ἐμοῦ, ἠκαιρεῖσθε δέ».

Ταῦτα καὶ ἡμεῖς εἰδότες, καὶ τοσούτους ἔχοντες τύπους, καὶ φίλτρον τὸ πρὸς αὐτούς· ὅτι γὰρ ἐφίλει σφόδρα αὐτούς, δῆλον· «Οὐδένα γὰρ ἔχω», φησίν, «ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει»· καὶ πάλιν, «Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου»· ταῦτα οὖν εἰδότες καὶ ἡμεῖς, ἑαυτοὺς παρέχωμεν ἀξίους τῶν τοιούτων ὑποδειγμάτων, περὶ τὸ πάσχειν ὑπὲρ Χριστοῦ ἕτοιμοι γινόμενοι. Ἀλλὰ νῦν οὐκ ἔστιν ὁ διωγμός. Οὐκοῦν κἂν μηδὲν ἕτερον, μιμώμεθα αὐτῶν τὴν εὐποιΐαν τὴν μετὰ σφοδρότητος, μηδέ, ἐὰν ἅπαξ δῶμεν καὶ δεύτερον, τὸ πᾶν ἡγώμεθα πεπληρωκέναι· διὰ παντὸς γὰρ τοῦ βίου τοῦτο χρὴ ποιεῖν. Οὐ γὰρ ἅπαξ εὐαρεστεῖν δεῖ, ἀλλὰ διηνεκῶς. Ὁ τρέχων, ἐὰν δέκα

---

13. Φιλιπ. 4, 15, 16.
14. Φιλιπ. 4, 10.
15. Φιλιπ. 2, 20· 1, 17.

ἡ πόλις αὐτὴ ἐπέδειξε πολλὴν ἐπιτηδειότητα εἰς τὴν πίστιν, παράδειγμα ὁ δεσμοφύλαξ· γνωρίζετε βέβαια ὅτι τὸ πρᾶγμα εἶναι μεστὸν κάθε κακίας· ἀμέσως ἔτρεξε ὕστερα ἀπὸ κάποιο σημεῖον καὶ ἐβαπτίσθη μὲ ὅλην τὴν οἰκογένειάν του. Τὸ σημεῖον ποὺ ἔγινε τὸ εἶδε μόνον αὐτός, τὸ ὄφελος ὅμως δὲν τὸ ἐκαρπώθη μόνος, ἀλλὰ μαζὶ μὲ τὴν γυναῖκα καὶ ὅλην τὴν οἰκογένειαν. Ἀλλὰ καὶ οἱ στρατηγοὶ ποὺ ἐμαστίγωσαν αὐτόν, μᾶλλον ἀπὸ ἀπερισκεψίαν ἔκαμαν αὐτὸ καὶ ὄχι ἀπὸ κακίαν, διότι ἀμέσως ἔστειλαν καὶ ἄφησαν αὐτὸν ἐλεύθερον, καὶ ὕστερα ἐφοβήθησαν. Μαρτυρεῖ δὲ εἰς αὐτοὺς ὄχι μόνον τὴν πίστιν καὶ τοὺς κινδύνους, ἀλλὰ καὶ τὴν ἀγαθοεργίαν των μὲ ὅσα λέγει· «Καὶ κατὰ τὰς ἀρχὰς τοῦ κηρύγματός μου καὶ μίαν καὶ δύο φορὰς μοῦ ἐστείλατε διὰ τὰς ἀνάγκας μου», χωρὶς νὰ κάμῃ αὐτὸ κανεὶς ἄλλος. «Διότι καμμία ἐκκλησία», λέγει, «δὲν ἦλθεν εἰς σχέσιν μαζί μου μὲ λογαριασμὸν δοσοληψίας»[13]· καὶ αὐτὸ ὀφείλεται εἰς τὴν ἔλλειψιν καταλλήλου εὐκαιρίας καὶ ὄχι εἰς τὴν προαίρεσίν σας. «Ὄχι διότι δὲν εἴχατε τὸ ἐνδιαφέρον σας δι' ἐμέ», λέγει, «ἀλλὰ δὲν σᾶς ἐδίδετο ἡ εὐκαιρία νὰ δείξετε τοῦτο»[14].

Γνωρίζοντες καὶ ἡμεῖς αὐτά, καὶ ἔχοντες τόσον πολλοὺς ὡς πρότυπα καὶ τὴν πρὸς αὐτοὺς ἀγάπην· ὅτι βέβαια ὑπερβολικὰ ἠγάπα αὐτούς, εἶναι φανερόν· «Δὲν ἔχω κανένα», λέγει, «ποὺ νὰ ἔχῃ τὰ ἴδια αἰσθήματα μὲ μένα, καὶ ποὺ θὰ φροντίσῃ μὲ εἰλικρίνειαν τὰς ὑποθέσεις σας» καὶ πάλιν· «Ἐπειδὴ σᾶς ἔχω εἰς τὴν καρδίαν μου, καὶ εἰς τὰ δεσμά μου»[15]· αὐτὰ λοιπὸν γνωρίζοντες καὶ ἡμεῖς, ἂς κάνωμεν τοὺς ἑαυτούς μας ἀξίους τέτοιων παραδειγμάτων, γινόμενοι ἕτοιμοι διὰ νὰ πάσχωμεν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. Ἀλλὰ τώρα δὲν ὑφίσταται διωγμός. Λοιπόν, καὶ ἂν δὲν κάνωμεν τίποτε ἄλλο, ἂς μιμούμεθα τὴν ὑπερβολικήν των ἀγαθοεργίαν, χωρὶς νὰ νομίζωμεν ὅτι ἔχομεν ἐκπληρώσει τὸ πᾶν, ὅταν δώσωμεν ἐλεημοσύνην μίαν καὶ δύο φοράς· διότι πρέπει νὰ πράττωμεν αὐτὸ εἰς ὅλην τὴν ζωήν μας. Δὲν πρέπει νὰ εἴμεθα εὐάρεστοι μόνον μίαν φοράν, ἀλλὰ παντοτινά. Ὁ ἀθλητής, ὅταν τρέξῃ δέκα δολί-

δολίχους δραμών, τὸν ὕστερον ἀφῇ, τὸ πᾶν ἀπώλεσε· καὶ ἡμεῖς, ἐὰν ἀρξάμενοι τῶν ἀγαθῶν ἔργων, ὕστερον ἐκλυθῶμεν, τὸ πᾶν ἀπωλέσαμεν, τὸ πᾶν διεφθείραμεν.

Ἄκουε τῆς ἐπωφελοῦς παραινέσεως λεγούσης· «Ἐλεημοσύναι», φησί, «καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε». Οὐκ εἶπεν, ἅπαξ ποίησον, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, οὐδὲ τέταρτον, οὐδὲ ἑκατοστόν, ἀλλὰ διαπαντός· «μὴ ἐκλειπέτωσάν σε», φησί. Καὶ οὐκ εἶπε, μὴ αὐτὰς ἐγκαταλίπῃς, ἀλλὰ αὗταί σε μὴ ἐγκαταλίπωσι, δεικνὺς ὅτι ἡμεῖς αὐτῶν δεόμεθα, οὐκ αὗται ἡμῶν, καὶ διδάσκων ὅτι πάντα πράττειν ὀφείλομεν, ὥστε αὐτὰς κατέχειν παρ' ἑαυτοῖς. «Ἄφαψαι δὲ αὐτάς», φησίν, «ἐπὶ σῷ τραχήλῳ». Ὥσπερ γὰρ τὰ τῶν εὐπόρων παιδία κόσμον ἔχει χρυσοῦν περὶ τὸν τράχηλον, καὶ οὐδέποτε αὐτὸν ἀποτίθεται, ὡς τῆς εὐγενείας δεῖγμα περιφέροντα· οὕτω καὶ τὴν ἐλεημοσύνην ἑαυτοῖς ἀεὶ δεῖ προτιθέναι, δεικνύοντας ὅτι τοῦ οἰκτίρμονός ἐσμεν παῖδες, τοῦ τὸν ἥλιον ἀνατέλλοντος ἐπὶ πονηροὺς καὶ ἀγαθούς. Ἀλλ' οὐ πιστεύουσιν οἱ ἄπιστοι· Οὐκοῦν διὰ τούτων πιστεύσουσιν, ἐὰν ἡμεῖς ἐργαζώμεθα ταῦτα· ἐὰν ἴδωσιν, ὅτι πάντας ἐλεοῦμεν, καὶ ἐκεῖνον ἐπιγραφόμεθα διδάσκαλον, εἴσονται ὅτι αὐτὸν μιμούμενοι τοῦτο πράττομεν. «Ἐλεημοσύνη», φησί, «καὶ πίστις ἀληθής». Καλῶς εἶπεν, ἀληθής· μὴ ἐξ ἁρπαγῆς, μὴ ἀπὸ κλοπῆς· τοῦτο γὰρ οὐκ ἔστι πίστις, οὐκ ἔστιν ἀλήθεια. Καὶ γὰρ τὸν κλέπτοντα ψεύδεσθαι ἀνάγκη, καὶ ἐπιορκεῖν δεῖ, σὺ δὲ μὴ οὕτως, ἀλλὰ μετὰ τῆς ἐλεημοσύνης πίστιν ἔχε, φησί.

Περιθώμεθα τοῦτον τὸν κόσμον· μανιάκην ἐργασώμεθα τῇ ψυχῇ χρυσοῦν, τὴν ἐλεημοσύνην λέγω, ἕως ἂν ἐνθάδε ὦμεν. Ἐὰν γὰρ παρέλθῃ ἡ ἡλικία αὕτη, οὐκέτι αὐτῇ χρησόμεθα. Πῶς; Οὐκ εἰσὶν ἐκεῖ πένητες, οὐκ ἔστιν ἐκεῖ χρήμα-

---

16. Δόλιχος· ἀγώνισμα δρόμου ἀντοχῆς.
17. Παροιμ. 3, 3.
18. Παροιμ. 3, 3.
19. Μανιάκης· περιαυχένιον χρυσοῦν κόσμημα, ποὺ ἔφεραν ὡρισμένοι βαθμοῦχοι τῆς ἱεραρχίας τῆς βυζαντινῆς αὐλῆς.

χους[16] καὶ ἐγκαταλείψῃ τὸν τελευταῖον, ἔχασε τὸ πᾶν. Καὶ ἡμεῖς ἐὰν κάνωμεν ἀρχὴν τῶν καλῶν ἔργων, ὕστερα παύσωμεν, ἐχάσαμεν καὶ κατεστρέψαμεν τὸ πᾶν.

Ἄκουε τὴν ὠφέλιμον παραίνεσιν ποὺ λέγει· «Ἡ ἐλεημοσύνη καὶ ἡ ἀγαθὴ πίστις ἄς μὴ σὲ ἐγκαταλείπουν»[17]. Δὲν εἶπε, νὰ τὸ κάνῃς μίαν φοράν, οὔτε δύο, οὔτε τρεῖς, οὔτε δέκα, οὔτε ἑκατὸν φοράς, ἀλλὰ διὰ πάντα· διότι λέγει· «ἄς μὴ σὲ ἐγκαταλείπουν». Καὶ δὲν εἶπε, νὰ μὴ τὰς ἐγκαταλείπῃς, ἀλλὰ νὰ μὴ σὲ ἐγκαταλείπουν αὐταί, ἀποδεικνύων ὅτι ἡμεῖς ἔχομεν τὴν ἀνάγκην των καὶ ὄχι αὐταὶ τὴν ἰδικήν μας, καὶ διδάσκων ὅτι ἔχομεν ὑποχρέωσιν νὰ πράττωμεν τὰ πάντα, ὥστε νὰ κατέχωμεν αὐτὰς πλησίον μας. «Δέσε δὲ αὐτὰς γύρω ἀπὸ τὸν τράχηλόν σου»[18], λέγει. Ὅπως ἀκριβῶς τὰ παιδιὰ τῶν πλουσίων κρεμοῦν χρυσᾶ κοσμήματα γύρω ἀπὸ τὸν λαιμόν των καὶ ποτὲ δὲν τοποθετοῦν αὐτὰ εἰς ἄλλο μέρος καὶ τὰ φέρουν ὡς ἀπόδειξιν τῆς εὐγενείας των, ἔτσι καὶ ἡμεῖς πρέπει νὰ φορέσωμεν πάντοτε εἰς τοὺς ἑαυτούς μας τὴν ἐλεημοσύνην, ἀποδεικνύοντες ὅτι εἴμεθα παιδιὰ τοῦ ἐλεήμονος Θεοῦ, ποὺ ἀνατέλλει τὸν ἥλιον χωρὶς διάκρισιν εἰς πονηροὺς καὶ ἀγαθοὺς ἀνθρώπους. Ἀλλὰ δὲν πιστεύουν οἱ ἄπιστοι; Ἀσφαλῶς θὰ πιστεύσουν διὰ τούτων, ἐὰν ἡμεῖς ἐργαζώμεθα αὐτά· ἐὰν ἰδοῦν ὅτι δίδωμεν ἐλεημοσύνην εἰς ὅλους καὶ δεχόμεθα Ἐκεῖνον διδάσκαλον, θὰ γνωρίσουν ὅτι κάνομεν αὐτὸ μιμούμενοι ἐκεῖνον. «Ἐλεημοσύνη», λέγει, «καὶ πίστις ἀληθινή». Καλῶς εἶπεν, ἀληθινὴ καὶ ὄχι ἀπὸ ἁρπαγὴν οὔτε ἀπὸ κλοπήν, διότι αὐτὸ δὲν εἶναι πίστις, δὲν εἶναι ἀλήθεια. Ὁ κλέπτης βέβαια εἶναι ἀνάγκη νὰ ψεύδεται καὶ πρέπει νὰ καταπατῇ τὸν ὅρκον του, σὺ ὅμως δὲν πρέπει νὰ συμπεριφέρεσαι ἔτσι, ἀλλὰ νὰ ἔχῃς μαζὶ μὲ τὴν ἐλεημοσύνην καὶ πίστιν, λέγει.

Ἄς φορέσωμεν τὸ κόσμημα αὐτό. Ἄς καλλιεργήσωμεν διὰ τὴν ψυχήν μας τὸν χρυσὸν μανιάκην[19], ἐννοῶ τὴν ἐλεημοσύνην, ἕως ὅτου εἴμεθα εἰς τὸν κόσμον αὐτόν. Διότι ἐὰν παρέλθῃ ἡ περίοδος αὐτὴ τῆς ζωῆς μας, δὲν θὰ τὴν ἔχωμεν καθόλου ἀνάγκην. Πῶς; δὲν ὑπάρχουν ἐκεῖ πτωχοί, δὲν ὑπάρχουν ἐκεῖ χρήματα, δὲν ὑπάρχει ἐκεῖ πτω-

τα, οὐκ ἔστιν ἐκεῖ πτωχεία. Ἕως ἐσμὲν παῖδες, μὴ ἀποστερήσωμεν ἑαυτοὺς τοῦ κόσμου τούτου. Καθάπερ γὰρ ἐπὶ τῶν παίδων, ἐὰν ἄνδρες γένωνται, περιαιρεῖται ταῦτα, καὶ ἐφ' ἕτερον ἄγονται κόσμον, οὕτω καὶ ἐφ' ἡμῶν, οὐκέτι ἡ διὰ χρημάτων ἐλεημοσύνη ἔσται, ἀλλ' ἑτέρα τις πολὺ μείζων. Ὥστε ταύτης ἑαυτοὺς μὴ ἀποστερήσωμεν, ποιήσωμεν καλὴν φαίνεσθαι τὴν ψυχήν. Μέγα ἐλεημοσύνη καλὸν καὶ τίμιον, δῶρόν ἐστι μέγα· μᾶλλον δὲ μέγα ἀγαθότης. Ἐὰν μάθωμεν χρημάτων καταφρονεῖν, καὶ ἕτερα μαθησόμεθα. Ὅρα γὰρ ἐντεῦθεν πόσα τίκτεται ἀγαθά. Ὁ διδοὺς ἐλεημοσύνην, ὡς χρὴ διδόναι, μανθάνει τῶν χρημάτων καταφρονεῖν· ὁ μαθὼν χρημάτων καταφρονεῖν, τὴν ῥίζαν ἐξέκοψε τῶν κακῶν. Ὥστε οὐκ εὖ ποιεῖ μᾶλλον, ἢ εὖ πάσχει, οὐ τῷ ὀφειλὴν καὶ ἀμοιβὴν κεῖσθαι μόνον τῇ ἐλεημοσύνῃ, ἀλλὰ καὶ τῷ τὴν ψυχὴν φιλόσοφον γίνεσθαι, καὶ ὑψηλὴν καὶ πλουσίαν. Ὁ διδοὺς ἐλεημοσύνην παιδεύεται μὴ θαυμάζειν χρήματα, μηδὲ χρυσόν· τοῦτο δὲ παιδευθεὶς τὴν διάνοιαν, ἀρχὴν ἔλαβε μεγίστην ἀνιέναι πρὸς τὸν οὐρανόν, καὶ μάχης καὶ ἔριδος καὶ φθόνου καὶ ἀθυμίας μυρίας ἐξέκοψε προφάσεις. Ἴστε γάρ, ἴστε καὶ ὑμεῖς, ὅτι πάντα διὰ τὰ χρήματα, καὶ μυρίοι πόλεμοι διὰ τὰ χρήματα· ὁ δὲ τούτων μαθὼν καταφρονεῖν, ἐν γαλήνῃ κατέστησεν ἑαυτόν. Οὐκέτι ζημίαν δέδοικε· τοῦτο γὰρ ἐπαίδευσεν αὐτὸν ἡ ἐλεημοσύνη· οὐκέτι ἐπιθυμεῖ τῶν τοῦ πλησίον· πῶς γάρ, ὁ τὰ αὐτοῦ ἀποκτώμενος καὶ διδούς; οὐκέτι βασκαίνει τῷ πλουτοῦντι· πῶς γάρ, ὁ βουλόμενος γενέσθαι πένης διακαθαίρει αὐτοῦ τὸ ὄμμα τῆς ψυχῆς.

Καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ οὐδὲ ἔστιν εἰπεῖν, ὅσων ἐπιτεύξεται ἀγαθῶν. Οὐ μενεῖ ἔξω μετὰ τῶν μωρῶν παρθένων, ἀλλὰ μετὰ τῶν φρονίμων εἰσελεύσεται, μετὰ τοῦ

χεία. Ἕως ὅτου εἴμεθα παιδιά, ἄς μὴ στερήσωμεν τοὺς ἑαυτούς μας τοῦ κόσμου τούτου. Ὅπως ἀκριβῶς συμβαίνει εἰς τὰ παιδιά, ὅταν γίνουν ἄνδρες, ἀπομακρύνονται αὐτὰ καὶ ὁδηγοῦνται εἰς ἄλλον κόσμον, ἔτσι καὶ εἰς ἡμᾶς. Δὲν θὰ εἶναι ἡ ἐλεημοσύνη μὲ χρήματα, ἀλλὰ κάποια ἄλλη πολὺ μεγαλυτέρα. Ὥστε ἄς μὴ στερήσωμεν τοὺς ἑαυτούς μας ἀπ' αὐτήν, ἄς κάνωμεν νὰ φαίνεται ἡ ψυχὴ καλή. Ἡ ἐλεημοσύνη εἶναι μέγα καλὸν καὶ τίμιον, εἶναι δῶρον μέγα· μᾶλλον δὲ μεγάλη καλωσύνη. Ἐὰν μάθωμεν νὰ περιφρονοῦμεν τὰ χρήματα, θὰ μάθωμεν καὶ ἄλλα. Πρόσεχε πόσα ἀγαθὰ προέρχονται ἀπὸ τοῦτο. Αὐτὸς ποὺ δίδει ἐλεημοσύνην, ἐπειδὴ πρέπει νὰ δίδῃ, συνηθίζει νὰ περιφρονῇ τὰ χρήματα· αὐτὸς ποὺ ἔμαθε νὰ περιφρονῇ τὰ χρήματα, ἀπέκοψε τελείως τὴν ρίζαν τῶν κακῶν. Ὥστε δὲν εὐεργετεῖ μᾶλλον, παρὰ εὐεργετεῖται, μὲ τὸ νὰ κεῖται εἰς τὴν ἐλεημοσύνην ὄχι μόνον ἡ ὀφειλὴ καὶ ἡ ἀμοιβή, ἀλλὰ καὶ μὲ τὸ νὰ γίνεται ἡ ψυχὴ φιλόσοφος, ὑψηλὴ καὶ πλουσία. Ἐκεῖνος ποὺ δίδει ἐλεημοσύνην διδάσκεται νὰ μὴ θαυμάζῃ τὰ χρήματα, οὔτε τὸν χρυσόν· τοῦτο δὲ διδαχθεὶς εἰς τὴν διάνοιάν του, ἔκανε τὴν μεγαλυτέραν ἀρχὴν διὰ νὰ ἀνέλθῃ πρὸς τὸν οὐρανόν, καὶ ἀπέκοψε τὰς ἀναριθμήτους αἰτίας τοῦ θυμοῦ, τῆς ἔχθρας, τοῦ φθόνου καὶ τῆς λύπης. Διότι γνωρίζετε, γνωρίζετε καλὰ καὶ σεῖς, ὅτι τὰ πάντα προέρχονται ἀπὸ τὰ χρήματα καὶ οἱ ἄπειροι πόλεμοι γίνονται ἕνεκα τῶν χρημάτων· ἐκεῖνος ὅμως ποὺ ἔμαθε νὰ τὰ περιφρονῇ, κατέστησεν ἥσυχον τὸν ἑαυτόν του. Δὲν φοβεῖται πλέον τὴν ζημίαν, διότι ἡ ἐλεημοσύνη ἐδίδαξε τοῦτο εἰς αὐτόν· δὲν ἐπιθυμεῖ πλέον αὐτὰ ποὺ ἔχει ὁ πλησίον του· διότι πῶς θὰ ἐπιθυμῇ, ἐκεῖνος ποὺ δίδει αὐτὰ ποὺ ἀποκτᾷ; δὲν φθονεῖ πλέον τὸν πλούσιον· διότι πῶς θὰ ἔκαμνεν αὐτό, ἐκεῖνος ποὺ θέλει νὰ γίνῃ πτωχός; καθαρίζει ἐντελῶς τὰ μάτια τῆς ψυχῆς του.

Καὶ αὐτὰ μὲν συμβαίνουν εἰς τὴν παροῦσαν ζωήν· ὅσον ἀφορᾷ δὲ εἰς τὴν ἄλλην ζωήν, δὲν εἶναι δυνατὸν νὰ εἰποῦμεν πόσα ἀγαθὰ θὰ ἐπιτύχῃ. Δὲν θὰ μείνῃ ἔξω μὲ τὰς μωρὰς παρθένους, ἀλλὰ θὰ εἰσέλθῃ μὲ τὰς φρονίμους,

νυμφίου, τὰς λαμπάδας ἔχων λαμπράς· καὶ τῶν ἐν παρθεθενίᾳ ταλαιπωρηθεισῶν, ὁ μηδὲ γευσάμενος τῶν πόνων ἐκείνων ἔσται βελτίων. Τοσαύτη ἡ τῆς ἐλεημοσύνης ἰσχύς· μετὰ πολλῆς εἰσάγει τῆς παρρησίας τοὺς αὐτῆς τροφίμους. Γνωρίμη γάρ ἐστι τοῖς ἐν τῷ οὐρανῷ πυλωροῖς, τοῖς τὰς θύρας κατέχουσι τοῦ νυμφῶνος· οὐ μόνον δὲ γνωρίμη, ἀλλὰ καὶ αἰδέσιμος· καὶ οὓς ἂν ἐπιγνῷ τετιμηκότας αὐτήν, μετὰ πολλῆς εἰσάξει τῆς παρρησίας, καὶ οὐδεὶς ἀντερεῖ, ἀλλὰ πάντες ὑποχωροῦσιν. Εἰ γὰρ τὸν Θεὸν εἰς τὴν γῆν κατήγαγε, καὶ ἔπεισεν ἄνθρωπον γενέσθαι, πολλῷ μᾶλλον ἄνθρωπον εἰς τὸν οὐρανὸν ἀναγαγεῖν δυνήσεται· μεγάλη γὰρ αὐτῆς ἡ ἰσχύς. Εἰ ἀπὸ ἐλέους καὶ φιλανθρωπίας ὁ Θεὸς ἄνθρωπος ἐγένετο, καὶ ἔπεισεν αὐτὸν δοῦλον γενέσθαι, πολλῷ μᾶλλον τοὺς δούλους εἰς τὴν οἰκίαν εἰσάξει τὴν αὐτοῦ.

Ταύτην ἀγαπήσωμεν, ταύτην στέρξωμεν, μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ διὰ παντὸς τοῦ χρόνου, ἵνα ἡμᾶς ἐπιγνῷ. Ἂν αὐτὴ ἡμᾶς ἐπιγνῷ, καὶ ὁ Κύριος ἐπιγνώσεται· ἂν αὐτὴ ἀγνοήσῃ, καὶ ὁ Κύριος ἀγνοήσει, καὶ ἐρεῖ, οὐκ οἶδα ὑμᾶς. Ἀλλὰ μὴ γένοιτο ταύτης ἀκοῦσαι ἡμᾶς τῆς φωνῆς, ἀλλὰ τῆς μακαρίας ἐκείνης· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου»· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20. Ματθ. 25, 34.

μὲ τὸν Νυμφίον, κρατῶν τὰς λαμπρὰς λαμπάδας. Καὶ θὰ εἶναι ἀνώτερος ἀπὸ τὰς καταπονηθεῖσας εἰς τὴν ἄσκησιν τῆς παρθενίας ἐκεῖνος, ποὺ δὲν ἐδοκίμασε καθόλου ἀπὸ τοὺς κόπους ἐκείνους. Τόσον μεγάλη εἶναι ἡ δύναμις τῆς ἐλεημοσύνης˙ ὁδηγεῖ εἰς τὸν οὐρανὸν μὲ πολλὴν παρρησίαν ἐκείνους ποὺ τὴν ἐξασκοῦν. Διότι εἶναι γνώριμος εἰς τοὺς θυρωροὺς τοῦ οὐρανοῦ, εἰς τοὺς φυλάσσοντας τὰς θύρας τοῦ νυμφῶνος˙ ὄχι δὲ μόνον γνώριμος, ἀλλὰ καὶ σεβαστή˙ καὶ ἐκείνους τοὺς ὁποίους θὰ ἀναγνωρίσῃ ὅτι τὴν τιμοῦν, θὰ τοὺς ὁδηγήσῃ μὲ πολλὴν παρρησίαν καὶ κανεὶς δὲν θὰ φέρῃ ἀντιρρήσεις, ἀλλὰ ὅλοι ὑποχωροῦν. Διότι ἐὰν κατεβίβασε τὸν Θεὸν κάτω εἰς τὴν γῆν καὶ τὸν ἔπεισε νὰ γίνῃ ἄνθρωπος, πολὺ περισσότερον θὰ ἠμπορέσῃ νὰ ἀναβιβάσῃ τὸν ἄνθρωπον εἰς τὸν οὐρανόν˙ διότι εἶναι μεγάλη ἡ δύναμις αὐτῆς. Ἐὰν ὁ Θεὸς ἀπὸ εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν ἔγινεν ἄνθρωπος, καὶ ἔπεισεν αὐτὸν διὰ νὰ γίνῃ δοῦλος, πολὺ περισσότερον θὰ ἠμπορέσῃ νὰ ὁδηγήσῃ τοὺς δούλους εἰς τὴν οἰκίαν του. Ἂς ἀγαπήσωμεν αὐτήν, ἂς τὴν στέρξωμεν ὄχι διὰ μίαν ἡμέραν, οὔτε διὰ δύο, ἀλλὰ δι᾽ ὅλον τὸν χρόνον, διὰ νὰ μᾶς ἀναγνωρίσῃ αὐτή. Ἂν ἡ ἐλεημοσύνη μᾶς ἀναγνωρίσῃ, καὶ ὁ Κύριος θὰ μᾶς ἀναγνωρίσῃ˙ ἂν ὅμως αὐτὴ μᾶς ἀγνοήσῃ, καὶ ὁ Κύριος θὰ μᾶς ἀγνοήσῃ, καὶ θὰ μᾶς εἰπῇ, «δὲν σᾶς γνωρίζω». Ἂς μὴ γίνῃ ὅμως νὰ ἀκούσωμεν αὐτὴν τὴν φωνήν, ἀλλ᾽ ἐκείνην τὴν μακαρίαν˙ «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομήσατε τὴν βασιλείαν, ποὺ ἔχει ἑτοιμασθῆ διὰ σᾶς, ἀπὸ θεμελιώσεως τοῦ κόσμου»[30]˙ τὴν βασιλείαν αὐτὴν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β΄

Φιλιπ. 1, 1 - 7

«Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις, συνεπισκόποις καὶ διακόνοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ».

Ἐνταῦθα ἅτε πρὸς ὁμοτίμους ἐπιστέλλων, οὐ τίθησιν αὐτοῦ τὸ τῆς διδασκαλίας ἀξίωμα, ἀλλ' ἕτερον καὶ αὐτὸ μέγα. Ποῖον δὴ τοῦτο; Δοῦλον ἑαυτόν φησιν, οὐκ ἀπόστολον. Μέγα γὰρ ὄντως καὶ τοῦτο ἀξίωμα, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, δοῦλον εἶναι Χριστοῦ, καὶ μὴ ἁπλῶς λέγεσθαι. Ὁ τοῦ Χριστοῦ δοῦλος, οὗτος ὄντως ἐλεύθερός ἐστι τῇ ἁμαρτίᾳ, καὶ γνήσιος δοῦλος οὐδενὸς ἄλλου δοῦλός ἐστιν· ἐπεὶ οὐκ ἂν γένοιτο τοῦ Χριστοῦ δοῦλος, ἀλλ' ἐξ ἡμισείας. Καὶ Ρωμαίοις δὲ πάλιν ἐπιστέλλων λέγει· «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ». Κορινθίοις δὲ καὶ Τιμοθέῳ ἐπιστέλλων, ἀπόστολον ἑαυτὸν καλεῖ. Τίνος οὖν ἕνεκεν τοῦτο; Οὐχ ὅτι Τιμοθέου αὐτοὶ κρείττους· ἄπαγε· ἀλλὰ μᾶλλον αὐτοὺς τιμᾷ, καὶ θεραπεύει μάλιστα πάντων, οἷς ἐπέστελλε· καὶ γὰρ καὶ πολλὴν αὐτοῖς ἀρετὴν μαρτυρεῖ. Ἐκεῖ μὲν γὰρ ἔμελλε πολλὰ διατάττεσθαι, διὰ τοῦτο ἀνέλαβε τὸ τοῦ ἀποστόλου ἀξίωμα, ἐνταῦθα δὲ ἐπιτάττει μὲν αὐτοῖς οὐδέν, πλὴν ὅσα καὶ ἀφ' ἑαυτῶν συνεώρων.

---

1. Φιλιπ. 1, 1 - 2.
2. Ρωμ. 1, 1.

ΛΟΓΟΣ Β΄
Φιλιπ. 1, 1 - 7

«Ἐγὼ ὁ Παῦλος καὶ ὁ Τιμόθεος, δοῦλοι τοῦ Ἰησοῦ, γράφομεν τὴν ἐπιστολὴν πρὸς ὅλους τοὺς πιστούς, ἐν Χριστῷ Ἰησοῦ, ποὺ κατοικοῦν εἰς τοὺς Φιλίππους μαζὶ μὲ τοὺς ἐπισκόπους καὶ διακόνους των. Εἴθε νὰ εἶναι εἰς σᾶς ἡ χάρις καὶ ἡ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα μας καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν»[1].

Ἐδῶ ὡσὰν νὰ γράφῃ πρὸς ὁμοτίμους, δὲν θέτει τὸ ἀξίωμα τῆς διδασκαλίας του, ἀλλὰ κάποιο ἄλλο καὶ αὐτὸ μέγα. Ποῖον εἶναι λοιπὸν αὐτό; Ἀποκαλεῖ τὸν ἑαυτόν του δοῦλον καὶ ὄχι ἀπόστολον. Διότι εἶναι μέγα πράγματι καὶ τὸ ἀξίωμα αὐτό, καὶ ἡ κορωνὶς τῶν ἀγαθῶν, τὸ νὰ εἶναι δηλαδὴ κανεὶς δοῦλος τοῦ Χριστοῦ καὶ ὄχι ἁπλῶς νὰ λέγεται δοῦλος. Ὁ δοῦλος τοῦ Χριστοῦ, αὐτὸς εἶναι πράγματι ἐλεύθερος ἀπὸ τὴν ἁμαρτίαν, καὶ ὁ γνήσιος δοῦλος δὲν εἶναι κανενὸς ἄλλου κυρίου δοῦλος˙ ἐπειδὴ δὲν θὰ ἠμποροῦσε νὰ εἶναι δοῦλος τοῦ Χριστοῦ, ἀλλ᾿ ἐξ ἡμισείας. Καὶ ὅταν γράφῃ πάλιν πρὸς τοὺς Ρωμαίους, λέγει˙ «Παῦλος δοῦλος τοῦ Ἰησοῦ Χριστοῦ»[2]. Ὅταν ὅμως γράφῃ πρὸς τοὺς Κορινθίους καὶ πρὸς τὸν Τιμόθεον, ἀποκαλεῖ τὸν ἑαυτόν του ἀπόστολον. Διὰ ποῖον λόγον λοιπὸν τὸ κάνει αὐτό; Ὄχι διότι αὐτοὶ εἶναι ἀνώτεροι ἀπὸ τὸν Τιμόθεον˙ μακρυὰ αὐτὴ ἡ σκέψις˙ ἀλλὰ μᾶλλον αὐτοὺς τιμᾷ, καὶ κολακεύει περισσότερον ἀπ᾿ ὅλους ἐκείνους, εἰς τοὺς ὁποίους ἔγραψεν ἐπιστολάς˙ καθ᾿ ὅσον μαρτυρεῖ εἰς αὐτοὺς πολλὴν ἀρετήν. Ἐκεῖ μὲν ἐπρόκειτο πολλὰ νὰ διατάσσῃ, καὶ δι᾿ αὐτὸ ἀνέλαβε τὸ ἀξίωμα τοῦ ἀποστόλου, ἐδῶ ὅμως δὲν τοὺς διατάσσει τίποτε, ἐκτὸς ὅσα καὶ ἀπὸ μόνοι των κατενοοῦσαν.

«Τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις». Ἐπειδὴ εἰκὸς ἦν καὶ Ἰουδαίους ἁγίους ἑαυτοὺς καλεῖν ἀπὸ τοῦ πρώτου χρησμοῦ, ἡνίκα ἐλέγοντο λαὸς ἅγιος, περιούσιος, διὰ τοῦτο προσέθηκε, «τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ». Οὗτοι γὰρ μόνοι ἅγιοι, ἐκεῖνοι δὲ λοιπὸν βέβηλοι. «Συνεπισκόποις καὶ διακόνοις». Τί τοῦτο; μιᾶς πόλεως πολλοὶ ἐπίσκοποι ἦσαν; Οὐδαμῶς· ἀλλὰ τοὺς πρεσβυτέρους οὕτως ἐκάλεσε. Τότε γὰρ τέως ἐκοινώνουν τοῖς ὀνόμασι, καὶ διάκονος ὁ ἐπίσκοπος ἐλέγετο. Διὰ τοῦτο γράφων Τιμοθέῳ ἔλεγε· «Τὴν διακονίαν σου πληροφόρησον»· ἐπισκόπῳ ὄντι. Ὅτι γὰρ ἐπίσκοπος ἦν, φησὶ πρὸς αὐτόν. «Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει»· καὶ πάλιν· «Ὃ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου»· οὐκ ἂν δὲ πρεσβύτεροι ἐπίσκοπον ἐχειροτόνησαν. Καὶ πάλιν πρὸς Τίτον γράφων φησί· «Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος, μιᾶς γυναικός ἀνήρ»· ἃ περὶ τοῦ ἐπισκόπου φησί. Καὶ εἰπὼν ταῦτα, εὐθέως ἐπήγαγε· «Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη».

Ὅπερ οὖν ἔφην, καὶ οἱ πρεσβύτεροι τὸ παλαιὸν ἐκαλοῦντο ἐπίσκοποι καὶ διάκονοι Χριστοῦ, καὶ οἱ ἐπίσκοποι πρεσβύτεροι· ὅθεν καὶ νῦν πολλὶ συμπρεσβυτέρῳ ἐπίσκοποι γράφουσι, καὶ συνδιακόνῳ. Λοιπὸν δὲ τὸ ἰδιάζον ἑκάστῳ ἀπονενέμηται ὄνομα, ὁ ἐπίσκοπος, καὶ ὁ πρεσβύτερος, «Συνεπισκόποις», φησί, «καὶ διακόνοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Τί δήποτε δὲ οὐδαμοῦ τῷ κλήρῳ γράφων, οὐκ ἐν Ρώμῃ, οὐκ

3. Δηλαδὴ τὴν πρώτην διαθήκην.
4. Α' Τιμ. 5, 22· 4, 14.
5. Τίτ. 1, 5 - 6.
6. Τίτ. 1, 7.

«Εἰς τοὺς ἁγίους ἐν Χριστῷ Ἰησοῦ, ποὺ κατοικοῦν εἰς τὴν πόλιν τῶν Φιλίππων». Ἐπειδὴ ἦτο φυσικὸν καὶ οἱ Ἰουδαῖοι νὰ ἀποκαλοῦν τοὺς ἑαυτούς των ἁγίους ἀπὸ τὸν πρῶτον χρησμόν[3], ὅταν ὠνομάζοντο λαὸς ἅγιος, περιούσιος, διὰ τοῦτο προσέθεσεν, «εἰς τοὺς ἁγίους ἐν Χριστῷ Ἰησοῦ». Αὐτοὶ βέβαια εἶναι οἱ μόνοι ἅγιοι, ἐκεῖνοι δὲ πλέον βέβηλοι. «Μαζὶ μὲ τοὺς ἐπισκόπους καὶ τοὺς διακόνους των». Τί σημαίνει αὐτό; ἦσαν πολλοὶ ἐπίσκοποι εἰς μίαν πόλιν; Ἀσφαλῶς ὄχι˙ ἀλλὰ τοὺς πρεσβυτέρους ἐκάλεσεν ἔτσι. Διότι τότε τὰ ὀνόματα εἶχαν τὴν ἰδίαν σημασίαν, καὶ ὁ ἐπίσκοπος ἐλέγετο διάκονος. Διὰ τοῦτο γράφων πρὸς τὸν Τιμόθεον ἔλεγε˙ «Πληροφόρησε τὴν διακονίαν σου», ἐνῷ ἦτο ἐπίσκοπος. Τὸ ὅτι δηλαδὴ ἦτο ἐπίσκοπος γίνεται φανερὸν ἀπὸ τοὺς λόγους˙ «Νὰ μὴ βάζῃς γρήγορα τὰ χέρια σου εἰς κανένα πρὸς χειροτονίαν»˙ καὶ πάλιν, «Ἐκεῖνο ποὺ σοῦ ἐδόθη μὲ ἐπίθεσιν ἐπὶ τῆς κεφαλῆς σου τοῦ σώματος τῶν πρεσβυτέρων»[4]. Δὲν ἦτο βέβαια δυνατὸν οἱ πρεσβύτεροι νὰ χειροτονήσουν ἐπίσκοπον. Καὶ πάλιν γράφων πρὸς τὸν Τίτον λέγει˙ «Δι' αὐτὸ σὲ ἄφησα εἰς τὴν Κρήτην, διὰ νὰ ἐγκαταστήσῃς εἰς κάθε πόλιν πρεσβυτέρους, ὅπως ἐγὼ προφορικῶς σὲ διέταξα˙ ἐὰν κανεὶς δὲν διατελῇ ὑπὸ κατηγορίαν, ἐὰν εἶναι σύζυγος μιᾶς γυναικός»[5], τὰ ὁποῖα λέγει περὶ τοῦ ἐπισκόπου. Καὶ ἀφοῦ εἶπεν αὐτὰ ἀμέσως προσέθεσε˙ «Διότι πρέπει ὁ ἐπίσκοπος νὰ εἶναι ἀκατηγόρητος, ὡς οἰκονόμος τοῦ Θεοῦ, νὰ μὴ εἶναι αὐθάδης»[6].

Ὅπως ἀκριβῶς λοιπὸν εἶπα, καὶ οἱ πρεσβύτεροι τότε ἐκαλοῦντο ἐπίσκοποι καὶ διάκονοι τοῦ Χριστοῦ, καὶ οἱ ἐπίσκοποι πρεσβύτεροι. Δι' αὐτὸ καὶ τώρα πολλοὶ ἐπίσκοποι γράφουν μαζὶ μὲ τὸν πρεσβύτερον καὶ τὸν διάκονον. Εἰς τὸν καθένα λοιπὸν ἔχει ἀπονεμηθῆ τὸ ὄνομα ποὺ τοῦ ἀνήκει, δηλαδὴ ὁ ἐπίσκοπος καὶ ὁ πρεσβύτερος. Λέγει, «Μαζὶ μὲ τοὺς ἐπισκόπους καὶ τοὺς διακόνους, εἴθε νὰ εἶναι εἰς σᾶς ἡ χάρις καὶ ἡ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα μας καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν». Διατί τέλος πάντων ἐδῶ γράφει πρὸς τοὺς κληρικούς, ἐνῷ πουθενὰ ἀλλοῦ δὲν

ἐν Κορίνθῳ, οὐκ ἐν Ἐφέσῳ, οὐδαμοῦ, ἀλλὰ κοινῇ πᾶσι τοῖς ἁγίοις, τοῖς πιστοῖς, τοῖς ἠγαπημένοις, ἐνταῦθα τῷ κλήρῳ γράφει; Ὅτι αὐτοὶ καὶ ἀπέστειλαν, καὶ ἐκαρποφόρησαν, αὐτοὶ καὶ ἔπεμψαν πρὸς αὐτὸν τὸν Ἐπαφρόδιτον. «Εὐχαριστῶ τῷ Θεῷ μου», φησίν, «ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν πάντοτε». Εἶπεν ἀλλαχοῦ γράφων, «Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες». Εἰ τοίνυν τὸ στενάζειν, κακίας τῶν μαθητῶν, τὸ μετὰ χαρᾶς τοῦτο ποιεῖν, προκοπῆς. Ὁσάκις ὑμῶν ἀναμνησθῶ, φησί, δοξάζω τὸν Θεόν. Τοῦτο δὲ ποιεῖ ἐκ τοῦ πολλὰ αὐτοῖς συνειδέναι ἀγαθά. Καὶ δοξάζω, φησί, καὶ δέομαι. Οὐ μήν, ἐπειδὴ ἐπιδεδώκατε εἰς ἀρετήν, παύομαι δεόμενος ὑπὲρ ὑμῶν· ἀλλ' εὐχαριστῶ τῷ Θεῷ ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν πάντοτε, ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς καὶ τὴν δέησιν ποιούμενος». «Πάντοτε», οὐχ ὅταν εὔχομαι μόνον. «Μετὰ χαρᾶς». «Ἔστι γὰρ καὶ μετὰ λύπης τοῦτο ποιῆσαι, ὡς ὅταν λέγῃ ἀλλαχοῦ· «Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων».

«Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν», φησίν, «εἰς εὐαγγέλιον ἀπὸ πρώτης ἡμέρας μέχρι τοῦ νῦν». Μέγα αὐτοῖς ἐνταῦθα μαρτυρεῖ, καὶ σφόδρα μέγα, καὶ ἅπερ ἄν τις ἐμαρτύρησεν ἀποστόλοις καὶ εὐαγγελισταῖς. Οὐκ ἐπειδὴ πόλιν ἐνεχειρίσθητε μίαν, φησίν, ἐκείνης φροντίζετε μόνης, ἀλλὰ πάντα πράττετε, ὥστε μερισταὶ γενέσθαι τῶν ἐμῶν πόνων, πανταχοῦ παρόντες καὶ συμπράττοντες, καὶ συγκοινωνοῦντές μου τῷ κηρύγματι· οὐχ ἕνα χρόνον, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, ἀλλὰ πάν-

7. Φιλιπ. 1, 3-4.
8. Ἑβρ. 13, 17.
9. Β' Κορ. 2, 4.
10. Φιλιπ. 1, 5.

ἀπευθύνεται πρὸς αὐτούς, οὔτε εἰς τὴν Ρώμην, οὔτε εἰς τὴν Κόρινθον, οὔτε εἰς τὴν Ἔφεσον, ἀλλὰ γράφει ἀπὸ κοινοῦ εἰς ὅλους τοὺς ἁγίους, τοὺς πιστούς, τοὺς ἀγαπημένους; Διότι αὐτοὶ καὶ βοήθειαν ἀπέστειλαν, καὶ ἐκαρποφόρησαν, καὶ οἱ ἴδιοι ἔστειλαν τὸν Ἐπαφρόδιτον πρὸς αὐτόν. «Εὐχαριστῶ τὸν Θεόν μου», λέγει, «ποὺ σᾶς ἐνθυμοῦμαι πάντοτε»[7]. Εἶπεν εἰς ἄλλην ἐπιστολήν του· «Πείθεσθε εἰς τοὺς πνευματικοὺς προϊσταμένους σας καὶ ὑποτάσσεσθε τελείως εἰς αὐτούς. Διότι ἀγρυπνοῦν αὐτοὶ διὰ τὴν σωτηρίαν τῶν ψυχῶν σας, ἐπειδὴ θὰ δώσουν λόγον εἰς τὸν Χριστὸν δι' αὐτά, ὥστε νὰ ἐκτελοῦν τὸ ἔργον αὐτὸ μὲ χαρὰν καὶ ὄχι μὲ στεναγμούς»[8]. Ἐὰν λοιπὸν ἐξ αἰτίας τῆς κακίας τῶν μαθητῶν λέγει μὲ στεναγμούς, τὸ νὰ ἐκτελοῦν τὸ ἔργον αὐτὸ μὲ χαρὰν τὸ λέγει ἐξ αἰτίας τῆς προκοπῆς αὐτῶν. Ὅσας φορὰς σᾶς θυμηθῶ, λέγει, δοξάζω τὸν Θεόν. Τοῦτο δὲ κάνει διότι γνωρίζει τὰ πολλὰ ἀγαθὰ αὐτῶν. Καὶ δοξάζω, λέγει, καὶ παρακαλῶ. Δὲν θὰ σταματήσω βέβαια νὰ προσεύχωμαι διὰ σᾶς, ἐπειδὴ ἔχετε προοδεύσει εἰς τὴν ἀρετήν· ἀλλ' «εὐχαριστῶ τὸν Θεόν, ποὺ σᾶς ἐνθυμοῦμαι πάντοτε, εἰς κάθε προσευχήν μου, καὶ μὲ χαρὰν διὰ τὴν πρόοδόν σας παρακαλῶ τὸν Θεὸν δι' ὅλους σας». «Πάντοτε», λέγει, καὶ ὄχι μόνον ὅταν προσεύχωμαι· καὶ προσθέτει «μὲ χαράν». Διότι εἶναι δυνατὸν νὰ κάμῃ τοῦτο καὶ μὲ λύπην, ὅπως ὅταν λέγῃ ἀλλοῦ· «Διότι σᾶς ἔγραψα ἀπὸ πολλὴν θλῖψιν καὶ στενοχωρίαν τῆς καρδίας, μὲ πολλὰ δάκρυα»[9].

«Εὐχαριστῶ τὸν Θεὸν διὰ τὴν συμμετοχήν σας, λέγει, εἰς τὸ εὐαγγέλιον ἀπὸ τὴν πρώτην ἡμέραν, ποὺ ἐπιστεύσατε ἕως τώρα»[10]. Ἐδῶ δίδει μεγάλην μαρτυρίαν ὑπὲρ αὐτῶν, καὶ πολὺ μεγάλην μάλιστα, τέτοιαν ποὺ θὰ ἔδιδε κάποιος ὑπὲρ τῶν ἀποστόλων καὶ εὐαγγελιστῶν. Ὄχι ἐπειδὴ ἀνελάβατε μίαν πόλιν, λέγει, σεῖς φροντίζετε δι' ἐκείνην μόνον, ἀλλὰ τὰ πάντα κάνετε, ὥστε νὰ λαμβάνετε μέρος εἰς τὰς κακουχίας μου, παντοῦ παρόντες καὶ παντοῦ βοηθοί μου, καὶ συμμετέχοντες εἰς τὸ κήρυγμά μου. Ἔχετε ἐπαναλάβει τὴν προθυμίαν τῶν ἀποστόλων ὄχι δι' ἕνα χρόνον,

τοτε, ἐξ οὗ ἐπιστεύσατε μέχρι τοῦ νῦν, ἀποστόλων ἀνειλήφατε προθυμίαν. Ὅρα πῶς οἱ μὲν ἐν Ῥώμῃ ὄντες ἀπεστρέφοντο αὐτόν· ἄκουε γὰρ αὐτοῦ λέγοντος, «Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ»· καὶ πάλιν, «Δημᾶς με ἐγκατέλειπε»· καί, «Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ», φησίν, «οὐδείς μοι συμπαρεγένετο»· οὗτοι δὲ καὶ ἀπόντες ἐκοινώνουν αὐτῷ τῶν θλίψεων, πέμποντές τε ἄνδρας πρὸς αὐτόν, καὶ κατὰ δύναμιν ὑπηρετούμενοι, καὶ οὐδὲν ὅλως ἐλλιμπάνοντες».

Οὐ νῦν μόνον, φησίν, ἀλλ' ἀεὶ παντὶ τρόπῳ συναντιλαμβανόμενοι. Ἄρα κοινωνία ἐστὶν εἰς τὸ εὐαγγέλιον τοῦτο. Ὅταν γὰρ ἐκεῖνος μὲν κηρύττῃ, σὺ δὲ θεραπεύῃς τὸν κηρύττοντα, κοινωνεῖς αὐτῷ τῶν στεφάνων. Ἐπεὶ καὶ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐ τοῦ ἀγωνιζομένου μόνου ἐστὶν ὁ στέφανος, ἀλλὰ καὶ τοῦ παιδοτρίβου, καὶ τοῦ θεραπεύοντος, καὶ πάντων ἁπλῶς τῶν ἀσκούντων τὸν ἀθλητήν. Οἱ γὰρ ρωννύντες αὐτὸν καὶ ἀνακτώμενοι, οὗτοι καὶ τῆς νίκης εἰκότως ἂν γένοιντο μερισταί. Καὶ ἐν τοῖς πολέμοις δὲ οὐχ ὁ ἀριστεὺς μόνος, ἀλλὰ καὶ πάντες οἱ θεραπεύοντες αὐτὸν εἰκότως ἂν μεταποιοῖντο τῶν τροπαίων, καὶ τῆς δόξης μετέχοιεν, ἅτε κοινωνήσαντες αὐτῷ τοῦ ἀγῶνος τῇ θεραπείᾳ. Οὐ γὰρ μικρὸν δύναται τὸ θεραπεύειν ἁγίους, ἀλλὰ καὶ μέγα· κοινωνοὺς γὰρ ἡμᾶς ποιεῖ τῶν ἐκείνοις ἀποκειμένων μισθῶν. Οἷον, ἔρριψέ τις πολλὰ χρήματα διὰ τὸν Θεόν, διαπαντὸς ἀνάκειται τῷ Θεῷ, ἀρετὴν ἀσκεῖ μεγάλην, καὶ μέχρι ρημάτων, καὶ μέχρις ἐννοιῶν, καὶ μέχρι πάντων πολλὴν ἀκρίβειαν φυλάττων; Ἔνεστι καὶ σοὶ καὶ μὴ τοσαύτην ἀκρίβειαν ἐπιδειξαμένῳ, τῶν ἐπὶ τούτοις ἀποκειμένων αὐτῷ μισθῶν κοινωνῆσαι. Πῶς; Ἂν θεραπεύῃς αὐτὸν καὶ λόγῳ καὶ ἔργῳ, ἂν παρακαλέσῃς, καὶ διὰ τοῦ χορηγεῖν τὰ ἀναγκαῖα,

---

11. Β' Τιμ. 1, 5' 4, 10 - 16.

ούτε διά δύο, ούτε διά τρεῖς, ἀλλὰ πάντοτε, ἀπὸ τὴν ἡμέραν ποὺ ἐπιστεύσατε ἕως τώρα. Πρόσεχε πῶς οἱ εὑρισκόμενοι εἰς τὴν Ρώμην ἀπεστρέφοντο αὐτόν· διότι ἄκουε αὐτὸν νὰ λέγῃ, «Γνωρίζεις τοῦτο, ὅτι μὲ ἀπεστράφησαν ὅλοι αὐτοὶ ποὺ εἶναι εἰς τὴν Ἀσίαν»· καὶ πάλιν· «Ὁ Δημᾶς μὲ ἐγκατέλειψε»· καί· «Κατὰ τὴν πρώτην μου ἀπολογίαν, λέγει, δὲν ἦλθε κανεὶς μαζί μου»[11]. Οἱ Φιλιππήσιοι ὅμως μολονότι εἶναι ἀπόντες συμμετέχουν εἰς τὰς θλίψεις του, καὶ ἀποστέλλουν ἄνδρας πρὸς αὐτόν, καὶ παρέχουν βοήθειαν κατὰ δύναμιν, καὶ γενικὰ τίποτε δὲν παραλείπουν.

Ὄχι μόνον τώρα, λέγει, ἀλλὰ πάντοτε καὶ μὲ κάθε τρόπον συντρέχοντες. Κατὰ συνέπειαν τοῦτο εἶναι συμμετοχὴ εἰς τὸ εὐαγγέλιον. Διότι ὅταν ἐκεῖνος μὲν ἀσχολεῖται μὲ τὸ κήρυγμα, καὶ σὺ φροντίζεις αὐτὸν ποὺ κηρύσσει, συμμετέχεις εἰς τὴν τιμὴν καὶ τὴν δόξαν του. Διότι καὶ εἰς τοὺς ἀθλητικοὺς ἀγῶνας, τὸ βραβεῖον δὲν ἀνήκει μόνον εἰς τὸν ἀθλητήν, ἀλλὰ καὶ εἰς τὸν γυμναστήν, καὶ εἰς αὐτὸν ποὺ τὸν φροντίζει καὶ εἰς ὅλους γενικὰ ποὺ ἐκπαιδεύουν τὸν ἀθλητήν. Διότι ἐκεῖνοι ποὺ τὸν ἐνδυναμώνουν καὶ τὸν τονώνουν, φυσικὸν εἶναι νὰ συμμετέχουν καὶ εἰς τὴν νίκην του. Καὶ εἰς τοὺς πολέμους ὄχι μόνον ὁ ἄριστος, ἀλλὰ καὶ ὅλοι οἱ φροντίζοντες αὐτόν, φυσικὸν θὰ ἦτο νὰ οἰκειοποιοῦνται τὰ τρόπαια τῆς νίκης, καὶ νὰ μετέχουν εἰς τὴν δόξαν, καθόσον ἔλαβον μέρος μαζὶ μὲ αὐτὸν εἰς τὴν φροντίδα τοῦ ἀγῶνος. Διότι ἡ φροντὶς διὰ τοὺς ἁγίους δὲν ἐπιτυγχάνει μικρὰ πράγματα, ἀλλὰ καὶ μεγάλα· καθ' ὅσον μᾶς κάνει μετόχους τῆς ἀμοιβῆς ποὺ εἶναι θησαυρισμένη δι' ἐκείνους. Ἐπὶ παραδείγματι· ἐγκατέλειψε κάποιος διὰ τὸν Θεὸν πολλὰ χρήματα, διὰ παντὸς ἐξαρτᾶται ἀπὸ τὸν Θεόν, ἐξασκεῖ μεγάλην ἀρετήν, καὶ εἶναι πολὺ προσεκτικὸς εἰς τὰ λόγια καὶ τὰς σκέψεις καὶ γενικὰ εἰς ὅλα; Εἶναι δυνατὸν καὶ σύ, χωρὶς νὰ ἐπιδείξῃς τόσην ἀκρίβειαν, νὰ γίνῃς μέτοχος τῆς ἀμοιβῆς ποὺ εὑρίσκεται θησαυρισμένη εἰς τὸν Θεὸν δι' αὐτούς. Μὲ ποῖον τρόπον; Ἂν ὑπηρετῇς τὸν Θεὸν καὶ μὲ τὰ λόγια καὶ μὲ τὰ ἔργα σου, ἂν παρακαλέσῃς, καὶ μὲ τὸ νὰ χορηγῇς τὰ ἀναγκαῖα καὶ νὰ προσ-

καὶ διὰ τοῦ διακονεῖσθαι πᾶσαν διακονίαν. Ὁ γὰρ εὐκολωτέραν ποιῶν τὴν ὁδὸν τὴν τραχεῖαν ἐκείνην, σὺ ἔσῃ.

Ὥστε εἰ θαυμάζετε τοὺς ἐν ταῖς ἐρήμοις, τοὺς τὸν ἀγγελικὸν ἀνῃρημένους βίον, τοὺς ἐν ταῖς ἐκκλησίαις τὰ αὐτὰ ἐκείνοις κατορθοῦντας· εἰ θαυμάζετε καὶ ἀλγεῖτε, ὅτι σφόδρα αὐτῶν ἀπολιμπάνεσθε, ἔνεστιν ἡμῖν ἑτέρως αὐτοῖς κοινωνῆσαι, τῷ διακονεῖν, τῷ θεραπεύειν. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστί, τὸ τοὺς ῥᾳθυμοτέρους, καὶ τὸν ἀπεσκληκότα βίον καὶ τραχὺν καὶ ἀκριβῆ μὴ δυναμένους ἀναδέξασθαι, καὶ τούτους δι' ἑτέρας ὁδοῦ πάλιν εἰς τὴν αὐτὴν τούτοις τάξιν ἄγειν. Καὶ τοῦτό φησιν ὁ Παῦλος κοινωνίαν· «Κοινωνοῦσιν ἡμῖν», φησίν, «ἐν τοῖς σαρκικοῖς, κοινωνοῦμεν αὐτοῖς ἐν τοῖς πνευματικοῖς». Εἰ γὰρ ὁ Θεὸς ἀντὶ μικρῶν καὶ μηδαμινῶν βασιλείαν χαρίζεται, καὶ οἱ δοῦλοι αὐτοῦ ἀντὶ μικρῶν καὶ αἰσθητῶν πνευματικὰ μεταδιδοῦσι· μᾶλλον δὲ καὶ ταῦτα κἀκεῖνα αὐτός ἐστιν ὁ διδοὺς διὰ τούτων. Οὐ δύνασαι νηστεῦσαι, οὐδὲ μονωθῆναι, οὐδὲ χαμευνῆσαι, οὐδὲ παννυχίσαι; Ἔνεστί σοι τούτων ἁπάντων μισθὸν λαβεῖν, ἂν ἑτέρως τὸ πρᾶγμα μεθοδεύσῃς, τὸν ἐν τούτοις κάμνοντα θεραπεύων καὶ ἀναπαύων καὶ ἀλείφων συνεχῶς, καὶ τὸν ἀπὸ τούτων ἐπικουφίζων πόνον. Αὐτὸς ἕστηκε μαχόμενος, αὐτὸς καὶ τραύματα λαμβάνων· σὺ θεράπευε ἀπὸ τοῦ ἀγῶνος ἐπανιόντα, δέχου ὑπτίαις χερσίν, ἀπόψυχε τὸν ἱδρῶτα ἀναπαύων, παρακάλει, παραμυθοῦ, ἀνακτῶ τὴν πεπονηκυῖαν ψυχήν Ἂν μετὰ τοσαύτης προθυμίας διακονῶμεν τοῖς ἁγίοις, μερισταὶ τῶν μισθῶν αὐτῶν ἐσόμεθα. Τοῦτο καὶ ὁ Χριστός φησι· «Ποιήσατε ὑμῖν φίλους

---

12. Ρωμ. 15, 27.

φέρῃς εἰς αὐτὸν κάθε διακονίαν. Διότι σὺ θὰ εἶσαι ἐκεῖνος, ποὺ θὰ κάνῃς εὐκολώτερον ἐκεῖνον τὸν δύσκολον δρόμον.

Ὥστε ἐὰν θαυμάζετε αὐτοὺς ποὺ εἶναι εἰς τὰς ἐρήμους, αὐτοὺς ποὺ ἔχουν ἀναλάβει τὸν ἀγγελικὸν βίον, αὐτοὺς ποὺ εἶναι εἰς τὰς ἐκκλησίας καὶ κατορθώνουν τὰ ἴδια μὲ ἐκείνους, ἐὰν θαυμάζετε καὶ θλίβεσθε, διότι ὑπερβολικὰ μειονεκτεῖτε αὐτῶν, ἠμπορεῖτε μὲ ἄλλον τρόπον νὰ ἐπικοινωνήσετε μαζὶ μὲ αὐτούς, μὲ τὸ νὰ διακονῆτε καὶ νὰ περιποιῆσθε ἄλλους. Διότι καὶ αὐτὸ εἶναι δεῖγμα τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τὸ νὰ ὁδηγῇ δηλαδὴ τοὺς νωθροτέρους καὶ μὴ δυναμένους νὰ ἀναλάβουν τὸν δύσκολον καὶ τραχὺν καὶ ὀρθὸν τρόπον ζωῆς δι' ἄλλης ὁδοῦ εἰς τὴν αὐτὴν κατάστασιν μὲ ἐκείνους. Καὶ τοῦτο λέγει ὁ Παῦλος κοινωνίαν. «Γίνονται κοινωνοί μας», λέγει, εἰς τὰς σωματικὰς ἀνάγκας, γινόμεθα κοινωνοὶ καὶ συμμέτοχοι μὲ αὐτοὺς εἰς τὰς πνευματικὰς ἀνάγκας»[12]. Διότι ἂν ὁ Θεὸς χαρίζῃ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς ἀνταπόδοσιν μικρῶν καὶ μηδαμινῶν ἔργων, καὶ οἱ δοῦλοι αὐτοῦ μεταδίδουν τὰ πνευματικὰ χαρίσματα εἰς ἀνταπόδοσιν μικρῶν καὶ αἰσθητῶν. Μᾶλλον ὅμως καὶ αὐτὰ καὶ ἐκεῖνα ὁ Θεός εἶναι ποὺ τὰ δίδει διὰ τῶν δούλων. Δὲν ἠμπορεῖς νὰ νηστεύσῃς, οὔτε νὰ ζῇς μόνος, οὔτε νὰ κοιμηθῇς κατὰ γῆς, οὔτε νὰ κάνῃς ὁλονύκτιον ἀγρυπνίαν; Εἶναι δυνατὸν νὰ λάβῃς τὴν ἀμοιβὴν δι' ὅλα αὐτά, ἂν μεθοδεύσῃς τὸ πρᾶγμα μὲ διαφορετικὸν τρόπον, μὲ τὸ νὰ περιποιῆσαι τὸν κάμνοντα εἰς αὐτὰ καὶ νὰ τὸν ξεκουράζῃς καὶ νὰ τὸν ἀλείφῃς συνεχῶς καὶ νὰ τὸν ἀνακουφίζῃς ἀπὸ τοὺς κόπους αὐτούς. Αὐτὸς ἔχει σταθῆ διὰ νὰ μάχεται καὶ αὐτὸς τραυματίζεται· σὺ φρόντισε αὐτόν, ὅταν ἐπιστρέψῃ ἀπὸ τὸν ἀγῶνα, ὑποδέξου αὐτὸν μὲ ἀνοικτὴν τὴν ἀγκάλην, σκούπισε τὸν ἱδρῶτα, διὰ νὰ τὸν ξεκουράζῃς, νὰ προσεύχεσαι, νὰ παρηγορῇς, νὰ ἀναζωογονῇς τὴν κουρασμένην ψυχήν. Ἐὰν μὲ τόσην προθυμίαν ὑπηρετοῦμεν τοὺς ἁγίους, θὰ εἴμεθα μέτοχοι τῶν ἀμοιβῶν των. Αὐτὸ ἀκριβῶς καὶ ὁ Χριστὸς λέγει· «Φροντίσατε νὰ κάνετε διὰ τὸ καλόν σας φίλους ἀπὸ τὸν ἄδικον πλοῦ-

ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς».

Ὁρᾶς ὅτι κοινωνοὶ γεγόνασιν; «Ἀπὸ πρώτης ἡμέρας», φησί, «μέχρι τοῦ νῦν». Χαίρω δέ, οὐχ ὑπὲρ τῶν παρελθόντων, φησί, μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων· ἀπὸ γὰρ τῶν παρελθόντων κἀκεῖνα στοχάζομαι. «Πεπειθὼς αὐτὸ τοῦτο», φησίν, «ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθόν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ». Ὅρα πῶς αὐτοὺς καὶ μετριάζειν διδάσκει. Ἐπειδὴ γὰρ μέγα αὐτοῖς ἐμαρτύρησε πρᾶγμα, ἵνα μή τι ἀνθρώπινον πάθωσιν, εὐθέως παιδεύει αὐτοὺς ἐπὶ τὸν Χριστὸν καὶ τὰ παρελθόντα καὶ τὰ μέλλοντα ἀνατιθέναι. Πῶς; Οὐ γὰρ εἶπε, πεποιθώς, ὅτι ὡς ἐνήρξασθε, καὶ τελέσετε, ἀλλὰ τί; «Ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει». Οὔτε ἀπεστέρησεν αὐτοὺς τοῦ κατορθώματος· εἶπε γάρ, ὅτι τῇ κοινωνίᾳ ὑμῶν χαίρω, δηλονότι, ὡς αὐτῶν κατορθούντων· οὔτε εἶπεν αὐτῶν εἶναι τὰ κατορθώματα μόνον, ἀλλὰ προηγουμένως τοῦ Θεοῦ· θαρρῶ γάρ, φησίν, «ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ»· τουτέστιν, ὁ Θεός.

Οὐ περὶ ὑμῶν δέ, φησίν, ἀλλὰ καὶ περὶ τῶν ἐξ ὑμῶν οὕτω διάκειμαι. Καὶ τοῦτο γὰρ οὐ μικρὸν ἐγκώμιον τὸ τὸν Θεὸν ἔν τινι ἐνεργεῖν. Εἰ γὰρ μὴ προσωπολήπτης ἐστίν, ὥσπερ οὖν οὐδέ ἐστιν, ἀλλὰ πρὸς τὴν πρόθεσιν ὁρῶν, συνεφάπτεται τῶν κατορθωμάτων ἡμῖν, δῆλον ὅτι τοῦ ἐπισπάσασθαι αὐτὸν ἡμεῖς αἴτιοι. Ὥστε οὐδὲ οὕτως ἀπεστέρησεν αὐτοὺς τῶν ἐγκωμίων· ἐπεὶ εἰ ἁπλῶς ἐνήργει, οὐδὲν ἂν ἐκώλυσε καὶ Ἕλληνας καὶ πάντας ἀνθρώπους ἐνεργεῖσθαι, εἰ ὡς ξύλα ἡμᾶς ἐκίνει καὶ λίθους, καὶ μὴ τὰ παρ' ἡμῶν ἐζήτει.

---

13. Λουκᾶ 16, 9.
14. Φιλιπ. 1, 6.

τον, διὰ νὰ σᾶς ὑποδεχθοῦν εἰς τὰς αἰωνίους των σκηνὰς τοῦ παραδείσου»[13].

Βλέπεις πῶς ἔχουν γίνει αὐτοὶ μέτοχοι; «Ἀπὸ τὴν πρώτην ἡμέραν, λέγει, ποὺ ἐπιστεύσατε ἕως τώρα». Χαίρομαι δέ, ὄχι μόνον διὰ τὰ παρελθόντα, λέγει, ἀλλὰ καὶ διὰ τὰ μέλλοντα, διότι ἀπὸ τὰ παρελθόντα ὑπολογίζω καὶ ἐκεῖνα. «Ἔχω πεποίθησιν εἰς τοῦτο ἀκριβῶς», λέγει, «ὅτι δηλαδὴ Αὐτὸς ποὺ ἤρχισεν εἰς σᾶς τὸ ἀγαθὸν αὐτὸ ἔργον, αὐτὸς θὰ τὸ φέρῃ εἰς τέλειον πέρας μέχρι τῆς ἡμέρας τοῦ Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ὁποίαν θὰ ἔλθῃ νὰ κρίνῃ τὸν κόσμον»[14]. Πρόσεχε πῶς τοὺς διδάσκει νὰ εἶναι μετριόφρονες. Ἐπειδὴ ἐμαρτύρησεν ὑπὲρ αὐτῶν μέγα πρᾶγμα, διὰ νὰ μὴ πάθουν τίποτε τὸ ἀνθρώπινον, ἀμέσως τοὺς διδάσκει νὰ ἀναθέτουν εἰς τὸν Χριστὸν καὶ τὰ παρελθόντα καὶ τὰ μέλλοντα. Πῶς; Διότι δὲν εἶπε, ἔχω πεποίθησιν, ὅτι ὅπως ἀρχίσατε, ἔτσι θὰ φέρετε εἰς πέρας˙ ἀλλὰ τί εἶπεν; «Αὐτὸς ποὺ ἤρχισεν εἰς σᾶς τὸ ἀγαθόν, αὐτὸς θὰ τὸ φέρῃ εἰς τέλειον πέρας». Οὔτε τοὺς ἐστέρησε τοῦ κατορθώματός των˙ διότι εἶπεν, ὅτι χαίρομαι διὰ τὴν συμμετοχήν σας, προφανῶς, ἐπειδὴ αὐτοὶ κατορθώνουν τὸ ἔργον τοῦτο. Οὔτε εἶπεν, ὅτι εἶναι ἰδικά των μόνον τὰ κατορθώματα, ἀλλὰ προηγουμένως τοῦ Θεοῦ. Διότι, εἶπεν, ἔχω πεποίθησιν «ὅτι αὐτὸς ποὺ ἤρχισεν εἰς σᾶς τὸ ἀγαθὸν αὐτὸ ἔργον, αὐτὸς θὰ τὸ φέρῃ εἰς τέλειον πέρας μέχρι τῆς ἡμέρας τοῦ Ἰησοῦ Χριστοῦ», δηλαδὴ ὁ Θεός.

Δὲν διάκειμαι ἔτσι διὰ σᾶς μόνον, λέγει, ἀλλὰ καὶ δι' ὅλα τὰ προερχόμενα ἀπὸ σᾶς. Καὶ τοῦτο δὲν εἶναι μικρὸν ἐγκώμιον, τὸ νὰ ἐνεργῇ δηλαδὴ εἰς κάποιον ὁ Θεός. Διότι ἐὰν ὁ Θεὸς δὲν μεροληπτῇ, ὅπως πράγματι δὲν μεροληπτεῖ, ἀλλ' ἀποβλέπων πρὸς τὴν πρόθεσιν, μᾶς βοηθεῖ εἰς τὰ κατορθώματά μας, εἶναι φανερὸν ὅτι ἡμεῖς εἴμεθα οἱ ὑπεύθυνοι διὰ νὰ τὸν προσκαλέσωμεν ὡς βοηθόν μας. Ὥστε οὔτε κατ' αὐτὸν τὸν τρόπον ἐστέρησεν αὐτοὺς τῶν ἐγκωμίων˙ διότι ἐὰν ἁπλῶς ἐνεργοῦσε, τίποτε δὲν θὰ ἠμπόδιζε τοὺς Ἕλληνας καὶ ὅλους τοὺς ἀνθρώπους νὰ ἐκτελοῦν, ἐὰν μᾶς ἐκινοῦσεν ὡσὰν ξύλα καὶ λίθους, καὶ δὲν θὰ ἐζητοῦσε

Ὥστε τῷ εἰπεῖν, ὁ Θεὸς ἐπιτελέσει, καὶ τοῦτο πάλιν αὐτῶν ἐγκώμιον γίνεται, τῶν ἐπισπασαμένων τοῦ Θεοῦ τὴν χάριν συμπράττειν αὐτοῖς ἐν τῷ ὑπερβῆναι τὴν ἀνθρωπίνην φύσιν. Καὶ ἑτέρως δὲ ἐγκώμιον, ὅτι τοιαῦτα τὰ κατορθώματα ὑμῶν ἐστιν, ὥστε μὴ εἶναι ἀνθρώπινα, ἀλλὰ τῆς τοῦ Θεοῦ δεῖσθαι ῥοπῆς. Εἰ δὲ ὁ Θεὸς ἐπιτελέσει, οὐδὲ πολὺς ἔσται κάματος, ἀλλὰ δεῖ θαρρεῖν, ὡς εὐμαρῶς πάντα διανυόντων, ἅτε ὑπ' ἐκείνου βοηθουμένων.

«Καθώς ἐστι δίκαιον ἐμὲ τοῦτο φρονεῖν ὑπὲρ ἁπάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ μου, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς σου τῆς χάριτος πάντας ὑμᾶς ὄντας». Πολὺν τέως δείκνυσιν ἐνταῦθα αὐτοῦ τὸν πόθον, εἴγε ἐν καρδίᾳ αὐτοὺς εἶχε, καὶ ἐν αὐτῷ τῷ δεσμωτηρίῳ δεδεμένος Φιλιππησίων ἐμέμνητο. Οὐ μικρὸν δὲ τῶν ἀνδρῶν τὸ ἐγκώμιον, ἐπειδὴ μηδέ ἐστι προλήψεως ἡ τοῦ ἁγίου τούτου ἀγάπη, ἀλλὰ κρίσεως καὶ λογισμῶν ὀρθῶν. Ὥστε τὸ ἀγαπᾶσθαι παρὰ Παύλου οὕτω σφοδρῶς, τεκμήριόν ἐστί τινα εἶναι μέγαν καὶ θαυμαστόν. «Καὶ ἐν τῇ ἀπολογίᾳ» φησί, «καὶ βεβαιώσει τοῦ εὐαγγελίου». Καὶ τί θαυμαστόν, εἰ ἐν τῷ δεσμωτηρίῳ εἶχεν αὐτούς; Οὐδὲ γὰρ κατ' ἐκεῖνον τὸν καιρόν, φησί, καθ' ὃν εἰσῄειν εἰς τὸ δικαστήριον ἀπολογησόμενος, ἐξεπέσατέ μου τῆς μνήμης. Οὕτω γάρ ἐστι τυραννικὸν ὁ ἔρως ὁ πνευματικός, ὡς μηδενὶ παραχωρεῖν καιρῷ, ἀλλ' ἀεὶ τῆς ψυχῆς ἔχεσθαι τοῦ φιλοῦντος, καὶ μηδεμίαν θλῖψιν ἢ ὀδύνην συγχωρεῖν περιγενέσθαι τῆς ψυχῆς. Καθάπερ γὰρ ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, τοσαύτης αἰρομένης φλογός, δρόσος ἦν τοῖς μακαρίοις ἐκείνοις παισίν, οὕτω καὶ φιλία τοῦ

15. Φιλιπ. 1, 7.

τίποτε ἀπὸ ἡμᾶς. Ὥστε μὲ τὸ νὰ εἰπῇ, ὁ Θεὸς θὰ φέρῃ εἰς τέλειον πέρας, καὶ τοῦτο πάλιν ἀποτελεῖ δι' αὐτοὺς ἐγκώμιον, ποὺ ἀπέσπασαν τὴν χάριν τοῦ Θεοῦ διὰ νὰ συμπράττῃ μαζὶ μὲ αὐτοὺς διὰ νὰ ὑπερβοῦν τὴν ἀνθρωπίνην φύσιν. Καὶ κατ' ἄλλον τρόπον δὲ εἶναι ἐγκώμιον, διότι τὰ κατορθώματα αὐτὰ εἶναι ἰδικά σας, ὥστε νὰ μὴ εἶναι ἀνθρώπινα, ἀλλὰ νὰ ἔχουν τὴν ἀνάγκην βοηθείας τοῦ Θεοῦ. Ἐὰν δὲ ὁ Θεὸς φέρῃ εἰς τέλειον πέρας, οὔτε ὁ κόπος θὰ εἶναι πολύς, ἀλλὰ θὰ πρέπει νὰ ἔχωμεν θάρρος, διότι τὰ πάντα ἐκτελοῦμεν μὲ εὐκολίαν, ἐπειδὴ βοηθούμεθα ἀπ' ἐκεῖνον.

«Καὶ εἶναι δίκαιον νὰ ἔχω τὸ φρόνημα αὐτὸ δι' ὅλους σας, ἐπειδὴ σᾶς ἔχω εἰς τὴν καρδίαν μου, διότι καὶ εἰς τὰ δεσμά μου, καὶ εἰς τὴν ἀπολογίαν μου καὶ εἰς τὴν ἐπιβεβαίωσιν τοῦ κηρύγματός μου διὰ τὸ Εὐαγγέλιον, σεῖς ὅλοι εἶσθε συμμέτοχοι μαζί μου εἰς τὴν χάριν, ποὺ μὲ ἐνισχύει»[15]. Κατὰ πρῶτον ἐμφανίζει ἐδῶ τὸν μεγάλον του πόθον, δηλαδὴ εἶχεν αὐτοὺς μέσα εἰς τὴν καρδίαν του, καὶ δεμένος εἰς τὴν φυλακὴν ἐνεθυμεῖτο τοὺς Φιλιππησίους. Δὲν εἶναι μικρὸν τὸ ἐγκώμιον τῶν ἀνδρῶν, ἐπειδὴ ἡ ἀγάπη τοῦ ἁγίου τούτου δὲν εἶναι ἀποτέλεσμα ἁπλῆς γνώμης, ἀλλὰ κρίσεως ὀρθῆς καὶ ὀρθῶν συλλογισμῶν. Συνεπῶς τὸ νὰ ἀγαπᾷ ὁ Παῦλος ἔτσι ὑπερβολικὰ κάποιον, εἶναι ἀπόδειξις ὅτι αὐτὸς εἶναι μεγάλος καὶ ἄξιος θαυμασμοῦ. «Καὶ εἰς τὴν ἀπολογίαν μου, λέγει, καὶ εἰς τὴν ἐπιβεβαίωσιν τοῦ Εὐαγγελίου». Καὶ τί τὸ παράδοξον, ἐὰν ἐνεθυμεῖτο αὐτοὺς εἰς τὴν φυλακήν; Διότι οὔτε καὶ κατὰ τὴν στιγμήν, λέγει, κατὰ τὴν ὁποίαν εἰσερχόμην εἰς τὸ δικαστήριον διὰ νὰ ἀπολογηθῶ, σᾶς ἐλησμόνησα. Ἔτσι βέβαια εἶναι τυραννικὸς ὁ πνευματικὸς ἔρως, ἐπειδὴ δὲν δίδει καιρὸν εἰς κανένα, ἀλλὰ πάντοτε προσκολλᾶται εἰς τὴν ψυχὴν τοῦ ἀγαπῶντος καὶ δὲν ἐπιτρέπει νὰ ὑπερισχύσῃ εἰς τὴν ψυχὴν καμμία θλῖψις ἢ στενοχωρία. Διότι ὅπως ἀκριβῶς εἰς τὴν κάμινον τῆς Βαβυλῶνος, μολονότι αἱ φλόγες ὑψώνοντο τόσον πολύ, ὑπῆρχε δροσερὸν ὕδωρ διὰ τοὺς μακαρίους ἐκείνους παῖδας, ἔτσι καὶ ἡ φιλία, ἀφοῦ θὰ καταλάβῃ τὴν ψυχὴν ἐκεί-

ἀγαπῶντος καὶ ἀρέσκοντος Θεῷ τὴν ψυχὴν καταλαβοῦσα, πᾶσαν ἀποτινάσσει φλόγα, καὶ δρόσον ποιεῖ θαυμαστήν.

«Καὶ βεβαιώσει», φησί, «τοῦ εὐαγγελίου». Ἄρα τὰ δεσμὰ βεβαίωσις τοῦ εὐαγγελίου ἦν, ἄρα ἀπολογία. Καὶ πάνυ· πῶς; ὅτι εἰ μὲν παρῃτήσατο τὰ δεσμά, ἔδοξεν ἂν εἶναι ἀπατεών· ὁ δὲ πάντα ὑπομένων, καὶ δεσμὰ καὶ θλῖψιν, δηλοῖ ὡς οὐκ ἀνθρωπίνης τινὸς αἰτίας ἕνεκεν ταῦτα πάσχει, ἀλλὰ διὰ τὸν Θεὸν τὸν ἀνταποδιδόντα. Οὐδεὶς γὰρ ἂν καὶ ἀποθανεῖν εἵλετο, καὶ τοσούτους κινδύνους ἀναδέξασθαι, οὐδεὶς ἂν καὶ βασιλεῖ τοιούτῳ κατεδέξατο προσκροῦσαι, τῷ Νέρωνι λέγω, εἰ μὴ πρὸς ἕτερον ἑώρα βασιλέα πολλῷ μείζονα. Ἄρα, βεβαίωσις τοῦ εὐαγγελίου ἦν τὰ δεσμά. Ὅρα πῶς ἐκ περιουσίας εἰς τὸ ἐναντίον ἅπαντα περιέτρεψεν. Ὃ γὰρ ἐνόμιζον εἶναι ἀσθένειαν καὶ κατηγορίαν, τοῦτο βεβαίωσίν φησι· καὶ εἰ μὴ τοῦτο γέγονεν, ἐν ἀσθενείᾳ ἦν. Εἶτα δείκνυσιν ὅτι οὐ προλήψεως ἡ ἀγάπη, ἀλλὰ κρίσεως. Διὰ τί; Ἔχω ὑμᾶς, φησίν, ἐν τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ, διὰ τὸ συγκοινωνοὺς εἶναι τῆς χάριτος. Τί ἐστι τοῦτο; ἡ χάρις τοῦ ἀποστόλου τοῦτο ἦν, τὸ δεσμεῖσθαι, τὸ ἐλαύνεσθαι, τὸ μυρία πάσχειν δεινά; Ναί· «Ἀρκεῖ γάρ σοι», φησίν, «ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Διὸ εὐδοκῶ, φησίν, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν».

Ἐπεὶ οὖν ὁρῶ ὑμᾶς διὰ τῶν ἔργων τὴν ἀρετὴν ἐπιδεικνυμένους, καὶ τῆς χάριτος ταύτης ὄντας κοινωνούς, καὶ μετὰ προθυμίας, εἰκότως ταῦτα στοχάζομαι. Ὁ γὰρ πεῖραν ὑμῶν εἰληφώς, καὶ μάλιστα πάντων ὑμᾶς εἰδώς, καὶ τὰ ὑμέτερα κατορθώματα, ὅτι καὶ τοσοῦτον ἡμῶν ἀφεστηκότες βιάζεσθε μὴ ἀπολειφθῆναι ἡμῶν ἐν ταῖς θλίψεσιν, ἀλλὰ τῶν ὑπὲρ

---

16. Β΄ Κορ. 12, 9-10.

νου πού ἀγαπᾷ καὶ ἀρέσει εἰς τὸν Θεόν, ἀπομακρύνει κάθε φλόγα καὶ δημιουργεῖ θαυμαστὴν δροσιάν.

«Καὶ εἰς τὴν ἐπιβεβαίωσιν», λέγει, «τοῦ εὐαγγελίου». Ἄρα τὰ δεσμὰ ἦσαν ἡ ἐπιβεβαίωσις τοῦ εὐαγγελίου, ἄρα ἀπολογία. Καὶ βεβαιότατα ἦσαν· πῶς; διότι ἂν μὲν θὰ ἀπέφυγε τὰ δεσμά, θὰ ἔδιδε τὴν ἐντύπωσιν ὅτι εἶναι ἀπατεών· ἐκεῖνος ὅμως ὁ ὁποῖος ὑπομένει τὰ πάντα, καὶ δεσμὰ καὶ θλῖψιν, φανερώνει ὅτι δὲν ὑποφέρει ἐξ αἰτίας κάποιας ἀνθρωπίνης αἰτίας, ἀλλὰ διὰ τὸν Θεὸν πού ἀνταποδίδει. Διότι κανένας δὲν θὰ ἐπροτιμοῦσε νὰ ἀποθάνῃ, καὶ νὰ ἀποδεχθῇ τόσον μεγάλους κινδύνους καὶ κανένας δὲν θὰ ἔστεργε νὰ ἀντιταχθῇ εἰς ἕνα τέτοιον αὐτοκράτορα, ἐννοῶ τὸν Νέρωνα, ἐκτὸς ἐὰν ἀπέβλεπε πρὸς ἄλλον βασιλέα κατὰ πολὺ δυνατώτερον. Συνεπῶς τὰ δεσμά του ἦσαν ἐπιβεβαίωσις τοῦ εὐαγγελίου. Πρόσεχε πῶς μὲ πολλὴν περίσσειαν ἔστρεψε τὰ πάντα ἐξ ὁλοκλήρου εἰς τὸ ἀντίθετον. Διότι ἐκεῖνο πού ἄλοι ἐνόμιζον ὅτι εἶναι ἀδυναμία καὶ κατηγορία, τὸ λέγει ἐπιβεβαίωσιν τοῦ εὐαγγελίου· καὶ ἂν τοῦτο δὲν συνέβαινε θὰ ἦτο εἰς ἀδυναμίαν. Ἔπειτα ἀποδεικνύει ὅτι ἡ ἀγάπη του δὲν εἶναι ἀποτέλεσμα ἁπλῆς δοξασίας, ἀλλ' ὀρθῆς κρίσεως. Διατί; Σᾶς ἔχω, λέγει, εἰς τὴν καρδίαν μου μέσα εἰς τὰ δεσμὰ καὶ εἰς τὴν ἀπολογίαν μου, διότι εἴσασθε συμμέτοχοί του εἰς τὴν χάριν. Τί σημαίνει αὐτό; Ἡ χάρις τοῦ ἀποστόλου ἦτο αὐτό, νὰ κρατῆται δέσμιος, νὰ διώκεται, νὰ πάσχῃ τόσα πολλὰ δεινά; Ναί· «Σοῦ εἶναι ἀρκετή», λέγει, «ἡ χάρις πού σοῦ δίδω. Διότι ἡ δύναμίς μου ἀναδεικνύεται τελεία, ὅταν ὁ ἄνθρωπος εἶναι ἀσθενής. Διὰ τοῦτο εὐφραίνομαι, λέγει, εἰς ἀσθενείας, εἰς ὕβρεις»[16].

Εὐλόγως λοιπὸν τὰ σκέπτομαι αὐτά, ἐπειδὴ σᾶς βλέπω νὰ ἐπιδεικνύετε μὲ τὰ ἔργα τὴν ἀρετήν, καὶ νὰ συμμετέχετε εἰς τὴν χάριν αὐτήν, μὲ προθυμίαν μάλιστα. Ἐπειδὴ βέβαια σᾶς ἔχω γνωρίσει, καὶ μάλιστα περισσότερον ἀπὸ ὅλους γνωρίζω σᾶς, καὶ τὰ ἰδικά σας κατορθώματα, διότι ἂν καὶ ἀπέχετε τόσον πολὺ ἀπὸ ἡμᾶς ἀγωνίζεσθε νὰ μὴ ὑστερήσετε ἡμῶν εἰς τὰς θλίψεις, ἀλλὰ νὰ μετέχετε εἰς

τοῦ εὐαγγελίου πειρασμῶν κοινωνῆσαι, καὶ μηδὲν ἔλαττον ἐμοῦ ἔχειν τοῦ εἰς τοὺς ἀγῶνας ἐμβεβηκότος, αὐτοὶ οἱ πόρρωθεν ὄντες, δίκαιός εἰμι ταῦτα μαρτυρεῖν. Διὰ τί δὲ οὐκ εἶπε κοινωνούς, ἀλλά, συγκοινωνούς; Καὶ αὐτὸς ἐγώ, φησίν, ἑτέρῳ κοινωνῶ, «ἵνα γένωμαι κοινωνὸς τοῦ εὐαγγελίου»· τουτέστιν, ἵνα κοινωνήσω τῶν ἀποκειμένων ἀγαθῶν τῷ εὐαγγελίῳ. Καὶ τὸ δὴ θαυμαστόν, τὸ πάντας αὐτοὺς οὕτω διακεῖσθαι· «Συγκοινωνούς μου γάρ», φησί, «τῆς χάριτος πάντας ὑμᾶς ὄντας». Ἀπὸ τῶν προοιμίων τοίνυν τούτων πέποιθα, ὅτι τοιοῦτοι ἔσεσθε μέχρι τέλους. Οὐ γὰρ ἔνι οὕτω λαμπρὰν ἀρχὴν σβεσθῆναι καὶ λῆξαι, ἀλλὰ μεγάλα δείκνυσι τὰ τέλη.

Ἐπεὶ οὖν ἔστι κοινωνῆσαι καὶ ἑτέρως χάριτος, καὶ πειρασμῶν καὶ θλίψεων, κοινωνῶμεν παρακαλῶ, καὶ ἡμεῖς. Πόσοι τῶν ἐνταῦθα ἑστώτων, μᾶλλον δὲ πάντες, ἐβούλεσθε κοινωνῆσαι τῷ Παύλῳ τῶν ἀποκειμένων ἀγαθῶν. Ἔνεστιν, εἰ βούλεσθε τοῖς τὴν διακονίαν ἀναδεδεγμένοις τὴν ἐκείνου, τοῖς πάσχουσί τι δεινὸν διὰ τὸν Χριστὸν συμμαχῆσαι, βοηθῆσαι. Εἶδες ἐν πειρασμῷ τὸν ἀδελφόν; ὄρεξον χεῖρα. Εἶδες τὸν διδάσκαλον ἀγωνιζόμενον; παράστηθι. Ἀλλ' οὐδεὶς κατὰ Παῦλόν ἐστι, φησίν. Εὐθέως ἀπόνοια, εὐθέως κρίνουσιν. Οὐδεὶς κατὰ Παῦλόν ἐστι, κἀγὼ ὁμολογῶ· ἀλλ', «Ὁ δεχόμενος», φησί, «προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται». Μὴ γὰρ ἐκεῖνοι διὰ τοῦτο ἐθαυμάζοντο, ἐπειδὴ Παύλῳ συνέπραττον; Οὐ διὰ τοῦτο, ἀλλ' ἐπειδὴ ἀναδεξαμένῳ τὸ κήρυγμα. Παῦλος διὰ τοῦτο τίμιος ἦν, ἐπειδὴ ταῦτα ἔπασχε διὰ τὸν Χριστόν. Κατὰ Παῦλον μὲν οὐδείς ἐστιν, ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγὺς τοῦ μακαρίου ἐκείνου· τὸ δὲ κήρυγμα τὸ αὐτό ἐστιν, ὅπερ καὶ τότε. Οὐκ ἐν δεσμοῖς δὲ

---

17. Α΄ Κορ. 9, 23.
18. Ματθ. 10, 41.

τὰς δοκιμασίας ὑπὲρ τοῦ εὐαγγελίου, καὶ δὲν ἔχετε τίποτε ὀλιγώτερον ἀπὸ ἐμέ, ποὺ ἔχω εἰσέλθει εἰς τοὺς ἀγῶνας, σεῖς οἱ εὑρισκόμενοι μακράν, εἶμαι δίκαιος νὰ μαρτυρῶ αὐτά. Διατί ὅμως δὲν εἶπε μετόχους, ἀλλὰ συμμετόχους; Καὶ ἐγὼ ὁ ἴδιος, λέγει, συνδέομαι μὲ ἄλλον, «διὰ νὰ γίνω συμμέτοχος τοῦ εὐαγγελίου»[17], δηλαδὴ διὰ νὰ μετάσχω εἰς τὰ ἀγαθὰ ποὺ ἔχουν ἀποτεθῆ πρὸς φύλαξιν εἰς τὸ εὐαγγέλιον. Καὶ τὸ πλέον θαυμαστόν, ὅλοι αὐτοὶ διάκεινται κατ' αὐτὸν τὸν τρόπον· «Εἶσθε ὅλοι», λέγει, συμμέτοχοι μαζί μου εἰς τὴν χάριν». Ἀπὸ τὴν ἀρχὴν λοιπὸν αὐτὴν ἔχω τὴν πεποίθησιν, ὅτι θὰ εἶσθε ἔτσι μέχρι τέλους. Διότι δὲν εἶναι δυνατὸν μία τόσον λαμπρὰ ἀρχὴ νὰ ἐξαφανισθῇ καὶ νὰ τελειώσῃ, ἀλλὰ θὰ παρουσιάσῃ θαυμαστὰ τὰ τέλη.

Ἀφοῦ λοιπὸν ὑπάρχῃ καὶ ἄλλος τρόπος νὰ γίνῃ κανεὶς μέτοχος τῆς χάριτος, τῶν πειρασμῶν καὶ τῶν θλίψεων, ἂς γίνωμεν μέτοχοι, σᾶς παρακαλῶ, καὶ ἡμεῖς. Πόσοι ἀπὸ τοὺς εὑρισκομένους ἐδῶ, μᾶλλον ὅλοι, θέλετε νὰ γίνετε μέτοχοι τῶν ἀγαθῶν, ποὺ ἔχουν ἀποτεθῆ διὰ τὸν Παῦλον. Εἶναι δυνατόν, ἐὰν θέλετε, νὰ βοηθήσετε ἐκείνους ποὺ ἔχουν ἀποδεχθῆ τὴν διακονίαν ἐκείνου, νὰ συμμαχήσετε μ' αὐτοὺς ποὺ πάσχουν κάτι φοβερὸν διὰ τὸν Χριστόν. Εἶδες τὸν ἀδελφόν σου νὰ εὑρίσκεται εἰς πειρασμόν; Ἅπλωσε τὸ χέρι σου νὰ τὸν βοηθήσῃς. Εἶδες τὸν διδάσκαλον τοῦ Εὐαγγελίου νὰ ἀγωνίζεται; Νὰ τὸν παρασταθῇς. Ἀλλὰ κανεὶς δὲν εἶναι ὡσὰν τὸν Παῦλον, λέγει. Ἀμέσως ἀπόγνωσις, ἀμέσως τὸν κρίνουν. Κανεὶς δὲν εἶναι ὡσὰν τὸν Παῦλον, ὁμολογῶ καὶ ἐγώ. Ἀλλ' ἐκεῖνος ποὺ ὑποδέχεται καὶ ὑποστηρίζει προφήτην, λέγει ὁ Κύριος, λόγῳ τοῦ ὅτι εἶναι προφήτης, θὰ λάβῃ τὴν αὐτὴν ἀνταμοιβήν, τὴν ὁποίαν καὶ ὁ προφήτης»[18]. Μήπως ἐκεῖνοι ἐθαυμάζοντο διὰ τοῦτο, ἐπειδὴ συνεργάζοντο μὲ τὸν Παῦλον; Ὄχι διὰ τοῦτο, ἀλλ' ἐπειδὴ ἦσαν συμμέτοχοι τοῦ κηρύγματος. Ὁ Παῦλος διὰ τοῦτο ἦτο τίμιος, ἐπειδὴ ἔπασχεν αὐτὰ διὰ τὸν Χριστόν. Ὡσὰν τὸν Παῦλον δὲν εἶναι κανείς, ἀλλ' οὔτε ἐπ' ὀλίγον πλησίον τοῦ μακαρίου ἐκείνου ἀνδρός. Τὸ κήρυγμα ὅμως εἶναι τὸ αὐτό, ποὺ ἦτο καὶ τότε. Ὄχι μόνον

ὄντι μόνον ἐκοινώνουν αὐτῷ, ἀλλὰ καὶ ἐξ ἀρχῆς. Ἄκουε γὰρ αὐτοῦ λέγοντος· «Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι».

Καὶ χωρὶς πειρασμῶν δὲ ἔχει πολὺν ὁ διδάσκαλος πόνον, ἀγρυπνίαν, κόπον τὸν ἐν λόγῳ, διδασκαλίαν, μέμψεις, κατηγορίας, αἰτίας, βασκανίας. Μικρὰ ταῦτα, τὸ μυρίων ἀνέχεσθαι στομάτων, ἐξὸν τὰ αὐτοῦ μεριμνᾶν; Οἴμοι, τί πάθω; ἐν μέσῳ δυοῖν ἐναπείλημμαι πραγμάτων. Βούλομαι καὶ προτρέψαι ὑμᾶς, καὶ παρακαλέσαι πρὸς τὴν συμμαχίαν καὶ τὴν ἀντίληψιν τῶν ἁγίων τοῦ Θεοῦ· δέδοικα δὲ μή ἕτερόν τις ὑποπτεύσῃ, ὅτι οὐχ ὑμῶν ἕνεκεν, ἀλλ' ἐκείνων ταῦτα λέγω. Ἴστε δέ, ὅτι οὐκ ἐκείνων ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν. Καὶ εἰ βούλεσθε προσέχειν, δι' αὐτῶν τῶν λόγων ὑμᾶς πείθω. Οὐκ ἔστιν ἴσον ὑμῖν τὸ κέρδος, κἀκείνοις. Ὑμεῖς μὲν γὰρ ἐὰν δῶτε, ταῦτα δώσετε, ὧν καὶ μικρὸν ὕστερον καὶ ἑκόντες καὶ ἄκοντες ἀποστήσεσθε, καὶ παραχωρήσετε ἑτέροις, ἃ δὲ λαμβάνεις, πολλῷ μεγάλα ἐστὶ καὶ μείζονα. Ἢ οὐχ οὕτω διάκεισθε, ὅτι διδόντες λήψεσθε; Εἰ γὰρ μὴ οὕτω διάκεισθαι, οὐδὲ δοῦναι ὑμᾶς βούλομαι· οὕτως οὐ τὸν ὑπὲρ ἐκείνων ποιοῦμαι λόγον. Εἰ μή τις οὕτω πρότερον ἑαυτὸν διέθηκεν, ὡς λαμβάνων μᾶλλον ἢ διδούς, ὡς κερδαίνων μυρία, ὡς εὐεργετούμενος ἢ εὐεργετῶν, μὴ διδότω· εἰ ὡς χάριν παρέχων τῷ λαμβάνοντι, μὴ διδότω. Οὐ γὰρ τοῦτό μοι περισπούδαστον τοσοῦτον τραφῆναι τοὺς ἁγίους· κἂν γὰρ σὺ μὴ δῷς, ἕτερος δώσει.

---

19. Φιλιπ. 4, 15.

ὅταν ἦτο ὁ Παῦλος φυλακισμένος ἦσαν συμμέτοχοι εἰς τὰς θλίψεις του, ἀλλὰ καὶ ἀπὸ τὰς ἀρχὰς τοῦ κηρύγματός του πρὸς αὐτούς. Ἄκουε καὶ τὸν ἴδιον νὰ λέγῃ· «Γνωρίζετε καὶ σεῖς, Φιλιππήσιοι, ὅτι κατὰ τὰς ἀρχὰς τοῦ κηρύγματός μου εἰς σᾶς, καμμία Ἐκκλησία δὲν ἦλθεν εἰς σχέσιν μαζί μου μὲ λογαριασμὸν δοσοληψίας, ὥστε νὰ δίδῃ αὐτὴ καὶ ἐγὼ νὰ λαμβάνω, παρὰ μόνοι σεῖς»[19].

Καὶ χωρὶς τοὺς πειρασμοὺς ὁ διδάσκαλος τοῦ εὐαγγελίου ἔχει νὰ ἀντιμετωπίσῃ δύσκολον ἀγῶνα, ἀγρυπνίας, κόπον ἐκ τῆς ὁμιλίας, διδασκαλίαν, ἐπικρίσεις, κατηγορίας, ψόγους, βασκανίας. Εἶναι μικρὰ αὐτά, τὸ νὰ ἀνέχεται τόσους πολλοὺς ἐχθρούς, ἐκτὸς ἀπὸ τὸ νὰ φροντίζῃ δι᾽ ὅλας του τὰς ὑποθέσεις; Ἀλλοίμονον, τί θὰ γίνω; Ἔχω ἀποκλεισθῆ ἐντὸς δύο πραγμάτων. Διότι ἐπιθυμῶ καὶ νὰ σᾶς προτρέψω, καὶ νὰ σᾶς παρακινήσω πρὸς τὴν συμμαχίαν καὶ τὴν βοήθειαν τῶν ἁγίων τοῦ Θεοῦ· φοβοῦμαι ὅμως, μήπως κανεὶς ὑποψιασθῇ κάτι ἄλλο, ὅτι δηλαδὴ λέγω αὐτὰ ὄχι ἐξ αἰτίας σας, ἀλλ᾽ ἐξ αἰτίας ἐκείνων. Γνωρίζετε ὅμως, ὅτι δὲν λέγω αὐτὰ ἐξ αἰτίας ἐκείνων, ἀλλ᾽ ἐξ αἰτίας σας. Καὶ ἐὰν θέλετε νὰ προσέχετε, σᾶς πείθω μὲ αὐτοὺς τοὺς λόγους. Δὲν εἶναι ἴση ἡ ὠφέλεια ἡ ἰδική σας μὲ τὴν ὠφέλειαν ἐκείνων. Διότι σεῖς μέν, ἐὰν δώσετε, θὰ δώσετε αὐτὰ ποὺ θὰ ἐγκαταλείψετε ὀλίγον ὕστερα καὶ ἑκόντες καὶ ἄκοντες, καὶ θὰ τὰ παραχωρήσετε εἰς ἄλλους, ἐκεῖνα ὅμως ποὺ λαμβάνεις, εἶναι πολὺ μεγαλύτερα καὶ σπουδαιότερα. Ἢ δὲν τὸ κάνετε αὐτὸ μὲ τὴν αὐτὴν διάθεσιν, ὅτι δηλαδὴ ἐὰν δίδετε θὰ λάβετε; Διότι ἐὰν δὲν εἶναι τέτοια ἡ διάθεσίς σας, δὲν θέλω οὔτε νὰ δώσετε· καὶ δὲν τὰ λέγω αὐτὰ πρὸς ὑπεράσπισιν ἐκείνων. Ἐὰν κάποιος δὲν διέθεσε προηγουμένως τὸν ἑαυτόν του κατ᾽ αὐτὸν τὸν τρόπον, ὡσὰν νὰ λαμβάνῃ μᾶλλον παρὰ νὰ δίδῃ, ὡσὰν νὰ κερδίζῃ ἀμέτρητα, ὡσὰν νὰ εὐεργετῆται παρὰ νὰ εὐεργετῇ, ἂς μὴ δίδῃ· ἐὰν προσφέρῃ ὡς χάριν εἰς αὐτὸν ποὺ λαμβάνει, ἂς μὴ δίδῃ. Διότι δὲν ἔχει δι᾽ ἐμὲ τόσον μεγάλην σημασίαν ἡ συντήρησις τῶν πιστῶν· διότι καὶ ἂν ἀκόμη σὺ δὲν δώσῃς, θὰ δώσῃ ἄλλος.

Ὥστε ὃ βούλομαι, τοῦτό ἐστιν, ὑμᾶς τῶν ὑμετέρων ἁμαρτημάτων παραμυθίαν ἔχειν· ὁ δὲ μὴ οὕτω διδούς, οὐχ ἕξει παραμυθίαν. Οὐ γὰρ τὸ δοῦναι, τοῦτό ἐστιν ἐλεημοσύνην ἐργάσασθαι, ἀλλὰ τὸ μετὰ προθυμίας, τὸ χαίροντα, τὸ χάριν εἰδότα τῷ λαμβάνοντι. «Μὴ ἐκ λύπης», γάρ, φησί, μηδὲ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός». Εἰ μή τις τοίνυν οὕτω δίδωσι, μὴ διδότω· ζημία γὰρ τοῦτό ἐστιν, οὐκ ἐλεημοσύνη. Εἰ τοίνυν ἴστε, ὅτι ὑμεῖς κερδανεῖτε, οὐκ ἐκεῖνοι, ἴστε, ὅτι μείζων ὑμῖν τὸ κέρδος γίνεται. Ἐκείνοις μὲν γὰρ τὸ σῶμα τρέφεται, ὑμῖν δὲ ἡ ψυχὴ εὐδοκιμεῖ· ἐκείνοις οὐδὲν ἀφίεται τῶν ἁμαρτημάτων, ὅταν λάβωσιν, ὑμῖν δὲ τὰ πολλὰ τῶν προσκρουμάτων ὑποτέμνεται. Κοινωνοῦμεν τοίνυν αὐτοῖς τῶν ἄθλων, ἵνα καὶ τῶν ἐκείνοις κοινωνήσωμεν μεγάλων ἐπάθλων. Βασιλέας υἱοποιοῦντές τινες, οὐχ ἡγοῦνται διδόναι μᾶλλον ἢ λαμβάνειν. Υἱοποίησαι σὺ τὸν Χριστόν, καὶ ἕξεις πολλὴν ἀσφάλειαν. Βούλει καὶ Παύλῳ κοινωνῆσαι; τί λέγω Παύλῳ, ὅπου γε Χριστός ἐστιν ὁ λαμβάνων; Ἵνα δὲ εἰδῆτε ὅτι ὑμῶν ἕνεκεν πάντα καὶ λέγω καὶ ποιῶ, οὐ τῆς ἑτέρων ἀναπαύσεως κηδόμενος· εἴ τις ἐστὶ τῶν προεστώτων ἐκκλησίαις ἐν ἀφθονίᾳ ζῶν, καὶ μηδενὸς δεόμενος, κἂν ἅγιος ᾖ, μὴ δῷς, ἀλλὰ προτίμησον ἐκείνου τὸν ἐν ἐνδείᾳ ὄντα, κἂν μὴ οὕτως ᾖ θαυμαστός. Τί δήποτε; Ὅτι καὶ ὁ Χριστὸς οὕτω βούλεται, ὡς ὅταν λέγῃ· «Ἐὰν ποιῇς δεῖπνον ἢ ἄριστον, μὴ καλέσῃς τοὺς φίλους σου, μηδὲ τοὺς συγγενεῖς, ἀλλὰ τοὺς ἀναπήρους, τοὺς χωλούς, τοὺς τυφλούς, τοὺς μὴ δυναμένους ἀνταποδοῦναί σοι». Οὐ γὰρ ἁπλῶς δεῖ τὰς τοιαύτας δεξιώσεις ποιεῖν, ἀλλὰ τοῖς πεινῶσιν, ἀλλὰ τοῖς διψῶ-

20. Β' Κορ. 9, 7.
21. Λουκᾶ 14, 12 - 14.

Ὥστε ἐκεῖνο ποὺ ἐπιθυμῶ, εἶναι τοῦτο, νὰ ἔχετε παρηγορίαν τῶν παραπτωμάτων σας· ἐκεῖνος ὅμως ποὺ δὲν δίδει μὲ τέτοιας διαθέσεις, δὲν θὰ ἔχῃ παρηγορίαν. Διότι δὲν εἶναι ἐλεημοσύνη τὸ νὰ δώσῃς ἁπλῶς, ἀλλὰ τὸ νὰ δίδῃς μὲ προθυμίαν καὶ μὲ πολλὴν χαράν, τὸ νὰ γνωρίζῃς ὅτι δίδεις μὲ χάριν εἰς τὸν λαμβάνοντα. «Ὄχι μὲ λύπην», λέγει, «ἢ ἀπὸ ἀνάγκην νὰ δίδῃ ὁ καθένας· διότι ὁ Θεὸς ἀγαπᾷ ἐκεῖνον ποὺ δίδει μὲ χαρούμενον πρόσωπον»[20]. Ἐὰν λοιπὸν κάποιος δὲν δίδῃ ἐλεημοσύνην κατὰ τὸν τρόπον αὐτόν, ἂς μὴ δίδῃ· διότι αὐτὸ εἶναι ζημία, ὄχι ἐλεημοσύνη. Ἐὰν λοιπὸν γνωρίζετε ὅτι σεῖς θὰ κερδίσετε καὶ ὄχι ἐκεῖνοι, γνωρίστε ὅτι καὶ ἡ ἀνταμοιβή σας γίνεται μεγαλυτέρα. Διότι εἰς ἐκείνους μὲν τρέφεται τὸ σῶμα, εἰς σᾶς ὅμως προκόπτει ἡ ψυχή· εἰς ἐκείνους δὲν συγχωρεῖται καμμία ἁμαρτία, ὅταν λάβουν ἐλεημοσύνην, διὰ σᾶς ὅμως καταστέλλονται πολλὰ ἐμπόδια. Ἂς συμμετέχωμεν μαζὶ μὲ ἐκείνους εἰς τοὺς ἀγῶνας, διὰ νὰ λάβωμεν μέρος μαζί των καὶ εἰς τὰ μεγάλα βραβεῖα. Μερικοί, υἱοθετοῦντες ἄρχοντας, πιστεύουν ὅτι λαμβάνουν μᾶλλον, παρὰ δίδουν. Υἱοθέτησε σὺ τὸν Χριστόν, καὶ θὰ ἔχῃς μεγάλην ἀσφάλειαν. Ἐπιθυμεῖς νὰ ἔχῃς δοσοληψίας μὲ τὸν Παῦλον; Διατί λέγω μὲ τὸν Παῦλον, τὴν στιγμὴν ποὺ ὁ Χριστὸς εἶναι αὐτὸς ποὺ λαμβάνει; Διὰ νὰ γνωρίζετε δὲ ὅτι τὰ πάντα λέγω καὶ πράττω ἐξ αἰτίας σας, χωρὶς νὰ φροντίζω διὰ τὴν ἀνάπαυσιν τῶν ἄλλων· ἐὰν εἶναι κάποιος προεστὼς τῆς ἐκκλησίας καὶ ζῇ μέσα εἰς τὰ πλούτη καὶ δὲν ἔχει καμμίαν ἀνάγκην, καὶ ἂν ἀκόμη εἶναι ἅγιος, μὴ δώσῃς εἰς αὐτὸν ἐλεημοσύνην, ἀλλὰ νὰ προτιμήσῃς ἐκεῖνον ποὺ εἶναι πτωχός, ἀσχέτως ἂν δὲν εἶναι τόσον ἄξιος θαυμασμοῦ. Διατί τέλος πάντων; Διότι καὶ ὁ Χριστὸς τοῦτο ἐπιθυμεῖ, ὅταν λέγῃ· «Ὅταν κάνῃς βραδυνὸν ἢ πρωινὸν τραπέζι, μὴ προσκαλέσῃς τοὺς φίλους σου, οὔτε τοὺς συγγενεῖς σου, ἀλλὰ τοὺς ἀναπήρους, τοὺς χωλούς, τοὺς τυφλούς, ἐκείνους ποὺ δὲν εἶναι εἰς θέσιν νὰ σοῦ τὸ ἀνταποδώσουν»[21]. Διότι δὲν πρέπει νὰ κάνετε ἁπλῶς τὰς δεξιώσεις αὐτάς, ἀλλὰ νὰ τὰς κάνετε δι' ἐκείνους ποὺ πεινοῦν, δι' ἐκείνους

σιν, ἀλλὰ τοῖς γυμνητεύουσιν, ἀλλὰ τοῖς ξένοις, ἀλλὰ τοῖς ἀπὸ πλούτου πτωχεύσασιν. Οὐ γὰρ εἶπεν ἁπλῶς, ἐτράφην, ἀλλ' ἐπείνων· «Πεινῶντα με» γάρ, φησίν, «εἴδετε, καὶ ἐθρέψατε».

Διπλοῦν τὸ δικαίωμα· εἰ γὰρ τὸν ἁπλῶς πεινῶντα δεῖ τρέφειν, πολλῷ μᾶλλον, ὅταν καὶ ἅγιος ὁ πεινῶν ᾖ, μὴ δέηται δέ, μὴ δῷς· οὐ γὰρ κέρδος τοῦτο· οὐδὲ γὰρ ἐπέταξεν ὁ Χριστός, μᾶλλον δὲ οὐδὲ ἅγιος ἐκεῖνος ὁ ἐν ἀφθονίᾳ ὤν, καὶ λαμβάνων. Ὁρᾷς, ὅτι οὐκ αἰσχροκερδείας ἕνεκεν ἡμῖν ταῦτα λέλεκται, ἀλλὰ τοῦ ὑμῖν λυσιτελοῦντος; Θρέψον τὸν πεινῶντα, ἵνα μὴ θρέψῃς τὸ τῆς γεέννης πῦρ. Ἐκεῖνος ἐσθίων ἀπὸ τῶν σῶν, καὶ τὰ λείψανα ἁγιάζει. Ἐννόησον πῶς ἔτρεφε τὸν Ἠλίαν ἡ χήρα· καὶ οὐκ ἔθρεψε μᾶλλον, ἢ ἐτράφη· οὐκ ἔδωκε μᾶλλον, ἢ ἔλαβε. Τοῦτο καὶ νῦν γίνεται ἐν πολλῷ μείζονι. Οὐ γὰρ ὑδρία ἀλεύρου, οὐδὲ καμψάκης ἐλαίου, ἀλλὰ τί; ἑκατονταπλασίονα, καὶ ζωὴ αἰώνιος τοῖς τοιούτοις ἡ ἀμοιβή. Ἔλεος ὁ τοῦ Θεοῦ, ἡ τροφὴ ἡ πνευματικὴ γίνῃ, ζύμη καθαρά. Χήρα ἦν ἐκείνη, λιμὸς ἐπέκειτο, καὶ οὐδὲν τούτων αὐτὴν ἐκώλυσε· παῖδες ἦσαν αὐτῇ, καὶ οὐδὲ οὕτως ἐνεποδίσθη. Αὕτη τῆς τὰ δύο καταβαλούσης λεπτὰ ἴση γέγονεν. Οὐκ εἶπε πρὸς ἑαυτήν, τί ἀπὸ τούτου λήψομαι; αὐτὸς ἐμοῦ δεῖται· εἴ τινα ἰσχὺν εἶχεν, οὐκ ἂν ἐλίμωξεν, ἔλυσεν ἂν τὸν αὐχμόν, οὐκ ἂν ὑπεύθυνος ἦν τοῖς αὐτοῖς· προσκρούει ἴσως καὶ αὐτὸς τῷ Θεῷ. Οὐδὲν τούτων ἐνενόησεν.

Ὁρᾷς πόσον ἀγαθόν ἐστι μετὰ ἁπλότητος εὖ ποιεῖν, καὶ μὴ σφόδρα περίεργον εἶναι περὶ τὸν εὖ πάσχοντα; Εἰ ἤθελε πολυπραγμονῆσαι, ἐδίστασεν ἄν, οὐκ ἂν ἐπίστευσεν. Οὕτω καὶ Ἀβραάμ, εἰ ἤθελε πολυπραγμονῆσαι, οὐκ ἂν ἐδέ-

22. Ματθ. 25, 35.
23. Πρβλ. Γ' Βασ. 17, 9 - 16.
24. Πρβλ. Μαρκ. 12, 42.

πού διψοῦν, δι' ἐκείνους πού εἶναι γυμνοί, διά τούς ξένους, δι' ἐκείνους πού ἐπτώχευσαν ἀπό τά πλούτη των. Διότι δέν εἶπεν ἁπλῶς, μοῦ ἐδώσατε νά φάγω, ἀλλ', ἐπεινοῦσα˙ «Διότι μέ εἴδατε», λέγει, νά πεινῶ καί μοῦ ἐδώσατε νά φάγω»[22].

Διπλῆ εἶναι ἡ ἐντολή˙ ἐάν βέβαια πρέπει νά δίδωμεν φαγητόν εἰς οἱονδήποτε πού πεινᾷ, πολύ περισσότερον πρέπει νά δίδωμεν, ὅταν αὐτός πού πεινᾷ εἶναι ἅγιος. Ἄν λοιπόν εἶναι ἅγιος μέν, δέν ἔχει ὅμως ἀνάγκην, μή δώσῃς˙ διότι τοῦτο δέν εἶναι ὠφέλεια˙ οὔτε βέβαια καί ὁ Χριστός διέταξεν αὐτό, μᾶλλον δέ οὔτε ἅγιος εἶναι ἐκεῖνος πού, ἔχων ἀφθονίαν ἀγαθῶν, λαμβάνει. Βλέπεις, ὅτι δέν ἐλέχθησαν αὐτά εἰς ἡμᾶς ἕνεκα αἰσχροκερδείας, ἀλλά δι' ἰδικήν σου ὠφέλειαν; Θρέψε ἐκεῖνον πού πεινᾷ, διά νά μή θρέψῃς τό πῦρ τῆς κολάσεως. Ἐκεῖνος πού τρώγει ἀπό τά ἰδικά σου, ἁγιάζει ἀκόμη καί τούς νεκρούς. Θυμήσου πῶς ἔτρεφεν ἡ χήρα τόν προφήτην Ἠλίαν[23]˙ καί μᾶλλον δέν ἔθρεψε, παρά ἡ ἰδία ἐτράφη˙ μᾶλλον δέν ἔδωσε, ἀλλ' ἡ ἰδία ἔλαβε. Τοῦτο καί τώρα γίνεται εἰς μεγαλύτερον βαθμόν. Διότι ἡ ἀμοιβή εἰς ἐκείνους πού κάνουν ἐλεημοσύνην δέν εἶναι οὔτε μία στάμνα ἀλεύρου, οὔτε ἕνα δοχεῖον ἐλαίου. Ἀλλά τί εἶναι; Ἑκατονταπλασία καί ἡ αἰώνιος ζωή εἶναι ἡ ἀμοιβή εἰς αὐτά. Ἡ εὐσπλαγχνία τοῦ Θεοῦ, ἄς γίνῃ ἡ πνευματική τροφή, ἡ καθαρά ζύμη. Ἐκείνη ἦτο χήρα, ἐπλησίαζε μεγάλη πεῖνα, καί τίποτε ἀπ' αὐτά δέν τήν ἠμπόδισε˙ παιδιά εἶχε καί οὔτε αὐτά τήν ἠμπόδισαν. Αὐτή ἔγινεν ἴση πρός ἐκείνην πού ἔδωσε τά δύο λεπτά[24]. Δέν εἶπεν εἰς τόν ἑαυτόν της˙ τί θά κερδίσω ἀπό αὐτόν; αὐτός ἔχει τήν ἀνάγκην μου˙ ἐάν εἶχε κάποιαν δύναμιν, δέν θά ἔπασχεν ἀπό πεῖναν, θά ἦτο δυνατόν νά σταματήσῃ τήν ἀνομβρίαν, δέν θά ἦτο ὑπεύθυνος εἰς τά αὐτά˙ ἀντιμάχεται ἴσως καί αὐτός τόν Θεόν. Τίποτε ἀπ' αὐτά δέν ἔφερεν εἰς τόν νοῦν της.

Βλέπεις πόσον εἶναι ἀγαθόν τό νά εὐεργετῇς μέ ἁπλότητα καί νά μή εἶσαι ὑπερβολικά περίεργος δι' αὐτόν πού εὐεργετεῖται; Ἐάν ἤθελε νά εἶναι πολυπράγμων, θά εἶχεν ἐνδοιασμούς, δέν θά ἐπίστευεν. Ἔτσι καί ὁ Ἀβραάμ, ἐάν

ξατο ἀγγέλους. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ἐν τούτοις ἀκριβολογούμενον ἐπιτυχεῖν ποτε, ἀλλ' ὁ τοιοῦτος μάλιστα ἐμπίπτει εἰς ἐπιθέτας. Καὶ πῶς, ἐγὼ λέγω. Ὁ εὐλαβὴς οὐ βούλεται φαίνεσθαι εὐλαβής, καὶ οὐ περιτίθησιν ἑαυτῷ σχῆμα, καὶ μέλλει διαπτύεσθαι· ὁ δὲ ἐπιθέτης, ἅτε τέχνην τὸ πρᾶγμα ἔχων, πολλὴν εὐλάβειαν καὶ δυσφώρατον περιτίθεται. Ὥστε ὁ μὲν καὶ τοῖς δοκοῦσιν ἀνευλαβέσιν εὖ ποιῶν, τοῖς εὐλαβέσι περιπεσεῖται· ὁ δὲ τοὺς νομιζομένους εὐλαβεῖς ἐπιζητῶν, ἀνευλαβέσιν ἐμπεσεῖται πολλάκις. Διὸ παρακαλῶ, ἐν ἁπλότητι πάντα πράττωμεν. Θῶμεν γὰρ ὅτι καὶ ἐπιθέτης ἐστὶν ὁ προσιών· οὐκ ἐκελεύσθης ταῦτα περιεργάζεσθαι. «Παντὶ» γάρ, φησί, «τῷ αἰτοῦντί σε δίδου»· καί, «Ἐκπριοῦν κτεινόμενον μὴ φείσῃ»· καίτοι οἱ πλείους τῶν ἀναιρουμένων ἐπὶ κακοῖς ἁλισκόμενοι τοῦτο ὑπομένουσιν, ἀλλά, «μὴ φείσῃ», φησί. Τούτῳ γὰρ ὅμοιοι ἐσόμεθα τῷ Θεῷ, οὕτω θαυμασθησόμεθα καὶ τῶν ἀθανάτων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

25. Λουκᾶ 6, 30.
25. Λουκᾶ 6, 30.
26. Παροιμ. 24, 11.

ἤθελε νὰ εἶναι πολυπράγμων, δὲν θὰ ἐδέχετο τοὺς ἀγγέλους. Διότι δὲν εἶναι δυνατόν, δὲν ἠμπορεῖ νὰ ἐπιτύχῃ ποτὲ ἐκεῖνος ποὺ ἐξετάζει λεπτομερῶς αὐτά, ἀλλ' αὐτὸς μάλιστα πίπτει ἐπάνω εἰς ἀπατεῶνας. Καὶ πῶς γίνεται αὐτὸ σᾶς τὸ λέγω ἐγώ. Ὁ εὐσεβὴς δὲν ἐπιθυμεῖ νὰ φαίνεται εὐσεβὴς καὶ δὲν φορεῖ ἰδιαίτερον ἔνδυμα, καὶ ἂν ἀκόμη πρόκειται νὰ περιφρονῆται· ὁ ἀπατεὼν ὅμως, ἐπειδὴ τὸ πρᾶγμα ἔχει κάποιαν δολιότητα, περιβάλλεται πολλὴν εὐσέβειαν καὶ δύσκολα ἀνακαλύπτεται. Ὥστε ὁ μὲν πρῶτος, ἐνῷ εὐεργετεῖ καὶ αὐτοὺς ποὺ φαίνονται ἀσεβεῖς, θὰ πέσῃ ἐπάνω εἰς τοὺς εὐσεβεῖς· ὁ δὲ δεύτερος, ἐνῷ ἐπιζητεῖ αὐτοὺς ποὺ νομίζονται εὐσεβεῖς, θὰ πέσῃ κατὰ τὸ πλεῖστον εἰς τοὺς ἀσεβεῖς. Διὰ τοῦτο, σᾶς παρακαλῶ, νὰ πράττωμεν τὰ πάντα μὲ ἁπλότητα. Ἂς ὑποθέσωμεν βέβαια ὅτι αὐτὸς ποὺ προσέρχεται εἶναι καὶ ἀπατεών· δὲν διετάχθης νὰ περιεργάζεσαι αὐτά. «Εἰς τὸν καθένα, λέγει ὁ Κύριος, ποὺ σοῦ ζητεῖ δίδε»[25]· καὶ «μὴ ἐμποδίσῃς τὴν διαφυγὴν αὐτοῦ ποὺ πρόκειται νὰ ἐκτελεσθῇ[26]», ἂν καὶ οἱ περισσότεροι ἀπ' αὐτοὺς ποὺ φονεύονται ὑπομένουν τοῦτο ἐπειδὴ συλλαμβάνονται πράττοντες τὸ κακόν· ἀλλά, «μὴ ἐμποδίσῃς», λέγει. Ἔτσι βέβαια θὰ εἴμεθα ὅμοιοι πρὸς τὸν Θεόν, ἔτσι θὰ γίνωμεν ἄξιοι θαυμασμοῦ καὶ θὰ ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθά· τῶν ὁποίων εἴθε ὅλοι ἡμεῖς νὰ ἀξιωθοῦμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ΄
Φιλιπ. 1, 8 - 18

«Μάρτυς γάρ μοι ἐστὶν ὁ Θεός, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ. Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον Θεοῦ».

Οὐχ ὡς ἀπιστούμενος μάρτυρα καλεῖ τὸν Θεόν, ἀλλ' ἐκ πολλῆς διαθέσεως τοῦτο ποιεῖ, καὶ τῷ σφόδρα πεπεῖσθαι καὶ θαρρεῖν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐκοινώνησαν αὐτῷ, ἵνα μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο αὐτοὺς ποθεῖ, καὶ οὐχ ἁπλῶς ἐκείνων ἕνεκεν, διὰ τοῦτο ἐπήγαγεν, ὅτι «ἐν σπλάγχνοις Χριστοῦ». Τί ἐστι τοῦτο; Ἀντὶ τοῦ, κατὰ Χριστόν· ἐπειδὴ πιστοί ἐστε, ἐπειδὴ φιλεῖτε τὸν Χριστόν, διὰ τὴν κατὰ Χριστὸν ἀγάπην. Καὶ οὐκ εἶπεν ἀγάπην, ἀλλ' ὃ θερμότερον ἦν, σπλάγχνα Χριστοῦ· ὡσανεὶ πατὴρ ὑμῶν γεγονὼς διὰ τὴν συγγένειαν τὴν κατὰ Χριστόν. Σπλάγχνα γὰρ ἡμῖν αὕτη χαρίζεται, σπλάγχνα θερμὰ καὶ διάπυρα· τοῖς γὰρ γνησίοις αὐτοῦ δούλοις σπλάγχνα χαρίζεται. Ἐν ἐκείνοις, φησί, τοῖς σπλάγχνοις· ὡς ἂν εἴ τις εἴποι, φιλῶ ὑμᾶς σπλάγχνοις οὐ

---

1. Φιλιπ. 1, 8 - 11.

ΛΟΓΟΣ Γ'

Φιλιπ. 1, 8 - 18

«Μάρτυς μου ὁ Θεός, πόσον πολὺ σᾶς ποθῶ ὅλους μὲ τὴν καρδίαν μου, ποὺ εἶναι ἐξ ὁλοκλήρου ἀφιερωμένη καὶ ταυτισμένη πρὸς τὸν Ἰησοῦν Χριστόν. Καὶ τοῦτο ἀκόμη προσεύχομαι, νὰ περισσεύῃ ἡ ἀγάπη σας ὁλονὲν περισσότερον. Νὰ συνοδεύεται δὲ μὲ πλήρη γνῶσιν καὶ μὲ κάθε διάκρισιν, ὥστε νὰ διακρίνετε ὀρθῶς τὰς διαφορὰς ἐπὶ τῶν ἠθικῶν ζητημάτων, διὰ νὰ εἶσθε εἰλικρινεῖς καὶ ἄμεμπτοι κατὰ τὴν ἡμέραν ποὺ θὰ ἔλθῃ νὰ κρίνῃ τὸν κόσμον ὁ Χριστός. Νὰ εἶσθε τότε γεμᾶτοι ἀπὸ καρπούς, τοὺς ὁποίους παράγει ἡ ἀρετὴ καὶ οἱ ὁποῖοι κατορθώνονται διὰ τοῦ Ἰησοῦ Χριστοῦ πρὸς δόξαν καὶ ἔπαινον τοῦ Θεοῦ»[1].

Καλεῖ τὸν Θεὸν μάρτυρα, ὄχι ἐπειδὴ δὲν ἐπιστεύετο, ἀλλὰ κάμνει αὐτὸ ἀπὸ πολλὴν διάθεσιν καὶ διὰ νὰ πιστεύουν πάρα πολὺ καὶ διὰ νὰ ἔχουν θάρρος. Ἐπειδὴ εἶπεν, ὅτι εἶχαν δοσοληψίας μαζί του, διὰ νὰ μὴ νομίσουν ὅτι δι' αὐτὸ τοὺς ποθεῖ, καὶ ὄχι ἁπλῶς ἐξ αἰτίας ἐκείνων, διὰ τοῦτο ἀκριβῶς προσέθεσε, «ἐν σπλάγχνοις Χριστοῦ». Τί σημαίνει αὐτό; Ἀντὶ τοῦ, κατὰ Χριστόν· ἐπειδὴ εἶσθε πιστοὶ καὶ ἀγαπᾶτε τὸν Χριστόν, καὶ διὰ τὴν κατὰ Χριστὸν ἀγάπην. Καὶ δὲν εἶπεν ἀγάπην, ἀλλὰ τοῦτο ποὺ εἶναι ἐντονώτερον, δηλαδὴ καρδίαν Χριστοῦ, ὡσὰν νὰ ἔχῃ γίνει ἰδικός σας πατέρας ἕνεκα τῆς κατὰ Χριστὸν συγγενείας. Διότι ἡ συγγένεια αὐτὴ χαρίζει εἰς ἡμᾶς καρδίαν, καρδίαν ἔντονον καὶ ὁλόθερμον· εἰς τοὺς ἀληθινούς του δούλους χαρίζει τὴν καρδίαν του. Μὲ ἐκείνην, λέγει, τὴν καρδίαν· ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, σᾶς ἀγαπῶ ὄχι μὲ τὴν

φυσικοῖς, ἀλλὰ τοῖς θερμοτέροις, τοῖς τοῦ Χριστοῦ. «Ὡς ἐπιποθῶ», φησί, «πάντας ὑμᾶς». Ἐπιποθῶ πάντας, ἐπειδὴ καὶ πάντες τοιοῦτοί ἐστε. Οὐ δύναμαι παραστῆσαι τῷ λόγῳ πῶς ἐπιποθῶ· οὐ τοίνυν δυνατὸν εἰπεῖν. Διὰ τοῦτο τῷ Θεῷ καταλιμπάνω εἰδέναι τῷ τὰς καρδίας ἐμβατεύοντι. Οὐκ ἂν δέ, εἰ ἐκολάκευεν αὐτούς, τὸν Θεὸν ἐκάλεσε μάρτυρα· οὐδὲ γὰρ ἀκίνδυνον τοῦτο.

Διὰ ποῖον λοιπὸν λόγον τρέμεις τὴν πτωχείαν; Δὲν ἠμπορεῖς νὰ ἀπαντήσῃς. Διότι ἐὰν ἔχῃς ἄφθονα τὰ ἀναγκαῖα ἀγαθά, διατί τέλος πάντων τρέμεις τὴν πτωχείαν; Ἐπειδὴ δὲν ἔχεις μεγάλον ἀριθμὸν δούλων; Τοῦτο σημαίνει ἀπαλλαγὴ ἀπὸ αὐθέντας, τοῦτο σημαίνει παντοτινὴ εὐτυχία, τοῦτο σημαίνει ἐλευθερία φροντίδος. Μήπως διότι δὲν ἔχεις σκεύη καὶ κρεββάτια καὶ ἔπιπλα κατασκευασμένα ἀπὸ ἄργυρον; Τί ἀπολαμβάνει περισσότερον ἀπὸ σὲ αὐτὸς ποὺ τὰ ἔχει; Τίποτε· διότι εἰς τὴν χρῆσιν εἶναι ἴσα, ἀδιάφορα ἂν εἶναι κατασκευασμένα ἀπὸ αὐτὴν ἢ ἀπὸ ἐκείνην τὴν ὕλην. Μήπως διότι δὲν προκαλεῖς φόβον εἰς τοὺς πολλούς; Οὔτε νὰ γίνῃ ποτὲ κάτι τέτοιο. Διότι ποία ἡ εὐχαρίστησις νὰ σὲ τρέμουν καὶ νὰ σὲ φοβοῦνται μερικοί; Μήπως διότι φοβεῖσαι τοὺς ἄλλους; Ἀλλὰ δὲν ὑπάρχει λόγος νὰ φοβηθῇς. «Θέλεις νὰ μὴ φοβῆσαι τοὺς ἄρχοντας ποὺ εἶναι εἰς τὴν ἐξουσίαν; Πράττε τὸ καλόν, καὶ θὰ ἔχῃς ἔπαινον ἀπὸ τοὺς ἄρχοντας»[18].

Ἀλλὰ θὰ εἰπῇ κάποιος, διότι εἴμεθα εὐκαταφρόνητοι καὶ ἕτοιμοι διὰ νὰ ὑποστοῦμεν κακὴν μεταχείρισιν; Τοῦτο ὅμως τὸ κάνει πρὸ πάντων ἡ κακία, ὄχι ἡ πτωχεία. Ἐπειδὴ πολλοὶ πτωχοὶ ἔζησαν ὅλην των τὴν ζωὴν χωρὶς κόπον καὶ φροντίδα, οἱ ἄρχοντες, οἱ πλούσιοι καὶ οἱ δυνάσται τοὺς ἀπεμάκρυναν κατὰ τρόπον χειρότερον καὶ ἀπὸ ὅλους τοὺς

ξαν. Ὅπερ γὰρ ἐπὶ σοῦ ἡ πενία, τοῦτο ἐπ' ἐκείνου ὁ πλοῦτος ἔχει. Ὥσπερ γάρ σε διὰ τὸ καταφρονεῖσθαι ἐνταῦθα ποιοῦσι κακῶς οἱ κακοῦν βουλόμενοι· οὕτως ἐκεῖνον διὰ τὸ φθονεῖν καὶ βασκαίνειν· καὶ μᾶλλον οὗτοι, ἢ ἐκεῖνοι· μᾶλλον αὕτη ἡ ἀνάγκη ἰσχυροτέρα τοῦ κακῶς ποιεῖν. Ὁ μὲν φθονῶν, ἰσχύϊ πάσῃ καὶ δυνάμει πάντα κράττει· ὁ δὲ καταφρονῶν πολλάκις καὶ ἠλέησε τὸν καταφρονούμενον· καὶ τοῦτο αὐτὸ γέγονεν αὐτῷ αἴτιον ἀπαλλαγῆς, τὸ πένητα εἶναι, τὸ μὴ δύνασθαι ἔχειν ἰσχύν· μεγάλα τε κατορθώσομεν, λέγοντες πρὸς αὐτόν, ἐὰν τὸν δεῖνα ἀνέλῃς· ἐὰν ἀποκτείνῃς ἕνα πένητα, πόσων οὐκ ἀπολαύσῃ μισθῶν· καὶ οὕτως αὐτῶν τὸν θυμὸν χαλῶμεν. Ἐπὶ δὲ τῶν πλουτούντων ὁ φθόνος ἐφέστηκεν, οὐ πρότερον λήγων, ἕως ἂν ὅπερ βούλεται ἐργάσηται, κατὰ τὸν ἰὸν ἐκχέῃ τὸν αὐτοῦ. Ὁρᾷς ὅτι οὐχ ἡ πενία, οὐδὲ ὁ πλοῦτος ἀγαθόν, ἀλλ' ἡ ἡμετέρα προαίρεσις;

Ρυθμίζωμεν ταύτην, παιδεύωμεν φιλοσοφεῖν. Ἂν αὕτη καλῶς ᾖ διακειμένη, οὔτε πλοῦτος ἡμᾶς ἐκβαλεῖν βασιλείας δυνήσεται, οὔτε πενίᾳ ποιήσει ἔλαττον ἔχειν· ἀππὸ πράως τὴν πενίαν οἴσομεν, οὐδὲ εἰς τὴν τῶν μελλόντων ἀγαθῶν ἀπόλαυσιν παραβλαπτόμενοι, οὐδὲ ἐνταῦθα· ἀλλὰ καὶ τούτων ἀπολαύσομεν, καὶ τῶν ἐν οὐρανοῖς ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κακούργους καὶ ληστὰς καὶ τυμβωρύχους. Ὅπως εἶναι διὰ σὲ ἡ πτωχεία, εἶναι δι' ἐκεῖνον ὁ πλοῦτος. Διότι ὅπως ἀκριβῶς σὲ κακομεταχειρίζονται ἐδῶ, ἐπειδὴ σὲ περιφρονοῦν αὐτοὶ ποὺ ἐπιθυμοῦν νὰ κάμνουν τὸ κακόν, ἔτσι καὶ ἐκεῖνον, ἐπειδὴ τὸν φθονοῦν καὶ τὸν κακολογοῦν· καὶ περισσότερον αὐτοὶ παρὰ ἐκεῖνοι. Μᾶλλον ἡ ἀνάγκη αὐτὴ εἶναι ἰσχυροτέρα ἀπὸ τὸ νὰ κάμνῃς τὸ κακόν. Διότι αὐτὸς μὲν ποὺ φθονεῖ πράττει τὰ πάντα μὲ κάθε ἰσχὺν καὶ δύναμιν, ἐκεῖνος ὅμως ποὺ περιφρονεῖ ἔδωσε καὶ ἐλεημοσύνην πολλὰς φορὰς εἰς αὐτὸν ποὺ περιφρονεῖ. Καὶ αὐτὸ ἀκριβῶς ἔχει γίνει εἰς αὐτὸν αἰτία ἀπαλλαγῆς, τὸ νὰ εἶναι πτωχός, τὸ νὰ μὴ ἠμπορῇ νὰ ἔχῃ δύναμιν. Καὶ θὰ κατορθώσωμεν πολλά, λέγοντες πρὸς αὐτόν, ἐὰν τὸν δεῖνα φονεύσῃς· ἐὰν φονεύσῃς ἕνα πτωχόν, πόσων δὲν θὰ ἀπολαύσῃς ἀμοιβῶν· καὶ ἔτσι κατευνάζωμεν τὴν ὀργήν του. Ὅταν ὅμως ἡ ὀργὴ ἐγκατασταθῇ εἰς τοὺς πλουσίους, δὲν τελειώνει προηγουμένως, μέχρις ὅτου θὰ πράξῃ αὐτὸ ποὺ ἐπιθυμεῖ καὶ θὰ χύσῃ τὸ δηλητήριόν της. Βλέπεις ὅτι οὔτε ἡ πτωχεία, οὔτε ὁ πλοῦτος εἶναι ἀγαθόν, ἀλλὰ ἡ ἰδική μας προδιάθεσις;

Ἂς ρυθμίζωμεν αὐτήν, ἂς τὴν ἐκπαιδεύωμεν νὰ φιλοσοφῇ. Ἐὰν αὐτὴ συμπεριφέρεται καλῶς, οὔτε ὁ πλοῦτος θὰ ἠμπορέσῃ νὰ μᾶς ἐκδιώξῃ ἀπὸ τὴν Βασιλείαν τῶν Οὐρανῶν, οὔτε ἡ πτωχεία θὰ ἠμπορῇ νὰ κάμνῃ κάτι ὀλιγώτερον. Ἀλλὰ θὰ φέρωμεν τὴν πτωχείαν μὲ πραότητα, χωρὶς νὰ ζημιωνώμεθα εἰς τὴν ἀπόλαυσιν τῶν μελλόντων ἀγαθῶν, οὔτε εἰς τὴν παροῦσαν ζωήν. Ἀλλὰ θὰ ἀπολαύσωμεν καὶ τοῦτα, καὶ θὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ εὑρίσκονται εἰς τοὺς οὐρανούς. Αὐτὰ τὰ ἀγαθὰ εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ΄

Φιλιπ. 1, 19 - 21

«Καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου».

Τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δοκεῖν, οὐκ ἔχθραι, οὐ κατηγορίαι, οὐ διαβολαί, οὐ κίνδυνοι, οὐκ ἐπιβουλαί. Ὥσπερ γὰρ εἰς μεγάλην τινὰ ἀκρώρειαν καταφυγοῦσα, ἄληπτος πᾶσίν ἐστι τοῖς κάτωθεν ἀνιοῦσιν ἀπὸ τῆς γῆς. Τοιαύτη ἦν ἡ τοῦ Παύλου ψυχή, πάσης ἀκρωρείας ὑψηλότερον τόπον τὸν τῆς φιλοσοφίας καταλαβοῦσα τῆς πνευματικῆς, τῆς ὄντως φιλοσοφίας. Τὰ γὰρ τῶν ἔξωθεν, ῥήματα μόνον ἐστὶ καὶ παίδων ἀθύρματα. Ἀλλ' οὐ περὶ τούτων λόγος νῦν, τὰ δὲ Παύλου φθεγγόμεθα τέως. Ὁ μακάριος ἐκεῖνος καὶ τὸν βασιλέα πολεμοῦντα εἶχεν αὐτῷ, καὶ πρὸς τούτοις εἶχε καὶ ἑτέρους ἐχθροὺς διαφόρως αὐτὸν λυποῦντας, καὶ μετὰ πικρᾶς διαβολῆς· καὶ τί φησιν; Οὐ μόνον οὐκ ἀλγῶ τούτοις, οὐδὲ

---

1. Φιλιπ. 1, 18 - 20.

ΛΟΓΟΣ Δ΄
Φιλιπ. 1, 19 - 21

«Καὶ διὰ τὸ γεγονὸς τοῦτο χαίρω καὶ θὰ χαίρω. Διότι γνωρίζω, ὅτι τοῦτο θὰ ἀποβῇ εἰς σωτηρίαν μου διὰ τῆς δεήσεώς σας καὶ διὰ τῆς ἀφθόνου χάριτος καὶ βοηθείας τοῦ Πνεύματος, τὸ ὁποῖον ὁ Ἰησοῦς Χριστὸς μᾶς παρέχει, κατὰ τὴν σφοδρὰν καὶ σταθερὰν προσδοκίαν καὶ ἐλπίδα μου, ὅτι δὲν θὰ ἐντροπιασθῶ εἰς τίποτε. Ἀλλ' ὅπως πάντοτε, ἔτσι καὶ τώρα μὲ κάθε θάρρος θὰ μεγαλυνθῇ ὁ Χριστὸς διὰ τοῦ σώματός μου, εἴτε μείνω εἰς τὴν ζωήν, εἴτε θανατωθῶ»[1].

Τίποτε δὲν ἠμπορεῖ νὰ θλίψῃ τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν ἀπὸ τὰ ὀδυνηρὰ τῆς παρούσης ζωῆς, οὔτε αἱ ἐχθρότητες, οὔτε αἱ κατηγορίαι, οὔτε αἱ συκοφαντίαι, οὔτε οἱ κίνδυνοι, οὔτε αἱ σκευωρίαι. Διότι, ὡσὰν ἀκριβῶς νὰ κατέφυγε εἰς ὑψηλὴν κορυφὴν ὄρους, εἶναι ἀσύλληπτος εἰς ὅλους ποὺ ἀναβαίνουν ἐκ τῶν κάτω ἀπὸ τὴν γῆν. Τέτοια ἦτο ἡ ψυχὴ τοῦ ἀποστόλου Παύλου, ἡ ὁποία κατέλαβε τόπον ὑψηλότερον ἀπὸ κάθε κορυφὴν ὄρους, τὸν τόπον τῆς πνευματικῆς φιλοσοφίας, τῆς ἀληθινῆς φιλοσοφίας. Διότι τὰ τῶν εἰδωλολατρῶν, εἶναι μόνον λόγια καὶ παιδικὰ παιγνίδια. Ὁ λόγος ὅμως δὲν εἶναι τώρα δι' αὐτούς, ἀλλὰ θὰ ἀσχοληθοῦμεν προηγουμένως μὲ τὰ λόγια τοῦ Παύλου. Ὁ μακάριος ἐκεῖνος εἶχε νὰ πολεμῇ καὶ τὸν αὐτοκράτορα καὶ ἐπὶ πλέον εἶχε καὶ ἄλλους ἐχθρούς, ποὺ ὁ καθένας τὸν πικραίνει μὲ διαφορετικὸν τρόπον καὶ μὲ δηκτικὴν συκοφαντίαν. Καὶ τί λέγει; Ὄχι μόνον δὲν θλίβομαι δι' αὐτά, οὔτε χάνω τὸ θάρρος μου, ἀλλὰ διὰ τὸ γεγονὸς τοῦτο καὶ χαίρω καὶ θὰ χαίρω, ὄχι δι' ἕνα χρονικὸν

καταπίπτω, ἀλλὰ καὶ χαίρω καὶ χαρήσομαι· «Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν», τὴν μέλλουσαν· ὅταν καὶ ἡ ἔχθρα μου τὸ κήρυγμα ὠφελῇ, καὶ ὁ πρὸς ἐμὲ ζῆλος. «Διὰ τῆς ὑμῶν δεήσεως», φησί, «καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου».

Ὅρα τὴν ταπεινοφροσύνην τοῦ μακαρίου τούτου. Ἐν τοῖς ἄθλοις ἦν ἀγωνιζόμενος, πρὸς αὐτῷ τῷ στεφάνῳ λοιπόν· μυρία κατωρθώσει· Παῦλος γὰρ ἦν· τί γὰρ ἄν τις εἴποι πλέον; καὶ Φιλιππησίοις φησίν, ὅτι διὰ τῆς ὑμῶν δεήσεως δύναμαι σωθῆναι, ὁ ἀπὸ μυρίων κατορθωμάτων κεκτημένος τὴν σωτηρίαν. «Καὶ ἐπιχορηγίας», φησί, «τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ». Τουτέστιν, ἂν τῶν ὑμετέρων εὐχῶν καταξιωθῶ, πλείονος ἀξιωθήσομαι καὶ τῆς χάριτος. Τὸ γάρ, «ἐπιχορηγίας», τοῦτό ἐστιν, ἂν ἐπιχορηγηθῇ, ἂν πλέον ἐπιδοθῇ μοι πνεῦμα. Ἤτοι τὴν ἀπαλλαγὴν λέγει· «εἰς σωτηρίαν»· τουτέστι, καὶ τὸν παρόντα διαφεύξομαι, ὡς τὸν πρῶτον κίνδυνον. Περὶ τούτου γάρ φησιν. «Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο· μὴ αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με». Τοῦτο γοῦν ἤδη προφητεύει. «Διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου». Οὕτω γὰρ ἐλπίζω. Ἵνα γὰρ πάλιν ἡμεῖς μὴ τὸ ὅλον ταῖς ἐκείνων ἐπιτρέπωμεν εὐχαῖς, αὐτοὶ μηδὲν εἰσφέροντες, ὅρα πῶς τίθησι τὸ αὐτοῦ, τὴν ἐλπίδα, τὴν πάντων αἰτίαν τῶν ἀγαθῶν, καθάπερ ὁ προφήτης φησί· «Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί»· καθάπερ καὶ ἑτέρωθί φησιν, «Ἐμβλέψατε εἰς ἀρχαίας νε-

---

2. Β' Τιμ. 4, 16.
3. Ψαλμ. 32, 22.

διάστημα ἀλλὰ πάντοτε θὰ χαίρω ἐξ αἰτίας αὐτῶν. «Διότι γνωρίζω ὅτι τοῦτο θὰ ἀποβῇ εἰς σωτηρίαν μου», τὴν μελλοντικήν· ἐπειδὴ καὶ ἡ ἔχθρα μου ὠφελεῖ τὸ κήρυγμα τοῦ εὐαγγελίου, καὶ ὁ πρὸς ἐμὲ φθόνος. «Διὰ τῆς δεήσεώς σας», λέγει, «καὶ διά τῆς ἀφθόνου χάριτος καὶ βοηθείας τοῦ Πνεύματος, τὸ ὁποῖον μᾶς παρέχει ὁ Ἰησοῦς Χριστός, κατὰ τὴν σφοδράν προσδοκίαν καὶ ἐλπίδα μου».

Πρόσεχε τὴν ταπεινοφροσύνην τοῦ μακαρίου ἐκείνου ἀνδρός. Ἠγωνίζετο εἰς τοὺς ἀγῶνας, καὶ ἦτο πλέον πλησίον εἰς αὐτὸ τὸ βραβεῖον· εἶχε κατορθώσει πολλά· διότι ἦτο ὁ Παῦλος. Τί θὰ ἠμποροῦσε λοιπὸν νὰ εἰπῇ κανεὶς περισσότερον; Καὶ εἰς τοὺς Φιλιππησίους γράφει ὅτι διὰ τῆς δεήσεώς σας ἠμπορῶ νὰ σωθῶ, αὐτὸς ποὺ εἶχεν ἐπιτύχει τὴν σωτηρίαν ἀπὸ τὰ πολλὰ κατορθώματά του. «Καὶ διὰ τῆς ἀφθόνου ἐπιχορηγίας καὶ βοηθείας τοῦ Πνεύματος, τὸ ὁποῖον μᾶς παρέχει ὁ Ἰησοῦς Χριστός», λέγει. Δηλαδή, ἂν θεωρηθῶ ἄξιος τῶν προσευχῶν σας, θὰ γίνω ἄξιος καὶ περισσοτέρας χάριτος. Διότι τὸ «ἐπιχορηγίας», σημαίνει τοῦτο· ἂν χορηγηθῇ, ἂν δοθῇ εἰς ἐμὲ περισσοτέρα ἡ χάρις τοῦ Πνεύματος. Ἤτοι τὴν ἀπαλλαγήν του ἀπὸ τὰ δεσμὰ ἐννοεῖ λέγων «εἰς σωτηρίαν»· δηλαδή, θὰ διαφύγω καὶ τὸν παρόντα κίνδυνον, ὅπως καὶ τὸν πρῶτον κίνδυνον. Διὰ τὸν κίνδυνον τοῦτον λέγει, «Κατὰ τὴν πρώτην μου ἀπολογίαν δὲν ἦλθε κανεὶς μαζί μου. Εἴθε νὰ μὴ τοὺς λογαριασθῇ τοῦτο ἀπὸ τὸν Κύριον, ὁ ὁποῖος ὅμως παρεστάθη καὶ μοῦ ἔδωσε δύναμιν»[2]. Τοῦτο λοιπὸν προφητεύει καὶ τώρα. «Διὰ τῆς δεήσεώς σας καὶ τῆς ἐπιχορηγίας τοῦ Πνεύματος, τὸ ὁποῖον μᾶς παρέχει ὁ Ἰησοῦς Χριστός, σύμφωνα πρὸς τὴν σφοδρὰν ἐπιθυμίαν καὶ ἐλπίδα μου». Διότι ἔτσι ἐλπίζω. Ἐξ ἄλλου διὰ νὰ μὴ ἀναθέσῃ τὰ πάντα εἰς τὰς προσευχὰς τῶν ἄλλων, χωρὶς ἡμεῖς νὰ συνεισφέρωμεν τίποτε, πρόσεχε πῶς θέτει τὴν ἰδικήν του συνεισφοράν, τὴν ἐλπίδα, τὴν αἰτίαν ὅλων τῶν ἀγαθῶν, ὅπως ἀκριβῶς ὁ προφήτης λέγει· «Εἴθε νὰ γίνῃ, Κύριε, ἡ εὐσπλαγχνία σου εἰς ἡμᾶς, ὅπως ἀκριβῶς ἐστηρίξαμεν τὰς ἐλπίδας μου εἰς Σέ»[3]. Τὸ αὐτὸ λέγει καὶ ἀλλοῦ, «Κυττάξατε εἰς τὰς παλαιὰς γενεάς,

νεάς, καὶ ἴδετε· τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη;»· καὶ πάλιν ὁ μακάριος αὐτός φησιν, «Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». «Κατὰ τὴν ἀποκαραδοκίαν», φησί, «καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι». Αὕτη ἡ τοῦ Παύλου ἐλπίς, τὸ ἐλπίζειν ὅτι οὐδαμοῦ αἰσχυνθήσομαι».

Ὁρᾷς ὅσον ἐστὶν ἐλπίζειν ἐπὶ τὸν Θεόν; Κἂν ὁτιοῦν γένηται, φησίν, οὐκ αἰσχυνθήσομαι· τουτέστιν, οὐ περιέσονται οὗτοι· «Ἀλλ' ἐν πάσῃ παρρησίᾳ, καθὼς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου». Προσεδόκων ἐκεῖνοι διὰ τῆς παγίδος ταύτης δῆθεν ἑλεῖν μὲν τὸν Παῦλον, σβέννυσθαι δὲ τὸ κήρυγμα, ὡς τοῦ δόλου τοῦ αὐτῶν ἰσχύοντος. Τοῦτο οὖν φησιν, ὅτι οὐκ ἔσται τοῦτο, οὐ νῦν ἀποθανοῦμαι· «ἀλλ' ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου». Πῶς; Πολλάκις εἰς κινδύνους ἐνέπεσον, ἐν οἷς πάντες ἡμᾶς ἀπηγόρευσαν, μᾶλλον δὲ καὶ ἡμεῖς ἑαυτούς· «Ἐν ἑαυτοῖς γὰρ τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν»· ἀλλ' ἐκ πάντων ἡμᾶς ἐρρύσατο ὁ Κύριος. Οὕτω καὶ νῦν μεγαλυνθήσεται ἐν τῷ σώματί μου. Τί οὖν; ἵνα μή τις νομίσῃ καὶ εἴπῃ, ἂν σὺ ἀποθάνῃς, οὐ μεγαλυνθήσεται; ναί, φησίν, οἶδα· διὰ τοῦτο οὐκ εἶπον, ὅτι ἡ ζωὴ μόνη μεγαλυνεῖ αὐτόν, ἀλλὰ καὶ ὁ θάνατος. Τέως δέ, «διὰ ζωῆς», φησίν· οὐκ ἀναιροῦσί με· καὶ εἰ εἷλόν με, καὶ οὕτω μεγαλυνθήσεται ὁ Χριστός. Πῶς; Διὰ μὲν ζωῆς, ὅτι ἐξείλετο· διὰ θανάτου δέ, ὅτι οὐδὲ θάνατος ἔπεισέ με ἀρνήσασθαι αὐτόν· ὅτι μοι τοσαύτην προθυμίαν ἐχαρίσατο, καὶ θανάτου ἐποίησεν ἰσχυρότερον· ἐκεῖ μέν, ὅτι με ἀπήλλαξε κινδύνων, ἐνταῦθα δέ, ὅτι με οὐκ εἴασε φοβηθῆναι τοῦ θανάτου τὴν τυραννίδα. Οὕτω μεγαλυνθήσεται διὰ ζωῆς καὶ θανάτου.

Ταῦτα δὲ λέγει, οὐχ ὡς μέλλων ἀποθανεῖσθαι, ἀλλ' ὅταν

---

4. Σοφ. Σειρ. 2, 2.
5. Ρωμ. 5, 5.
6. Β΄ Κορ. 1, 9.

καὶ προσέξατε· ποῖος ἐστήριξε τὰς ἐλπίδας του εἰς τὸν Κύριον, καὶ ἠτιμάσθη;»[4]. Καὶ ἀλλοῦ ὁ μακάριος Παῦλος λέγει· «Ἡ δὲ ἐλπὶς δὲν ἐντροπιάζει»[5]. «Σύμφωνα πρὸς τὴν σφοδρὰν προσδοκίαν καὶ τὴν ἐλπίδα μου, ὅτι δὲν θὰ ἐντροπιασθῶ εἰς τίποτε», λέγει. Αὐτὴ εἶναι ἡ ἐλπὶς τοῦ Παύλου, τὸ νὰ ἐλπίζῃ ὅτι δὲν θὰ ἐντροπιασθῇ εἰς τίποτε.

Βλέπεις πόσον ἐλπίζει εἰς τὸν Θεόν; Καὶ ὅ,τιδήποτε ἐὰν συμβῇ, λέγει, δὲν θὰ ἐντραπῶ· δηλαδὴ δὲν θὰ ὑπερισχύσουν αὐτοί· «Ἀλλ' ὅπως πάντοτε ἔτσι καὶ τώρα μὲ κάθε ἀφοβίαν καὶ θάρρος ἐκ μέρους μου, θὰ μεγαλυνθῇ ὁ Χριστὸς διὰ τοῦ σώματός μου». Ἐκεῖνοι ἤλπιζον ὅτι διὰ τῆς παγίδος αὐτῆς θὰ ἐφόνευον ἴσως τὸν Παῦλον, τὸ δὲ κήρυγμα θὰ ἐξηφάνιζον, ἐπειδὴ ὁ δόλος αὐτῶν εἶχε δύναμιν. Αὐτὸς λοιπὸν λέγει, ὅτι δὲν θὰ συμβῇ τοῦτο, δὲν θὰ ἀποθάνω τώρα· «ἀλλ' ὅπως πάντοτε, ἔτσι καὶ τώρα θὰ δοξασθῇ ὁ Χριστὸς διὰ τοῦ σώματός μου». Μὲ ποῖον τρόπον; Ἔπεσα πολλὰς φορὰς εἰς κινδύνους, εἰς τοὺς ὁποίους ὅλοι δὲν μᾶς ἐπέτρεψαν νὰ πέσωμεν, πολὺ περισσότερον δὲ καὶ ἡμεῖς οἱ ἴδιοι τοὺς ἑαυτούς μας. «Μᾶς ἐδίδετο ἡ ἀπόκρισις, ἀπὸ τὴν ὁποίαν καὶ ἡμεῖς οἱ ἴδιοι εἴχομεν πεισθῇ, ὅτι ὁ θάνατός μας ἦτο πλέον βέβαιος»[6], ἀλλὰ ὁ Κύριος μᾶς ἐγλύτωσεν ἀπὸ τοὺς κινδύνους ὅλους. Ἔτσι καὶ τώρα θὰ μεγαλυνθῇ διὰ τοῦ σώματός μου. Τί λοιπόν; διὰ νὰ μὴ νομίσῃ κανεὶς καὶ εἴπῃ, ἂν σὺ ἀποθάνῃς, δὲν θὰ μεγαλυνθῇ ὁ Κύριος; Ναί, λέγει, γνωρίζω. Διὰ τοῦτο δὲν εἶπα, ὅτι ἡ ζωὴ μόνη θὰ δοξάσῃ αὐτόν, ἀλλὰ καὶ ὁ θάνατος. Κατὰ πρῶτον δέ, «μὲ τὴν ζωήν μου», λέγει· δὲν μὲ φονεύουν· καὶ ἂν μὲ ἐφόνευον, καὶ ἔτσι θὰ δοξασθῇ ὁ Χριστός. Μὲ ποῖον τρόπον; Μὲ τὴν ζωὴν μέν, διότι μὲ ἔσωσε· μὲ τὸν θάνατον δέ, διότι οὔτε ὁ θάνατος μὲ ἔπεισε νὰ ἀρνηθῶ αὐτόν· διότι μοῦ ἐχάρισε τόσην προθυμίαν καὶ μὲ ἔκανεν ἰσχυρότερον ἀπὸ τὸν θάνατον. Ἐκεῖ μέν, διότι μὲ ἀπήλλαξεν ἀπὸ τοὺς κινδύνους, ἐδῶ δέ, διότι δὲν μὲ ἄφησε νὰ φοβηθῶ τὴν δύναμιν τοῦ θανάτου. Ἔτσι θὰ δοξασθῇ ὁ Χριστὸς καὶ μὲ τὴν ζωὴν καὶ μὲ τὸν θάνατόν μου.

Λέγει δὲ αὐτά, ὄχι ὡς νὰ ἐπρόκειτο νὰ ἀποθάνῃ, ἀλλ'

ἀποθάνῃ, ἵνα μηδὲν ἀνθρώπινον πάθωσιν. Ὅτι γὰρ οὐχ ὡς μέλλων ἀποθανεῖσθαι, ὃ μάλιστα αὐτοὺς ἐλύπει, ταῦτα ἔλεγεν, ὅρα πῶς αὐτὸ παραμυθεῖται, μονονουχὶ λέγων· ταῦτα δὲ λέγω, φησίν, οὐχ ὡς ἀποθανούμενος. Διὰ τοῦτο ἐπήγαγε προϊών· «Καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν». «Ὅτι ἐν οὐδενί», φησίν, «αἰσχυνθήσομαι»· τουτέστιν, οὐ φέρει μοι αἰσχύνην τὸ ἀποθανεῖν, ἀλλὰ καὶ μέγα κέρδος. Διὰ τί; Οὐ γὰρ ἀθάνατός εἰμι, ἀλλὰ λαμπρότερος ἔσομαι, ἢ εἰ καὶ ἀθάνατος ἤμην. Οὐ γάρ ἐστιν ἴσον ἀθάνατον ὄντα καταφρονεῖν θανάτου, καὶ θνητόν. Ὥστε οὐδὲ τοῦτο αἰσχύνη, τὸ νῦν ἀποθανεῖν· πλὴν οὐκ ἀποθανοῦμαι. «Ἐν οὐδενὶ αἰσχυνθήσομαι», οὔτε ἐν τῷ ζῆν, οὔτε ἐν τῷ ἀποθανεῖν· ἀμφότερα γὰρ γενναίως ὑποίσω, εἴτε ζῆν, εἴτε ἀποθανεῖν. Καλῶς· τοῦτο Χριστιανῆς ψυχῆς. «Ἀλλ' ἐν πάσῃ», φησί, παρρησίᾳ».

Ὁρᾷς, πῶς οὐκ αἰσχύνομαι; Εἰ μὲν γὰρ ὁ τοῦ θανάτου φόβος περιέκοπτέ μου τὴν παρρησίαν, αἰσχύνης ἄξιον τὸ ἀποθανεῖν· εἰ δὲ οὐδὲν οὗτος ἐπελθὼν ἐφόβησεν, οὐκ αἰσχύνη τοῦτο· ἀλλ' εἴτε διὰ τοῦ ζῆν, οὐκ αἰσχυνθήσομαι· κηρύττω γὰρ τὸ κήρυγμα· εἴτε διὰ τοῦ ἀποθανεῖν, οὐκ αἰσχυνθήσομαι· οὐ κατέχει με γὰρ φόβος· τὴν γὰρ αὐτὴν παρρησίαν ἐπιδείκνυμαι. Μὴ γάρ, ἐπειδὴ δεσμὰ εἶπον, αἰσχύνην τὸ πρᾶγμα νομίσητε. Μὴ γάρ, ἐπειδὴ δεσμὰ εἶπον, αἰσχύνην τὸ πρᾶγμα νομίσητε. Τοσούτων ἀγαθῶν αἴτιόν μοι γέγονεν, ὅτι καὶ ἑτέροις ἔδωκε θαρρεῖν. Οὐ γὰρ τὸ δεθῆναι διὰ Χριστόν, ἀλλὰ τὸ φοβηθέντα τὰ δεσμά, προδοῦναί τι τῶν τοῦ Χριστοῦ, τοῦτο αἰσχύνη· ὡς ἂν τοῦτο μὴ ᾖ, καὶ παρρησίας πρόξενα τὰ δεσμά. Μὴ ἐπειδὴ πολλάκις διέφυγον κινδύνους, καὶ ἔχω ἐπὶ τούτοις καυχᾶσθαι πρὸς τοὺς ἀπίστους, ἂν συμβῇ τι τοιοῦτον,

7. Φιλιπ. 1, 25.

ὅταν ἀποθάνῃ, νὰ μὴ πάθουν τίποτε τὸ ἀνθρώπινον. Ὅτι ἔλεγεν αὐτὰ ὄχι ὡς νὰ ἐπρόκειτο νὰ ἀποθάνῃ, πρᾶγμα ποὺ θὰ τοὺς ἐλυποῦσεν ὑπερβολικά, πρόσεχε πῶς συμβουλεύει τοῦτο, σχεδὸν λέγων· αὐτὰ δὲ λέγω, ὄχι ὡς νὰ πρόκειται νὰ ἀποθάνω. Διὰ τοῦτο προχωρῶν προσθέτει· «Καὶ μὲ μεγάλην πεποίθησιν γνωρίζω τοῦτο, ὅτι θὰ μείνω εἰς τὴν παροῦσαν ζωὴν καὶ θὰ συμπαραμείνω μαζὶ μὲ ὅλους σας»[7]. Ὅτι δὲν θὰ ἐντροπιασθῶ εἰς τίποτε», λέγει· δηλαδή, δὲν μοῦ φέρει ἐντροπὴν τὸ νὰ ἀποθάνω, ἀλλ᾽ ἀντιθέτως μέγα κέρδος. Διὰ ποῖον λόγον; Ὄχι διότι εἶμαι ἀθάνατος, ἀλλὰ θὰ εἶμαι ἐνδοξότερος καὶ ἂν ἀκόμη ἤμην ἀθάνατος. Διότι δὲν εἶναι ὅμοιον νὰ περιφρονῇς τὸν θάνατον, ἐνῷ εἶσαι ἀθάνατος, καὶ νὰ τὸν περιφρονῇς, ἐνῷ εἶσαι θνητός. Κατὰ συνέπειαν οὔτε τοῦτο εἶναι ἐντροπή, τὸ νὰ ἀποθάνω δηλαδὴ τώρα· ἀλλ᾽ ὅμως δὲν θὰ ἀποθάνω. «Δὲν θὰ ἐντραπῶ εἰς τίποτε», οὔτε εἰς τὴν ζωήν, οὔτε εἰς τὸν θάνατον, διότι καὶ τὰ δύο θὰ ὑποφέρω γενναίως, εἴτε μείνω εἰς τὴν ζωήν, εἴτε θανατωθῶ. Καλῶς· τοῦτο εἶναι χαρακτηριστικὸν τῆς χριστιανικῆς ψυχῆς. «Ἀλλὰ μὲ κάθε ἀφοβίαν καὶ θάρρος», λέγει.

Βλέπεις, πῶς δὲν ἐντρέπομαι; Διότι ἐὰν ὁ φόβος τοῦ θανάτου μοῦ περιέκοπτε τὸ θάρρος, ὁ θάνατος θὰ ἦτο ἄξιος ἐντροπῆς· ἐὰν δὲ ὅταν ἔλθῃ αὐτὸς δὲν προξενεῖ κανένα φόβον, τοῦτο δὲν εἶναι ἐντροπή. Ἀλλὰ καὶ μὲ τὸ νὰ παραμείνω εἰς τὴν ζωὴν δὲν θὰ ἐντραπῶ, διότι κηρύττω τὸ κήρυγμα τοῦ εὐαγγελίου. Καὶ μὲ τὸ νὰ ἀποθάνω δὲν θὰ ἐντραπῶ· διότι δὲν μὲ κατέχει ὁ φόβος τοῦ θανάτου, ἀλλὰ δεικνύω τὸ αὐτὸ θάρρος. Μὴ λοιπὸν θεωρήσετε τὸ γεγονὸς τοῦτο ἐντροπήν, ἐπειδὴ ὡμίλησα διὰ τὰ δεσμά. Ἔχει γίνει δι᾽ ἐμὲ ἡ αἰτία τόσων πολλῶν ἀγαθῶν, διότι ἔδωσε θάρρος καὶ εἰς ἄλλους. Διότι ἐντροπὴ δὲν εἶναι νὰ δεθῇ κάποιος δέσμιος ἐξ αἰτίας τῆς σχέσεώς του πρὸς τὸν Χριστόν, ἀλλ᾽ ἐπειδὴ ἐφοβήθη τὰ δεσμά, νὰ προδώσῃ κάτι τῶν τοῦ Χριστοῦ, ὡς ἐὰν τοῦτο νὰ μὴ εἶναι, καὶ τὰ δεσμὰ αἰτία θάρρους. Μήπως, ἐπειδὴ διέφυγα πολλὰς φορὰς τοὺς κινδύνους καὶ ἠμπορῶ νὰ καυχῶμαι δι᾽ αὐτοὺς πρὸς τοὺς

ἤδη νομίζετε αἰσχύνεσθαι· καὶ γὰρ καὶ τοῦτο οὐχ ἧττον ἐκείνου δίδωσιν ὑμῖν τὴν παρρησίαν. Ὅρα πῶς ἐπὶ τοῦ οἰκείου προσώπου αὐτὸ προάγει· ὅπερ πολλαχοῦ ποιεῖ, καθάπερ ἐπὶ Ρωμαίων, «Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον», φησί· καθάπερ ἐπὶ Κορινθίων· «Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ». «Εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου». Οὐχ ὡς ἀγνοῶν τοῦτό φησιν· οἶδε μὲν γάρ, ὅτι οὐκ ἀποθανεῖται τότε, ἀλλὰ μετὰ ταῦτα· πλὴν αὐτῶν προπαρασκευάζει τὴν ψυχὴν ἤδη.

«Ἐμοὶ γάρ», φησί, «τὸ ζῆν Χριστός, καὶ τὸ ἀποθανεῖν κέρδος». Καὶ γὰρ ἀποθανών, φησίν, οὐ τεθνήξομαι, τὴν ζωὴν ἔχων ἐν ἐμαυτῷ. Τότε με ἀνεῖλον ἄν, εἰ ἴσχυσαν διὰ τοῦ φόβου τὴν πίστιν ἐκβαλεῖν τῆς ἐμῆς ψυχῆς· ἕως δ' ἂν Χριστὸς ᾖ μετ' ἐμοῦ, κἂν θάνατος ἐπέλθῃ, ζῶ. Καὶ ἐν τῇ ζωῇ δὲ ταύτῃ οὐ τοῦτό ἐστί μου τὸ ζῆν, ἀλλὰ ὁ Χριστός. Εἰ τοίνυν οὐδὲ ἐν τῇ ζωῇ ταύτῃ, τί τοῦτό ἐστιν· «Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ»; Τοῦτο κἀκεῖ λέγω· «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Τοιοῦτον χρὴ εἶναι τὸν Χριστιανόν. Οὐ ζῶ, φησί, τὴν κοινὴν ζωήν. Πῶς οὐ ζῇς, ὦ μακάριε Παῦλε; Οὐχὶ τὸν ἥλιον ὁρᾷς; οὐχὶ τὸν κοινὸν ἀέρα ἀναπνεῖς; οὐχὶ ταύταις ταῖς ἁπάντων τρέφῃ τροφαῖς; οὐχὶ τὴν γῆν πατεῖς, ὥσπερ ἡμεῖς; οὐχὶ ὕπνου δέῃ; οὐχὶ ἐνδυμάτων; οὐχὶ ὑποδημάτων; Τί λέγεις, οὐ ζῶ; πῶς οὐ ζῇς; τί μεγαλαυχεῖς; Οὐκ ἔστι μεγαληγορία ταῦτα. Εἰ μὲν γὰρ μὴ τὰ πράγματα ἐμαρτύρει, εἰκότως ἄν τις εἶπε μεγαληγορίαν εἶναι· εἰ δὲ τὰ πράγματα μαρτυρεῖ, ποία μεγαληγορία; Πῶς οὖν οὐ ζῇ, μάθωμεν καὶ πῶς γὰρ ἀλλαχοῦ φησιν,

---

8. Ρωμ. 1, 16.
9. Α' Κορ. 4, 6.
10. Φιλιπ. 1, 21.
11. Γαλ. 2, 20.

ἀπίστους, ἂν δὲν συμβῇ ἀκριβῶς ἔτσι, τώρα πλέον νομίζετε ὅτι ἐντρέπομαι. Καὶ πράγματι τοῦτο δὲν δίδει εἰς ἡμᾶς θάρρος ὀλιγότερον ἀπὸ ἐκεῖνο. Πρόσεχε πῶς κάνει νὰ προοδεύσῃ αὐτὸ ὡς πρὸς τὸ ἰδικόν του πρόσωπον· πρᾶγμα ποὺ κάνει πολλὰς φοράς, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν Ρωμαίων, «διότι δὲν ἐντρέπομαι νὰ κηρύττω τὸ εὐαγγέλιον», λέγει[8]. Ὅπως ἀκριβῶς καὶ μὲ τοὺς Κορινθίους· «Αὐτὰ δὲ τὰ μετέτρεψα ὥστε νὰ ἐφαρμόζουν εἰς τὸν ἑαυτόν μου καὶ τὸν Ἀπολλώ»[9]. «Εἴτε μείνω εἰς τὴν ζωήν, εἴτε θανατωθῶ». Δὲν λέγει τοῦτο, ἐπειδὴ δὲν γνωρίζει· γνωρίζει μὲν βέβαια ὅτι δὲν θὰ ἀποθάνῃ τότε, ἀλλὰ κατόπιν· πλὴν ὅμως προετοιμάζει ἀπὸ πρὶν τὴν ψυχήν των.

«Διότι εἰς ἐμέ», λέγει, «ζωὴ εἶναι ὁ Χριστός, ἀλλὰ καὶ τὸ νὰ ἀποθάνω κέρδος»[10]. Διὰ τοῦτο, ἂν ἀποθάνω, λέγει, δὲν θὰ ἔχω παύσει νὰ ζῶ, διότι ἔχω τὴν ζωὴν μαζί μου. Τότε μόνον θὰ μὲ ἐθανάτωναν, ἐὰν ἠμποροῦσαν διὰ τοῦ φόβου νὰ ἐκδιώξουν τὴν πίστιν ἀπὸ τὴν ψυχήν μου. Ἕως ὅτου ὅμως ὁ Χριστὸς θὰ εἶναι μαζί μου, καὶ ἂν ἀκόμη ἐπέλθῃ ὁ θάνατος, εἶμαι ἐν ζωῇ. Καὶ εἰς τὴν παροῦσαν δὲ ζωὴν δὲν εἶναι τοῦτο ἡ ζωή μου, ἀλλὰ ὁ Χριστός. Ἐὰν λοιπὸν οὔτε εἰς τὴν ζωὴν αὐτήν, τί σημαίνει τοῦτο· «Τὴν φυσικὴν δὲ ζωὴν ποὺ ζῶ μέσα εἰς τὸ σῶμα μου τώρα, ζῶ ἐμπνεόμενος ἀπὸ τὴν πίστιν εἰς τὸν Χριστόν»[11]. Τοῦτο λέγω καὶ ἐκεῖ· «Δὲν ζῶ δὲ πλέον ἐγώ, ἀλλὰ ζῇ μέσα μου ὁ Χριστός». Τέτοιος πρέπει νὰ εἶναι ὁ χριστιανός. Δὲν ζῶ, λέγει, τὴν κοινὴν ζωήν. Πῶς δὲν ζῇς, μακάριε Παῦλε; Δὲν βλέπεις τὸν ἥλιον; δὲν ἀναπνέεις τὸν ἴδιον μὲ ὅλους ἀέρα; δὲν τρέφεσαι μὲ τρόφιμα, ποὺ εἶναι τὰ ἴδια δι' ὅλους; δὲν βαδίζεις ἐπάνω εἰς τὴν γῆν, ὅπως ἀκριβῶς καὶ ἡμεῖς; δὲν ἔχεις ἀνάγκην ὕπνου; δὲν ἔχεις ἀνάγκην ἐνδυμάτων καὶ ὑποδημάτων; Διατί λέγεις, δὲν ζῶ; πῶς δὲν ζῇς; διατί καυχᾶσαι; Δὲν εἶναι καυχησιολογία αὐτά. Διότι ἐὰν δὲν ἐπιβεβαιώνουν τὰ γεγονότα, εὔλογα θὰ ἔλεγε κανεὶς ὅτι αὐτὰ εἶναι καυχησιολογία· ἐὰν ὅμως ἐπιβεβαιώνουν τὰ γεγονότα, ποία εἶναι ἡ καυχησιολογία; Πῶς λοιπὸν δὲν ζῇ, ἂς μάθωμεν. Διότι καὶ ἀλλοῦ λέγει· «Ἐγὼ

«Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ἐμοὶ ὁ κόσμος». Πῶς οὖν φησιν, «οὐκέτι ζῶ», καὶ πῶς φησιν, «ἐμοὶ τὸ ζῆν Χριστός», ἀκούσατε. Τὸ τῆς ζωῆς ὄνομα πολυσήμαντόν ἐστιν, ἀγαπητοί, ὥσπερ καὶ τὸ τοῦ θανάτου. Ἔστι ζωὴ αὕτη ἡ τοῦ σώματος, ἔστι ζωὴ ἡ τῆς ἁμαρτίας· καθώς φησιν αὐτὸς ἀλλαχοῦ· «Εἰ δὲ ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;». Ἄρα ἔστι ζωὴν τὴν τῆς ἁμαρτίας ζῆν.

Προσέχετε ἀκριβῶς, παρακαλῶ, ἵνα μὴ εἰκῇ κοπιώμεθα. Ἔστι ζωὴ ἡ ἀΐδιος καὶ ἀθάνατος, μετὰ ζωῆς αἰωνίου ἡ οὐράνιος· «Ἡμῶν γάρ», φησί, «τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει». Ἔστι ζωὴ ἡ τοῦ σώματος, ἥν φησι, «Δι' αὐτοῦ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν». Οὐ τὴν φυσικὴν οὖν φησι μὴ ζῆν ζωήν, ἀλλὰ ταύτην τὴν τῶν ἁμαρτημάτων, ἣν ἅπαντες ἄνθρωποι ζῶσιν. Ὁ μὴ ἐπιθυμῶν τῆς παρούσης ζωῆς, πῶς ταύτην ζῇ; ὁ πρὸς ἑτέραν σπεύδων, πῶς ταύτην ζῇ; ὁ θανάτου καταφρονῶν, πῶς ταύτην ζῇ; ὁ μηδενὸς ἐπιθυμῶν, πῶς ταύτην ζῇ; Ὥσπερ γὰρ ὁ ἐξ ἀδάμαντος συγκείμενος, κἂν μυριάκις πλήττοιτο, οὐκ ἂν ἐπιστραφείη ποτέ, οὕτως οὐδὲ ὁ Παῦλος. «Ζῶ δέ», φησίν, «οὐκέτι ἐγώ»· τουτέστιν, οὐκέτι ὁ παλαιὸς ἄνθρωπος· καὶ πάλιν ἀλλαχοῦ, «ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;». Οὕτως ὁ μηδὲν διὰ τροφὴν ποιῶν, ὁ μηδὲν δι' ἔνδυμα, ὁ μηδὲν διά τι τῶν παρόντων, πῶς οὗτος ζῇ; Οὗτος οὐδὲ τὴν φυσικὴν ζωὴν ζῇ· ὁ μηδενὸς φροντίζων τῶν βιωτικῶν, οὐ ζῇ. Ἡμεῖς ζῶμεν τοῦτον τὸν βίον, οἱ πάντα ὑπὲρ τούτου πράττοντες· ἐκεῖνος δὲ οὐκ ἔζη. Οὐδὲν ἐπραγματεύετο τῶν ἐνταῦθα· πῶς οὖν ἔζη; Οὕτω καὶ ἡμεῖς ἐπί τι-

12. Γαλ. 6, 14.
13. Ρωμ. 6, 2.
14. Φιλιπ. 3, 20.
15. Πράξ. 17, 28.

ἔχω νεκρωθῆ ὡς πρὸς τὸν κόσμον, καὶ ὁ κόσμος ὡς πρὸς ἐμέ»[12]. Πῶς λοιπὸν λέγει, «δὲν ζῶ πλέον ἐγώ», καὶ πῶς πάλιν, «εἰς ἐμὲ ζωὴ εἶναι ὁ Χριστός», ἀκούσατε. Ἡ λέξις ζωὴ σημαίνει πολλά, ἀγαπητοί μου, ὅπως ἀκριβῶς καὶ ἡ λέξις θάνατος. Ὑπάρχει ἡ ζωὴ τοῦ σώματος, ὑπάρχει ἡ ζωὴ τῆς ἁμαρτίας, καθὼς ὁ ἴδιος ὁ Παῦλος λέγει ἀλλοῦ˙ «Ἐὰν δὲ ἀπεθάναμεν ὡς πρὸς τὴν ἁμαρτίαν, πῶς θὰ ζήσωμεν ἀκόμη μέσα εἰς αὐτήν;»[3]. Ἐπομένως ὑπάρχει ἡ ζωὴ τῆς ἁμαρτίας διὰ νὰ ζῶμεν.

Προσέχετε πολύ, σᾶς παρακαλῶ, διὰ νὰ μὴ ὀδυρώμεθα χωρὶς λόγον. Ὑπάρχει ζωή, ἡ αἰώνιος καὶ ἀθάνατος, καὶ μαζὶ μὲ τὴν αἰώνιον ἡ οὐράνιος ζωή. «Ἡ πολιτεία καὶ τὰ πολιτικά μας δικαιώματα, λέγει, εἶναι εἰς τοὺς οὐρανούς»[14]. Ὑπάρχει ἡ ζωὴ τοῦ σώματος, διὰ τὴν ὁποίαν λέγει, «Δι' αὐτοῦ ζῶμεν καὶ κινούμεθα καὶ ὑπάρχομεν»[15]. Δὲν παραγγέλλει λοιπὸν νὰ μὴ ζῶμεν τὴν φυσικὴν ζωήν, ἀλλὰ τὴν ζωὴν τῆς ἁμαρτίας, τὴν ὁποίαν ὅλοι οἱ ἄνθρωποι ζοῦν. Ἐκεῖνος ποὺ δὲν ἐπιθυμεῖ τὴν παροῦσαν ζωήν, μὲ ποῖον τρόπον τὴν ζῇ; Ἐκεῖνος ποὺ τρέχει πρὸς ἄλλην ζωήν, μὲ ποῖον τρόπον ζῇ τὴν ζωὴν αὐτήν; Ἐκεῖνος ποὺ περιφρονεῖ τὸν θάνατον, πῶς ζῇ τὴν ζωὴν αὐτήν; Ἐκεῖνος ποὺ δὲν ἐπιθυμεῖ τίποτε, μὲ ποῖον τρόπον ζῇ τὴν παροῦσαν ζωήν; Ὅπως ἀκριβῶς ὁ συγκείμενος ἀπὸ διαμάντι, καὶ ἂν ἀκόμη δέχεται ἀμέτρητα κτυπήματα, δὲν θὰ μεταβληθῇ ποτέ˙ ἔτσι οὔτε καὶ ὁ Παῦλος. «Δὲν ζῶ δέ, λέγει, πλέον ἐγώ», δηλαδή, ὄχι πλέον ὁ παλαιὸς ἄνθρωπος. Καὶ πάλιν ἀλλοῦ λέγει˙ «Πόσον δυστυχὴς ἄνθρωπος εἶμαι ἐγώ. Ποῖος θὰ μὲ ἐλευθερώσῃ ἀπὸ τὸ σῶμα ποὺ εἶναι ἡ ἕδρα καὶ τὸ ὄργανον τοῦ θανάτου αὐτοῦ;»[16]. Ἔτσι αὐτὸς ποὺ δὲν φροντίζει καθόλου διὰ τροφήν, δι' ἔνδυμα, διὰ τίποτε ἀπὸ τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς, μὲ ποῖον τρόπον ζῇ; Αὐτὸς δὲν ζῇ οὔτε τὴν φυσικὴν ζωήν˙ αὐτὸς ποὺ δὲν φροντίζει καθόλου διὰ τὰς βιωτικάς του ἀνάγκας, δὲν ζῇ. Ἡμεῖς ζῶμεν τὴν παροῦσαν ζωήν, οἱ ὁποῖοι πράττομεν τὰ πάντα διὰ τὴν ζωὴν αὐτήν˙ ἐκεῖνος ὅμως δὲν ἔζη. Δὲν ἐφρόντιζε διὰ τίποτε τῆς ζωῆς αὐτῆς˙ μὲ ποῖον τρόπον λοιπὸν ἔζη; Ἔ-

νων λέγομεν· ἐμοὶ ὁ δεῖνα οὐ πάρεστιν, ὅταν μηδὲν πράττῃ τῶν ἀνηκόντων εἰς ἐμέ· ἐμοὶ ὁ δεῖνα οὐ ζῇ, πάλιν ὁμοίως. Ὅτι γὰρ οὐ τὴν φυσικὴν παραιτεῖται ζωήν, φησὶν ἀλλαχοῦ· «Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ». Τουτέστι, καινήν τινα ζωὴν ζῶ, ἐξηλλαγμένην.

Ταῦτα δὴ πάντα πρὸς παραμυθίαν τῶν Φιλιππησίων λέγει. Μὴ νομίσητε, φησίν, ὅτι τῆς ζωῆς ἀποστεροῦμαι ταύτης· ἐπεὶ μηδὲ ζῶν, ταύτην ἔζων τὴν ζωήν, ἀλλ' ἐκείνην, ἣν ὁ Χριστὸς ἐβούλετο. Εἰπὲ γάρ μοι· ὁ χρημάτων καταφρονῶν, ὁ τρυφῆς, ὁ λιμοῦ καὶ δίψης, ὁ κινδύνων, ὁ ὑγείας, ὁ σωτηρίας, ταύτην ζῇ τὴν ζωήν; ὁ μηδὲν ἐνταῦθα ἔχων, ὁ πολλάκις αὐτὴν ῥῖψαι βουλόμενος, ἀνάγκης οὔσης, καὶ μὴ ἀντιποιηθείς, ταύτην ζῇ τὴν ζωήν; Οὐδαμῶς. Ὡς ἐπὶ ὑποδείγματος δὲ ὑμῖν χρὴ τοῦτο ποιῆσαι φανερόν. Οἷον, ἔστω τις ἐν πλούτῳ πολλῷ, καὶ οἰκέτας ἐχέτω καὶ χρυσίον, καὶ μηδενὶ τούτων κεχρήσθω· ἆρα οὗτος πλουτεῖ τὸν πλοῦτον ἐκεῖνον; Οὐδαμῶς. Ὁράτω διασπαθίζοντας τὰς ὑπάρχοντα τοὺς παῖδας, εἰκῇ ῥεμβομένους· μηδενὸς αὐτῶν φροντιζέτω· τυπτόμενος μηδὲ ἀλγείτω· ἆρα φήσομεν αὐτὸν εἶναι ἐν πλούτῳ; Οὐδαμῶς· καίτοιγε αὐτοῦ ἐστιν. «Ἐμοί», φησίν, «τὸ ζῆν Χριστός». Εἰ βούλει τὴν ζωὴν ἐξετάσαι τὴν ἐμήν, ἐκεῖνός ἐστιν· «Καὶ τὸ ἀποθανεῖν κέρδος». Διὰ τί; Ὅτι σαφέστερον αὐτῷ συνέσομαι μᾶλλον· ὥστε μᾶλλόν ἐστιν ζῆσαι τὸ ἀποθανεῖν. Οὐδὲν δεινὸν ἐργάσονταί με οἱ ἀποκτενοῦντές με, τῇ ζωῇ παραπέμποντες τῇ ἐμῇ, καὶ ταύτης τῆς οὐ προσηκούσης ἀπαλλάττοντες.

---

17. Γαλ. 2, 20.

τσι καὶ ἡμεῖς λέγομεν διὰ μερικούς· δὲν εἶναι εἰς τὴν ἐξουσίαν μου κάποιος, ὅταν δὲν πράττῃ τίποτε ἀπ' αὐτὰ ποὺ ἀνήκουν εἰς ἐμέ· δὲν ζῇ κάποιος δι' ἐμέ, πάλιν ὁμοίως ὅταν πράττῃ. Ὅτι βέβαια δὲν ἀπαρνεῖται τὴν φυσικὴν ζωήν, λέγει ἀλλοῦ· «Τὴν φυσικὴν δὲ ζωὴν ποὺ ζῶ μέσα εἰς τὸ σῶμα μου τώρα, ζῶ ἐμπνεόμενος ἀπὸ τὴν πίστιν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ὁ ὁποῖος μὲ ἠγάπησε καὶ παρέδωσε τὸν ἑαυτόν του διὰ τὴν σωτηρίαν μου»[17]. Δηλαδή, ζῶ κάποιαν νέαν ζωήν, τελείως ἠλλαγμένην.

Βέβαια ὅλα αὐτὰ τὰ λέγει πρὸς παρηγορίαν τῶν Φιλιππησίων. Νὰ μὴ νομίσετε, λέγει, ὅτι στεροῦμαι τῆς ζωῆς αὐτῆς, ἐπειδὴ οὔτε ὅταν ἔζων, ἔζων τὴν ζωὴν αὐτήν, ἀλλὰ τὴν ζωὴν ἐκείνην, ποὺ ἐπεθυμοῦσε ὁ Χριστός. Διότι εἰπέ μου· αὐτὸς ποὺ περιφρονεῖ τὰ χρήματα, τὰς ἀπολαύσεις, τὴν πεῖναν καὶ τὴν δίψαν, τοὺς κινδύνους, τὴν ὑγείαν, τὴν σωτηρίαν, ζῇ τὴν ζωὴν αὐτήν; Αὐτὸς ποὺ ἐδῶ δὲν ἔχει τίποτε, αὐτὸς ποὺ ἐπιθυμεῖ πολὺ συχνὰ νὰ ἐγκαταλείψῃ αὐτήν, ἐνῷ ὑπάρχει ἀνάγκη, καὶ δὲν ἐγείρει ἀξιώσεις, ζῇ τὴν ζωὴν αὐτήν; Ἀσφαλῶς ὄχι. Πρέπει νὰ σᾶς καταστήσω τοῦτο φανερὸν μὲ ἕνα παράδειγμα. Ἐπὶ παραδείγματι· Ἔστω κάποιος μὲ μεγάλα πλούτη, ὁ ὁποῖος ἔχει καὶ ὑπηρέτας καὶ χρυσάφι καὶ δὲν χρησιμοποιεῖ τίποτε ἀπ' αὐτά· ἆρα αὐτὸς ἀπολαμβάνει τὸν πλοῦτον ἐκεῖνον; Καθόλου. Βλέπει νὰ διασκορπίζουν τὴν περιουσίαν τὰ παιδιά του, ποὺ περιπλανῶνται χωρὶς λόγον· καὶ δὲν φροντίζει διὰ κανένα ἀπ' αὐτά· οὔτε αἰσθάνεται θλῖψιν, ὅταν ὀδύρεται· ἆρα θὰ εἰποῦμεν ὅτι αὐτὸς ζῇ μέσα εἰς τὰ πλούτη; Καθόλου, ἂν καὶ βέβαια τὰ πλούτη εἶναι ἰδικά του. «Εἰς ἐμέ, λέγει, ζωὴ εἶναι ὁ Χριστός». Ἐὰν ἐπιθυμῇς νὰ ἐξετάζῃς τὴν ζωήν μου, ὁ Χριστὸς εἶναι. «Ἀλλὰ καὶ τὸ νὰ ἀποθάνω εἶναι κέρδος». Διατί; Διότι θὰ εἶμαι μᾶλλον σαφέστερον μαζὶ μὲ τὸν Χριστόν, ὥστε τὸ νὰ ἀποθάνω σημαίνει μᾶλλον νὰ ζήσω. Δὲν θὰ μοῦ ἐπιφέρουν καμμίαν συμφορὰν αὐτοί, ποὺ θὰ μὲ καταδικάσουν εἰς θάνατον, ἀποστέλλοντές με εἰς τὴν ἰδικήν μου ζωὴν καὶ ἀπαλλάσσοντες ἀπὸ τὴν ζωὴν αὐτήν, ποὺ δὲν ἁρμόζει εἰς ἐμέ.

Τί οὖν; ἐνταῦθα ὤν, οὐκ ἦς τοῦ Χριστοῦ; Καὶ σφόδρα. «Εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γνωρίζω». Ἵνα μή τις εἴπῃ, εἰ τοίνυν ἐκεῖνο ζωή, τίνος ἕνεκεν ὁ Χριστὸς εἴασέ σε ἐνταῦθα; καρπὸς ἔργου, φησίν, ἐστίν. Ὥστε ἔνεστι καὶ τῇ παρούσῃ ζωῇ εἰς δέον χρήσασθαι, μὴ ζῶντα αὐτήν· ἵνα μὴ νομίσῃς διαβεβλῆσθαι τὴν ζωήν. Εἰ γὰρ οὐδὲν χρησιμεύομεν ἐνταῦθα, τίνος ἕνεκεν οὐκ ἀναιροῦμεν ἑαυτούς, οὐδὲ ἀποκτείνομεν; Μηδαμῶς, φησίν· ἔνεστι καὶ ἐνταῦθα ὄντα κερδαίνειν, ἐὰν μὴ ζῶμεν τὴν ζωὴν ταύτην, ἀλλ' ἑτέραν. Ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι τοῦτο καρπόν σοι φέρει; Ναί, φησί. Ποῦ νῦν οἱ αἱρετικοί; Ἰδοὺ νῦν τὸ ζῆν ἐν σαρκί, τοῦτο καρπὸς ἔργου. «Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ». Διὰ τοῦτο καρπὸς ἔργου. «Και τί αἱρήσομαι οὐ γνωρίζω». Βαβαί, πόση ἦν ἡ φιλοσοφία; Πῶς καὶ τὴν ἐπιθυμίαν ἐξέβαλε τῆς παρούσης ζωῆς, καὶ οὐ διέβαλεν αὐτήν; Τῷ μὲν γὰρ εἰπεῖν, ὅτι τὸ ἀποθανεῖν κέρδος, τούτῳ τὴν ἐπιθυμίαν ἐξέβαλε· τῷ δὲ εἰπεῖν, ὅτι τὸ ζῆν ἐν σαρκὶ καρπὸς ἔργου, τούτῳ ἔδειξε καὶ τὴν παροῦσαν ἀναγκαίαν ζωήν, ἐὰν εἰς δέον αὐτῇ χρώμεθα, ἐὰν καρποφορῶμεν· ὡς ἐὰν ἄκαρπος ἦν, οὐκ ἔστιν ἔτι ζωή. Καὶ γὰρ τῶν δένδρων τὰ μὴ φέροντα καρπόν, ὁμοίως τῶν ξηρῶν ἀποστρεφόμεθα, καὶ πυρὶ παραδίδομεν. Τὸ γὰρ ζῆν πάλιν τῶν μέσων ἐστὶ καὶ ἀδιαφόρων· τὸ δὲ καλῶς ἢ κακῶς, ἐν ἡμῖν ἐστιν.

Ὥστε οὐ μισοῦμεν τὸ ζῆν· ἔνεστι γὰρ ζῆν καὶ καλῶς·

18. Φιλιπ. 1, 22.
19. Δηλαδή, τὸ νὰ ἀποθάνῃ.

Τί λοιπὸν θὰ εἰποῦμεν; εὑρισκόμενος εἰς τὴν ζωὴν αὐτήν, δὲν ἀνήκεις εἰς τὸν Χριστόν; Ὑπερβολικὰ μάλιστα. «Ἐὰν ὅμως τὸ νὰ ζῶ φέρων τὴν σάρκα μου ἀποδίδῃ πνευματικὴν ὠφέλειαν καὶ καρπὸν διὰ τῆς ἀσκήσεως τοῦ ἀποστολικοῦ μου ἔργου, τί νὰ προτιμήσω δὲν γνωρίζω»[18]. Διὰ νὰ μὴ εἰπῇ κανείς, ἐὰν λοιπὸν ἐκεῖνο εἶναι ζωή[19], διὰ ποῖον λόγον ὁ Χριστὸς σὲ ἄφησε νὰ ζῇς ἐδῶ; Διὰ τὴν ὠφέλειαν τοῦ ἀποστολικοῦ ἔργου, λέγει. Συνεπῶς εἶναι δυνατὸν νὰ μεταχειρίζεσαι καὶ τὴν παροῦσαν ζωὴν ἀζημίως, χωρὶς ὅμως νὰ ζῇς αὐτήν, ὅπως οἱ πολλοί, διὰ νὰ μὴ νομίσῃς ὅτι ἔχει συκοφαντήσει τὴν ζωήν. Διότι ἐὰν δὲν χρησιμεύωμεν καθόλου εἰς τὴν ζωὴν αὐτήν, διατί δὲν ἐξοντώνομεν τοὺς ἑαυτούς μας, οὔτε θανατώνομεν; Μὲ κανένα τρόπον, λέγει˙ εἶναι δυνατὸν καὶ ἐδῶ εὑρισκόμενος κανεὶς νὰ ἀποκομίζῃ ὠφέλειαν, ἐὰν δὲν ζῶμεν τὴν ζωὴν αὐτήν, ἀλλὰ κάποιαν ἄλλην. Ἀλλὰ θὰ ἐρωτήσῃ ἴσως κάποιος, ὅτι τοῦτο σὲ ὠφελεῖ; Ναί, λέγει. Ποῦ εἶναι τώρα οἱ αἱρετικοί; Ἰδοὺ τώρα τὸ νὰ ζῶ φέρων τὴν σάρκα, τοῦτο εἶναι διὰ τὴν ὠφέλειαν τοῦ ἀποστολικοῦ ἔργου. «Τὴν φυσικὴν δὲ ζωὴν ποὺ ζῶ μέσα εἰς τὸ σῶμα μου τώρα, ζῶ ἐμπνεόμενος ἀπὸ τὴν πίστιν». Διὰ τοῦτο ἀποδίδει ὠφέλειαν τὸ ἔργον μου. «Καὶ τί νὰ προτιμήσω δὲν γνωρίζω». Πὼ πώ! Πόση ἦτο ἡ φιλοσοφία! Μὲ ποῖον τρόπον ἐξεδίωξε καὶ τὴν ἐπιθυμίαν τῆς παρούσης ζωῆς καὶ δὲν ἐσυκοφάντησεν αὐτήν; Μὲ τὸ νὰ εἰπῇ μὲν ὅτι τὸ νὰ ἀποθάνω εἶναι κέρδος, ἐξεδίωξε τὴν ἐπιθυμίαν˙ μὲ τὸ νὰ εἰπῇ ὅμως ὅτι τὸ νὰ ζῶ φέρων τὴν σάρκα μου ἀποδίδει ὠφέλειαν διὰ τοῦ ἀποστολικοῦ ἔργου, ἀπέδειξεν ὅτι εἶναι ἀναγκαία καὶ ἡ παροῦσα ζωή, ἐὰν μεταχειριζώμεθα τὴν ζωὴν αὐτὴν ἐπωφελῶς, ἐὰν φέρωμεν καρπούς˙ διότι ἐὰν ἡ ζωὴ εἶναι ἄκαρπος, δὲν εἶναι πλέον ζωή. Διότι καὶ τὰ δένδρα ποὺ δὲν παράγουν χρήσιμον καρπόν, τὰ ἀποστρεφόμεθα ὅπως καὶ τὰ ξηρὰ καὶ τὰ ρίπτομεν εἰς τὴν φωτιάν. Ἡ ζωὴ ἐξ ἄλλου εἶναι χαρακτηριστικὸν τῶν κοινῶν καὶ ἀδιαφόρων ἀνθρώπων˙ τὸ νὰ ζῶμεν ὅμως καλῶς ἢ κακῶς, ἐξαρτᾶται ἀπὸ ὑμᾶς.

Συνεπῶς δὲν μισοῦμεν τὴν ζωήν, διότι εἶναι δυνατὸν

ὡς ἐὰν κακῶς αὐτῷ χρησώμεθα, οὐδὲ οὕτω διαβάλλομεν αὐτό. Διὰ τί; Ὅτι οὐκ αὐτὸ αἴτιον γέγονεν, ἀλλ' ἡ προαίρεσις τῶν κακῶς χρωμένων αὐτῷ. Ὁ μὲν γὰρ Θεός σε ἐποίησε ζῆν, ἵνα αὐτῷ ζῇς· σὺ δὲ ὑπὸ τῆς κακίας τῇ ἁμαρτίᾳ ζήσας, ὑπεύθυνον σαυτὸν πάσης αἰτίας ποιεῖς. Τί λέγεις, εἰπέ μοι; Οὐ γνωρίζεις τί αἱρήσῃ; Ἐνταῦθα μέγα ἀπεκάλυψε μυστήριον, ὅτι κύριος ἦν τοῦ ἀπελθεῖν· ὅταν γὰρ αἵρεσις ᾖ, κύριοί ἐσμεν. «Τί αἱρήσομαι», φησίν, «οὐ γνωρίζω». Ἐν σοί ἐστι; Ναί, φησίν· εἰ βουλοίμην αἰτῆσαι τὸν Θεὸν χάριν. «Συνέχομαι ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων». Ὅρα τὴν φιλοστοργίαν τοῦ μακαρίου τούτου· καὶ ταύτῃ αὐτοὺς παραμυθεῖται, ὅταν ἴδωσιν, ὅτι αὐτὸς κύριός ἐστι τῆς αἱρέσεως, ὅτι οὐκ ἀνθρωπίνῃ πονηρίᾳ τοῦτο γίνεται, ἀλλὰ Θεοῦ οἰκονομίᾳ. Τί ἀλγεῖτε, φησίν, ἐπὶ τῷ θανάτῳ; πολλῷ κρεῖττον ἦν πάλαι ἀπελθεῖν. «Τὸ ἀναλῦσαι γάρ», φησί, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς». Ταῦτα προπαρασκευαστικὰ τῆς μελλούσης αὐτοῦ τελευτῆς, ἵνα φέρωσιν αὐτὴν γενναίως· ταῦτα φιλοσοφίας διδακτικά. Καλόν, φησί, τὸ διαλῦσαι, καὶ σὺν Χριστῷ εἶναι. Καὶ γὰρ ὁ θάνατος τῶν ἀδιαφόρων ἐστίν. Οὐ γὰρ κακὸν ὁ θάνατος, ἀλλὰ κακὸν τὸ ἀποθανόντα κολάζεσθαι· οὐδὲ καλὸν ὁ θάνατος, ἀλλὰ καλὸν τὸ ἀπελθόντα σὺν Χριστῷ εἶναι· τὰ μετὰ θάνατον, ἢ καλὰ ἢ κακά.

Μὴ τοίνυν ἐπὶ τοῖς ἀποθνήσκουσι πενθῶμεν ἁπλῶς, μηδὲ ἐπὶ τοῖς ζῶσι χαίρωμεν ἁπλῶς, ἀλλὰ τί; Πενθῶμεν τοὺς

---

20. Φιλιπ. 1, 23.
21. Φιλιπ. 1, 23. 24.

νὰ ζῶμεν καὶ καλῶς· καθὼς ἐὰν θὰ μεταχειρισθοῦμεν αὐτὴν κακῶς, οὔτε κατὰ τὸν τρόπον αὐτὸν συκοφαντοῦμεν τὴν ζωήν. Διατί; Διότι ἡ ζωὴ δὲν εἶναι ἡ αἰτία, ἀλλ' ἡ προαίρεσις ἐκείνων ποὺ τὴν μεταχειρίζονται κακῶς. Ὁ Θεὸς βέβαια σὲ ἔπλασε διὰ νὰ ζῇς, διὰ νὰ ζῇς δι' αὐτόν. Σὺ ὅμως, ἀφοῦ ἔζησες εἰς τὴν ἁμαρτίαν παρασυρόμενος ἀπὸ τὴν κακίαν, καθιστᾷς τὸν ἑαυτόν σου ὑπεύθυνον κάθε αἰτίας. Τί λέγεις, εἰπέ μου; δὲν γνωρίζεις τί νὰ προτιμήσῃς; Ἐδῶ ἀπεκάλυψε μέγα μυστήριον, ὅτι εἶχε τὸ δικαίωμα νὰ ἀποθάνῃ· διότι ὅταν ὑπάρχῃ ἐκλογή, ἔχομεν τὸ δικαίωμα νὰ πράξωμεν οὕτως ἢ ἄλλως. «Τί νὰ προτιμήσω», λέγει, «δὲν γνωρίζω». Ἐξαρτᾶται ἀπὸ σέ; Ναί, λέγει· ἐὰν ἤθελα νὰ ζητήσω ἀπὸ τὸν Θεὸν χάριν. «Μὲ τραβοῦν καὶ μὲ κρατοῦν καὶ τὰ δύο, ἔχων τὴν ἐπιθυμίαν καὶ τῆς ζωῆς καὶ τοῦ θανάτου»[20]. Πρόσεχε τὴν φιλοστοργίαν τοῦ μακαρίου Παύλου· καὶ μὲ αὐτὴν τοὺς ἐνθαρρύνει, ὅταν ἰδοῦν ὅτι αὐτὸς εἶναι εἰς θέσιν νὰ ἐκλέξῃ, διότι τοῦτο δὲν γίνεται ἐξ αἰτίας τῆς ἀνθρωπίνης πονηρίας, ἀλλὰ τῆς οἰκονομίας τοῦ Θεοῦ. Διατί θλίβεσθε, λέγει, ὅταν ἔρχεται ὁ θάνατος; Πολὺ καλύτερον ἦτο νὰ ἀποθάνω πρὸ πολλοῦ. «Διότι τὸ νὰ φύγω ἀπὸ τὴν ζωὴν αὐτήν», λέγει, «καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστόν, εἶναι ἀσυγκρίτως καλύτερον δι' ἐμέ· τὸ νὰ παραμείνω ὅμως μὲ τὸ σῶμα μου εἰς τὴν παροῦσαν ζωὴν εἶναι ἀναγκαιότερον διὰ τὴν πνευματικήν σας ὠφέλειαν»[21]. Μὲ τοὺς λόγους αὐτοὺς τοὺς προετοιμάζει διὰ τὸν μελλοντικόν του θάνατον, διὰ νὰ ὑποφέρουν μὲ γενναιότητα αὐτόν. Οἱ λόγοι αὐτοὶ εἶναι διδακτικοὶ φιλοσοφίας. Εἶναι καλόν, λέγει, τὸ νὰ φύγω ἀπὸ τὴν ζωὴν αὐτὴν καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστόν. Διότι πράγματι ὁ θάνατος εἶναι χαρακτηριστικὸν τῶν ἀδιαφόρων ἀνθρώπων. Ὁ θάνατος βέβαια δὲν εἶναι κακόν, ἀλλὰ κακὸν εἶναι ἡ τιμωρία τοῦ ἀποθανόντος· οὔτε καλὸν εἶναι ὁ θάνατος, ἀλλ' εἶναι καλὸν ὁ ἀποθανὼν νὰ εἶναι μαζὶ μὲ τὸν Χριστόν· ὥστε τὰ μετὰ τὸν θάνατον εἶναι ἢ καλὰ ἢ κακά.

Λοιπὸν νὰ μὴ πενθοῦμεν ἁπλῶς δι' αὐτοὺς ποὺ ἀποθνήσκουν, οὔτε νὰ χαίρωμεν ἁπλῶς δι' αὐτοὺς ποὺ ζοῦν,

ἁμαρτωλοὺς μὴ ἀποθνήσκοντας μόνον, ἀλλὰ καὶ ζῶντας· χαίρωμεν δὲ ἐπὶ τοῖς δικαίοις, μὴ ζῶσι μόνον, ἀλλὰ καὶ τετελευτηκόσιν. Ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες τεθνήκασιν, οὗτοι δὲ καὶ ἀποθανόντες ζῶσιν· ἐκεῖνοι καὶ ἐνταῦθα ὄντες ἐλεεινοὶ πᾶσίν εἰσιν, ἐπειδὴ Θεῷ προσκρούουσιν· οὗτοι καὶ ἐκεῖ μεταστάντες μακάριοι, ὅτι πρὸς τὸν Χριστὸν ἀπῆλθον. Οἱ ἁμαρτωλοί, ὅπου ἂν ὦσι, πόρρω τοῦ βασιλέως εἰσί· διὰ τοῦτο δακρύων ἄξιοι· οἱ δὲ δίκαιοι, ἄν τε ἐνταῦθα, ἄν τε ἐκεῖ, μετὰ τοῦ βασιλέως εἰσί, κἀκεῖ μᾶλλον καὶ ἐγγύτερον, οὐ διὰ εἰσόδου, οὐ διὰ πίστεως, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον. Μὴ τοίνυν ἁπλῶς κλαίωμεν τοὺς ἀποθανόντας, ἀλλὰ τοὺς ἐν ἁμαρτίαις· οὗτοι θρήνων ἄξιοι, οὗτοι κοπετῶν καὶ δακρύων. Ποία γὰρ ἐλπίς, εἰπέ μοι, μετὰ ἁμαρτημάτων ἀπελθεῖν, ἔνθα οὐκ ἔστιν ἁμαρτήματα ἀποδύσασθαι; Ἕως μὲν γὰρ ἦσαν ἐνταῦθα, ἴσως ἦν προσδοκία πολλή, ὅτι μεταβαλοῦνται, ὅτι βελτίους ἔσονται· ἂν δὲ ἀπέλθωσιν εἰς τὸν ᾅδην, ἔνθα οὐκ ἔστιν ἀπὸ μετανοίας κερδᾶναί τι· «Ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί σοι;»· πῶς οὐ θρήνων ἄξιοι;

Κλαίωμεν τοὺς οὕτως ἀπερχομένους, οὐ κωλύω, κλαίωμεν, ἀλλὰ μὴ ἀσχημόνως, μὴ τρίχας τίλλοντες, μὴ βραχίονας γυμνοῦντες, μὴ ὄψιν σπαράττοντες, μὴ μελανειμονοῦντες, ἀλλὰ μόνον κατὰ ψυχὴν ἠρέμα δάκριον ἀφιέντες πικρόν. Ἔνεστι γὰρ καὶ ταύτης χωρὶς τῆς πομπῆς κλαῦσαι πικρῶς, καὶ μὴ παῖξαι μόνον· παιγνίων γὰρ οὐδὲν διενήνοχε

22. Πρβλ. Α΄ Κορ. 13, 12.
23. Ψαλμ. 6, 6.

ἀλλὰ τί νὰ κάνωμεν; Νὰ πενθοῦμεν τοὺς ἁμαρτωλούς, ὄχι μόνον ὅταν ἀποθνήσκουν, ἀλλὰ καὶ ὅταν ζοῦν. Νὰ χαίρωμεν διὰ τοὺς δικαίους, ὄχι μόνον ὅταν ζοῦν, ἀλλὰ καὶ ὅταν ἔχουν ἀποθάνει. Διότι ἐκεῖνοι μέν, δηλαδὴ οἱ ἁμαρτωλοί, καὶ ὅταν ζοῦν ἔχουν ἀποθάνει, ἐνῷ αὐτοί, δηλαδὴ οἱ δίκαιοι, καὶ ὅταν ἀποθάνουν ζοῦν. Ἐκεῖνοι καὶ ὅταν εὑρίσκωνται εἰς τὴν παροῦσαν ζωὴν εἶναι ἀξιολύπητοι ἀπ' ὅλους τοὺς ἀνθρώπους, ἐπειδὴ ἀντιμάχονται τὸν Θεόν. Αὐτοὶ καὶ ὅταν μετοικήσουν εἰς τὴν ἄλλην ζωὴν εἶναι εὐτυχεῖς, διότι ἀπῆλθον πρὸς τὸν Χριστόν. Οἱ ἁμαρτωλοί, ὅπου καὶ ἂν εἶναι, εὑρίσκονται μακρὰν τοῦ Βασιλέως Χριστοῦ· διὰ τοῦτο εἶναι ἄξιοι δακρύων. Οἱ δίκαιοι ὅμως, εἴτε εἶναι εἰς τὴν παροῦσαν ζωὴν εἴτε εἰς τὴν ἄλλην, εὑρίσκονται μαζὶ μὲ τὸν Χριστόν, καὶ εἰς τὴν ἄλλην ζωὴν μᾶλλον καὶ πλησιέστερον, ὄχι διὰ τῆς εἰσόδου οὔτε διὰ μέσου τῆς πίστεως, ἀλλὰ κατ' εὐθεῖαν πρόσωπον πρὸς πρόσωπον[22]. Νὰ μὴ κλαίωμεν λοιπὸν ἁπλῶς αὐτοὺς ποὺ ἀπέθανον, ἀλλ' αὐτοὺς ποὺ εἶναι ἁμαρτωλοί· αὐτοὶ εἶναι ἄξιοι θρήνων, κοπετῶν καὶ δακρύων. Διότι ποία ἐλπὶς ὑπάρχει, εἰπέ μου, νὰ ἀπέλθουν εἰς τὴν ἄλλην ζωὴν μαζὶ μὲ τὰς ἁμαρτίας των, ὅπου δὲν εἶναι δυνατὸν νὰ ἀποβάλουν τὰς ἁμαρτίας; Διότι ἕως ὅτου μὲν ἦσαν εἰς τὴν παροῦσαν ζωήν, ὑπῆρχεν ἴσως μεγάλη προσδοκία, ὅτι θὰ μετανοήσουν, ὅτι θὰ γίνουν καλύτεροι. Ἂν ὅμως ἀπέλθουν εἰς τὸν Ἅδην, ὅπου δὲν εἶναι δυνατὸν ἀπὸ τὴν μετάνοιαν νὰ κερδίσουν κάτι, «Διότι εἰς τὸν Ἅδην, λέγει ἡ Γραφή, ποῖος θὰ ἐξομολογηθῇ εἰς σὲ καὶ θὰ μετανοήσῃ;»[23], πῶς δὲν εἶναι ἄξιοι θρήνων;

Ἂς κλαίωμεν αὐτούς, οἱ ὁποῖοι ἀποθνήσκουν κατ' αὐτὸν τὸν τρόπον, δὲν ἐμποδίζω· ἂς κλαίωμεν, ὄχι ὅμως μὲ ἀπρέπειαν, χωρὶς νὰ ἀποσπῶμεν τὰς τρίχας ἀπὸ τὸ κεφάλι μας, χωρὶς νὰ γυμνώνωμεν τὰ χέρια μας, χωρὶς νὰ ξεσχίζωμεν τὸ πρόσωπον, χωρὶς νὰ φοροῦμεν μαῦρα ροῦχα, ἀλλὰ μόνον μέσα μας νὰ χύνωμεν μὲ ἠρεμίαν πικρὰ δάκρυα. Διότι εἶναι δυνατὸν νὰ θρηνήσωμεν πικρὰ καὶ χωρὶς αὐτὴν τὴν πομπώδη ἐπίδειξιν, καὶ νὰ μὴ παίξωμεν μόνον· διότι αὐτὰ ποὺ κάνουν μερικοὶ δὲν διαφέρουν καθόλου ἀπὸ

τὰ ὑπό τινων γινόμενα. Ὅτι γὰρ οὐ συμπαθείας ἐκεῖνοι οἱ κοπετοὶ οἱ ἐπ' ἀγορᾶς, ἀλλ' ἐπιδείξεως καὶ φιλοτιμίας καὶ κενοδοξίας εἰσί· πολλαὶ διὰ τέχνην τοῦτο ποιοῦνται. Κλαῦσον πικρόν, στέναξον κατ' οἰκίαν, μηδενὸς ὁρῶντος· τοῦτο συμπαθείας ἐστί, τοῦτο καὶ σὲ ὠφελεῖ. Ὁ γὰρ ἐκεῖνον πενθῶν οὕτω, πολλῷ μᾶλλον αὐτὸς σπουδάσει μηδέποτε τοῖς αὐτοῖς περιπεσεῖν· φοβερά σοι ἔσται ἡ ἁμαρτία λοιπόν. Κλαῦσον τοὺς ἀπίστους, κλαῦσον τοὺς οὐδὲν ἐκείνων ἀπέχοντας, τοὺς χωρὶς φωτίσματος ἀπερχομένους, τοὺς χωρὶς σφραγῖδος· οὗτοι οὕτως θρήνων ἄξιοι, οὗτοι ὀδυρμῶν· ἔξω τῶν βασιλείων εἰσὶ μετὰ τῶν καταδίκων, μετὰ τῶν κατεγνωσμένων. «Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Κλαῦσον τοὺς ἐν πλούτῳ τετελευτηκότας, καὶ μηδεμίαν ἀπὸ τοῦ πλούτου παραμυθίαν ταῖς ἑαυτῶν ψυχαῖς ἐπινοήσαντας, τοὺς λαβόντας ἐξουσίαν ἀπολαύσασθαι αὐτῶν τὰ ἁμαρτήματα, καὶ μὴ βουληθέντας. Τούτους κλαίωμεν καὶ ἰδίᾳ καὶ κοινῇ πάντες, ἀλλὰ μετὰ κοσμιότητος, ἀλλὰ μετὰ σεμνότητος, ἀλλὰ μὴ ὥστε παραδειγματίζειν ἑαυτούς. Τούτους κλαίωμεν μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ τὸν πάντα βίον ἡμῶν. Τοῦτο οὐκ ἔστι πάθους ἀλόγου τὸ δάκρυον, ἀλλὰ φιλοστοργίας· ἐκεῖνο δὲ πάθους ἀλόγου· διὰ τοῦτο καὶ ταχέως σβέννυται. Ὅταν δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον γίνηται, ἀεὶ παραμένει. Κλαίωμεν τούτους, βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν, ἐπινοήσωμεν αὐτοῖς τινα βοήθειαν, μικρὰν μέν, βοηθῶμεν δ' ὅμως. Πῶς καὶ τίνι τρόπῳ; Εὐχόμενοι, καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν διδόντες συνεχῶς. Ἔχει τινὰ τὸ πρᾶγμα παραμυθίαν. Ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος· «Ὑπερασπιῶ

24. Ἰω. 3, 5.

τὰ παιγνίδια. Διότι ἐκεῖνοι οἱ κοπετοὶ δὲν γίνονται εἰς τὴν ἀγορὰν ἕνεκα συμπάθειας, ἀλλ' ἕνεκα ἐπιδείξεως καὶ φιλοδοξίας καὶ ματαιοδοξίας· πολλαὶ γυναῖκες κάνουν τοῦτο ἐξ ἐπαγγέλματος. Κλάψε πικρά, ἀναστέναξε εἰς τὸ σπίτι σου, ὅταν κανεὶς δὲν βλέπῃ· αὐτὸ εἶναι δεῖγμα συμπαθείας, ἐπὶ πλέον τοῦτο σὲ ὠφελεῖ. Διότι ἐκεῖνος ποὺ πενθεῖ κατ' αὐτὸν τὸν τρόπον, κατὰ πολὺ περισσότερον θὰ προσπαθήσῃ νὰ μὴ πέσῃ ποτὲ εἰς παρόμοια κακά. Φοβερὰ λοιπὸν θὰ εἶναι ἡ ἁμαρτία διὰ σέ. Κλάψε τοὺς ἀπίστους, κλάψε αὐτοὺς ποὺ δὲν διαφέρουν καθόλου ἀπ' ἐκείνους, ποὺ ἀποθνήσκουν χωρὶς βάπτισμα, χωρὶς τὴν σφραγῖδα τοῦ ἁγίου Πνεύματος. Αὐτοὶ πράγματι εἶναι ἄξιοι θρήνων, ἄξιοι ὀδυρμῶν· εὑρίσκονται ἔξω τῆς Βασιλείας τοῦ Θεοῦ μαζὶ μὲ τοὺς καταδίκους, μαζὶ μὲ τοὺς καταδικασμένους. «Διότι ἀλήθεια σᾶς λέγω, ἐὰν δὲν γεννηθῇ κανεὶς πνευματικὰ ἀπὸ τὸ ὕδωρ τοῦ ἁγίου βαπτίσματος καὶ τὸ ἅγιον Πνεῦμα, δὲν ἠμπορεῖ νὰ εἰσέλθῃ εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ»[24].

Κλάψε αὐτοὺς ποὺ ἔχουν ἀποθάνει μέσα εἰς τὰ πλούτη καὶ δὲν ἐπενόησαν ἀπ' αὐτὰ καμμίαν παρηγορίαν διὰ τὰς ψυχάς των, αὐτοὺς ποὺ ἔλαβαν τὴν δύναμιν νὰ ἀποκαθαρισθοῦν τελείως ἀπὸ τὰ ἁμαρτήματά των, καὶ δὲν ἠθέλησαν. Αὐτοὺς νὰ κλαίωμεν καὶ κατ' ἰδίαν καὶ ἀπὸ κοινοῦ ὅλοι, ἀλλὰ μὲ κοσμιότητα, μὲ σεμνότητα, ἀλλὰ νὰ μὴ ἐπιδεικνύωμεν ἔτσι τοὺς ἑαυτούς μας. Αὐτοὺς νὰ κλαίωμεν ὄχι μίαν ἡμέραν, οὔτε δύο, ἀλλ' εἰς ὅλην μας τὴν ζωήν. Τὸ δάκρυ τοῦτο δὲν προέρχεται ἀπὸ παράλογον πάθος, ἀλλ' ἀπὸ φιλοστοργίαν· ἐκεῖνο ὅμως προέρχεται ἀπὸ παράλογον πάθος, διὰ τοῦτο καὶ γρήγορα ἐξαφανίζεται. Ὅταν ὅμως γίνεται ἐξ αἰτίας τοῦ Θεοῦ, πάντοτε παραμένει. Ἂς κλαίωμεν λοιπὸν αὐτούς, ἂς τοὺς βοηθοῦμεν ὅσον ἠμποροῦμεν· ἂς ἐπινοήσωμεν δι' αὐτοὺς κάποιαν βοήθειαν, μικρὰν μέν, ἱκανὴν ὅμως νὰ βοηθῇ. Πῶς καὶ μὲ ποῖον τρόπον; Καὶ οἱ ἴδιοι νὰ προσευχώμεθα, νὰ προτρέπωμεν καὶ ἄλλους νὰ προσεύχωνται ὑπὲρ αὐτῶν, νὰ δίδωμεν συνεχῶς εἰς τοὺς πτωχοὺς πρὸς ὠφέλειαν αὐτῶν. Τὸ πρᾶγμα ἔχει κάποιαν παρηγορίαν. Διότι ἄκουε τὸν Θεὸν ποὺ λέγει· «Θὰ ὑπερασπί-

τῆς πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ Δαυῒδ τὸν δοῦλόν μου». Εἰ μνήμη μόνον δικαίου τοσοῦτον ἴσχυσεν, ὅταν καὶ ἔργα γένηται ὑπὲρ αὐτοῦ, πόσον οὐκ ἰσχύσει; Οὐκ εἰκῆ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν ἀποστόλων, τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων· ἴσασιν αὐτὸν πολὺ κέρδος γινόμενον, πολλὴν τὴν ὠφέλειαν. Ὅταν γὰρ ἑστήκῃ λαὸς ὁλόκληρος χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικόν, καὶ προκέηται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσομεν τὸν Θεὸν ὑπὲρ τούτων παρακαλοῦντες;

Ἀλλὰ τοῦτο μὲν περὶ τῶν ἐν πίστει παρελθόντων· οἱ δὲ κατηχούμενοι οὐδὲ ταύτης καταξιοῦνται τῆς παραμυθίας, ἀλλὰ ἀπεστέρηνται πάσης τοιαύτης βοηθείας, πλὴν μιᾶς τινος. Ποίας δὴ ταύτης; Ἔνεστι πένησιν ὑπὲρ αὐτῶν διδόναι, καὶ ποιεῖ τινα αὐτοῖς παραψυχὴν τὸ πρᾶγμα· καὶ γὰρ παρ' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βούλεται ὁ Θεός. Διὰ τί γὰρ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας τοῦ κόσμου ἐκέλευσεν εὔχεσθαι; διὰ τί ὑπὲρ πάντων ἀνθρώπων; Καίτοιγε ἐνταῦθα ἐν πᾶσίν εἰσι λῃσταὶ καὶ τυμβωρύχοι καὶ κλέπται, καὶ μυρίων κακῶν γέμοντες, ἀλλ' ὅμως ὑπὲρ πάντων εὐχόμεθα· ἴσως ἔσται τις αὐτῶν ἐπιστροφή. Ὥσπερ οὖν ὑπὲρ τῶν ζώντων εὐχόμεθα τῶν οὐδὲν διαλλαττόντων τῶν νεκρῶν, οὕτως ἔνεστι καὶ ὑπὲρ ἐκείνων εὔχεσθαι. Ὁ Ἰὼβ ὑπρ τῶν παίδων ἐποίει θυσίας, καὶ ἀπήλλατεν αὐτοὺς τῶν ἁμαρτημάτων· «Μή ποτε ἐνενόησαν», φησί, «τί ἐν τῇ καρδίᾳ αὐτῶν». Οὕτω τις προνοεῖται παίδων. Οὐκ εἶπε, καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, καταλίπω αὐτοῖς ὑπάρχοντα· οὐκ εἶπε, δῶ αὐτοῖς δόξαν· οὐκ εἶπεν, ἀρχὴν ὠνήσομαι· οὐκ εἶπεν, ἀγροὺς πρίωμαι· ἀλλὰ τί; «Μή τι ἐνενόησαν ἐν τῇ καρδίᾳ αὐτῶν». Τί γὰρ ὄφελος ἐκείνων; οὐδὲν

25. Δ' Βασ. 20, 6.
26. Τὸ μυστήριον τῆς θείας Εὐχαριστίας.
27. Ἰὼβ 1, 5.

ζω τὴν πόλιν αὐτὴν πρὸς χάριν μου καὶ πρὸς χάριν τοῦ Δαυΐδ τοῦ δούλου μου»[25]. Ἐὰν ἡ ἀνάμνησις μόνον τοῦ δικαίου ἔχει τόσην δύναμιν, ὅταν γίνωνται καὶ ἔργα ὑπὲρ αὐτοῦ, πῶς δὲν θὰ ἔχῃ δύναμιν; Δὲν ἐθεσπίσθησαν αὐτὰ τυχαίως ἀπὸ τοὺς ἀποστόλους, τὸ νὰ ἐνθυμούμεθα δηλαδὴ αὐτοὺς ποὺ ἀπῆλθον ἀπὸ τὴν ζωὴν κατὰ τὴν διάρκειαν τῶν φρικτῶν μυστηρίων· γνωρίζουν ὅτι γίνεται δι' αὐτοὺς πολὺ κέρδος, πολλὴ ὠφέλεια. Διότι ὅταν ἵσταται ὁλόκληρος λαὸς μὲ τὰ χέρια ὑψωμένα, τὸ ἱερατικὸν πλήρωμα, καὶ τελεῖται ἡ φοβερὰ θυσία[26], πῶς δὲν θὰ καθικετεύσωμεν τὸν Θεὸν προσευχόμενοι ὑπὲρ τούτων;

Ἀλλ' αὐτὸ μὲν ἀφορᾷ αὐτοὺς ποὺ παρῆλθον ἐν πίστει· οἱ κατηχούμενοι ὅμως δὲν εἶναι ἄξιοι οὔτε αὐτῆς τῆς παρηγορίας, ἀλλ' ἔχουν στερηθῆ ἀπὸ κάθε τέτοιου εἴδους βοήθειαν, ἐκτὸς ἀπὸ μίαν. Ποία λοιπὸν εἶναι αὐτή; Εἶναι δυνατὸν νὰ δίδουν οἱ πτωχοὶ ὑπὲρ αὐτῶν, καὶ τὸ πρᾶγμα τοῦτο παρέχει εἰς αὐτοὺς κάποιαν παρηγορίαν· διότι καὶ ὁ Θεὸς ἐπιθυμεῖ νὰ βοηθοῦμεν ὁ ἕνας τὸν ἄλλον. Διατί λοιπὸν παρήγγειλε νὰ προσευχώμεθα ὑπὲρ τῆς εἰρήνης καὶ τῆς εὐσταθείας τοῦ κόσμου; Διατί νὰ προσευχώμεθα ὑπὲρ ὅλων τῶν ἀνθρώπων; Ἂν καὶ βέβαια ἐδῶ ὑπάρχουν παντοῦ λησταὶ καὶ τυμβωρύχοι καὶ κλέπται, καὶ εἴμεθα γεμᾶτοι ἀπὸ πολλοὺς κακούς· ἀλλ' ὅμως προσευχόμεθα ὑπὲρ ὅλων τῶν ἀνθρώπων· ἴσως καὶ ἐπιστρέψει κανεὶς ἀπ' αὐτοὺς εἰς τὸν ἀληθινὸν Θεόν. Ὅπως λοιπὸν προσευχόμεθα ὑπὲρ τῶν ζώντων, οἱ ὁποῖοι δὲν διαφέρουν ἀπὸ τοὺς νεκρούς, ἔτσι εἶναι δυνατὸν νὰ προσευχώμεθα καὶ ὑπὲρ ἐκείνων. Ὁ Ἰὼβ προσέφερε τὰς θυσίας ὑπὲρ τῶν υἱῶν του καὶ τοὺς ἐκαθάριζεν ἀπὸ τὰς ἁμαρτίας των· «Μήπως κάποτε διενοήθησαν μὲ τὰς σκέψεις των κάτι τὸ κακόν», λέγει ὁ Ἰὼβ[27]. Ἔτσι φροντίζει κανεὶς διὰ τὰ παιδιά του. Δὲν εἶπεν, ὅπως ἀκριβῶς λέγουν οἱ πολλοὶ ἄνθρωποι, ἂς κληροδοτήσω εἰς αὐτοὺς περιουσίαν· δὲν εἶπε, νὰ δώσω εἰς αὐτοὺς δόξαν· δὲν εἶπε, θὰ ἐξαγοράσω τὴν ἐξουσίαν· δὲν εἶπε, νὰ ἀγοράσω κτήματα· ἀλλὰ τί εἶπε; «Μήπως διενοήθησαν μὲ τὰς σκέψεις των κάτι τὸ κακόν». Διότι ποία ἡ ὠφέλεια ἐκείνων ποὺ

τῶν ἐνταῦθα μενόντων. Τὸν βασιλέα πάντων ἵλεων ποιήσω, φησίν, αὐτοῖς, καὶ οὐδὲν αὐτοῖς λείπει λοιπόν. «Κύριος γάρ», φησί, «ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει». Οὗτος πλοῦτος μέγας, οὗτος θησαυρός. Ἂν τὸν τοῦ Θεοῦ φόβον ἔχωμεν, οὐδενὸς ἡμῖν δεῖ· ἂν δὲ τοῦτο μὴ ἔχωμεν, καὶ τὴν βασιλείαν αὐτὴν ἐὰν ἔχωμεν, πάντων ἐσμὲν πενέστεροι. Οὐδὲν ἴσον τοῦ φοβουμένου τὸν Κύριον. «Ὁ φόβος γάρ», φησί, «τοῦ Κυρίου πάντα ὑπερέβαλε». Τοῦτον κτησώμεθα, ὑπὲρ τούτου πάντα πράττωμεν· κἂν τὴν ψυχὴν ἀποδόσθαι δέῃ, μὴ φεισώμεθα, κἂν τὸ σῶμα κατακόψαι· πάντα πράττωμεν, ἵνα τοῦ φόβου τούτου ἐπιτύχωμεν. Οὕτω γὰρ ἐσόμεθα πάντων εὐπορώτεροι, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

28. Ψαλμ. 22, 1.
29. Σοφ. Σειρ. 25, 11.

μένουν ἐδῶ; Καμμία. Θὰ ἐξευμενίσω τὸν βασιλέα τῶν πάντων δι᾽ αὐτούς, λέγει, καὶ εἰς τὸ ἑξῆς τίποτε δὲν θὰ λείπῃ εἰς αὐτούς. «Διότι ὁ Κύριος, λέγει, μὲ ποιμαίνει, καὶ τίποτε δὲν θὰ μὲ στερήσῃ»[28]. Αὐτὸς εἶναι μεγάλος πλοῦτος, αὐτὸς εἶναι θησαυρός. Ἂν ἔχωμεν τὸν φόβον τοῦ Θεοῦ, οὐδεμίαν θὰ ἔχωμεν ἀνάγκην. Ἐὰν ὅμως δὲν ἔχωμεν τοῦτο, ἀκόμη καὶ ἐὰν εἴμεθα βασιλεῖς, εἴμεθα πτωχότεροι ὅλων. Τίποτε δὲν εἶναι ἴσον μὲ αὐτὸν ποὺ φοβεῖται τὸν Κύριον. «Διότι ὁ φόβος τοῦ Κυρίου, λέγει ἡ Γραφή, κατέβαλε τὰ πάντα»[29]. Ἂς ἀποκτήσωμεν τοῦτον, ἂς πράττωμεν τὰ πάντα δι᾽ αὐτόν· εἴτε ἀκόμη πρέπει νὰ δώσωμεν τὴν ψυχήν μας, νὰ μὴ λυπηθοῦμεν, εἴτε πρέπει νὰ κατακόψωμεν τὸ σῶμα μας ἂς πράττωμεν τὰ πάντα διὰ νὰ ἐπιτύχωμεν τὸν φόβον τοῦ Θεοῦ. Διότι ἔτσι θὰ εἴμεθα πλουσιώτεροι καὶ θὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ε´

Φιλιπ. 1, 22 - 30

«Καὶ τί αἱρήσομαι οὐ γνωρίζω. Συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως· ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς».

Οὐδὲν τῆς Παύλου ψυχῆς μακαριώτερον, ἐπειδὴ μηδὲ γενναιότερον διὰ τοῦτο. Πάντες πεφρίκαμεν τὸν θάνατον, λέγω· οἱ μὲν διὰ τὸ τῶν ἁμαρτημάτων πλῆθος, ὧν καὶ αὐτὸς εἷς εἰμι· οἱ δὲ διὰ τὴν φιλοψυχίαν καὶ ταλαιπωρίαν, ὧν μήποτε γενοίμην ἐγώ· ψυχικοὶ γὰρ οἱ τοῦτον δεδοικότες τὸν φόβον. Τοῦτο τοίνυν, ὃ πάντες πεφρίκαμεν, ἐκεῖνος ηὔχετο, καὶ πρὸς ἐκεῖνον ἠπείγετο, τὸ ἀναλῦσαι λέγων πολλῷ μᾶλλον κρεῖσσον. Τί λέγεις; μέλλων ἐντεῦθεν πρὸς τὸν οὐρανὸν μεθίστασθαι, καὶ μετὰ Χριστοῦ εἶναι, οὐ γνωρίζεις τί αἱρήσῃ; Ἀλλὰ πόρρω τῆς Παύλου ταῦτα ψυχῆς. Τίνι γὰρ εἴ τις εἶπε τοῦτο καὶ διεβεβαιώσατο, οὐκ ἂν εὐθέως ἥρπασε; Ναί· ὥσπερ γὰρ οὐκ ἔστιν ἡμῶν τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· οὕτως οὐδὲ τό, παρὸν τούτου τυχεῖν, μεῖναι ἐν-

1. Φιλιπ. 1, 22 - 26.

ΛΟΓΟΣ Ε΄
Φιλιπ. 1, 22 - 30

«Καὶ τί νὰ προτιμήσω δὲν γνωρίζω. Μὲ τραβοῦν δὲ καὶ μὲ κρατοῦν καὶ τὰ δύο, καὶ ὑπερισχύει ἡ ἐπιθυμία μου νὰ φύγω ἀπὸ τὴν ζωὴν αὐτὴν καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστόν. Αὐτὸ εἶναι ἀσυγκρίτως καλύτερον δι' ἐμέ. Τὸ νὰ παραμείνω ὅμως μὲ τὸ σῶμα εἰς τὴν παροῦσαν ζωὴν εἶναι ἀναγκαιότερον διὰ τὴν ἰδικήν σας ὠφέλειαν. Καὶ μὲ πεποίθησιν γνωρίζω τοῦτο, ὅτι θὰ μείνω καὶ θὰ συμπαραμείνω μαζὶ μὲ ὅλους σας διὰ τὴν πρόοδον καὶ τὴν χαρὰν τῆς πίστεώς σας. Διὰ νὰ περισσεύῃ ἐξ αἰτίας μου τὸ καύχημά σας, ἐν Χριστῷ Ἰησοῦ καὶ διὰ τῆς παρουσίας μου ὅταν ἔλθω πάλιν εἰς σᾶς»[1].

Τίποτε δὲν εἶναι εὐτυχέστερον ἀπὸ τὴν ψυχὴν τοῦ Παύλου, ἐπειδὴ οὔτε γενναιότερον, διὰ τοῦτο. Ὅλα τρέμομεν τὸν θάνατον, λέγω· ἄλλοι μέν, μεταξὺ τῶν ὁποίων εἶμαι καὶ ἐγὼ ὁ ἴδιος, ἐξ αἰτίας τῶν ἁμαρτιῶν· ἄλλοι δὲ ἐξ αἰτίας τῆς δειλίας καὶ τῆς στενοχωρίας των, μεταξὺ τῶν ὁποίων εἴθε νὰ μὴ γίνω ἐγὼ ποτέ· διότι εἶναι φυσικοὶ ἄνθρωποι ἐκεῖνοι ποὺ φοβοῦνται αὐτὸν τὸν φόβον. Αὐτὸ λοιπὸν ποὺ ὅλοι τρέμομεν, ἐκεῖνος ἐπεθυμοῦσε, καὶ πρὸς τὸν Χριστὸν ἔσπευδε, λέγων τὸ νὰ φύγω ἀπὸ τὴν ζωὴν αὐτὴν εἶναι ἀσυγκρίτως καλύτερον. Τί λέγεις; Πρόκειται νὰ μεταβῇς ἀπὸ τὴν γῆν πρὸς τὸν οὐρανόν, καὶ νὰ εἶσαι μαζὶ μὲ τὸν Χριστόν, καὶ δὲν γνωρίζεις τί νὰ προτιμήσῃς; Ἀλλ' αὐτὰ εἶναι ξένα διὰ τὴν ψυχὴν τοῦ Παύλου. Διότι ποῖος, ἐὰν τοῦ ἔλεγε κανεὶς αὐτὸ καὶ τοῦ ἔδιδε διαβεβαιώσεις περὶ τούτου, δὲν θὰ τὸ εἶχεν ἁρπάξει ἀμέσως; Ναί· διότι ὅπως ἀκριβῶς δὲν ἐξαρτᾶται ἀπὸ ἡμᾶς τὸ νὰ φύγωμεν ἀπὸ τὴν ζωὴν καὶ νὰ εἴμεθα μαζὶ μὲ τὸν Χριστὸν κατὰ τὸν ἴδιον τρόπον δὲν ἐξαρτᾶται ἀπὸ ἡμᾶς οὔτε καὶ τὸ νὰ πα-

ταῦθα ἡμῶν· ἀλλ' ἀμφότερα Παύλου καὶ τῆς ἐκείνου ψυχῆς· ἐκεῖνος ἐπέπειστο. Τί; μετὰ Χριστοῦ μέλλεις εἶναι, καὶ λέγεις, οὐκ οἶδα τί αἱρήσομαι; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐνταῦθα αἱρῇ, τὸ ἐπιμεῖναι τῇ σαρκί; Τί δήποτε; Οὐχὶ κατάπικρον ἔζης βίον; ἐν ἀγρυπνίαις, ἐν ναυαγίοις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι, ἐν μερίμναις, ἐν φροντίσι; μετὰ τῶν ἀσθενούντων ἠσθένεις, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων πυροῦσαι.

«Ἐν ὑπομονῇ πολλῇ, φησίν, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν ἁγνότητι. Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβες, τρὶς ἐρραβδίσθης, ἅπαξ ἐλιθάσθης, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκας· κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν ψευδαδέλφοις». Οὐχὶ ὅτε τὸ Γαλατῶν ἅπαν ἔθνος ἐπὶ τὴν τοῦ νόμου παρατήρησιν ἐπανῆλθεν, ἐβόας λέγων, «Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε»; Πόσα τότε οὐκ ἐπένθησας, καὶ ἔτι τοῦτον ποθεῖς τὸν ἐπίκηρον βίον; Εἰ γὰρ μηδέν σοι τούτων συμβεβήκει, ἀλλὰ πάντα, ἅπερ κατωρθώκεις, κατώρθωσας μετὰ ἀδείας, μετὰ τρυφῆς, οὐκ ἐχρῆν τὸ ἄδηλον τοῦ μέλλοντος δεδοικότα πρός τινα λιμένα σπεύδειν; Τίς ἔμπορος, εἰπέ μοι, θησαυρῶν μυρίων πλήρη τὴν ὁλκάδα ἔχων, παρὸν εἰς λιμένα καταδραμεῖν καὶ ἀναπαύεσθαι, ἕλοιτο θαλαττεύειν ἔτι; Τίς ἀγωνιστής, παρὸν στεφανωθῆναι, ἕλοιτο ἀγωνίζεσθαι; Τίς πυκτεύων, παρὸν ἀναδήσασθαι τὸν στέφανον, ἕλοιτο πάλιν εἰς τὸν ἀγῶνα εἰσιέ-

2. Β' Κορ. 6, 4 - 6· 11, 24 - 26.
3. Γαλ. 5, 4.

ραμείνωμεν εἰς τὴν παροῦσαν ζωήν, ἂν καὶ εἶναι εἰς τὴν ἐξουσίαν μας νὰ ἐπιτύχωμεν τοῦτο· ἀλλὰ καὶ τὰ δύο ἐξαρτῶνται ἀπὸ τὸν Παῦλον καὶ τὴν ψυχήν του· ἐκεῖνος εἶχε πεισθῇ. Τί; Πρόκειται νὰ εἶσαι μαζὶ μὲ τὸν Χριστόν, καὶ λέγεις, δὲν γνωρίζω τί νὰ προτιμήσω; Καὶ δὲν εἶναι μόνον τοῦτο, ἀλλὰ καὶ τὴν ζωὴν αὐτὴν προτιμᾷς, νὰ παραμείνῃς μὲ τὸ σῶμα εἰς τὴν παροῦσαν ζωήν; Τί τέλος πάντων; Δὲν ἔζης πικραμμένην ζωήν; μὲ ἀγρυπνίας, μὲ ναυάγια, μὲ πεῖναν καὶ δίψαν καὶ γυμνότητα, μὲ μερίμνας, μὲ φροντίδας; μὲ τοὺς ἀσθενεῖς ἦσο ἀσθενής, καὶ ἐστενοχωρεῖσο πολὺ ὑπὲρ τῶν σκανδαλιζομένων.

«Μὲ ὑπομονὴν πολλήν», λέγει, «μὲ θλίψεις, μὲ ἀνάγκας, μὲ στενοχωρίας, μὲ πληγάς, μὲ φυλακίσεις, μὲ καταδιώξεις, ποὺ δὲν μᾶς ἀφήνουν νὰ σταθοῦμεν, μὲ στερήσεις φαγητοῦ, μὲ καθαρότητα ἀπὸ κάθε ἁμαρτίαν. Πέντε φορὰς ἐμαστιγώθην μὲ τεσσαράκοντα παρὰ μίαν μαστιγώσεις, τρεῖς φορὰς ἐρραβδίσθην, μίαν φορὰν ἐλιθοβολήθην, ἐπὶ ἕνα ἡμερονύκτιον ἔμεινα εἰς τὸ ἀνοικτὸν πέλαγος· μὲ κινδύνους μέσα εἰς πλημμυρισμένους ποταμούς, μὲ κινδύνους ἀπὸ ληστάς, μὲ κινδύνους μέσα εἰς πόλεις, μὲ κινδύνους μέσα εἰς ἐρήμους τόπους, μὲ κινδύνους ἀπὸ τοὺς ψευδαδέλφους»[2]. Ὅταν ὅλοι οἱ Γαλάται ἐπανῆλθον εἰς τὴν τήρησιν τῆς ἐντολῆς τοῦ μωσαϊκοῦ νόμου, δὲν ἐκραύγαζες λέγων «σεῖς, ποὺ προσπαθεῖτε νὰ δικαιωθῆτε διὰ μέσου τοῦ νόμου, ἐγίνατε ἔκπτωτοι ἀπὸ τὴν χάριν»[3]; Πόσον δὲν ἐθρήνησες τότε, καὶ ἀκόμη ποθεῖς αὐτὴν τὴν πρόσκαιρον ζωήν; Διότι ἐὰν δὲν σοῦ εἶχε συμβῇ τίποτε ἀπ' αὐτά, ἀλλὰ ὅλα τὰ ὁποῖα εἶχες κατορθώσει, τὰ κατώρθωσες μὲ ἀσφάλειαν, μὲ τρυφήν, δὲν θὰ ἔπρεπεν, ἐπειδὴ ἐφοβεῖσο τὸ ἀβέβαιον τοῦ μέλλοντος, νὰ σπεύδῃς εἰς ἕνα λιμάνι; Ποῖος ἔμπορος, εἰπέ μου, ποὺ ἔχει τὸ φορτηγὸν πλοῖον του γεμᾶτον μὲ πολλοὺς θησαυρούς, θὰ ἐπροτιμοῦσε νὰ ταξιδεύσῃ ἀκόμη, ἐνῷ κατέπλευσεν εἰς τὸ λιμάνι καὶ ἀναπαύεται; Ποῖος ἀθλητής, ἐνῷ πρόκειται νὰ στεφανωθῇ, θὰ ἐπροτιμοῦσε νὰ ἀγωνίζεται; Ποῖος πυγμάχος, ἐνῷ πρόκειται νὰ παραλάβῃ τὸ στεφάνι τῆς νίκης, θὰ ἐπροτιμοῦσε

ναι, καὶ κατακόπτειν τὴν ἑαυτοῦ κεφαλήν; Ποῖος στρατηγός, ἐξὸν ἀπαλλαγῆναι τοῦ πολέμου μετὰ εὐδοξίας καὶ τροπαίων, καὶ μετὰ τοῦ βασιλέως ἐν τοῖς βασιλείοις ἀναπαύεσθαι, καταδέξαιτο ἂν ἔτι καὶ ἱδροῦν καὶ παρατάττεσθαι; Πῶς οὖν τὸν οὕτω κατάπικρον ζῶν βίον, ἔτι ἐνταῦθα μένειν βούλει; Οὐχὶ σὺ ἔλεγες, «Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι»; Εἰ καὶ διὰ μηδὲν ἕτερον, διὰ τοῦτο γοῦν ἐχρῆν ἐπιθυμεῖν τῆς ἀπαλλαγῆς· εἰ μυρίων ἦν ἀγαθῶν μεστὰ τὰ παρόντα, διὰ γοῦν τὸν Χριστὸν τὸν ποθούμενον ἔδει ποθεῖν τὴν τούτων ἀπαλλαγήν.

Βαβαὶ τῆς τοῦ Παύλου ψυχῆς· οὐδὲν ἴσον ἐκείνης γέγονεν, οὐδὲ ἔσται. Φοβῇ τὸ μέλλον, μυρίοις ἐνέχῃ δεινοῖς, καὶ οὐ βούλει εἶναι πρὸς τὸν Χριστόν; Οὔ, φησί· καὶ τοῦτο διὰ τὸν Χριστόν, ἵνα οὓς εἰργασάμην αὐτοῦ δούλους, εὐνουστέρους καταστήσω· ἵνα ὅπερ ἐφύτευσα γεώργιον, καρποφορῆσαι ποιήσω. Οὐκ ἤκουσάς μου οὐχὶ τὸ ἑαυτοῦ ζητοῦντος, ἀλλὰ τὸ τῶν πλησίον συμφέρον; οὐκ ἤκουσας, ὅτι ἀνάθεμα ηὐχόμην γενέσθαι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τοῦ πολλοὺς αὐτῷ προσελθεῖν; Ὁ ἐκεῖνο ἑλόμενος, οὐ πολλῷ μᾶλλον τοῦτο αἱρήσομαι, ἡδέως ἐμαυτὸν ζημιῶν διὰ τῆς ἀναβολῆς καὶ ὑπερθέσεως, ἵνα ἐκείνοις γένηταί τις σωτηρία; Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ὅτι Παῦλον οὐκ ἀφῆκας λαθεῖν, ὅτι ἔδειξας τῇ οἰκουμένῃ τοιοῦτον ἄνδρα; Ἤνεσάν σε πάντες ἄγγελοι ὁμοθυμαδόν, ὅτε τὰ ἄστρα εἰργάσω, οὐκοῦν καὶ ὅτε τὸν ἥλιον· ἀλλ' οὐχ οὕτως, ὡς ὅτε Παῦλον ἔδειξας τῇ οἰκουμένῃ πάσῃ. Διὰ τοῦτο λαμπροτέρα γέγονεν ἡ γῆ τοῦ οὐρανοῦ, φαιδρότερος οὗτος τοῦ ἡλιακοῦ φωτός, ἀφῆκε λαμπροτέρας τὰς μαρμαρυγάς, φαιδρὰς τὰς ἀκτῖνας

4. Α' Κορ. 9, 27.
5. Ψαλμ. 105, 2.
6. Ἰὼβ 38, 7.

νὰ εἰσέλθῃ πάλιν εἰς τὸν ἀγῶνα καὶ νὰ κτυπᾷ ἰσχυρὰ τὸ κεφάλι του; Ποῖος στρατηγός, ἐνῷ ἦτο εἰς τὴν ἐξουσίαν του νὰ ἀπαλλαγῇ μὲ καλὴν φήμην καὶ τρόπαια ἀπὸ τὸν πόλεμον, καὶ νὰ ἀναπαύεται μαζὶ μὲ τὸν βασιλέα εἰς τὰ ἀνάκτορα, θὰ ἤθελε νὰ ἀποδεχθῇ νὰ κοπιάζῃ πολὺ καὶ νὰ μάχεται; Πῶς λοιπὸν ἐνῷ ἔζης ἔτσι τὴν πικρὰν αὐτὴν ζωήν, ἐπιθυμεῖς ἀκόμη νὰ μένῃς εἰς τὴν ζωὴν αὐτήν; Σὺ δὲν ἔλεγες «Φοβοῦμαι μήπως ἐγώ, ποὺ ἐκήρυξα εἰς ἄλλους, ἀποδειχθῶ ἀνάξιος»[4]; Ἐὰν δὲν ὑπῆρχε τίποτε ἄλλο, τουλάχιστον διὰ τοῦτο ἔπρεπε νὰ ἐπιθυμῇ τὸν θάνατον· ἐὰν ἡ παροῦσα ζωὴ ἦτο γεμάτη ἀπὸ πολλὰ ἀγαθά, τουλάχιστον διὰ τὸν ποθούμενον Χριστόν, θὰ ἔπρεπε νὰ ἐπιθυμῇ τὸ τέλος τῆς ζωῆς αὐτῆς.

Ποία ἦτο ἡ ψυχὴ τοῦ Παύλου! Δὲν ἔχει γίνει τίποτε ἴσον μὲ ἐκείνην, οὔτε θὰ γίνῃ. Φοβεῖσαι τὸ μέλλον, ὑποφέρεις πολλὰ δεινά, καὶ δὲν θέλεις νὰ εἶσαι πλησίον εἰς τὸν Χριστόν; Ὄχι, λέγει· καὶ τοῦτο διὰ τὸν Χριστόν, διὰ νὰ καταστήσω αὐτούς, ποὺ ἔκαμα δούλους Του, νὰ διάκεινται περισσότερον εὐνοϊκῶς ἀπέναντί του· διὰ νὰ κάμω νὰ καρποφορήσῃ τὸ χωράφι ποὺ ἐφύτευσα. Δὲν μὲ ἤκουσες, ποὺ δὲν ἐπεδίωκα τὸ ἰδικόν μου συμφέρον, ἀλλὰ τὸ συμφέρον τῶν ἄλλων ἀνθρώπων; Δὲν ἤκουσες, ὅτι ηὐχόμην νὰ γίνω ἀνάθεμα ἀπὸ τοῦ Χριστοῦ, ὥστε νὰ προσέλθουν πολλοὶ εἰς αὐτόν; Ἐγὼ ποὺ ἐπροτίμησα ἐκεῖνο, δὲν θὰ προτιμήσω κατὰ πολὺ περισσότερον τοῦτο, νὰ ζημιώνω εὐχαρίστως τὸν ἑαυτόν μου διὰ τῆς ἀναβολῆς καὶ μεταθέσεως, μὲ σκοπὸν νὰ ἐπιτύχουν ἐκεῖνοι τὴν σωτηρίαν; Ποῖος ἠμπορεῖ νὰ διηγηθῇ τὰ κραταιά σου ἔργα, Κύριε[5], διότι δὲν ἄφησες νὰ μείνῃ ἀπαρατήρητος ὁ Παῦλος, διότι προσέφερες εἰς τὴν οἰκουμένην ἕνα τέτοιον ἄνδρα; Σὲ ὕμνησαν ὅλοι οἱ ἄγγελοι ὁμόφωνα, ὅταν ἐδημιούργησες τὰ ἄστρα[6], καὶ μάλιστα ὅταν ἐδημιούργησες τὸν ἥλιον· ἀλλ' ὄχι ἔτσι, ὅταν προσέφερες τὸν Παῦλον εἰς ὅλην τὴν οἰκουμένην. Διὰ τοῦτο ἡ γῆ ἔχει γίνει λαμπροτέρα ἀπὸ τὸν οὐρανόν, αὐτὸς φωτεινότερος ἀπὸ τὸ φῶς τοῦ ἡλίου, αὐτὸς ἐξέπεμψε λαμπροτέραν τὴν λάμψιν του, ἐξαπέστειλε φωτεινὰς τὰς ἀκτῖνας

ἥπλωσεν. Ἡλίκον ἡμῖν οὗτος ἔτεινε τὸν καρπόν, οὐκ ἀστάχυς πιαίνων, οὐδὲ ῥόας τρέφων, ἀλλὰ τὸν τῆς εὐσεβείας καρπὸν καὶ τίκτων, καὶ εἰς ἀκμὴν ἄγων, καὶ διαπίπτοντας συνεχῶς ἀνακτώμενος; Οὗτος μὲν γὰρ ὁ ἥλιος τὸ ἅπαξ διασαπὲν τῶν ἀκροδρύων οὐδὲν ὀνῆσαι δυνήσεται· Παῦλος δὲ τοὺς μυρίας ἔχοντας σηπεδόνας, ἐξ ἁμαρτημάτων ἐνεκαλεῖτο· καὶ οὗτος μὲν παραχωρεῖ τῇ νυκτί, ἐκεῖνος δὲ τοῦ διαβόλου περιεγένετο.

Οὐδὲν εἷλεν ἐκεῖνον, οὐδὲν ἐκράτησεν. Ἐκεῖνος ἀφ' ὕψους φερόμενος, κάτω τὰς ἀκτῖνας ἀφίησιν· αὐτὸς δὲ κάτωθεν ἀνατέλλων, οὐχὶ τὸ μέσον οὐρανοῦ καὶ τῆς γῆς τοῦ φωτὸς ἐπλήρωσεν, ἀλλὰ ἅμα τὸ στόμα ἠνέῳξε, καὶ τοὺς ἀγγέλους ἐνέπλησε πολλῆς τῆς ἡδονῆς. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, αὐτὸς δὲ ἐκ πρώτης δημηγορίας πολλοὺς ἐθήρευσε, πῶς οὐκ ἐμπλήσει χαρᾶς τὰς ἄνω δυνάμεις; Καὶ τί λέγω; ἁπλῶς ἀρκεῖ Παῦλον φθέγγεσθαι, καὶ τοὺς οὐρανοὺς σκιρτᾶν καὶ εὐφραίνεσθαι. Εἰ γάρ, ὅτε ἐξ Αἰγύπτου ἐξῄεσαν οἱ Ἰσραηλῖται, ἐσκίρτησαν τὰ ὄρη, ὡς κριοί· ὅτε ἀπὸ γῆς εἰς οὐρανὸν μετέστησαν ἄνθρωποι, πόσην οἴει εἶναι χαράν; Διὰ ταῦτα τὸ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς.

Ποίαν ἕξομεν ἀπολογίαν λοιπὸν ἡμεῖς; Πολλάκις γὰρ ἄνθρωπος κληροῦται πόλιν μικρὰν καὶ πενιχράν, καὶ οὐχ αἱρεῖται ἀπελθεῖν ἑτέρωθι, τὴν οἰκείαν προκρίνων ἀνάπαυσιν· πρὸς τὸν Χριστὸν εἶχεν ἀπελθεῖν ὁ Παῦλος, καὶ οὐκ ἠθέλησε· τὸν Χριστόν, ὃν οὕτως ἐπόθει, ὡς δι' αὐτὸν καὶ γέενναν αἱρεῖσθαι· καὶ ἔμενεν ἔτι ἀγωνιζόμενος διὰ τοὺς ἀνθρώπους. Τί ἔσται ἡμῖν ἀπολογία; Ὅλως δὲ μεμνῆσθαι χρὴ Παύλου ἁπλῶς; Ὅρα τί εἰργάσατο. Ἔδειξεν ὅτι

7. Πρβλ. Ψαλμ. 113, 1 - 4.

του. Πόσον πολὺν καρπὸν παρήγαγεν αὐτὸς πρὸς χάριν μας, χωρὶς νὰ αὐξάνῃ τὰ στάχυα, οὔτε νὰ καλλιεργῇ ρόδια, ἀλλὰ νὰ παράγῃ καὶ νὰ ὡριμάζῃ τὸν καρπὸν τῆς εὐσεβείας, καὶ ἐνῷ πίπτομεν εἰς σφάλματα συνεχῶς μᾶς ἀναζωογονεῖ; Διότι ὁ ἥλιος μὲν δὲν ἠμπορεῖ νὰ ὠφελήσῃ καθόλου τὸ μέρος τῶν καρπῶν ποὺ ἔχει σαπίσει ἅπαξ διὰ παντός· ὁ Παῦλος ὅμως ἐπανέφερεν ἐκ τῶν ἁμαρτημάτων αὐτοὺς ποὺ εἶχαν πάρα πολλὰς ἠθικὰς σήψεις· καὶ ὁ ἥλιος μὲν παραχωρεῖ τὴν θέσιν του εἰς τὴν νύκτα, ἐκεῖνος ὅμως γίνεται ὑπέρτερος τοῦ διαβόλου.

Τίποτε δὲν κατέβαλεν ἐκεῖνον, τίποτε δὲν τὸν κατίσχυσε. Ἐκεῖνος φερόμενος ἀπὸ ὑψηλὰ ἐκπέμπει τὰς ἀκτῖνας κάτω εἰς τὴν γῆν· αὐτὸς ὅμως ἀνατέλλων ἐκ τῶν κάτω, δὲν ἐγέμισε φῶς τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀλλ' εὐθὺς ὡς ἤνοιξε τὸ στόμα του ἐγέμισε καὶ τοὺς ἀγγέλους μὲ πολλὴν ἡδονήν. Διότι, ἐὰν γίνεται χαρὰ εἰς τοὺς οὐρανοὺς δι' ἕνα ἁμαρτωλὸν ποὺ μετανοεῖ, ὁ Παῦλος δέ, ποὺ μὲ τὸ πρῶτον του κήρυγμα προσήλκυσε πολλούς, πῶς δὲν θὰ γεμίσῃ χαρὰν τὰς ἐπουρανίους δυνάμεις; Καὶ τί λέγω; εἶναι ἀρκετὸν νὰ ὁμιλῇ μόνον ὁ Παῦλος, καὶ οἱ οὐρανοὶ νὰ σκιρτοῦν καὶ νὰ εὐφραίνωνται. Ἐὰν βέβαια, ὅταν οἱ Ἰσραηλῖται ἐξήρχοντο ἐκ τῆς Αἰγύπτου, ἐσκίρτησαν τὰ ὄρη ὡς κριοί[7], πόση νομίζεις εἶναι ἡ χαρὰ ὅταν ἄνθρωποι μετέβησαν ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν; Διὰ τοὺς λόγους αὐτούς, τὸ νὰ παραμείνω εἰς τὴν παροῦσαν ζωὴν μὲ τὸ σῶμα, εἶναι ἀναγκαιότερον διὰ τὴν ἰδικήν σας ὠφέλειαν.

Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἔχωμεν ἡμεῖς; Ὁ ἄνθρωπος βέβαια κληρώνεται πολλὰς φορὰς νὰ ζῇ εἰς πόλιν μικρὰν καὶ πτωχήν, καὶ δὲν ἐπιδιώκει νὰ μεταβῇ εἰς ἄλλο μέρος, ἀλλὰ προτιμᾷ τὴν ἰδικήν του ἡσυχίαν· ὁ Παῦλος ἠμποροῦσε νὰ ἀπέλθῃ πρὸς τὸν Χριστόν, καὶ δὲν ἠθέλησε· τὸν Χριστόν, ποὺ τόσον ἐποθοῦσεν, ὥστε δι' αὐτὸν νὰ προτιμᾷ καὶ τὴν γέενναν τοῦ πυρός· καὶ ἐπέμενε νὰ ἀγωνίζεται διὰ τοὺς ἀνθρώπους. Ποία ἀπολογία θὰ εἶναι εἰς ἡμᾶς; Ἆρα λοιπὸν πρέπει νὰ ἐνθυμούμεθα τὸν Παῦλον ἔτσι ἁπλῶς; Πρόσεχε τί ἔπραξε. Ἔδειξεν ὅτι εἶναι καλύτερον

κρεῖσσον ἀπελθεῖν, πείθων ἑαυτὸν μὴ ἀλγεῖν· ἔδειξεν, ὅτι κἂν μένῃ, διὰ τοῦτο μένει, δι' ἐκείνους, ὅτι οὐκ ἀπὸ τῆς πονηρίας γίνεται τῶν ἐπιβουλευόντων. Ἵνα τοίνυν ἀξιοπίστους αὐτοὺς ἐργάσηται, καὶ τὴν αἰτίαν ἔθηκεν. Εἰ γὰρ ἀναγκαῖον τοῦτό ἐστι, πάντως ὅτι μενῶ, καὶ οὐχ ἁπλῶς μενῶ, ἀλλὰ μεθ' ὑμῶν μενῶ· τοῦτο γάρ ἐστι τό, «καὶ συμπαραμενῶ», τουτέστιν, ὄψομαι ὑμᾶς. Τίνος ἕνεκεν; «Εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως». Ἐνταῦθα αὐτοὺς καὶ διανίστησιν, ὥστε προσέχειν ἑαυτοῖς. Εἰ γὰρ δι' ὑμᾶς, φησί, μενῶ, ὁρᾶτε καὶ καταισχύνητέ μου τὴν παραμονήν. Μέλλων Χριστὸν ὁρᾶν, εἱλόμην ἐπὶ τῇ ὑμετέρᾳ προκοπῇ μένειν. Ἐπειδὴ ἡ ἐμὴ παρουσία καὶ πρὸς πίστιν ὑμῖν συμβάλλεται καὶ πρὸς χαράν, διὰ τοῦτο εἱλόμην μένειν.

Τί οὖν; Φιλιππησίων ἕνεκεν ἔμενε μόνων; Οὐκ ἐκείνων ἕνεκεν ἔμενε μόνων· λέγει δὲ τοῦτο, ἵνα αὐτοὺς θεραπεύσῃ· Πῶς δὲ ἦν τῇ πίστει προκόψαι; Ὥστε στηριχθῆναι μᾶλλον ὑμᾶς, καθάπερ νεοττοὺς δεομένους τῆς μητρός, ἕως ἂν αὐτοῖς παγῇ τὰ πτερά. Πολλῆς ἀγάπης τοῦτο τεκμήριον. Οὕτω καὶ ἡμεῖς τινας διεγείρομεν, ὡς ὅταν εἴπωμεν· διὰ σὲ ἔμεινα, ἵνα σε ποιήσω χρηστόν. «Ἵνα τὸ καύχημα ὑμῶν», φησί, «περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς». Ὁρᾷς ὅτι τό, «συμπαραμενῶ», τοῦτό ἐστιν; Ὅρα τὴν ταπεινοφροσύνην. Ἐπειδὴ εἶπεν, «εἰς τὴν ὑμῶν προκοπήν», δείκνυσιν ὅτι καὶ εἰς τὴν αὐτοῦ ὠφέλειαν. Ὅπερ καὶ πρὸς Ρωμαίους γράφων ποιεῖ, λέγων· «Τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν»· εἰπὼν πρῶτον, «Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν». Τί δέ

---

8. Ρωμ. 1, 12. 11.

νὰ ἀποθάνῃ, καθησυχάζων τὸν ἑαυτόν του διὰ νὰ μὴ αἰσθάνεται λύπην· ἔδειξεν ὅτι καὶ ἐὰν παραμένῃ εἰς τὴν ζωήν, διὰ τοῦτο παραμένει, διὰ τὴν ὠφέλειαν δηλαδὴ ἐκείνων, διότι δὲν γίνεται ἀπὸ τὴν πονηρίαν αὐτῶν ποὺ τὸν ἐπεβουλεύοντο. Διὰ νὰ κάμῃ ἀξιοπίστους αὐτούς, ἔθεσε καὶ τὴν αἰτίαν. Ἐὰν βέβαια τοῦτο εἶναι ἀναγκαῖον, ὅτι ὁπωσδήποτε θὰ παραμείνω εἰς τὴν ζωήν, δὲν θὰ παραμείνω ἁπλῶς, ἀλλὰ θὰ συμπαραμείνω μαζί σας. Διότι τοῦτο σημαίνει τὸ «καὶ συμπαραμενῶ», δηλαδὴ θὰ σᾶς συναντήσω. Διὰ ποῖον λόγον; «Διὰ τὴν πρόοδον καὶ τὴν χαρὰν τῆς πίστεώς σας». Ἐδῶ τοὺς ἐξυψώνει ἐπίσης, ὥστε νὰ προσέχουν τοὺς ἑαυτούς των. Διότι ἐὰν θὰ παραμείνω διὰ σᾶς, λέγει, προσέχετε νὰ μὴ ἐντροπιάσετε τὴν παραμονήν μου. Ἐνῷ πρόκειται νὰ συναντήσω τὸν Χριστόν, ἐπροτίμησα νὰ παραμείνω εἰς τὴν παροῦσαν ζωὴν διὰ τὴν ἰδικήν σας πρόοδον. Ἐπειδὴ ἡ παρουσία μου σᾶς βοηθεῖ καὶ εἰς τὴν πίστιν καὶ εἰς τὴν χαράν, διὰ τοῦτο ἐπροτίμησα νὰ παραμείνω.

Τί λοιπόν; Παρέμενε μόνον πρὸς χάριν τῶν Φιλιππησίων; Δὲν παρέμενε μόνον πρὸς χάριν ἐκείνων· λέγει ὅμως τοῦτο διὰ νὰ τοὺς κολακεύσῃ. Πῶς ἦτο δυνατὸν νὰ προοδεύσουν εἰς τὴν πίστιν; Διὰ νὰ στηριχθῆτε σεῖς περισσότερον, ὅπως οἱ νεοσσοὶ ποὺ ἔχουν ἀνάγκην ἀπὸ τὴν μητέρα των, ἕως ὅτου θὰ στερεοποιηθοῦν τὰ πτερὰ εἰς αὐτούς. Τοῦτο εἶναι ἀπόδειξις μεγάλης ἀγάπης. Ἔτσι καὶ ἡμεῖς κολακεύομεν μερικούς, ὅταν εἰποῦμεν· διὰ σὲ παρέμεινα, διὰ νὰ σὲ κάμω ἀγαθὸν ἄνθρωπον. «Διὰ νὰ περισσεύῃ», λέγει, «ἐξ αἰτίας μου τὸ καύχημά σας, ποὺ στηρίζεται εἰς τὴν ἕνωσίν σας μὲ τὸν Ἰησοῦν Χριστόν, διὰ τῆς ἰδικῆς μου παρουσίας, ὅταν θὰ ἔλθω πάλιν εἰς σᾶς». Βλέπεις ὅτι τὸ «συμπαραμενῶ» σημαίνει αὐτό; Πρόσεχε τὴν ταπεινοφροσύνην του. Ἐπειδὴ εἶπε «διὰ τὴν πρόοδόν σας», ἀποδεικνύει ὅτι ἀποβλέπει καὶ εἰς τὴν ἰδικήν του ὠφέλειαν. Τοῦτο κάμνει καὶ ὅταν γράφῃ πρὸς τοὺς Ρωμαίους, λέγων· «Ἐννοῶ δὲ μὲ τοῦτο, νὰ παρηγορηθῶ καὶ ἐγὼ εὑρισκόμενος μεταξύ σας», ἀφοῦ εἶπε προηγουμένως· «διὰ νὰ σᾶς μεταδώσω κανένα χάρισμα πνευματικόν»[8]. Καὶ τί σημαίνει

ἐστιν, «ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ»; Ὅπερ καὶ τὸ καύχημα ἦν, τὸ ἐστηρίχθαι ἐν τῇ πίστει· τοῦτο γάρ ἐστι καύχημα ἐν Χριστῷ· τὸ ὀρθῶς βιοῦν. «Τὸ ὑμῶν καύχημα ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς». Ναί, φησί. «Τίς γὰρ ἡμῶν ἐλπίς, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς;». «Ὅτι καύχημα ἡμῶν ὑμεῖς ἐστε, καθάπερ καὶ ἡμεῖς ὑμῶν»· τουτέστιν, ἵνα ἔχω καυχᾶσθαι ἐν ὑμῖν μειζόνως. Πῶς; «Ἵνα περισσεύῃ τὸ καύχημα ὑμῶν». Μειζόνως ἔχω καυχᾶσθαι, ὑμῶν ἐπιδόντων. «Διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς».

Τί οὖν; ἦλθε πρὸς αὐτούς; Τοῦτο ζητεῖτε, εἰ ἦλθε; «Μόνον ἀξίως», φησί, «τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε». Ὁρᾷς ὅτι διὰ τοῦτο εἶπε πάντα, ἵνα εἰς τοῦτο αὐτοὺς προτρέψῃ, ἐπιδοῦναι πρὸς ἀρετήν; «Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε». Τί ἐστι τό, «μόνον»; Τοῦτό ἐστι τὸ ζητούμενον μόνον καὶ οὐδὲν ἄλλο· ἂν τοῦτο ᾖ, οὐδὲν λυπηρὸν ἡμῖν συμβήσεται. «Ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν». Οὐχ ὡς μεταθέμενος, οὐδὲ ὡς οὐκέτι ἥξων, ταῦτα λέγει· ἀλλ' ἐὰν τοῦτο γένηται, φησί, καὶ ἀπὼν εὐφραίνεσθαι δύναμαι. «Ἐὰν ἀκούσω, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ». Τοῦτό ἐστιν ὃ μάλιστα συγκροτεῖ τοὺς πιστούς, καὶ τὴν ἀγάπην συνέχει, «ἵνα ὦσιν ἕν». «Καὶ γὰρ βασιλεία μερισθεῖσα ἐφ' ἑαυτήν, οὐ σταθήσεται». Διὰ τοῦτο πολλὴν ὑπὲρ ὁμονοίας ποιεῖται πανταχοῦ τὴν συμβουλήν. Καὶ ὁ Χριστός φησιν, «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μού ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Τουτέστι, μὴ εἰς τὴν προσδοκίαν τὴν ἐμὴν ἀφορῶντες καθεύδετε, οἷον προσδοκῶντες ἥξειν· εἶτα, ἐπειδὰν ἴδη-

---

9. Α' Θεσ. 2, 19.
10. Β' Κορ. 1, 14.
11. Φιλιπ. 1, 27.
12. Ματθ. 12, 25.
13. Ἰω. 13, 35.

τὸ «διὰ νὰ περισσεύῃ τὸ καύχημά σας»; Ἐκεῖνο ποὺ ἦτο καὶ τὸ καύχημα, τὸ νὰ εἶναι ἐνισχυμένοι εἰς τὴν πίστιν· διότι τοῦτο εἶναι τὸ ἐν Χριστῷ καύχημα· τὸ νὰ ζῇ κανεὶς μὲ σταθερότητα πίστεως. «Τὸ καύχημά σας ἐξ αἰτίας μου, διὰ τῆς ἰδικῆς μου παρουσίας, ὅταν θὰ ἔλθω πάλιν εἰς σᾶς». Μάλιστα, λέγει. «Διότι ποῖος ἄλλος εἶναι ἡ ἐλπίς μας ἢ στέφανός μας, διὰ τὸν ὁποῖον ἠμποροῦμεν νὰ καυχώμεθα, παρὰ καὶ σεῖς μαζὶ μὲ τοὺς ἄλλους, εἰς τοὺς ὁποίους ἐκηρύξαμεν;»[9]. «Διότι σεῖς εἶσθε καύχημά μας, ὅπως ἀκριβῶς καὶ ἡμεῖς καύχημά σας»[10]· δηλαδή, διὰ νὰ ἠμπορῶ νὰ καυχῶμαι ἀνάμεσά σας πολὺ περισσότερον. Μὲ ποῖον τρόπον; «Διὰ νὰ περισσεύῃ τὸ καύχημά σας». Ἠμπορῶ νὰ καυχῶμαι πάρα πολύ, ἐπειδὴ σεῖς χορηγεῖτε εἰς ἐμέ. «Διὰ τῆς ἰδικῆς μου παρουσίας, ὅταν θὰ ἔλθω πάλιν εἰς σᾶς».

Τί λοιπόν; Ἦλθεν εἰς αὐτούς; Τοῦτο ζητεῖτε, ἐὰν ἦλθε; «Μόνον φροντίζετε», λέγει, «νὰ συμπεριφέρεσθε κατὰ τρόπον ἄξιον τοῦ εὐαγγελίου τοῦ Χριστοῦ»[11]. Βλέπεις ὅτι ὅλα τὰ εἶπε διὰ τοῦτο, διὰ νὰ προτρέψῃ αὐτοὺς εἰς τοῦτο, νὰ καταγίνωνται εἰς τὴν ἀρετήν; «Μόνον συμπεριφέρεσθε κατὰ τρόπον ἄξιον τοῦ εὐαγγελίου τοῦ Χριστοῦ». Τί σημαίνει τὸ «μόνον»; Τοῦτο εἶναι ποὺ ζητεῖται μόνον, καὶ τίποτε ἄλλο· ἂν ὑπάρχῃ τοῦτο, δὲν θὰ μᾶς συμβῇ τίποτε τὸ λυπηρόν. «Ὥστε εἴτε ὅταν ἔλθω καὶ σᾶς ἰδῶ, εἴτε ὅταν ἀπουσιάζω καὶ ἀκούσω εἰδήσεις διὰ σᾶς». Λέγει αὐτὰ ὄχι ὡς μετακινηθεὶς οὔτε μὲ σκοπὸν ὅτι θὰ ἔλθῃ πλέον· ὅμως ἐὰν τοῦτο γίνῃ, λέγει, καὶ ἀπὼν ἀκόμη ἠμπορῶ νὰ εὐφραίνωμαι. «Ἐὰν ἀκούσω, ὅτι στέκεσθε μὲ ἕνα φρόνημα, μὲ μίαν ψυχήν». Αὐτὸ εἶναι ποὺ ἑνώνει πρὸ πάντων τοὺς πιστοὺς καὶ τὴν ἀγάπην συγκρατεῖ, ὥστε νὰ εἶναι ἕνα ἠθικὸν σῶμα. «Διότι κάθε βασίλειον ποὺ ἐχωρίσθη ἀπὸ μόνον του εἰς τμήματα, δὲν θὰ διατηρηθῇ»[12]. Διὰ τοῦτο παντοῦ δίδει πολλὰς συμβουλὰς δι' ὁμόνοιαν. Καὶ ὁ Χριστὸς λέγει· «Μὲ αὐτὸ θὰ μάθουν ὅλοι, ὅτι εἶσθε μαθηταί μου, ἐὰν ἔχετε ἀγάπην μεταξύ σας»[13]. Τοῦτο σημαίνει νὰ μὴ μένετε ἀδρανεῖς ἀποβλέποντες εἰς τὴν ἰδικήν μου προσδοκίαν, δηλαδὴ ἐλπίζοντες ὅτι θὰ ἔλθω· ἔπειτα, ἐπειδὴ θὰ ἰδῆτε νὰ μὴ

τε μὴ ἐρχόμενον, ἐκλυθῆτε. Καὶ γὰρ ἐξ ἀκοῆς εὐφραίνεσθαι δύναμαι ὁμοίως.

Τί ἐστιν, «ἐν ἑνὶ πνεύματι»; Τουτέστι, τῷ αὐτῷ χαρίσματι, τῷ τῆς ὁμονοίας, τῷ τῆς προθυμίας. Ἓν γάρ ἐστι τὸ Πνεῦμα, καὶ δείκνυσιν· οὕτω γάρ ἐστι καὶ ἐν μιᾷ ἑστηκέναι ψυχῇ, ὅταν ἓν πνεῦμα οἱ πάντες ἔχωμεν. Ἰδοὺ τό, μιᾷ, ἐπὶ ὁμονοίας εἴρηται· ἰδοὺ πολλαὶ μία λέγονται. Οὕτως ἦν τὸ παλαιόν· «Ἦν ἡ καρδία πάντων», φησί, «καὶ ἡ ψυχὴ μία». «Συναθλοῦντες, τῇ πίστει τοῦ εὐαγγελίου». Ἆρα ὡς τῆς πίστεως ἀθλούσης, συναθλοῦντες ἀλλήλοις, φησί; μὴ γὰρ πρὸς ἀλλήλους ἐπάλαιον; ἀλλά, συμπαραλαμβάνετε ἀλλήλους, φησίν, ἐν τῇ ἀθλήσει τῇ πίστει τοῦ εὐαγγελίου.

«Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις ἐστὶν αὐτοῖς μὲν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας». Πτυρόμενοι καλῶς εἶπε· τοιαῦτα γὰρ τὰ παρὰ τῶν ἐχθρῶν· μόνον πτύρεται. Ἐν μηδενὶ οὖν, φησί, κἂν ὁτιοῦν γένηται, κἂν κίνδυνοι, κἂν ἐπιβουλαί· τοῦτο γάρ ἐστι τῶν ὀρθῶς ἑστώτων. Ἐκεῖνοι γὰρ οὐδὲν δύνανται, ἀλλὰ πτῦραι μόνον. Ἐπειδὴ εἰκὸς ἦν θορυβεῖσθαι αὐτούς, ἅτε τοῦ Παύλου μυρία πάσχοντος, οὐ λέγω, φησίν, ὅτι μὴ σαλεύεσθε, ἀλλὰ μὴ πτύρεσθε, ἀλλὰ καὶ σφόδρα αὐτῶν καταφρονεῖτε. Ἂν γὰρ οὕτω διάκεισθε, ἐντεῦθεν ἤδη καὶ τὴν αὐτῶν ἀπώλειαν, καὶ τὴν ὑμετέραν σωτηρίαν δήλην ποιήσετε. Ὅταν γὰρ ἴδωσιν, ὅτι μυρία τεχνάζονται, καὶ οὐδὲ πτῦραι ὑμᾶς δύνανται, τεκμήρια λήψονται τῆς ἑαυτῶν ἀπωλείας. Ὅταν γὰρ οἱ διώκοντες τῶν διωκομένων μὴ περιγένωνται, οἱ ἐπιβουλεύοντες τῶν ἐπιβουλευομένων, οἱ κρατοῦντες τῶν κρατουμένων, οὐκ αὐτόθεν ἔσται δῆλον αὐτοῖς, ὅτι ἀπολοῦνται, ὅτι

---

14. Πράξ. 4, 32.
15. Φιλιπ. 1, 28.

ἔρχωμαι, θὰ διαλυθῆτε. Διότι ἠμπορῶ ἐπίσης νὰ εὐφραίνωμαι καὶ ἐξ ἀκοῆς ὁμοίως.

Τί σημαίνει τὸ «μὲ ἕνα φρόνημα»; Δηλαδή, μὲ τὸ αὐτὸ χάρισμα, μὲ τὸ χάρισμα τῆς ὁμονοίας, μὲ τὸ χάρισμα τῆς προθυμίας. Διότι ἕνα εἶναι τὸ φρόνημα καὶ δεικνύει τοῦτο˙ ἔτσι βέβαια εἶναι δυνατὸν νὰ ἔχωμεν σταθῆ καὶ μὲ μίαν ψυχήν, ὅταν ὅλοι μας ἔχωμεν ἕνα φρόνημα. Ἰδοὺ τὸ «μὲ μίαν» ἔχει λεχθῆ διὰ νὰ δηλώσῃ τὴν ὁμόνοιαν˙ ἰδοὺ αἱ πολλαὶ ψυχαὶ λέγονται μία. Ἔτσι ἦτο τὴν πρώτην ἐποχήν˙ «Ἡ καρδία ὅλων», λέγει, «καθὼς καὶ ἡ ψυχή των ἦσαν μία»[14]. «Καὶ συναγωνίζεσθε διὰ τὴν πίστιν τοῦ εὐαγγελίου». Ἄραγε ἐπειδὴ ἐνόμιζεν ὅτι ἀγωνίζεται ἡ πίστις, λέγει καὶ συναγωνίζεσθε μεταξύ σας; Μήπως ἀλήθεια ἐπάλαιον μεταξύ των; Ἀλλὰ ὑπολογίζετε ὁ ἕνας τὸν ἄλλον, λέγει, κατὰ τὸν ἀγῶνα διὰ τὴν πίστιν τοῦ εὐαγγελίου.

«Καὶ χωρὶς νὰ πτοῆσθε εἰς τίποτε ἀπὸ τοὺς ἀντιπάλους. Ἡ στάσις αὐτὴ εἶναι δι᾽ αὐτοὺς μὲν ἀπόδειξις ἀπωλείας, διὰ σᾶς δὲ ἀπόδειξις σωτηρίας αἰωνίας»[15]. Πτοούμενοι καλῶς εἶπε˙ διότι τέτοια εἶναι αὐτὰ ποὺ προέρχονται ἀπὸ τοὺς ἐχθρούς, μόνον πτοοῦν. Εἰς τίποτε λοιπόν, λέγει, καὶ ἂν ἀκόμη συμβῇ ὁ,τιδήποτε, ἀκόμη καὶ κίνδυνοι, ἀκόμη καὶ σκευωρίαι˙ διότι τοῦτο εἶναι χαρακτηριστικὸν αὐτῶν ποὺ συμπεριφέρονται κατὰ τὸν ὀρθὸν τρόπον. Ἐκεῖνοι ὅμως δὲν ἠμποροῦν νὰ κατορθώσουν τίποτε, ἀλλὰ μόνον νὰ πτοήσουν. Ἐπειδὴ ἦτο φυσικὸν νὰ ἀνησυχοῦν αὐτοί, διότι ὁ Παῦλος ὑπέφερε πολλὰ δεινά, δὲν λέγω, γράφει, ὅτι δὲν ταράσσεσθε, ἀλλὰ δὲν πτοεῖσθε καὶ περιφρονεῖτε αὐτοὺς πάρα πολύ. Διότι ἂν συμπεριφέρεσθε ἔτσι, θὰ καταστήσετε ἐκ τούτου φανερὰν πλέον καὶ τὴν ἀπώλειαν αὐτῶν καὶ τὴν ἰδικήν σας σωτηρίαν. Διότι ὅταν θὰ ἀντιληφθοῦν, ὅτι σοφίζονται πολλὰ τεχνάσματα καὶ δὲν ἠμποροῦν οὔτε νὰ σᾶς πτοήσουν, θὰ λάβουν τὰς ἀποδείξεις τῆς ἰδικῆς των ἀπωλείας. Διότι ὅταν οἱ διῶκται δὲν ὑπερισχύουν ἐκείνων ποὺ καταδιώκουν, οἱ σκευωροὶ ἐκείνων ἐναντίον τῶν ὁποίων σκευωροῦν, οἱ ἄρχοντες τῶν ἀρχομένων, δὲν θὰ εἶναι ἀφ᾽ ἑαυτοῦ φανερὸν εἰς αὐτούς, ὅτι θὰ χαθοῦν,

οὐδὲν ἰσχύουσιν, ὅτι τὰ αὐτῶν ψευδῆ, ὅτι τὰ ἐκείνων ἀσθενῆ; «Καὶ τοῦτο ἀπὸ Θεοῦ», φησίν, «ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν».

Πάλιν αὐτῶν παιδεύει τὸ φρόνημα μετριάζειν, τὸ πᾶν ἀνατιθεὶς τῷ Θεῷ, καὶ χάριν εἶναι λέγων καὶ χάρισμα καὶ δωρεὰν τὸ πάσχειν ὑπὲρ Χριστοῦ. Ὥστε μὴ αἰσχύνεσθε· χάρισμα γάρ ἐστιν ὄντως τοῦ νεκροὺς ἀνιστᾶν καὶ σημεῖα ποιεῖν θαυμαστότερον. Ἐκεῖ μὲν γὰρ ὀφειλέτης εἰμί, ἐνταῦθα δὲ ὀφειλέτην ἔχω τὸν Χριστόν. Ὥστε οὐ μόνον αἰσχύνεσθαι οὐ χρή, ἀλλὰ καὶ ἀγάλλεσθαι, ὡς χάρισμα ἔχοντας. Τὰς ἀρετὰς χαρίσματά φησιν, οὐχ ὁμοίως μέντοι, ὡς καὶ τὰ ἄλλα· ἐκεῖνα μὲν γὰρ ὁλόκληρα τοῦ Θεοῦ, ταῦτα δὲ καὶ ἡμῶν. Ἀλλ' ἐπειδὴ καὶ ἐνταῦθα τὸ πλέον τοῦ Θεοῦ ἐστι, διὰ τοῦτο ὅλον αὐτοῦ φησιν εἶναι, αὐτὸ αὐτεξούσιον ἀνατρέπων, ἀλλὰ μετριόφρονας καὶ εὐγνώμονας κατασκευάζων. «Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοί». Τουτέστι, καὶ τὸ παράδειγμα ἔχετε. Πάλιν αὐτοὺς ἐπαίρει ἐνταῦθα, δεικνὺς πανταχοῦ τὰ αὐτὰ ἀγωνιζομένους αὐτῷ, τὰ αὐτὰ ἀθλοῦντας, καὶ ἰδίᾳ καθ' ἑαυτούς, καὶ τῷ συνδιαφέρειν αὐτῷ τοὺς πειρασμούς. Οὐκ εἶπεν, ἀκηκόατε, ἀλλ' «εἴδετε»· καὶ γὰρ ἐκεῖ ἤθλησεν ἐν Φιλίπποις.

Ἆρα μεγάλη ἀρετὴ τοῦτό ἐστι. Διὸ καὶ πρὸς Γαλάτας γράφων ἔλεγε, «Τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ»· καὶ Ἑβραίοις πάλιν γράφων ἔλεγεν, «Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπομείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεα-

---

16. Φιλιπ. 1, 29.
17. Φιλιπ. 1, 30.
18. Πρβλ. Πράξ. 16, 16 - 40.
19. Γαλ. 3, 4.

ὅτι τίποτε δὲν κατορθώνουν, ὅτι ὅλα τὰ ἰδικά των εἶναι ψευδῆ, καὶ ὅλα ἐκείνων ἀληθινά; «Καὶ τοῦτο παρέχεται ἀπὸ τὸν Θεόν, λέγει· διότι εἰς σᾶς ἐδόθη ὡς χάριν ὄχι μόνον τὸ νὰ πιστεύτε εἰς τὸν Ἰησοῦν Χριστόν, ἀλλὰ καὶ τὸ νὰ πάσχετε ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ»[16].

Πάλιν συμβουλεύει αὐτοὺς νὰ εἶναι μετριόφρονες, ἀναθέσας τὸ πᾶν εἰς τὸν Θεὸν καὶ λέγων, ὅτι τὸ νὰ πάσχῃ κανεὶς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ εἶναι καὶ χάρις καὶ χάρισμα καὶ δωρεά. Ὥστε μὴ ἐντρέπεσθε· διότι εἶναι πράγματι χάρισμα θαυμαστότερον ἀπὸ τὸ νὰ ἐγείρῃ κανεὶς νεκροὺς καὶ νὰ κάνῃ θαύματα. Διότι ἐκεῖ μὲν εἶμαι ὀφειλέτης, ἐδῶ ὅμως ἔχω ὀφειλέτην τὸν Χριστόν. Ὥστε ὄχι μόνον δὲν πρέπει νὰ ἐντρέπεσθε, ἀλλὰ καὶ νὰ σεμνύνεσθε, ἐπειδὴ ἔχετε χάρισμα. Τὰς ἀρετὰς ὀνομάζει χαρίσματα, ὄχι ὅμως καθ' ὅμοιον τρόπον, ὅπως καὶ τὰ ἄλλα χαρίσματα· διότι ἐκεῖνα μὲν παρέρχονται ἐξ ὁλοκλήρου ἀπὸ τὸν Θεόν, αὐτὰ ὅμως ἐξαρτῶνται καὶ ἀπὸ ἡμᾶς. Ἀλλ' ἐπειδὴ καὶ εἰς τὴν περίπτωσιν αὐτὴν τὸ σημαντικότερον μέρος ἐξαρτᾶται ἀπὸ τὸν Θεόν, διὰ τοῦτο λέγει ὅτι τὸ πᾶν παρέχεται ἀπ' Αὐτόν, χωρὶς νὰ καταστρέφῃ τὸ αὐτεξούσιον, ἀλλὰ νὰ ἐκπαιδεύῃ αὐτοὺς νὰ εἶναι μετριόφρονες καὶ εὐγνώμονες. «Καὶ νὰ ἔχετε τὸν ἴδιον ἀγῶνα μὲ ἐμέ, τέτοιον ποὺ εἴδατε εἰς ἐμέ»[17]. Δηλαδή, ἔχετε καὶ τὸ παράδειγμα. Πάλιν αὐτοὺς ἐξυψώνει ἐδῶ, ἐπειδὴ τοὺς παρουσιάζει παντοῦ νὰ ἀγωνίζωνται, ὅπως ἀκριβῶς καὶ ὁ ἴδιος, νὰ ἀθλοῦνται εἰς τοὺς ἰδίους ἀγῶνας, καὶ ἰδιαιτέρως μόνοι των, καὶ μαζὶ μὲ αὐτὸν νὰ ὑποφέρουν μέχρι τέλους τοὺς πειρασμούς. Δὲν εἶπεν, ἔχετε ἀκούσει, ἀλλὰ «εἴδατε», διότι ἤθλησεν ἐκεῖ εἰς τοὺς Φιλίππους[18].

Συνεπῶς αὐτὸ εἶναι μεγάλη ἀρετή. Διὰ τοῦτο γράφων καὶ πρὸς τοὺς Γαλάτας ἔλεγε· «Ἐπάθατε τόσα πολλὰ εἰς μάτην, καὶ εἴθε νὰ ἦσαν μόνον εἰς μάτην»[19]· ὁμοίως καὶ πρὸς τοὺς Ἑβραίους γράφων ἔλεγε· «Νὰ ἐνθυμῆσθε δὲ τὰς προγενεστέρας ἡμέρας, κατὰ τὰς ὁποίας φωτισθέντες μὲ τὴν χάριν τοῦ Θεοῦ ὑπεμείνατε πολλὴν ἄθλησιν καὶ ἀγῶνα παθημάτων, ἀφ' ἑνὸς μὲν μὲ ὀνειδισμοὺς καὶ θλί-

τριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες». Καὶ Μακεδόσι πάλιν, τουτέστι, Θεσσαλονικεῦσι, γράφων ἔλεγεν· «Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγελοῦσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς»· καὶ πάλιν· «Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε». Καὶ πᾶσιν ὁμοίως τὸ αὐτὸ μαρτυρεῖ, ἄθλους καὶ ἀγῶνας. Ἀλλ' οὐ νῦν τοῦτο εὑρήσετε παρ' ἡμῖν· νῦν γὰρ ἀγαπητὸν τὸ κἂν ἐν χρήμασί τινά τι παθεῖν. Καὶ ἐν χρήμασι δὲ μεγάλα αὐτοῖς μαρτυρεῖ· τοῖς μὲν γάρ φησιν, ὅτι «Τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε»· τοῖς δέ φησιν, ὅτι «Εὐδόκησαν Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχούς»· καὶ πάλιν, «Ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας».

Ὁρᾷς τὰ ἐγκώμια τῶν τότε ἀνδρῶν; ἡμεῖς δὲ οὐδὲ μέχρι ῥαπισμάτων, οὐδὲ μέχρι πληγῆς φέρομεν, οὐδὲ ὕβριν, οὐδὲ χρημάτων ζημίαν. Ἐκεῖνοι ἤδη ζηλωταὶ καὶ μάρτυρες πάντων ἦσαν ἀγωνιζόμενοι· ἡμεῖς δὲ τὴν ἀγάπην ἐψύξαμεν τὴν εἰς τὸν Χριστόν. Πάλιν ἀναγκάζομαι κατηγορεῖν τῶν παρόντων πραγμάτων. Καὶ τί πάθω; οὐκ ἐβουλόμην,, ἀλλ' ἀναγκάζομαι. Εἰ μὲν γὰρ ἦν σιγήσαντα, καὶ μηδὲν εἰπόντα τῶν γενομένων ἀφανίσαι διὰ τῆς σιγῆς τὰ γινόμενα, ἔδει σιγᾶν· εἰ δὲ τοὐναντίον γίνεται, οὐ μόνον οὐκ ἀφανίζεται, ἡμῶν σιγώντων, ἀλλὰ καὶ χαλεπώτερα γίνεται, ἀναγκαῖον εἰπεῖν. Ὁ γὰρ κατηγορῶν τῶν ἁμαρτανόντων, εἰ καὶ μηδὲν ἕτερον, οὐκ ἀφίησι περαιτέρω προελθεῖν. Οὐδεμία γάρ ἐστιν οὕτως ἀναίσχυντος ψυχὴ καὶ ἰταμή, ὡς συνεχῶς ἀκούουσα κακιζόντων αὐτήν τινων, μὴ ἐντρέπεσθαι, μηδὲ καθυφεῖναι τῆς κακίας τῆς πολλῆς. Ἔνι γάρ, ἔνι καὶ τοῖς ἀναισχύντοις

20. Ἑβρ. 10, 32 - 33.
21. Α' Θεσ. 1, 9· 2, 1.
22. Ἑβρ. 10, 34.
23. Ρωμ. 15, 26.
24. Β' Κορ. 9, 2.

ψεις ἐθεατρίζεσθε καὶ διεπομπεύεσθε, ἀφ᾿ ἑτέρου δὲ ἐγίνατε συμμέτοχοι ἐκείνων ποὺ ἔτσι κατεδιώκοντο καὶ ἔζων ἐν μέσῳ θλίψεων καὶ ὀνειδισμῶν»[20]. Καὶ πρὸς τοὺς Μακεδόνας ἐξ ἄλλου, δηλαδὴ πρὸς τοὺς Θεσσαλονικεῖς, γράφων ἔλεγε˙ «Διότι αὐτοὶ θὰ διηγηθοῦν δι᾿ ἡμᾶς, ὑπὸ ποίας δυσκόλους περιστάσεις ἤλθομεν πρὸς σᾶς»˙ καὶ πάλιν˙ «Διότι σεῖς οἱ ἴδιοι γνωρίζετε, ἀδελφοί, ὅτι ἡ ἐπίσκεψίς μας πρὸς σᾶς δὲν ὑπῆρξε χωρὶς ἀποτελέσματα»[21]. Καὶ εἰς ὅλους μαρτυρεῖ ὁμοίως τὸ ἴδιον πρᾶγμα, δηλαδὴ ἄθλους καὶ ἀγῶνας. Ἀλλὰ τώρα δὲν θὰ συναντήσετε τοῦτο εἰς ἡμᾶς˙ διότι τώρα εἶναι ἀγαπητὸν τὸ νὰ πάθῃ κανεὶς κάτι καὶ διὰ τῶν χρημάτων. Καὶ διὰ τῶν χρημάτων ὅμως μαρτυρεῖ μεγάλα εἰς αὐτούς˙ διότι εἰς ἄλλους μὲν λέγει, ὅτι «τὴν ἁρπαγὴν τῆς περιουσίας σας ἐδέχθητε μὲ χαράν»[22]˙ εἰς ἄλλους δὲ λέγει, ὅτι «μὲ εὐχαρίστησιν ἀπεφάσισαν οἱ εὑρισκόμενοι εἰς Μακεδονίαν καὶ Ἀχαΐαν πιστοὶ νὰ κάμουν κάποιαν συνεισφορὰν διὰ τοὺς πτωχούς»[23]˙ καὶ πάλιν, «Καὶ ὁ ζῆλος σας παρεκίνησε τοὺς περισσοτέρους»[24].

Βλέπεις τὰ ἐγκώμια τῶν τότε χριστιανῶν; ἡμεῖς ὅμως δὲν ἀντέχομεν οὔτε ραπίσματα, οὔτε τραύματα, οὔτε ὕβριν, οὔτε ζημίαν χρημάτων. Ἐκεῖνοι ἤδη ἀνεδείχθησαν ζηλωταὶ καὶ μάρτυρες ἀγωνιζόμενοι, ἡμεῖς ὅμως κατεστήσαμεν ψυχρὰν τὴν ἀγάπην μας πρὸς τὸν Χριστόν. Πάλιν ἀναγκάζομαι νὰ κατηγορῶ τὰ παρόντα πράγματα. Καὶ διατί τὸ λέγω αὐτό; Δὲν ἤθελα, ἀλλ᾿ ἀναγκάζομαι. Διότι ἐὰν μὲν ἦτο δυνατόν, ἀφοῦ σιγήσω καὶ δὲν εἰπῶ τίποτε ἀπ᾿ αὐτὰ ποὺ ἔγιναν, νὰ ἐξαφανίσω τὰ γινόμενα, ἔπρεπε νὰ σιγῶ˙ ἐὰν ὅμως γίνεται τὸ ἀντίθετον, καὶ ὄχι μόνον δὲν ἀφανίζονται ὅταν σιγῶμεν, ἀλλὰ γίνονται καὶ περισσότερον δυσάρεστα, εἶναι ἀνάγκη νὰ ὁμιλήσω. Διότι ὁ κατηγορῶν τοὺς ἁμαρτάνοντας, ἂν δὲν ἐπιτυγχάνῃ τίποτε ἄλλο, ἐμποδίζει αὐτοὺς νὰ χειροτερεύσουν περισσότερον. Δὲν ὑπάρχει βέβαια κανεὶς τόσον πολὺ ἀναίσχυντος καὶ ἰταμός, ὁ ὁποῖος συνεχῶς ἀκούων μερικοὺς νὰ τὸν ἐπικρίνουν, νὰ μὴ ἐντρέπεται, οὔτε νὰ μὴ ἐγκαταλείψῃ τὴν πολλὴν κακίαν. Ὑπάρχει πράγματι, ὑπάρχει καὶ εἰς τοὺς ἀναισχύντους μι-

μικρόν τι αἰδοῦς· Ὁ Θεὸς γὰρ ἐνέσπειρε τὴν αἰδῶ τῇ φύσει τῇ ἡμετέρᾳ. Ἐπειδὴ γὰρ οὐκ ἤρκει ὁ φόβος ρυθμίσαι ἡμᾶς, καὶ πολλὰς ἑτέρας κατεσκεύασεν ὁδοὺς τοῦ μὴ ἁμαρτάνειν· οἷον, τὸ κατηγορεῖσθαι ἄνθρωπον, τὸ δεδοικέναι νόμους τοὺς κειμένους, τὸ δόξης ἐρᾶν, τὸ φιλίας ἀντιποιεῖσθαι. Πᾶσαι γὰρ αὗται αἱ ὁδοὶ τοῦ μὴ ἁμαρτάνειν εἰσί. Πολλάκις γὰρ ἃ διὰ τὸν Θεὸν οὐκ ἐγένετο, δι' αἰδῶ ἐγένετο· ἃ διὰ τὸν Θεὸν οὐκ ἐγένετο, διὰ φόβον ἀνθρώπου ἐγένετο. Τὸ γὰρ ζητούμενον, μὴ ἁμαρτάνειν πρότερον· καὶ τὸ διὰ τὸν Θεὸν τοῦτο ποιεῖν ὕστερον κατορθώσομεν.

Ἐπεὶ διὰ τί Παῦλος τοὺς μέλλοντας κρατεῖν τῶν ἐχθρῶν, οὐκ ἀπὸ τοῦ φόβου προτρέπει τοῦ Θεοῦ, ἀλλὰ ἀπὸ τοῦ τὴν ἐκδικίαν ἀναμένειν; «Τοῦτο γὰρ ποιῶν», φησίν, «ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ». Τέως γὰρ τοῦτο βούλεται, κατορθωθῆναι τὴν ἀρετήν. Ὅπερ οὖν ἔλεγον, ἔνεστί τι αἰσχυντηρὸν ἐν ἡμῖν· πολλὰ φυσικὰ ἔχομεν ἀγαθὰ πρὸς τὴν ἀρετήν· οἷον, πρὸς τὸ ἐλεεῖν ἀπὸ φύσεως κινούμεθα πάντες ἄνθρωποι, καὶ οὐδὲν οὕτως ἀγαθὸν ἐν τῇ φύσει ἡμῶν ἐστιν, ἀλλὰ τοῦτο μόνον. Ὅθεν ἄν τις εἰκότως καὶ ἐξετάσειε, διὰ τί τοῦτο μάλιστα τῇ φύσει ἡμῶν ἐνέσπαρται, τὸ κατακλᾶσθαι δάκρυσι, τὸ ἐπικάμπτεσθαι, τὸ ἑτοίμους εἶναι πρὸς ἔλεον. Οὐδεὶς φύσει ἐστὶν ἀργός, οὐδεὶς φύσει ἐστὶν ἀκενόδοξος, οὐδεὶς φύσει ἐστὶ ζήλου κρείττων· ἀλλὰ τὸ ἐλεεῖν πᾶσιν ἔγκειται φύσει, κἂν ὠμός τις ᾖ, κἂν ἀπηνής. Καὶ τί θαυμαστόν; θηρία ἐλεοῦμεν· οὕτως ἐκ περιουσίας ἡμῖν ὁ ἔλεος ἔγκειται. Κἂν σκύμνον ἴδωμεν λέοντος πάσχομέν τι· ἐπὶ δὲ ὁμοφύλου πολλῷ πλέον.

Ὅρα πόσοι ἀνάπηροι· καὶ τοῦτο ἱκανὸν εἰς ἔλεον ἡμᾶς ἀγαγεῖν. Οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν, ὡς ἐλεημοσύνη.

---

25. Ρωμ. 12, 20.

κρὸν ἴχνος ἐντροπῆς· διότι ὁ Θεὸς ἐφύτευσε τὴν ἐντροπὴν μέσα εἰς τὴν ἰδικήν μας φύσιν. Ἐπειδὴ βέβαια δὲν ἦτο ἀρκετὸν νὰ μᾶς κατευθύνῃ ὁ φόβος, ὁ Θεὸς μᾶς ἐφωδίασε καὶ μὲ ἄλλους τρόπους διὰ νὰ μὴ ἁμαρτάνωμεν· ὅπως, ἡ κατηγορία, ὁ φόβος πρὸς τοὺς κειμένους νόμους, ἡ σφοδρὰ ἐπιθυμία τῆς δόξης, ἡ ἀντιποίησις τῆς φιλίας. Ὅλα αὐτὰ ὑπάρχουν διὰ νὰ μὴ ἁμαρτάνωμεν. Πολὺ συχνὰ ἐκεῖνα τὰ ὁποῖα δὲν ἔγιναν διὰ τὸν Θεόν, ἔγιναν ἐξ αἰτίας τῆς ἐντροπῆς· αὐτὰ ποὺ δὲν ἔγιναν διὰ τὸν Θεόν, ἔγιναν διὰ τὸν φόβον τῶν ἀνθρώπων. Τὸ ζήτημα λοιπὸν εἶναι, νὰ μὴ ἁμαρτάνωμεν πρῶτα· καὶ θὰ κατορθώσωμεν νὰ κάνωμεν τοῦτο ὕστερα διὰ τὸν Θεόν.

Διατί λοιπὸν ὁ Παῦλος αὐτούς, ποὺ πρόκειται νὰ ὑπερισχύουν τῶν ἐχθρῶν, δὲν προτρέπει ἀπὸ τὸν φόβον τοῦ Θεοῦ, ἀλλὰ ἀπὸ τὸ νὰ ἀναμένουν τὴν ἐκδίκησιν; «Διότι ἐὰν πράττῃς αὐτό», «θὰ μαζεύσῃς ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κάρβουνα ἀναμμένα»[25]. Κατὰ πρῶτον λοιπὸν τοῦτο ἐπιθυμεῖ, τὴν ἐπίτευξιν δηλαδὴ τῆς ἀρετῆς. Αὐτὸ λοιπὸν ποὺ ἔλεγα, ὑπάρχει κάτι τὸ ἐντροπαλὸν μέσα μας· ἔχομεν πολλὰ φυσικὰ ἀγαθὰ διὰ τὴν ἐπίτευξιν τῆς ἀρετῆς· ὅπως, ὅλοι οἱ ἄνθρωποι ὁδηγούμεθα ἀπὸ τὴν φύσιν διὰ νὰ δίδωμεν ἐλεημοσύνην, καὶ κανένα ἀγαθὸν δὲν εἶναι ἔτσι εἰς τὴν φύσιν μας, ἀλλὰ μόνον τοῦτο. Διὰ τοῦτο καὶ εὐλόγως θὰ ἤθελε νὰ ἐξετάσῃ κανεὶς διατί τοῦτο μάλιστα ἔχει φυτευθῆ εἰς τὴν φύσιν μας, νὰ καταθλιβώμεθα μὲ δάκρυα, νὰ συγκινούμεθα, νὰ εἴμεθα πρόθυμοι δι᾽ εὐσπλαγχνίαν. Κανεὶς δὲν εἶναι ἐκ φύσεως νωθρός, κανεὶς δὲν ὑπάρχει ἐκ φύσεως ποὺ νὰ μὴ εἶναι ματαιόδοξος, κανεὶς ἐκ φύσεως δὲν εἶναι ἀνώτερος τῆς ζηλοτυπίας· ἀλλ᾽ ἡ εὐσπλαχνία ἐνυπάρχει ἐκ φύσεως εἰς ὅλους μας, εἴτε κανεὶς εἶναι ἄγριος εἴτε εἶναι σκληρός. Καὶ τί τὸ παράδοξον; Ἐλεοῦμεν τὰ θηρία· ἔτσι ἐν ἀφθονίᾳ ἐνυπάρχει εἰς ἡμᾶς ἡ εὐσπλαγχνία. Καὶ ἂν ἀκόμη ἰδοῦμεν σκύμνον λέοντος, ὑποφέρομεν κάπως· διὰ τὸν ὁμόφυλόν μας ὅμως ὑποφέρομεν περισσότερον.

Βλέπε πόσοι ἀνάπηροι ὑπάρχουν καὶ τοῦτο εἶναι ἀρκετὸν νὰ μᾶς ὁδηγήσῃ εἰς τὴν εὐσπλαγχνίαν. Τίποτε δὲν

Διὸ οἱ ἱερεῖς τούτῳ ἐχρίοντο, καὶ οἱ βασιλεῖς, καὶ οἱ προφῆται· τῆς γὰρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον τὸ ἔλαιον. Πάλιν ἐμάνθανον, ὅτι τὸν ἄρχοντα πλέον ἐλέου δεῖ ἔχειν· ἐδήλου ὅτι τὸ Πνεῦμα εἰς ἄνθρωπον δι' ἔλεον μέλλει ἔρχεσθαι· ἐπειδὴ ὁ Θεὸς ἐλεεῖ τοὺς ἀνθρώπους, καὶ φιλανθρωπεύεται. «Ἐλεεῖς» γάρ, φησί, «πάντας», «ὅτι πάντα δύνασαι». Διὰ ταῦτα ἐλαίῳ ἐχρίοντο. Καὶ γὰρ τὴν ἱερωσύνην ἀπὸ ἐλέους ἐποίησε, καὶ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. Κἂν ἄρχοντά τις ἐπαινῇ, οὐδὲν οὕτως αὐτῷ πρέπον ἐρεῖ, ὡς ἔλεον· τοῦτο γὰρ ἀρχῆς ἴδιον, τὸ ἐλεεῖν. Ἐννόησον ὅτι δι' ἔλεον ὁ κόσμος συνεστάθη, καὶ μίμησαι τὸν δεσπότην. «Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα». Πῶς ἐπὶ πᾶσαν σάρκα; Κἂν ἁμαρτωλοὺς εἴπῃς, κἂν δικαίους εἴπῃς, πάντες τοῦ ἐλέους τοῦ Θεοῦ δεόμεθα· πάντες ἀπολαύομεν αὐτοῦ, κἂν αὐτὸς ᾖ Παῦλος, κἂν Πέτρος, κἂν Ἰωάννης. Καὶ ἄκουσον αὐτῶν λεγόντων· οὐδὲν δεῖ λόγων τῶν ἡμετέρων. Τί γάρ φησιν ὁ μακάριος οὗτος; «Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα».

Τί οὖν; μετὰ ταῦτα οὐκ ἐδεῖτο ἐλέους; Ἄκουσον τί φησι. «Περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί». Καὶ περὶ Ἐπαφροδίτου φησί· «Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ»· καὶ πάλιν, «Ἐβαρήθημεν», φησίν, «ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα

26. Σοφ. Σολ. 11, 23.
27. Σοφ. Σειρ. 18, 13.
28. Α' Τιμ. 1, 13.
29. Α' Κορ. 15, 10.
30. Φιλιπ. 2, 27.

εὐφραίνει τόσον πολὺ τὸν Θεόν, ὅσον ἡ ἐλεημοσύνη. Διὰ τοῦτο οἱ ἱερεῖς ἐχρίοντο μὲ τὸ ἔλαιον, καθὼς καὶ οἱ βασιλεῖς καὶ οἱ προφῆται· διότι εἶχον τοῦτο σύμβολον τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Πάλιν ἐπληροφοροῦντο, ὅτι ὁ ἄρχων πρέπει νὰ ὑπερτερῇ τῆς ἐλεημοσύνης· ἐδηλώνετο ἐκ τούτου, ὅτι τὸ Πνεῦμα πρόκειται νὰ ἔρχεται εἰς τὸν ἄνθρωπον δι' εὐσπλαγχνίαν· ἐπειδὴ ὁ Θεὸς ἐλεῖ τοὺς ἀνθρώπους καὶ τοὺς ἀγαπᾷ. «Διότι ἐλεεῖς ὅλους», λέγει, «ἐπειδὴ ἠμπορεῖς τὰ πάντα»[26]. Διὰ τοῦτο ἐχρίοντο μὲ ἔλαιον. Καὶ τὴν ἱερωσύνην ἔκαμεν ἀπὸ εὐσπλαγχνίαν, καὶ οἱ βασιλεῖς ἐχρίοντο μὲ ἔλαιον. Καὶ ἂν ἀκόμη κανεὶς ἐπαινῇ ἄρχοντα, δὲν θὰ εἰπῇ τίποτε ποὺ νὰ ἁρμόζῃ εἰς αὐτὸν τόσον πολύ, ὅπως ἡ εὐσπλαγχνία· διότι τοῦτο εἶναι χαρακτηριστικὸν γνώρισμα τῶν ἀρχόντων, ἡ εὐσπλαγχνία. Νὰ ἐνθυμῆσαι ὅτι ὁ κόσμος ἐδημιουργήθη ἐξ αἰτίας τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ καὶ νὰ μιμῆσαι Αὐτόν. «Ἡ εὐσπλαγχνία τοῦ ἀνθρώπου ἐκδηλώνεται εἰς τὸν πλησίον του, ἡ εὐσπλαγχνία ὅμως τοῦ Θεοῦ ἐκδηλώνεται εἰς κάθε ἄνθρωπον»[67]. Πῶς εἰς κάθε ἄνθρωπον; Εἴτε εἰπῇς ἁμαρτωλούς, εἴτε εἰπῇς δικαίους, ὅλοι ἔχομεν ἀνάγκην τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ· ὅλοι ἀπολαμβάνομεν αὐτήν, εἴτε αὐτὸς εἶναι ὁ Παῦλος, εἴτε ὁ Πέτρος, εἴτε ὁ Ἰωάννης. Καὶ ἄκουσε τί λέγουν αὐτοὶ οἱ ἴδιοι· δὲν χρειάζονται οἱ ἰδικοί μου λόγοι. Τί λοιπὸν λέγει· ὁ μακάριος Παῦλος; «Ἀλλ' ἐλεήθην ἀπὸ τὸν Θεόν, διότι ἐξ ἀγνοίας ἔκαμα αὐτά»[28].

Τί λοιπόν; κατόπιν δὲν ἐχρειάζετο εὐσπλαγχνίαν; Ἄκουσε τί λέγει· «Περισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐκοπίασα, ὄχι ἐγώ, ἀλλὰ ἡ χάρις τοῦ Θεοῦ, ποὺ εἶναι μαζί μου»[29]. Καὶ διὰ τὸν Ἐπαφρόδιτον λέγει· «Καὶ ἀληθῶς ἠσθένησε βαρειὰ καὶ ἐπλησίασε νὰ ἀποθάνῃ, ἀλλ' ὁ Θεὸς τὸν ἠλέησεν, ὄχι μόνον αὐτόν, ἀλλὰ καὶ ἐμὲ διὰ νὰ μὴ δοκιμάσω λύπην ἐκ τοῦ θανάτου του ἐπάνω εἰς τὴν ἄλλην λύπην μου»[30]. Καὶ πάλιν· «Ἔπεσεν ἐπάνω μας μέγα βάρος δοκιμασιῶν ποὺ ἦταν παραπάνω ἀπὸ τὴν δύναμίν μας, ὥστε νὰ ἀπελπισθοῦμεν καὶ δι' αὐτὴν τὴν ζωήν μας· ἀλλὰ μᾶς ἐδίδετο ἡ ἀπόκρισις, ἀπὸ τὴν ὁποίαν καὶ ἡμεῖς οἱ ἴδιοι εἴχο-

μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, ἀλλ᾽ ἐπὶ τῷ Θεῷ, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς, καὶ ρύσεται»· καὶ πάλιν· «Ἐρρύσθην ἐκ στόματος λέοντος, καὶ ρύσεταί με ὁ Κύριος». Καὶ πανταχοῦ εὑρήσομεν τοῦτο αὐτὸν καυχώμενον, ὅτι ἐλέῳ ἐσώθη. Καὶ Πέτρος δὲ ἀπὸ τοῦ ἐλεηθῆναι τοιοῦτος ἦν. Ἄκουε γὰρ τοῦ Χριστοῦ πρὸς αὐτὸν λέγοντος, ὅτι «Ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον, καὶ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου». Καὶ Ἰωάννης ἐλέῳ τοιοῦτος ἦν, καὶ πάντες δὲ ἁπλῶς. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· «Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς».

Πάντες γὰρ δεόμεθα τοῦ ἐλέους τοῦ Θεοῦ· «Ἔλεος γὰρ Θεοῦ», φησίν, «ἐπὶ πᾶσαν σάρκα». Εἰ δὲ οὗτοι ἐδέοντο τοῦ Θεοῦ, τί ἄν τις εἴποι περὶ τῶν λοιπῶν; Πόθεν γάρ, εἰπέ μοι, τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς; Τί δέ, εἰ μόνον ἐνιαυτὸν τὸν ὑετὸν ἐπέσχεν, οὐκ ἂν ἅπαντας ἀπώλεσε; τί δέ, εἰ ἐπομβρίαν εἰργάσατο; τί δέ, εἰ πῦρ ἔβρεξε; τί δέ, εἰς μυίας ἔπεμψεν; Ἀλλὰ τί λέγω; εἰ σκότος ἐποίησεν, οἷόν ποτε, οὐκ ἂν ἅπαντες ἀπώλοντο; εἰ τὴν γῆν ἐτίναξεν, οὐκ ἂν ἅπαντες ἀπώλοντο; «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ;»· εὔκαιρον εἰπεῖν νῦν· ἂν ἀπειλήσῃ τῇ γῇ μόνον, πάντες εἰς ἐγένοντο τάφος. «Ὡς σταγὼν ὕδατος ἀπὸ κάδου», φησίν, οὕτω τὰ ἔθνη ἐνώπιον αὐτοῦ· ὡς σίελος λογισθήσονται, ὡς ροπὴ ζυγοῦ». Ὡς εὔκολον ἡμῖν τὴν τρυτάνην κινῆσαι, οὕτως αὐτῷ πάντα ἀπολέσαι, καὶ ποιῆσαι πάλιν. Ὁ τοίνυν τοσαύτην ἔχων ἐξουσίαν ἡμῶν, καὶ ὁρῶν ἡμᾶς καθ᾽ ἑ-

---

31. Β' Κορ. 1, 8 - 10.
32. Β' Τιμ. 4, 17. 18.
33. Λουκᾶ 22, 31 - 32.
34. Ἰω. 15, 16.
35. Ψαλμ. 8, 5.
36. Ἠσ. 40, 15.

μεν πεισθῆ, ὅτι ὁ θάνατός μας ἦτο πλέον βέβαιος, διὰ νὰ μὴ ἔχωμεν πεποίθησιν εἰς τὸν ἑαυτόν μας, ἀλλ' εἰς τὸν Θεόν, ὁ ὁποῖος μᾶς ἔσωσεν ἀπὸ βέβαιον θάνατον, καὶ θὰ μᾶς σώζῃ ἀπὸ κάθε κίνδυνον»[31]. Καὶ πάλιν· «Ἐσώθην ἀπὸ τὸ στόμα τοῦ λεονταριοῦ, καὶ θὰ μὲ σώζῃ καὶ εἰς τὸ μέλλον ὁ Κύριος»[32]. Καὶ παντοῦ θὰ συναντήσωμεν τὸν Παῦλον νὰ καυχᾶται αὐτό, ὅτι μὲ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ ἐσώθη. Καὶ ὁ Πέτρος δὲ ἐδέχθη αὐτὴν τὴν εὐσπλαγχνίαν. Διότι ἄκουε τὸν Χριστόν, ὁ ὁποῖος λέγει πρὸς αὐτόν, ὅτι «Ὁ σατανᾶς ἐζήτησε νὰ σᾶς ταράξῃ καὶ νὰ σᾶς κλονίσῃ, ὅπως σείεται τὸ σιτάρι μέσα εἰς τὸ κόσκινον, καὶ προσηυχήθην ὑπὲρ σοῦ, διὰ νὰ μὴ χάσῃς τὴν πίστιν σου»[33]. Ἐπίσης ὁ Ἰωάννης ἐδέχθη τὴν εὐσπλαγχνίαν, καὶ γενικῶς ὅλοι οἱ ἀπόστολοι. Διότι ἄκουε τὸν Χριστόν, ὁ ὁποῖος τοῦ λέγει· «Δὲν μὲ ἐξελέξατε σεῖς, ἀλλ' ἐγὼ σᾶς ἐξέλεξα»[34].

Ὅλοι λοιπὸν ἔχομεν τὴν ἀνάγκην τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ. «Διότι ἡ εὐσπλαγχνία τοῦ Θεοῦ», λέγει, «ἐκδηλώνεται εἰς κάθε ἄνθρωπον». Ἐὰν ὅμως αὐτοὶ εἶχαν ἀνάγκην τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς περὶ τῶν ἄλλων ἀνθρώπων; Διότι εἰπέ μου, διατί ἀνατέλλει τὸν ἥλιον ἀδιακρίτως εἰς πονηροὺς καὶ ἀγαθούς; Καὶ τί θὰ συνέβαινεν, ἐὰν μόνον δι' ἕνα χρόνον ἐμποδίσῃ τὴν βροχήν, δὲν θὰ κατέστρεφεν ὅλους· καὶ τί ἂν ἔβρεχεν ἄφθονον βροχήν; καὶ τί ἂν ἔβρεχε πῦρ, καὶ τί ἂν ἔρριπτε μυίας; Ἀλλὰ διατί λέγω αὐτά; ἂν ἔκαμε σκοτάδι, ὅπως κάποτε, δὲν θὰ ἐχάνοντο ὅλοι; ἂν ἔσειε τὴν γῆν, δὲν θὰ κατεστρέφοντο ὅλοι; «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ ἐνεθυμῆσαι αὐτόν»[35], εἶναι κατάλληλος εὐκαιρία νὰ εἴπουμεν τώρα· ἂν συγκλονίσῃ μόνον τὴν γῆν, ὅλοι θὰ ἐγίνοντο ἕνας τάφος. «Ὅπως μία σταγὼν ὕδατος ποὺ τρέχει ἀπὸ τὸν κάδον», λέγει, «ἔτσι εἶναι τὰ ἔθνη ἐνώπιον τοῦ Θεοῦ· θὰ λογαριασθοῦν ὡς σκέλος, ὡς λεπτὴ κόνις εἰς τὴν πλάστιγγα»[36]. Ὅπως εἶναι εὔκολον εἰς ἡμᾶς νὰ κινήσωμεν τὴν γλωττίδα τῆς ζυγαριᾶς, ἔτσι εἶναι εὔκολον εἰς τὸν Θεὸν νὰ καταστρέψῃ τὰ πάντα, καὶ πάλιν νὰ τὰ δημιουργήσῃ. Ἐκεῖνος λοιπὸν ποὺ ἔχει τόσον μεγάλην ἐξουσίαν ἐπάνω

κάστην ἁμαρτάνοντας, καὶ μὴ κολάζων, οὐχὶ ἐλέῳ διαβαστάζει; Ἐπεὶ καὶ τὰ κτήνη ἐλέῳ ἐστι· «Ἀνθρώπους γὰρ καὶ κτήνη σώσεις, Κύριε».

Εἶδεν ἐπὶ τὴν γῆν, καὶ ἔπλησεν αὐτὴν ζώων. Διὰ τί; Διὰ σέ. Σὲ δὲ διατί ἐποίησε; Δι' ἀγαθότητα. Οὐδὲν ἐλέου κρεῖττον· φωτός ἐστιν αἴτιον, καὶ ἐκεῖ φωτὸς αἴτιον. «Καὶ ἀνατελεῖ», φησὶν ὁ προφήτης, «πρώιμον τὸ φῶς σου», ἐὰν ποιήσῃς ἔλεον εἰς τὸν πλησίον. Καὶ ὥσπερ τὸ ἔλαιον τοῦτο τὸ φῶς παρέχει, οὕτως ἡ ἐλεημοσύνη ἐκεῖ φῶς μέγα ἡμῖν χαρίζεται καὶ θαυμάσιον. Πολὺς τοῦ ἐλέου τούτου ὁ λόγος τῷ Παύλῳ ἦν. Ἄκουε γὰρ αὐτοῦ ποτε μὲν λέγοντος, «Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν»· ἄλλοτε δέ,« Ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι». Καὶ πανταχοῦ ἄνω καὶ κάτω περὶ τούτου ὁρᾷς αὐτὸν μεριμνῶντα. Καὶ πάλιν, «Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι»· καί πάλιν, «Ταῦτα γάρ ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις». Ἄκουε δὲ καὶ ἄλλου τινὸς λέγοντος, «Ἐλεημοσύνη ἐκ θανάτου ῥύεται»· «Ἐὰν δὲ τὸν ἔλεον ἀνέλῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;»· καί, «Ἐὰν εἰσέλθῃς», φησίν, «εἰς κρίσιν μετὰ τοῦ δούλου σου». «Μέγα ἄνθρωπος»· διὰ τί; «καὶ τίμιον ἀνὴρ ἐλεήμων». Τοῦτο γὰρ ἄνθρωπος, ἐλεήμων, μᾶλλον δὲ τοῦτο ὁ Θεός, τὸ ἐλεεῖν. Ὁρᾷς ὅση τοῦ ἐλέους τοῦ Θεοῦ ἡ ἰσχύς; Τοῦτο πάντα ἐποίησε, τοῦτο τὸν κόσμον εἰργάσατο, τοῦτο ἀγγέλους ἐποίησε, δι' ἀγαθότητα μόνον. Διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα βασιλείας τύχωμεν·

37. Ψαλμ. 35, 7.
38. Ἡσ. 58, 8.
39. Γαλ. 2, 10.
40. Α' Κορ. 16, 4.
41. Τίτ. 3, 14.
42. Τίτ. 3, 8.
43. Ἰὼβ 12, 9.
44. Ψαλμ. 129, 3· 142, 2.

μας, καὶ μᾶς βλέπει καθημερινῶς νὰ ἁμαρτάνωμεν, χωρὶς ὅμως νὰ μᾶς τιμωρῇ, δὲν μᾶς διατηρεῖ ἐξ αἰτίας τῆς εὐσπλαγχνίας του; Ἐπειδὴ καὶ τὰ ζῶα ὑπάρχουν ἐξ αἰτίας τῆς εὐσπλαγχνίας του· «Διότι ἀνθρώπους καὶ ζῶα θὰ διατηρῇς εἰς τὴν ζωήν, Κύριε».

Εἶδεν ἐπάνω εἰς τὴν γῆν καὶ ἐγέμισεν αὐτὴν ζῶα. Διὰ ποῖον λόγον; Διὰ σέ. Διατί ὅμως σὲ ἔπλασεν, ἄνθρωπε; Ἐξ αἰτίας τῆς ἀγαθότητός του. Τίποτε δὲν εἶναι ἰσχυρότερον ἀπὸ τὴν ἐλεημοσύνην· εἶναι ἡ αἰτία τοῦ φωτὸς ἐδῶ, καὶ εἰς τὴν ἄλλην ζωὴν εἶναι αἰτία φωτός. «Καὶ θὰ ἀνατείλῃ», λέγει ὁ προφήτης, «πρώιμον τὸ φῶς σου»[38], ἐὰν κάνῃς ἐλεημοσύνην εἰς τὸν πλησίον σου. Καὶ ὅπως ἀκριβῶς τοῦτο τὸ ἔλαιον παρέχει τὸ φῶς, ἔτσι καὶ ἡ ἐλεημοσύνη εἰς τὴν ἄλλην ζωὴν μᾶς χαρίζει λαμπρὸν καὶ θαυμάσιον φῶς. Ὁ Παῦλος ἔκανε πολὺν λόγον διὰ τὴν ἐλεημοσύνην. Διότι ἄκουε αὐτὸν ἄλλοτε μὲν νὰ λέγῃ, «Μόνον τοὺς πτωχοὺς νὰ ἐνθυμούμεθα»[39]· ἄλλοτε δέ, «Ἐὰν τὸ ποσὸν ποὺ θὰ συνάξετε εἶναι μεγάλον καὶ ἀξίζῃ νὰ ὑπάγω καὶ ἐγώ»[40]. Καὶ παντοῦ εἰς ὅλα τὰ σημεῖα βλέπεις αὐτὸν νὰ μεριμνᾷ διὰ τὸ ἴδιον πρᾶγμα. Καὶ πάλιν, «Ἄς παίρνουν μάθημα καὶ οἱ ἰδικοί μας νὰ πρωτοστατοῦν εἰς καλὰ ἔργα»[41]. Καὶ πάλιν λέγει· «Διότι αὐτὰ τὰ ἔργα εἶναι καλὰ καὶ ὠφέλιμα εἰς τοὺς ἀνθρώπους»[42]. Ἄκουε ὅμως καὶ κάποιον ἄλλον ποὺ λέγει· «Ἡ ἐλεημοσύνη σώζει ἀπὸ τὸν θάνατον»[43]. «Ἐὰν ὅμως ἀποσύρῃς τὸ ἔλεός σου, Κύριε, Κύριε, ποῖος θὰ ἐξακολουθήσῃ νὰ ὑπάρχῃ;» καὶ «Ἐὰν εἰσέλθῃς, λέγει, εἰς κρίσιν μαζὶ μὲ τὸν δοῦλον σου»[44]. Ὁ ἄνθρωπος εἶναι κάτι τὸ μέγα»· διατί; «καὶ εἶναι τίμιον νὰ εἶναι ὁ ἄνθρωπος ἐλεήμων[44]. Τοῦτο λοιπὸν εἶναι ὁ ἄνθρωπος, ἐλεήμων· μᾶλλον δὲ τοῦτο εἶναι ὁ Θεός, ἐλεημοσύνη. Βλέπεις πόση εἶναι ἡ δύναμις τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ; Αὐτὴ κατεσκεύασε τὰ πάντα, αὐτὴ ἐδημιούργησε τὸν κόσμον, αὐτὴ ἐδημιούργησε τοὺς ἀγγέλους, μόνον ἐξ αἰτίας τῆς ἀγαθότητος. Διὰ τοῦτο μᾶς προέβαλεν ὡς ἀπειλὴν καὶ τὴν γέενναν τοῦ πυρὸς διὰ νὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν, τὴν ὁποίαν ὅμως ἐπιτυγχάνομεν ἐξ αἰτίας τῆς εὐσπλαγχνίας

βασιλείας δὲ τυγχάνομεν δι' ἔλεον. Διὰ τί γὰρ μόνος ὢν τοσούτους ἐποίησεν; οὐ δι' ἀγαθότητα; οὐ διὰ φιλανθρωπίαν; Ἂν ἐρωτήσῃς, διὰ τί τόδε καὶ τόδε, πανταχοῦ τὴν ἀγαθότητα εὑρήσεις.

Ἐλεήσωμεν τοὺς πλησίον, ἵνα ἐλεηθῶμεν αὐτοί. Οὐκ ἐκείνοις μᾶλλον, ἢ ἡμῖν αὐτοῖς συνάγομεν τὸν ἔλεον τοῦτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ὅταν σφοδρὰ ᾖ τοῦ πυρὸς ἡ φλόξ, τὸ ἔλαιον τοῦτο τοῦ πυρός ἐστι σβεστικόν, τοῦτο δὲ φωτὸς αἴτιον ἡμῖν. Οὕτω τοῦ πυρὸς τῆς γεέννης διὰ τούτου ἀπαλλαγησόμεθα· ἐπεὶ πόθεν σπλαγχνισθήσεται καὶ ἐλεήσει; Ἀπὸ τῆς ἀγάπης ὁ ἔλεος γίνεται. Οὐδὲν οὕτω παροξύνει τὸν Θεόν, ὡς τὸ ἀνελεήμονα εἶναι. Προσηνέχθη αὐτῷ τις ὀφείλων μυρία τάλαντα, καὶ σπλαγχνισθεὶς συνεχώρησε· καὶ ἐκείνῳ ὠφείλετο παρὰ τοῦ συνδούλου ἑκατὸν δηνάρια, καὶ ἦγχεν αὐτόν· διὰ τοῦτο παρέδωκεν αὐτὸν ὁ Κύριος τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ταῦτα ἀκούοντες, ἐλεήμονες ὦμεν περὶ τοὺς ὀφείλοντας ἐν χρήμασιν, ἐν ἁμαρτήμασι. Μηδεὶς μνησίκακος ἔστω, εἴγε μὴ βούλοιτο ἑαυτὸν ἀδικεῖν· οὐ γὰρ ἐκεῖνον τοσοῦτον λυπεῖ. Ἐκείνῳ μὲν γὰρ ἢ ἐπέξεισιν, ἢ οὐκ ἐπεξῆλθεν· αὐτὸς δὲ τὰς ἁμαρτίας οὐκ ἀφιεὶς τῷ πλησίον βασιλείαν ζητεῖς; Ὅπερ ἵνα μὴ πάθωμεν, πᾶσιν ἀφῶμεν· ἑαυτοῖς γὰρ ἀφίεμεν· καὶ συγχωρήσωμεν, ἵνα ὁ Θεὸς συγχωρήσῃ ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, καὶ οὕτω τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

45. Παροιμ. 20, 6.
46. Πρβλ. Ματθ. 18, 23 - 35.

τοῦ Θεοῦ. Διότι, εἰπέ μου, διατί, ἐνῷ εἶναι μόνος, ἐδημιούργησε τόσον πολλούς; Ὄχι ἐξ αἰτίας τῆς ἀγαθότητός του; Ὄχι ἐξ αἰτίας τῆς φιλανθρωπίας του; Ἂν ἐρωτήσῃς, διατί συμβαίνει αὐτὸ καὶ ἐκεῖνο, παντοῦ θὰ εὕρῃς τὴν ἀγαθότητα.

Ἄς ἐλεήσωμεν τοὺς πλησίον, διὰ νὰ ἐλεηθοῦμεν καὶ ἡμεῖς οἱ ἴδιοι. Δὲν συγκεντρώνομεν τὴν ἐλεημοσύνην αὐτὴν περισσότερον δι' ἐκείνους, παρὰ διὰ τοὺς ἰδίους τοὺς ἑαυτούς μας κατ' ἐκείνην τὴν ἡμέραν τῆς κρίσεως. Ὅταν αἱ φλόγες τοῦ πυρὸς εἶναι ὁρμητικαί, τὸ ἔλαιον τοῦτο εἶναι σβεστικὸν τοῦ πυρός, τοῦτο δὲ εἶναι αἰτία φωτὸς εἰς ἡμᾶς. Ἔτσι θὰ ἀπαλλαγοῦμεν διὰ τούτου ἀπὸ τὸ πῦρ τῆς γεέννης· διότι ἀπὸ ποῦ θὰ μᾶς εὐσπλαγχνισθῇ καὶ θὰ μᾶς ἐλεήσῃ; Ἡ ἐλεημοσύνη εἶναι ἀποτέλεσμα τῆς ἀγάπης. Τίποτε δὲν ἐξοργίζει τόσον πολὺ τὸν Θεόν, ὅσον τὸ νὰ μὴ εἶναι κανεὶς ἐλεήμων. Ἔφεραν εἰς αὐτὸν ἕνα χρεώστην ποὺ ὤφειλε δέκα χιλιάδας τάλαντα, καὶ ἀφοῦ τὸν εὐσπλαγχνίσθη τοῦ ἐχάρισε τὸ δάνειον· καὶ εἰς ἐκεῖνον ὤφειλεν ἕνας ἀπὸ τοὺς συνδούλους του ἑκατὸν δηνάρια, καὶ τὸν κατεστανοχωροῦσε· διὰ τοῦτο ὁ κύριος παρέδωσεν αὐτὸν εἰς ἐκείνους, ποὺ βασανίζουν τοὺς φυλακισμένους διὰ νὰ τὸν τιμωροῦν, μέχρις ὅτου ἐξοφλήσῃ τὸ ποσὸν ποὺ ὤφειλαν[45]. Ἀκούοντες αὐτὰ ἂς εἴμεθα ἐλεήμονες διὰ τοὺς ὀφειλέτας μας εἰς χρήματα, εἰς ἁμαρτήματα. Κανεὶς ἂς μὴ εἶναι μνησίκακος, ἐὰν βεβαίως δὲν ἐπιθυμῇ νὰ ἀδικῇ τὸν ἑαυτόν του· καθ' ὅσον δὲν προξενεῖ τόσον πολὺ λύπην εἰς ἐκεῖνον. Διότι ἐκεῖνον μὲν ἢ ἐτιμώρησεν ἢ δὲν ἐτιμώρησε, σὺ ὅμως ὁ ἴδιος χωρὶς νὰ συγχωρήσῃς τὰς ἁμαρτίας τοῦ πλησίον σου ζητεῖς τὴν Βασιλείαν τῶν Οὐρανῶν; Συνεπῶς διὰ νὰ μὴ πάθωμεν, ἂς συγχωρήσωμεν τοὺς πάντας· διότι συγχωροῦμεν τοὺς ἑαυτούς μας. Καὶ ἂς συγχωρήσωμεν διὰ νὰ μᾶς συγχωρήσῃ ὁ Θεὸς τὰς ἁμαρτίας μας, καὶ ἔτσι νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ τῆς μελλούσης ζωῆς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΣΤ΄
Φιλιπ. 2, 1-4

«Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες· μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ, ἀλλήλοις ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν· μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος».

Οὐδὲν ἄμεινον, οὐδὲν φιλοστοργότερον διδασκάλου πνευματικοῦ· παντὸς πατρὸς εὔνοιαν παρέρχεται φυσικοῦ. Ὅρα γοῦν, ὁ μακάριος οὗτος οἵαν τίθησιν ἱκετηρίαν πρὸς Φιλιππησίους ὑπὲρ τῶν ἐκείνοις συμφερόντων. Τί γάρ φησι, περὶ ὁμονοίας παρακαλῶν, τοῦ πάντων αἰτίου τῶν καλῶν; ὅρα πῶς λιπαρῶς, πῶς σφοδρῶς, πῶς μετὰ συμπαθείας πολλῆς. «Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ», φησί. Τουτέστιν, εἴ τινα ἔχετε παράκλησιν ἐν Χριστῷ· ὡς ἂν εἰ ἔλεγεν, εἴ τινά μου λόγον ἔχεις, εἴ τις σοι φροντὶς ἐμοῦ, εἴ ποτε εὖ ἔπαθές τι παρ' ἐμοῦ, τόδε ποίησον. Τούτῳ δὲ κεχρήμεθα τῆς διαθέσεως τῷ τρόπῳ, ὅταν ὑπὲρ πράγματος ἀξιῶμεν, ὃ πάντων προτίθεμεν· οὐ γάρ, εἰ μὴ πάντων αὐτὸ προετίθεμεν, πάντων τὴν

1. Φιλιπ. 2, 1-4.

ΛΟΓΟΣ ΣΤ΄

Φιλιπ. 2, 1 - 4

«Ἐν ὀνόματι λοιπὸν τῆς ἐν Χριστῷ παρηγορίας, ἐν ὀνόματι τῆς παραμυθίας ποὺ προέρχεται ἐξ ἀγάπης, ἐὰν μετέχετε καὶ σεῖς τοῦ ἁγίου Πνεύματος, ἐὰν ἔχετε εὐσπλαγχνίαν καὶ αἰσθήματα συμπαθείας, γεμίσατε τὴν καρδίαν μου χαράν, μὲ τὸ νὰ ἔχετε τὰ αὐτὰ ὅλοι φρονήματα, ἔχοντες μεταξύ σας τὴν αὐτὴν ἀγάπην, μίαν ψυχὴν ὅλοι σας, ἕνα φρόνημα, χωρὶς τίποτε νὰ πράττετε ἐκ φατριασμοῦ καὶ ἀντιζηλίας ἢ ἐκ κενοδοξίας. Ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης νὰ θεωρῇ ὁ καθένας σας τοὺς ἄλλους ὅλους ὑπερτέρους καὶ ἀνωτέρους. Μὴ ἐπιδιώκετε ἕκαστος τὰ συμφέροντά του, ἀλλ' ἃς ἐπιζητῇ ἕκαστος καὶ τὰ συμφέροντα τῶν ἄλλων»[1].

Τίποτε δὲν εἶναι καλύτερον, τίποτε δὲν εἶναι φιλοστοργότερον ἀπὸ τὸν πνευματικὸν διδάσκαλον· ὑπερβαίνει τὴν συμπάθειαν κάθε φυσικοῦ πατρός. Πρόσεχε λοιπόν, ποίαν ἱκεσίαν ὁρίζει ὁ μακάριος Παῦλος εἰς τοὺς Φιλιππησίους ὑπὲρ τῶν συμφερόντων ἐκείνων. Τί λοιπὸν λέγει, προτρέπων αὐτοὺς εἰς ὁμόνοιαν, τὴν αἰτίαν πάντων τῶν καλῶν; Πρόσεχε πῶς λέγει μὲ ἐπιμονήν, μὲ σφοδρότητα καὶ μὲ συμπάθειαν πολλήν. «Ἐν ὀνόματι τῆς ἐν Χριστῷ παρηγορίας», λέγει. Δηλαδή, ἂν ἔχετε τὴν ἐν Χριστῷ παρηγορίαν· ὡς ἐὰν ἔλεγεν, ἂν ἔχῃς κάποιον λόγον ὑπὲρ ἐμοῦ, ἂν φροντίζῃς κάπως δι' ἐμέ, ἂν κάποτε εὐηργετήθης ἀπὸ ἐμέ, πρᾶξε τοῦτο λοιπόν. Μὲ τὸν τρόπον αὐτὸν ἐκδηλώνομεν τὴν διάθεσίν μας ὅταν ἀξιώνωμεν κάτι ποὺ προτιμοῦμεν ἀπὸ ὅλα τὰ πράγματα· διότι ἐὰν δὲν ἐπροτιμούσαμεν

ἀμοιβὴν ἐν ἐκείνῳ λαβεῖν ἐβουλόμεθα, καὶ δι' ἐκείνου τὸ πᾶν ἐλέγομεν δείκνυσθαι. Ἡμεῖς μὲν οὖν σαρκικῶν δικαιωμάτων ὑπομιμνήσκομεν· ὡς ἂν εἰ πατὴρ ἔλεγεν, εἴ τις οὖν σοι πατρὸς αἰδώς, εἴ τις ἀνατροφῆς μνήμη, εἴ τις φιλοστοργίας τῆς πρὸς ἐμέ, εἴ τις τιμῆς ἧς ἔτυχες παρ' ἐμοῦ, εἴ τις εὐνοίας, μὴ ἔσο τῷ ἀδελφῷ ἐχθρός· τουτέστιν, ἀντὶ πάντων ἐκείνων ταύτην αἰτῶ τὴν ἀμοιβήν. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως· οὐδενὸς σαρκικοῦ ὑπομιμνήσκει, ἀλλὰ πάντων πνευματικῶν. Τουτέστιν, εἴ τινά μοι βούλεσθε παράκλησιν ἐν τοῖς πειρασμοῖς δοῦναι, καὶ προτροπὴν ἐν Χριστῷ, εἴ τινα παραμυθίαν ἀγάπης, εἴ τινα κοινωνίαν δεῖξαι τὴν ἐν Πνεύματι, εἴ τινα ἔχετε σπλάγχνα καὶ οἰκτιρμούς, πληρώσατέ μου τὴν χαράν. «Εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί». Οἰκτιρμούς φησιν ἑαυτοῦ τῶν μαθητῶν τὴν ὁμόνοιαν ὁ Παῦλος δεικνὺς ὡς ἐν τοῖς ἐσχάτοις ὁ κίνδυνος, ἐὰν μὴ ὁμονοοῦσιν. Εἰ ἔστι, φησί, τυχεῖν παρακλήσεως παρ' ὑμῶν, εἰ ἔστι τυχεῖν ἀπὸ τῆς ἀγάπης ὑμῶν παραμυθίας τινός, εἰ ἔστιν ὑμῖν κοινωνῆσαι ἐν Πνεύματι, εἰ ἔστι κοινωνῆσαι ὑμῖν ἐν Κυρίῳ, εἰ ἔστιν ἐλεηθῆναι παρ' ὑμῶν καὶ οἰκτειρηθῆναι, πάντων τούτων τὴν ἀντίδοσιν ἐν τῇ ἀγάπῃ δείξατε· πάντων τούτων ἔτυχον, ἐὰν ἀγαπᾶτε ἀλλήλους. «Πληρώσατέ μου τὴν χαράν».

Ὅρα, ἵνα μὴ δόξῃ ἡ παραίνεσις ὡς πρὸς ἐλλείποντα ἔτι γεγενῆσθαι, οὐκ εἶπε, ποιήσατέ μοι, ἀλλά, «πληρώσατε»· τουτέστιν ἤρξασθε φυτεύειν ἐν ἐμοί· ἤδη μοι μετεδώκατε τὸ εἰρηνεύειν, ἀλλ' εἰς τέλος ἐπιθυμῶ ἐλθεῖν. Τί βούλει, εἰπέ μοι; ἵνα σε κινδύνων ἀπαλλάξωμεν; ἵνα σοί τι χορηγήσωμεν; Οὐδὲν τούτων φησίν, ἀλλ', «Ἵνα ὑμεῖς τὸ αὐτὸ

ἀπὸ ὅλα τοῦτο, δὲν θὰ ἐλαμβάνομεν τὴν ἀμοιβὴν ὅλων εἰς ἐκεῖνο, καὶ δὲν θὰ ἐλέγομεν ὅτι τὸ πᾶν ἀποδεικνύεται μὲ ἐκεῖνο. Ἡμεῖς λοιπὸν ὑπενθυμίζομεν τὰ σαρκικὰ δικαιώματα˙ ὡς ἐὰν ὁ πατέρας ἔλεγεν˙ ἂν ὑπάρχῃ εἰς σὲ κάποιο ἴχνος ἐντροπῆς τοῦ πατρός, ἂν ἐνθυμῆσαι τὴν ἀνατροφήν, ἐὰν ἐνθυμῆσαι ὅτι πρέπει νὰ ἐπιδεικνύῃς κάποιαν φιλοστοργίαν πρὸς ἐμέ, ἐὰν ἐνθυμῆσαι τὴν τιμὴν ποὺ ἔτυχες ἀπ᾽ ἐμέ, ἐὰν ἐνθυμῆσαι τὴν συμπάθειαν, μὴ εἶσαι ἐχθρὸς εἰς τὸν ἀδελφόν σου˙ δηλαδή, εἰς ἀντάλλαγμα ὅλων ἐκείνων ζητῶ αὐτὴν τὴν ἀμοιβήν. Ὁ Παῦλος ὅμως δὲν ἐνεργεῖ ἔτσι˙ δὲν ὑπενθυμίζει κανένα σαρκικόν, ἀλλὰ ὅλα τὰ πνευματικὰ δικαιώματα. Δηλαδή, ἐὰν ἐπιθυμῆτε νὰ μοῦ δώσετε παρηγορίαν εἰς τὰς δυσκόλους στιγμάς μου καὶ προτροπὴν ἐν Χριστῷ, ἐὰν ἐπιθυμῆτε νὰ μοῦ δώσετε παραμυθίαν ποὺ προέρχεται ἐξ ἀγάπης, ἐὰν θέλετε νὰ δείξετε ὅτι μετέχετε καὶ σεῖς τοῦ ἁγίου Πνεύματος, ἐὰν ἔχετε εὐσπλαγχνίαν καὶ αἰσθήματα συμπαθείας, γεμίσατε τὴν καρδίαν μου χαράν. «Ἐὰν ἔχετε εὐσπλαγχνίαν καὶ αἰσθήματα συμπαθείας». Αἰσθήματα συμπαθείας λέγει τὴν ὁμόνοιαν τῶν μαθητῶν του ὁ Παῦλος, δεικνύων ὅτι ὁ κίνδυνος φθάνει εἰς ἔσχατον σημεῖον, ἐὰν δὲν ἔχουν ὁμόνοιαν μεταξύ των. Ἐὰν εἶναι δυνατόν, λέγει, νὰ λάβω παρηγορίαν ἀπὸ σᾶς, ἐὰν εἶναι δυνατὸν νὰ λάβω παραμυθίαν ἀπὸ τὴν ἀγάπην σας, ἐὰν εἶναι δυνατὸν νὰ ἐπικοινωνήσω μαζί σας ἐν ἁγίῳ Πνεύματι, ἐὰν εἶναι δυνατὸν νὰ ἐπικοινωνήσω μαζί σας ἐν Κυρίῳ, ἐὰν εἶναι δυνατὸν νὰ μὲ ἐλεήσετε καὶ νὰ μὲ εὐσπλαγχνισθῆτε, τὴν ἀνταπόδοσιν ὅλων αὐτῶν δείξατε εἰς τὴν ἀγάπην σας˙ ὅλα αὐτὰ τὰ ἔλαβα, ἐὰν ἔχετε ἀγάπην μεταξύ σας. «Γεμίσατε τὴν καρδίαν μου χαράν».

Πρόσεχε, διὰ νὰ μὴ φανῇ ὅτι ἡ παραίνεσις ἀπευθύνεται εἰς ὑπολειπομένους ἀκόμη κατὰ τὴν ἀρετὴν πιστούς, δὲν εἶπε, προκαλέσατε εἰς ἐμέ, ἀλλὰ «γεμίσατε»˙ δηλαδή, ἔχετε ἀρχίσει νὰ φυτεύετε μέσα μου˙ ἤδη μοῦ μετεδώσατε τὴν εἰρήνην, ἀλλ᾽ εἰς τὸ τέλος ἐπιθυμῶ νὰ ἔλθω πρὸς σᾶς. Τί θέλεις, εἰπέ μου; νὰ σὲ ἀπαλλάξωμεν ἀπὸ τοὺς κινδύνους; νὰ σοῦ χορηγήσωμεν κάτι; Τίποτε ἀπ᾽ αὐτά, λέγει, ἀλλὰ «διὰ

φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες», ἐν ᾗ ἤρξασθε, «σύμψυχοι, τὸ ἓν φρονοῦντες». Βαβαί, ποσάκις τὸ αὐτὸ λέγει ἀπὸ διαθέσεως πολλῆς; «Ἵνα τὸ αὐτὸ φρονῆτε», μᾶλλον δέ, ἵνα ἓν φρονῆτε· τοῦ γάρ, τὸ αὐτό, μεῖζον τοῦτό ἐστι. «Τὴν αὐτὴν ἀγάπην ἔχοντες»· τουτέστι, μὴ ἁπλῶς περὶ πίστιν μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. Ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ ἀγάπην ἔχειν. «Τὴν αὐτὴν ἀγάπην ἔχοντες»· τουτέστιν, ὁμοίως καὶ φιλεῖν, καὶ φιλεῖσθαι. Μὴ σὺ μὲν ἀπόλαυε τῆς πολλῆς, ἐλάττονα δὲ πάρεχε, ἵνα καὶ ἐν τούτῳ ᾖς πλεονέκτης· ἀλλὰ μὴ ἀνέχου. «Σύμψυχοι», φησί· τουτέστι, μιᾷ ψυχῇ τὰ πάντων οἰκειούμενοι σώματα, οὐ τῇ οὐσίᾳ, οὐ γὰρ ἔστιν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ γνώμῃ· ὡς ἐκ μιᾶς ψυχῆς τὰ πάντα γινέσθω.

Τί ἐστι, «σύμψυχοι;». Ἐδήλωσεν εἰπών, «τὸ ἓν φρονοῦντες»· ἓν ἔστω τὸ φρόνημα, ὥσπερ μιᾶς ψυχῆς. «Μηδὲν κατὰ ἐριθείαν». Ἀξιοῖ λοιπὸν καὶ τὸν τρόπον λέγειν, πῶς ἂν τοῦτο γένοιτο· «Μηδὲν κατὰ ἐριθείαν, ἢ κενοδοξίαν». Ὅπερ ἀεί φημι, ὅτι πάντων αἴτιον τῶν κακῶν τοῦτό ἐστιν. Ἐντεῦθεν αἱ μάχαι καὶ αἱ ἔρεις, ἐντεῦθεν αἱ βασκανίαι καὶ φιλονεικίαι, ἐντεῦθεν τῆς ἀγάπης ἡ ψῦξις, ὅταν παρὰ τῶν ἀνθρώπων δόξης ἐρῶμεν, ὅταν δοῦλοι τῆς τῶν πολλῶν ὦμεν τιμῆς. Οὐ γὰρ ἔνι δόξης ὄντα δοῦλον, εἶναι καὶ Θεοῦ δοῦλον γνήσιον. Πῶς οὖν τὴν κενοδοξίαν φύγωμεν, φησίν; οὐδέπω γὰρ εἶπας ὁδόν. Ἄκουε τῶν ἐπαγομένων. «Ἀλλὰ τῇ ταπεινοφροσύνῃ», φησίν, «ἀλλήλων ἡγούμενοι ὑπερέχοντας

νὰ ἔχετε τὰ αὐτὰ ὅλοι φρονήματα, ἔχοντες μεταξύ σας τὴν αὐτὴν ἀγάπην», ποὺ ἠρχίσατε νὰ ἔχετε, «ἔχοντες ὅλοι μίαν ψυχήν, ἔχοντες ὅλοι ἕνα φρόνημα». Πώ, πώ! Πόσας φορὰς λέγει τὸ αὐτὸ πρᾶγμα μὲ ὅλην τὴν διάθεσίν του. «Διὰ νὰ ἔχετε τὰ αὐτὰ ὅλοι φρονήματα», μᾶλλον δέ, διὰ νὰ ἔχετε ὅλοι ἕνα φρόνημα· διότι τὸ «ἕνα φρόνημα» εἶναι μεγαλύτερον ἀπὸ τὸ «τὰ αὐτὰ φρονήματα». "Ἔχοντες μεταξύ σας τὴν αὐτὴν ἀγάπην»· δηλαδή, ὄχι ἁπλῶς μόνον ὅσον ἀφορᾷ εἰς τὴν πίστιν, ἀλλὰ καὶ εἰς ὅλα τὰ ἄλλα. «Διότι εἶναι δυνατὸν νὰ ἔχωμεν τὰ αὐτὰ φρονήματα καὶ νὰ μὴ ἔχωμεν ἀγάπην μεταξύ μας. «"Ἔχοντες μεταξύ σας τὴν αὐτὴν ἀγάπην»· δηλαδή, κατὰ τὸν αὐτὸν τρόπον καὶ νὰ ἀγαπᾶτε καὶ νὰ ἀγαπᾶσθε. Νὰ μὴ ἀπολαύῃς σὺ μὲν πολλὴν ἀγάπην, καὶ νὰ δίδῃς ὅμως ὀλιγωτέραν, διὰ νὰ εἶσαι καὶ εἰς τὴν ἀγάπην πλεονέκτης· ἀλλὰ νὰ μὴ τὸ ἀνέχεσαι αὐτό. «"Ἔχοντες μίαν ψυχήν», λέγει· δηλαδή, μὲ μίαν ψυχὴν οἰκειούμενοι τὰ σώματα ὅλων, ὄχι κατὰ τὴν οὐσίαν, διότι δὲν εἶναι δυνατόν, ἀλλὰ κατὰ τὴν διάθεσιν καὶ τὴν γνώμην· ὡς νὰ γίνωνται τὰ πάντα ἀπὸ μίαν ψυχήν.

Τί σημαίνει «σύμψυχοι»; Τὸ ἐπεξήγησεν εἰπών, «ἔχοντες ὅλοι ἕνα φρόνημα»· ἕνα ἂς εἶναι τὸ φρόνημα, ὅπως ἀκριβῶς μία ψυχή. «Χωρὶς τίποτε νὰ πράττετε ἐκ φατριασμοῦ καὶ ἀντιζηλίας». Ἀξιώνει λοιπὸν αὐτὸ καὶ λέγει τὸν τρόπον, κατὰ τὸν ὁποῖον θὰ ἐπιτύχουν τοῦτο· «Χωρὶς τίποτε νὰ πράττετε ἐκ φατριασμοῦ καὶ ἀντιζηλίας ἢ ἐκ κενοδοξίας». Πρᾶγμα ποὺ πάντοτε λέγω, ὅτι τοῦτο εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν. Ἐκ τούτου προέρχονται αἱ συγκρούσεις καὶ αἱ διχόνοιαι, ἐκ τούτου οἱ φθόνοι καὶ αἱ φιλονεικίαι, ἐκ τούτου ἡ ψῦξις τῆς ἀγάπης, ὅταν δηλαδὴ ἐπιθυμοῦμεν σφοδρῶς τὴν δόξαν τῶν ἀνθρώπων, ὅταν εἴμεθα δοῦλοι τῆς τιμῆς τῶν πολλῶν. Διότι δὲν εἶναι δυνατὸν νὰ εἶναι κανεὶς γνήσιος δοῦλος τοῦ Θεοῦ, ἐνῷ εἶναι δοῦλος τῆς δόξης. Πῶς λοιπόν, θὰ εἴπῃ κάποιος, θὰ ἀποφύγωμεν τὴν κενοδοξίαν; διότι μέχρι τώρα δὲν εἶπες καθόλου τὸν τρόπον. "Ἄκουε αὐτὰ ποὺ ἀκολουθοῦν. «Ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης», λέγει, «νὰ θεωρῇ ὁ καθείς σας τοὺς ἄλ-

ἑαυτῶν». Βαβαί, πῶς δόγμα φιλοσοφίας γέμον, καὶ πάσης ἡμῶν τῆς σωτηρίας συγκρότημα ἐξέθετο; Ἐὰν ὑπολάβῃς, φησίν, ὅτι ὁ δεῖνά σου μείζων ἐστί, καὶ τοῦτο πείσῃς σαυτόν, οὐκ ἐὰν εἴπῃς μόνον, ἀλλὰ καὶ πληροφορηθῇς, ἀπονέμεις αὐτῷ καὶ τὴν τιμήν· εἰ δὲ σὺ ἀπονέμεις αὐτῷ τὴν τιμήν, οὐκ ἀγανακτήσεις ὁρῶν αὐτὸν παρ' ἑτέρου τιμώμενον.

Μὴ τοίνυν ἁπλῶς νόμιζε μείζονά σου εἶναι, ἀλλ' ὑπερέχειν, ὅπερ ἐστὶ σφοδρᾶς ὑπερβολῆς, καὶ οὐ ξενίζῃ τιμώμενον ὁρῶν, οὐδὲ ἀλγεῖς· κἂν ὑβρίσῃ, φέρεις γενναίως· μείζονα γάρ σου αὐτὸν νενόμικας· κἂν λοιδορῇ, πείθῃ, κἂν ποιήσῃ κακῶς, φέρεις σιγῇ. Ὅταν γὰρ ἅπαξ ἡ ψυχὴ πληροφορηθῇ, ὅτι μείζων ἐστίν, οὐκ εἰς ὀργὴν ἐμπίπτει ἐν οἷς ἂν παρ' αὐτοῦ πάθῃ κακῶς, οὐκ εἰς βασκανίαν. Τοῖς γὰρ σφόδρα ὑπερέχουσιν οὐδεὶς ἂν φθονήσειε· τῆς γὰρ ὑπεροχῆς τὰ πάντα ἐστίν. Ἐνταῦθα μὲν οὖν τοῦτον παιδεύει τὸ οὕτω διακεῖσθαι. Ὅταν δὲ κἀκεῖνος ὁ τοσαύτης ἀπολαύων παρὰ σοῦ τιμῆς, φησίν, οὕτω πρὸς σὲ διακέηται, ἐννόησον πῶς τεῖχός ἐστι διπλοῦν ἐπιεικείας. Ὅταν γὰρ σύ τε ὡς ἄξιον τιμῆς ἔχῃς, κἀκεῖνος οὕτως, οὐδὲν οὐδέποτε ἔσται λυπηρόν. Εἰ γὰρ παρὰ τοῦ ἑνὸς τοῦτο γινόμενον ἀρκεῖ λῦσαι πᾶσαν ἐρεσχελίαν, ὅταν παρὰ ἀμφοτέρων ᾖ, τίς διακόψει ταύτην τὴν ἀσφάλειαν; Οὐδὲ αὐτὸς ὁ διάβολος· τριπλοῦν γὰρ ἔσται, καὶ τετραπλοῦν, καὶ πολλαπλάσιον τὸ ὀχύρωμα.

Πάντων γὰρ τῶν ἀγαθῶν αἰτία ἡ ταπεινοφροσύνη. Καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος, «Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Οὐχ ἁπλῶς τα-

2. Ψαλμ. 50, 18 - 19.

λους ὑπερτέρους καὶ ἀνωτέρους ἀπὸ τὸν ἑαυτόν του». Πώ, πώ! Μὲ ποῖον τρόπον διετύπωσε γνώμην, ποὺ εἶναι γεμάτη ἀπὸ φιλοσοφίαν καὶ συγκροτεῖ ὅλην τὴν σωτηρίαν μας! Ἐὰν θεωρήσῃς, λέγει, ὅτι ὁ ἄλλος εἶναι μεγαλύτερός σου καὶ τὸ παραδεχθῇς αὐτό, ὄχι ἐὰν εἰπῇς μόνον, ἀλλὰ καὶ βεβαιωθῇς, θὰ ἀπονέμῃς εἰς αὐτὸν καὶ τὴν ἀνάλογον τιμήν· ἐὰν δὲ ἀπονέμῃς εἰς αὐτὸν τὴν τιμήν, δὲν θὰ ἀγανακτήσῃς ὅταν βλέπῃς αὐτὸν νὰ τιμᾶται ἀπὸ ἄλλον. Ἂς μὴ νομίζῃς λοιπὸν ὅτι εἶναι ἁπλῶς μεγαλύτερός σου, ἀλλ' ὅτι εἶναι ὑπέρτερός σου, ποὺ σημαίνει μεγάλη ὑπεροχή, καὶ ὅταν τὸν βλέπῃς νὰ τιμᾶται δὲν ἐκπλήσσεσαι, οὔτε θλίβεσαι· καὶ ἂν σὲ συμπεριφερθῇ περιφρονητικά, ὑπομένεις γενναίως, διότι ἔχεις θεωρήσει αὐτὸν μεγαλύτερόν σου· καὶ ἂν σὲ ὑβρίζῃ, ὑποχωρεῖς, καὶ ἂν σὲ κακοποιήσῃ, ὑπομένεις χωρὶς διαμαρτυρίαν. Διότι ὅταν ἡ ψυχὴ βεβαιωθῇ μίαν φοράν, ὅτι εἶναι μεγαλύτερος, δὲν ὀργίζεται διὰ τὴν κακὴν μεταχείρισιν ποὺ θὰ ὑποστῇ ἀπ' αὐτόν, οὔτε καταφεύγει εἰς τὸν φθόνον. Διότι κανεὶς δὲν ἠμπορεῖ νὰ φθονήσῃ αὐτοὺς ποὺ ὑπερέχουν ὑπερβολικά, διότι τὰ πάντα εἶναι δεῖγμα τῆς ὑπεροχῆς. Ἐδῶ λοιπὸν διδάσκει αὐτὸν τὸ νὰ συμπεριφέρεται κατ' αὐτὸν τὸν τρόπον. Ὅταν δὲ καὶ ἐκεῖνος, ποὺ ἀπολαύει ἀπὸ σὲ τόσον μεγάλην τιμήν, λέγει, συμπεριφέρεται πρὸς σὲ ὁμοίως κατὰ τὸν αὐτὸν τρόπον, ἐννόησε ὅτι ὑπάρχει διπλοῦν τεῖχος ἐπιεικείας. Διότι ὅταν καὶ σὺ θεωρῇς αὐτὸν ἄξιον τιμῆς, καὶ ἐκεῖνον ἐπίσης, τίποτε δὲν θὰ εἶναι ποτὲ τὸ λυπηρόν. Διότι ἐὰν τοῦτο ποὺ γίνεται ἀπὸ τὸν ἕνα εἶναι ἀρκετὸν νὰ διαλύσῃ κάθε φιλονεικίαν, ὅταν γίνεται καὶ ἀπὸ τοὺς δύο, ποῖος θὰ διακόψῃ τὴν ἀσφάλειαν αὐτήν; Οὔτε ὁ ἴδιος ὁ διάβολος, διότι τὸ ὀχύρωμα θὰ εἶναι τριπλοῦν καὶ τετραπλοῦν καὶ πολλαπλοῦν.

Ἡ ταπεινοφροσύνη λοιπὸν εἶναι ἡ αἰτία ὅλων τῶν ἀγαθῶν. Καὶ διὰ νὰ μάθῃς, ἄκουε τὸν προφήτην, ποὺ λέγει· «Διότι ἐὰν ἤθελες θυσίαν, θὰ προσέφερα· μὲ ὁλοκαυτώματα δὲν θὰ εὐαρεστηθῇς. Θυσία δεκτὴ ἀπὸ τὴν Θεὸν εἶναι τὸ συντετριμμένον πνεῦμα· συντετριμμένην καὶ τεταπεινωμένην καρδίαν, Θεέ, δὲν θὰ περιφρονήσῃς»[2]. Ὄχι ἁπλῶς τα-

πεινοφροσύνην, ἀλλ' ἐπίτασιν ταπεινοφροσύνης. Καθάπερ γὰρ ἐπὶ τῶν σωμάτων τὸ συντετριμμένον οὐκ ἂν ἐπαναστταίη τῷ στερρῷ, ἀλλ' ὅσα ἂν πάθῃ δεινά, πρότερον αὐτὸ ἀπολεῖται, ἢ ἑτέρῳ ἐπεξελεύσεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, αἱρήσεται μᾶλλον κακῶς πάσχουσα διαπαντὸς καὶ ἀποθανεῖν, ἢ ἐπεξελθεῖν καὶ ἀμύνασθαι. Μέχρι τίνος φυσώμεθα φύσημα γέλωτος ἄξιον; Ὥσπερ γὰρ τὰ παιδία ὅταν ὁρῶμεν ἀνατεινόμενα καὶ γαυρούμενα, γελῶμεν, ἢ καὶ λίθον αἴροντα καὶ ῥιπτοῦντα, πάλιν γελῶμεν· οὕτως ἐστὶν ἡ ἀπόνοια ἡ ἀνθρωπίνη παιδικῆς διανοίας, ἀτελοῦς φρενός. «Τί γὰρ ὑπερηφανεύεται γῆ καὶ σποδός;». Μέγα φρονεῖς, ἄνθρωπε; διὰ τί; τί τὸ κέρδος, εἰπέ μοι; Πόθεν δὲ καὶ μέγα φρονεῖς κατὰ τῶν ὁμοφύλων; Οὐχὶ τῆς αὐτῆς μετέχεις φύσεως; οὐχὶ τῆς αὐτῆς ψυχῆς; οὐχ ὁμοίως τετίμησαι παρὰ τοῦ Θεοῦ;

Ἀλλὰ σοφὸς εἶ; Εὐχαριστεῖν, οὐ φυσᾶσθαι ὀφείλεις. Πρώτη ἀχαριστία, ἀπόνοια· ἀφαιρεῖται γὰρ τῆς εὐεργεσίας τὸ δῶρον. Ὁ γὰρ ἐπαιρόμενος, ὡς αὐτὸς κατορθώσας ἐπαίρεται· ὁ δὲ νομίζων κατωρθωκέναι, ἀχάριστός ἐστι περὶ τὸν δεδωκότα τὴν τιμήν. Ἔνεστί σοι τι ἀγαθόν; Εὐχαρίστει τῷ δεδωκότι. Ἄκουσον τί φησιν ὁ Ἰωσήφ, τί δὲ ὁ Δανιήλ. Τοῦ γὰρ βασιλέως Αἰγύπτου μεταπεμψαμένου αὐτόν, καὶ ἐπὶ πάσης τῆς στρατιᾶς πυνθανομένου ἐπὶ πράγματι, ἐφ' ᾧ πάντες παρεχώρησαν οἱ Αἰγύπτιοι οἱ περὶ ταῦτα μάλιστα δεινοί, μέλλων αὐτῶν τὸ πᾶν αἴρειν, καὶ σοφώτερος φανήσεσθαι τῶν ἀστρολόγων, τῶν μάντεων, τῶν γοήτων, τῶν μάγων, πάντων τῶν φιλοσόφων τῶν τότε, ἀπὸ τῆς αἰχμαλωσίας καὶ δουλείας, παιδίον ὤν· καὶ γὰρ τότε μείζων ἡ δόξα· οὐ γάρ ἐστιν ἴσον φαινόμενον λάμπειν, καὶ παρὰ προσδοκίαν·

3. Σοφ. Σειρ. 10, 9.

πεινοφροσύνην, ἀλλ' ἐπίτασιν ταπεινοφροσύνης ἀπαιτεῖ. Διότι ὅπως ἀκριβῶς συμβαίνει εἰς τὰ σώματα δὲν θὰ ἐξεγερθῇ τὸ συντετριμμένον ἐναντίον τοῦ ἰσχυροῦ, ἀλλ' ὅσα δεινὰ ἂν πάθῃ πρῶτον αὐτὸ θὰ ἀπολεσθῇ, ἢ θὰ ἐξέλθῃ ἐναντίον ἄλλου· ἔτσι καὶ εἰς τὴν περίπτωσιν τῆς ψυχῆς, θὰ προτιμήσῃ μᾶλλον νὰ ὑποφέρῃ διὰ παντὸς καὶ νὰ ἀποθάνῃ, παρὰ νὰ ἐξέλθῃ ἐναντίον ἄλλης καὶ νὰ ἀμύνεται. Μέχρι ποίου σημείου θὰ ἐπαιρώμεθα μὲ ἀλαζονείαν καταγέλαστον; Ὅπως βέβαια γελῶμεν, ὅταν βλέπωμεν τὰ παιδιὰ νὰ ἐντείνουν τὰς δυνάμεις των καὶ νὰ ἐπαίρωνται ἢ ὅταν ὑψώνουν πέτραν καὶ τὴν ρίπτουν, πάλιν γελῶμεν, ἔτσι καὶ ἡ ἀνθρωπίνη ἀλαζονεία εἶναι χαρακτηριστικὸν τῆς παιδικῆς διανοίας, ἀτελοῦς λογικοῦ. «Διατί λοιπὸν ὑπερηφανεύεται τὸ χῶμα καὶ ἡ στάκτη;»[3]. Ὑπερηφανεύεσαι, ἄνθρωπε; διατί; ποία ἡ ὠφέλεια; εἰπέ μου· Ἀπὸ ποίαν δὲ αἰτίαν ὑπερηφανεύεσαι καὶ ἐναντίον τῶν ὁμοφύλων σου; Δὲν ἔχεις τὴν αὐτὴν φύσιν; δὲν ἔχεις τὴν αὐτὴν ψυχήν; Δὲν ἔχεις τιμηθῇ ὁμοίως ἀπὸ τὸν Θεόν;

Ἀλλὰ σοφὸς εἶσαι; Ὀφείλεις νὰ εὐχαριστῇς, ὄχι νὰ ὑπερηφανεύεσαι. Ἡ πρώτη ἀχαριστία εἶναι ἡ ἀλαζονεία, διότι ἐξαλείφει τὸ δῶρον τῆς εὐεργεσίας. Διότι ὁ ἀλαζὼν ὑπερηφανεύεται ὡς νὰ ἐπέτυχε μόνος του· ἐκεῖνος ὅμως ποὺ νομίζει ὅτι ἔχει ἐπιτύχει, εἶναι ἀχάριστος ἀπέναντι εἰς αὐτὸν ποὺ τοῦ ἔχει δώσει τὴν τιμήν. Ὑπάρχει εἰς σὲ κάποιο ἀγαθόν; Νὰ εὐγνωμονῇς ἐκεῖνον ποὺ σοῦ τὸ ἔχει δώσει. Ἄκουσε τί λέγουν ὁ Ἰωσὴφ καὶ ὁ Δανιήλ. Ὅταν ὁ Φαραὼ τῆς Αἰγύπτου προσεκάλεσε τὸν Ἰωσήφ, καὶ ὅταν ἐνώπιον ὅλου τοῦ λαοῦ ἠρώτησε νὰ μάθῃ διὰ τὸ ζήτημα, διὰ τὸ ὁποῖον συγκατετέθησαν ὅλοι οἱ Αἰγύπτιοι, ποὺ ἦσαν οἱ καταλληλότεροι περὶ τὰ ζητήματα αὐτά, καὶ ἐνῷ ἐπρόκειτο νὰ παραμερίσῃ τὸ σύνολον αὐτῶν καὶ νὰ φανῇ σοφώτερος τῶν ἀστρολόγων, τῶν μάντεων, τῶν γοήτων, τῶν μάγων, ὅλων τῶν φιλοσόφων τῆς ἐποχῆς ἐκείνης καὶ ἀπὸ τοὺς αἰχμαλώτους καὶ ἀπὸ τοὺς δούλους ἂν καὶ ἦτο παιδί· καὶ πράγματι τότε ἦτο μεγαλυτέρα ἡ δόξα· διότι δὲν ὑπάρχει ἴσον φαινόμενον νὰ λάμπῃ, καὶ παρὰ τὴν προσ-

ὥστε καὶ τὸ παρ' ἐλπίδας ἐποίει αὐτὸν θαυμασιότερον· τί οὖν παρελθὼν εἶπε τῷ Φαραώ; ὅτι ναί, οἶδα; Ἀλλὰ τί; Οὐδενὸς αὐτὸν ἐλέγχοντος, ἀπὸ πολλῆς τῆς εὐγνωμοσύνης τί φησιν; «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν»; Ὅρα· τὸν δεσπότην εὐθέως ἐδόξασε· διὰ τοῦτο ἐδοξάσθη. Καὶ γὰρ καὶ τοῦτο οὐ μικρόν· τοῦ γὰρ αὐτὸν κατωρθωκέναι τὸ τὸν Θεὸν ἀποκαλύψαι πολλῷ μεῖζον Τὰ γὰρ λεγόμενα ἀξιόπιστα ἔδειξε, καὶ τῆς οἰκειώσεως τοῦ Θεοῦ τεκμήριον μέγιστον. Οὐδὲν γὰρ οὕτως ἀγαθόν, ὡς τὸ οἰκειοῦσθαι τῷ Θεῷ. «Εἰ γὰρ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα», φησίν, «ἀλλ' οὐ πρὸς τὸν Θεόν». Εἰ γὰρ ὁ χάριτος ἀξιωθεὶς καυχᾶται ἐπὶ τῷ Θεῷ, ὅτι ἀγαπᾶται, ἐπειδὴ συνεχωρήθη αὐτῷ, καὶ ἔχει καύχημα ὁ ἐργαζόμενος, ἀλλ' οὐ πρὸς τὸν Θεόν, ὡς ἐκεῖνος· τῆς γὰρ πολλῆς ἀσθενείας τεκμήριον τῆς ἡμετέρας· ὁ καὶ σοφίαν λαβὼν παρὰ τοῦ Θεοῦ, πόσῳ μᾶλλον ἂν εἴη θαυμαστός; Ἐδόξασε τὸν Θεόν, καὶ ἐδοξάσθη ὑπ' αὐτοῦ. «Τοὺς δοξάζοντάς με γάρ», φησί, «δοξάσω».

«Πάλιν ὁ ἀπόγονος ὁ τούτου, οὐ σοφώτερος οὐδείς»· «Μὴ σοφώτερος εἶ», φησί, «σὺ τοῦ Δανιήλ;»· οὗτος δὴ ὁ Δανιήλ, τῶν ἐν Βαβυλῶνι πάντων σοφῶν, καὶ αὐτῶν πάλιν ἀστρολόγων, μάντεων, μάγων, γοήτων, πάσης φιλοσοφίας οὐ μόνον ἐλεγχομένης, ἀλλὰ καὶ ἀναιρουμένης· τὸ γὰρ ἀναιρεῖσθαι τεκμήριον ἦν τοῦ καὶ πρότερον αὐτοὺς ἠπατηκέναι· παρελθὼν καὶ μέλλων ἐπιλύεσθαι τὸ ἐρώτημα, οὐδὲ αὐτὸς καλλωπίζεται, ἀλλὰ πρότερον ἀνατίθησι Θεῷ τὸ πᾶν, καί φησιν· «Ἐμοὶ δὲ οὐκ ἂν σοφία τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας ἀνθρώπους ἀπεκαλύφθη, ὦ βασιλεῦ». Καὶ προσεκύνησεν αὐτῷ ὁ βασιλεύς, καὶ εἶπε μαναὰ σπεῖσαι. Ὁρᾷς ταπεινοφροσύνην; ὁρᾷς εὐ-

4. Γεν. 40, 8.
5. Ρωμ. 4, 2.
6. Α' Βασ. 2, 30.
7. Ἰεζ. 28, 3.
8. Δαν. 2, 30.

δοκίαν˙ ὥστε τὸ ὅτι δὲν εἶχεν ἐλπίδας, ἔκαμεν αὐτὸν θαυμαστότερον˙ τί λοιπὸν εἶπεν ὅταν ἦλθεν εἰς τὸν Φαραώ; ὅτι ναί, γνωρίζω; Ἀλλὰ τί; Ἂν καὶ κανεὶς δὲν τὸν ἐλέγχει, τί λέγει ἀπὸ πολλὴν εὐγνωμοσύνην, «Δὲν ἀνήκει ἡ ἐξήγησις τῶν ἐνυπνίων εἰς τὸν Θεόν;»[4]. Πρόσεχε˙ ἀμέσως ἐδόξασε τὸν Θεόν˙ διὰ τοῦτο ἐδοξάσθη. Καὶ τοῦτο βέβαια δὲν εἶναι μικρόν˙ διότι τὸ νὰ ἀποκαλύψῃ τὸν Θεὸν εἶναι κατὰ πολὺ μεγαλύτερον ἀπὸ τὸ νὰ ἔχῃ ἐπιτύχει ὁ ἴδιος. Ἔδειξεν ὅτι τὰ λεγόμενα εἶναι ἀξιόπιστα, καὶ τοῦτο εἶναι μεγίστη ἀπόδειξις τῆς οἰκειώσεως τοῦ Θεοῦ. Διότι τίποτε δὲν εἶναι τόσον ἀγαθόν, ὅμως τὸ νὰ οἰκειώνεται κανεὶς μὲ τὸν Θεόν. «Διότι ἐὰν ἐδικαιώθη λόγῳ τῶν ἀγαθῶν ἔργων, ἔχει λόγον νὰ καυχᾶται», λέγει, «ὄχι ὅμως καὶ ἐνώπιον τοῦ Θεοῦ»[5]. Ἐὰν βέβαια ὁ ἀξιωθεὶς τῆς χάριτος καυχᾶται ἕνεκα τοῦ Θεοῦ, ὅτι ἀγαπᾶται, ἐπειδὴ συνεχώρησεν αὐτόν, καὶ ὁ ἐργαζόμενος ἔχει λόγον νὰ καυχᾶται, ἀλλ' ὄχι ὅμως καὶ ἐνώπιον τοῦ Θεοῦ, ὅπως ἐκεῖνος˙ διότι τοῦτο εἶναι ἀπόδειξις τῆς ἰδικῆς μας ἀσθενείας˙ ἐκεῖνος ποὺ ἔλαβε καὶ σοφίαν ἀπὸ τὸν Θεόν, δὲν θὰ εἶναι κατὰ πολὺ περισσότερον θαυμαστός; Ἐδόξασε τὸν Θεόν, καὶ ἐδοξάσθη ἀπ' αὐτόν. «Διότι ἐκείνους ποὺ μὲ ἐδόξασαν, θὰ δοξάσω»[6], λέγει.

Πάλιν ὁ ἀπόγονος τούτου, τοῦ ὁποίου σοφώτερος δὲν εἶναι κανείς˙ «Μήπως εἶσαι σοφώτερος, λέγει ὁ προφήτης, ἀπὸ τὸν Δανιήλ;»[7]˙ αὐτὸς λοιπὸν ὁ Δανιήλ, ὁ σοφώτερος ὅλων τῶν σοφῶν, τῶν εὑρισκομένων εἰς Βαβυλῶνα, καὶ αὐτῶν ἀκόμη τῶν ἀστρολόγων, τῶν μάντεων, τῶν μάγων, τῶν γοήτων, ὅλων τῶν φιλοσόφων ποὺ ὄχι μόνον ἀποδεικνύονται ἔνοχοι, ἀλλὰ καὶ θανατώνονται˙ διότι ἡ θανάτωσις ἦτο ἀπόδειξις ὅτι καὶ προηγουμένως εἶχαν ἐξαπατήσει αὐτοὶ τὸν βασιλέα˙ καὶ ὅταν ἦλθεν ὁ Δανιὴλ καὶ ἐπρόκειτο νὰ ἑρμηνεύσῃ τὸ ἐρώτημα, οὔτε καὶ αὐτὸς καυχᾶται, ἀλλὰ ἀναθέτει κατὰ πρῶτον τὸ πᾶν εἰς τὸν Θεὸν καὶ λέγει˙ «Ἀλλ' ὡς πρὸς ἐμέ, βασιλεῦ, ὄχι ἕνεκα σοφίας, τὴν ὁποίαν ἔχω εἰς μεγαλύτερον βαθμὸν ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ἀπεκαλύφθη»[8]. Καὶ προσεκύνησεν αὐτὸν ὁ βασιλεύς, καὶ εἶπε θὰ τοῦ προσφέρουν δῶρα. Βλέπεις ταπεινοφροσύνην,

γνωμοσύνην; ὁρᾷς ἄτυφον ἦθος; Ἄκουε καὶ τῶν ἀποστόλων λεγόντων, ποτὲ μὲν «Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;»· καὶ πάλιν, «Ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι». Εἰ δὲ ἐκεῖνοι δεδομένας τιμὰς οὕτως ἀπεκρούοντο, ἄνθρωποι μείζονα τοῦ Χριστοῦ διὰ τὴν τοῦ Χριστοῦ ταπεινοφροσύνην ἐργαζόμενοι, καὶ διὰ τὴν αὐτοῦ δύναμιν· «Ὁ γὰρ πιστεύων ἐμοί», φησί, «μείζονα ποιήσει ὧν ἐγὼ ποιῶ»· πῶς οὐκ ἄθλιοι καὶ ταλαίπωροι, οἱ μηδὲ κώνωπας σοβῆσαι δυνάμενοι, μήτιγε δαίμονας; οἱ μηδὲ ἕνα ἄνθρωπον ὠφελῆσαι ἰσχύοντες, μήτιγε τὴν οἰκουμένην ἅπασαν, καὶ τοσοῦτον φρονοῦντες, ὅσον οὐδὲ αὐτὸς ὁ διάβολος;

Οὐδὲν οὕτω ψυχῆς ἀλλότριον Χριστιανῆς, ὡς ἀπόνοια· ἀπόνοιαν λέγω, οὐ παρρησίαν, οὐδὲ ἀνδρείαν· ἐκεῖνα γὰρ οἰκεῖς. Ἕτερον γάρ τι τοῦτό ἐστι, καὶ ἕτερον ἐκεῖνο· ὥστε ἕτερον μὲν ταπεινοφροσύνη, ἕτερον δὲ ἀνελευθερία καὶ κολακεία καὶ θωπεία. Καί, εἰ βούλεσθε, πάντων τούτων ὑμῖν τὰ ὑποδείγματα παρέξω. Δοκεῖ γάρ πως παρυφεστηκέναι τὰ ἐναντία, ὥσπερ τῷ σίτῳ τὰ ζιζάνια, καὶ τῷ ῥόδῳ αἱ ἄκανθαι. Ἀλλὰ παῖδες μὲν εὐκόλως ἂν ἀπατηθεῖεν, οἱ δὲ ὄντως ἄνδρες, τῆς πνευματικῆς ὄντες γεωργίας ἔμπειροι, ἴσασι τὰ ὄντως ἀγαθὰ ἀποκρίνειν τῶν κακῶν. Φέρε οὖν, ὑμῖν τὰ ὑποδείγματα αὐτῶν ἀπὸ τῶν γραφῶν παραστήσωμεν. Τί ποτέ ἐστι κολακεία καὶ ἀνελευθερία καὶ θωπεία; Ὁ Σιβᾶ τὸν Δαυῒδ ἐκολάκευε παρὰ καιρόν, καὶ τὸν δεσπότην διέβαλε τὸν ἑαυτοῦ· μᾶλλον δὲ ὁ Ἀχιτόφελ τὸν Ἀβεσσαλώμ. Ἀλλ' οὐχ ὁ Δαυῒδ τοιοῦτος, ἀλλὰ ταπεινόφρων. Κόλακες γάρ εἰ-

9. Πράξ. 3, 12.
10. Πράξ. 14, 15.
11. Ἰω. 14, 12.

βλέπεις εὐγνωμοσύνην; βλέπεις ἦθος σεμνόν; Ἄκουε καὶ τοὺς ἀποστόλους νὰ λέγουν, ἄλλοτε μὲν «Διατί ἀτενίζετε εἰς ἡμᾶς, ὡσὰν μὲ ἰδικήν μας δύναμιν ἢ λόγῳ τῆς εὐσεβείας μας νὰ ἔχωμεν κατορθώσει τὸ νὰ περιπατῇ αὐτός;»[9]· καὶ πάλιν· «Ἡμεῖς εἴμεθα ἄνθρωποι μὲ τὴν αὐτὴν ἀσθενῆ καὶ θνητὴν φύσιν, ποὺ ἔχετε καὶ σεῖς»[10]. Ἐὰν ὅμως ἐκεῖνοι ἀπέκρουον κατ' αὐτὸν τὸν τρόπον τὰς τιμάς, ποὺ ἐδίδοντο εἰς αὐτούς, ὄντες ἄνθρωποι, μεγαλύτερα ἀπὸ τὸν Χριστὸν ἐργαζόμενοι διὰ τὴν τοῦ Χριστοῦ ταπεινοφροσύνην καὶ διὰ τὴν δύναμιν αὐτοῦ· «Διότι ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, λέγει, θὰ κάμῃ μεγαλύτερα ἔργα ἀπ' ἐκεῖνα ποὺ ἐγὼ ἐνεργῶ»[11]· πῶς δὲν θὰ πρέπει νὰ ἀποκρούωμεν τὰς τιμὰς ἡμεῖς οἱ ἄθλιοι καὶ ταλαίπωροι, οἱ ὁποῖοι δὲν ἠμποροῦμεν νὰ ἀποδιώξωμεν οὔτε κουνούπια, οὔτε βεβαίως δαίμονας; ἡμεῖς οἱ ὁποῖοι δὲν εἴμεθα εἰς θέσιν νὰ ὠφελήσωμεν ἕνα ἄνθρωπον, πολὺ ὀλιγώτερον ὅλους τοὺς ἀνθρώπους, καὶ ὑπερηφανευώμεθα τόσον πολύ, ὅσον δὲν ὑπερηφανεύεται ὁ ἴδιος ὁ διάβολος;

Τίποτε δὲν εἶναι τόσον ξένον εἰς τὴν χριστιανικὴν ψυχήν, ὅσον ἡ ἀλαζονεία· τὴν ἀλαζονείαν λέγω, ὄχι τὴν παρρησίαν, οὔτε τὴν ἀνδρείαν, διότι ἐκεῖναι εἶναι οἰκεῖαι εἰς αὐτήν. Διότι εἶναι ἄλλο τοῦτο, καὶ ἄλλο ἐκεῖνο· ὥστε ἄλλο μὲν εἶναι ἡ ταπεινοφροσύνη, ἄλλο δὲ ἡ ἀνελευθερία καὶ ἡ κολακεία καὶ ἡ θωπεία. Καί, ἐὰν θέλετε, θὰ σᾶς δώσω τὰ παραδείγματα ὅλων αὐτῶν. Διότι μοῦ φαίνεται, ὅτι εὑρίσκονται πλησίον κατὰ κάποιον τρόπον τὰ ἀντίθετα, ὅπως ἀκριβῶς τὰ ζιζάνια εἰς τὸ σιτάρι καὶ τὰ ἀγκάθια εἰς τὸ τριαντάφυλλον. Ἀλλὰ τὰ παιδιὰ μὲν εἶναι δυνατὸν νὰ ἐξαπατηθοῦν εὔκολα, οἱ ἄνδρες ὅμως ποὺ εἶναι ἔμπειροι εἰς τὴν πνευματικὴν γεωργίαν, γνωρίζουν νὰ διακρίνουν τὰ ὄντως ἀγαθὰ ἀπὸ τὰ κακά. Ἐμπρὸς λοιπόν, ἂς παρουσιάσωμεν τὰ παραδείγματα αὐτῶν ἀπὸ τὴν ἁγίαν Γραφήν. Τί τέλος πάντων σημαίνει κολακεία καὶ ἀνελευθερία καὶ θωπεία; Ὁ Σιβᾶ ἐκολάκευεν ἀκαίρως τὸν Δαυῒδ καὶ διέβαλε τὸν κύριόν του, περισσότερον δὲ ὁ Ἀχιτόφελ τὸν Ἀβεσσαλώμ. Ὁ Δαυῒδ ὅμως δὲν ἦτο τέτοιος, ἀλλὰ ταπεινόφρων. Διότι

σιν οἱ ὕπουλοι· οἷον, ὡς ὅταν λέγωσι, «Βασιλεῦ, ζῆθι εἰς τοὺς αἰῶνας».

Πάλιν οἱ μάγοι πῶς εἰσι κόλακες. Καὶ ἐπὶ τοῦ Παύλου ἐν ταῖς Πράξεσι πολλὰ τοιαῦτα εὑρήσομεν, ὅταν Ἰουδαίοις διαλέγηται, οὐ κολακεύων, ἀλλὰ ταπεινοφρονῶν· οἶδε γὰρ καὶ παρρησιάζεσθαι· ὡς ὅταν λέγῃ. «Ἄνδρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς πατρῴοις ἔθεσι, δέσμιος ἐξ Ἱερουσαλὴμ παρεδόθην». Ὅτι γὰρ ταπεινοφροσύνης ἦν τὰ ῥήματα, ἄκουσον πῶς αὐτοῖς ἐπιτιμᾷ καὶ τῶν ἑξῆς, οὕτω λέγων· «Καλῶς εἶπε τὸ Πνεῦμα τὸ ἅγιον, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε». Εἶδες ἀνδρείαν; Ὅρα καὶ Ἰωάννου τοῦ βαπτιστοῦ τὴν ἀνδρείαν, ᾗ πρὸς τὸν Ἡρώδην ἐχρήσατο λέγων· «Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου». Τοῦτο παρρησία, τοῦτο ἀνδρεία· οὐκ ἐκεῖνο τὸ τοῦ Σεμεεί, ὅτε ἔλεγεν, «Ἔξελθε ὁ ἀνὴρ τῶν αἱμάτων»· καίτοι κἀκεῖνος ἐπαρρησιάσατο· ἀλλ' οὐκ ἔστι τοῦτο ἀνδρεία, ἀλλὰ θρασύτης καὶ ὕβρις καὶ γλῶσσα ἀκόλαστος. Ὕβρισε καὶ Ἰεζάβελ τὸν Ἰησοῦ λέγουσα· «Ὁ φονεὺς τοῦ κυρίου αὐτοῦ»· ἀλλὰ θρασύτης ἦν, οὐ παρρησία. Ὕβρισε καὶ ὁ Ἠλίας, ἀλλὰ παρρησία, καὶ ἀνδρεία ἦν· «Οὐκ ἐγὼ διαστρέφω τὸν λαόν, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου». Ἐπαρρησιάσατο πάλιν πρὸς ὁλόκληρον δῆμον ὁ Ἠλίας, λέγων· «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;». Τοῦτο παρρησία καὶ ἀνδρεία, τὸ καθάψασθαι· τοῦτο καὶ οἱ προφῆται ἐποίουν· ἀλλ' ἐκεῖνο θρασύτητος ἦν.

Θέλεις ἰδεῖν καὶ ταπεινοφροσύνης καὶ οὐ κολακείας ῥήματα; Ἄκουε Παύλου λέγοντος· «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα·

12. Δαν. 6, 22.
13. Πράξ. 28, 17.
14. Πράξ. 8, 25 - 26.
15. Μάρκ. 6, 18.
16. Β' Βασ. 16, 7.
17. Δ' Βασ. 9, 31.
18. Γ' Βασ. 18, 18.
19. Γ' Βασ. 18, 21.

κόλακες εἶναι οἱ ὕπουλοι· ἐπὶ παραδείγματι, ὅπως ὅταν λέγουν· «Βασιλεῦ, νὰ ζῇς εἰς τοὺς αἰῶνας»[12].

Ἐπίσης οἱ μάγοι εἶναι κατὰ κάποιον τρόπον κόλακες. Καὶ εἰς τὴν περίπτωσιν τοῦ Παύλου θὰ εὕρουμεν εἰς τὰς Πράξεις τῶν ἀποστόλων πολλὰ παρόμοια, ὅταν διαλέγεται μὲ τοὺς Ἰουδαίους, ὄχι μὲ κολακείας, ἀλλὰ μὲ ταπεινοφροσύνην· διότι γνωρίζει καὶ νὰ ὁμιλῇ μὲ παρρησίαν, ὅπως ὅταν λέγῃ· «Ἄνδρες ἀδελφοί, ἐγὼ χωρὶς νὰ κάμω τίποτε ἐναντίον τοῦ λαοῦ, ἢ κατὰ τῶν ἐθίμων, ποὺ μᾶς παρέδωσαν οἱ πρόγονοί μας, παρεδόθην δεμένος ἀπὸ τὰ Ἱεροσόλυμα»[13]. Ὅτι τὰ λόγια αὐτὰ εἶναι ἐκδήλωσις τῆς ταπεινοφροσύνης, ἄκουσε πῶς ἐπιτιμᾷ αὐτοὺς μὲ τὰ ἑπόμενα, λέγων τὰ ἑξῆς· «Καλὰ εἶπε τὸ Πνεῦμα τὸ ἅγιον, θὰ ἀκούσετε μὲ τὴν ἀκοήν σας, ἀλλὰ δὲν θὰ καταλάβετε, καὶ θὰ ἐκτεθῇ εἰς τὰ μάτια σας ἡ διδασκαλία τῆς ἀληθείας καὶ δὲν θὰ τὴν ἰδῆτε»[14]. Εἶδες ἀνδρείαν; Βλέπε καὶ τὴν ἀνδρείαν τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ, τὴν ὁποίαν ἔδειξε πρὸς τὸν Ἡρώδην λέγων· «Δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχῃς σύζυγον τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου Φιλίππου»[15]. Τοῦτο εἶναι παρρησία, τοῦτο εἶναι ἀνδρεία· ὄχι ἐκεῖνο τοῦ Σεμεεί, ὅταν ἔλεγε, «Φύγε, ἄνθρωπε αἱμάτων»[16], ἂν καὶ ἐκεῖνος ὡμίλησε μὲ παρρησίαν. Τοῦτο ὅμως δὲν εἶναι ἀνδρεία, ἀλλὰ θρασύτης καὶ ὕβρις καὶ γλῶσσα ἀκόλαστος. Ὕβρισε καὶ ἡ Ἰεζάβελ τὸν Ἰηοῦ, λέγουσα, «εἶσαι ὁ δολοφόνος τοῦ κυρίου σου»[17]· ἀλλὰ τοῦτο ἦτο θρασύτης, ὄχι παρρησία. Ὕβρισε καὶ ὁ Ἠλίας, ἀλλὰ τοῦτο ἦτο παρρησία καὶ ἀνδρεία· «Δὲν διαστρέφω ἐγὼ τὸν λαόν, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου»[18]. Πάλιν ὡμίλησεν ὁ Ἠλίας μὲ παρρησίαν πρὸς ὅλον τὸν λαόν, λέγων· «Ἕως πότε θὰ χωλαίνετε καὶ εἰς τὰ δύο πόδια σας;»[19]. Τοῦτο εἶναι παρρησία καὶ ἀνδρεία, τὸ νὰ ὁμιλῇ κανεὶς μὲ ἐπιθετικότητα· τοῦτο ἔκαμναν καὶ οἱ προφῆται· ἀλλ' ἐκεῖνο ἦτο ἐκδήλωσις θρασύτητος.

Θέλεις νὰ ἰδῇς καὶ τῆς ταπεινοφροσύνης τὰ λόγια καὶ ὄχι τῆς κολακείας; Ἄκουε τὸν Παῦλον νὰ λέγῃ· «Πολὺ ὀλίγον δὲ λογαριάζω, διὰ νὰ κριθῶ ἀπὸ σᾶς ἢ ἀπὸ ἀνθρώπινον δικαστήριον. Ἀλλ' οὔτε καὶ ἐγὼ κρίνω τὸν ἑαυτόν

ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι». Τοῦτο φρονήματος Χριστιανῷ πρέποντος. Καὶ πάλιν, «Τολμᾷ τις ὑμῶν πρὸς τὸν ἕτερον πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; Βούλει κολακείαν ἰδεῖν τῶν ἀνοήτων Ἰουδαίων; Ἄκουε λεγόντων, «Ἡμεῖς οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα». Βούλει ταπεινοφροσύνην ἰδεῖν; Ἄκουε πάλιν τοῦ Παύλου λέγοντος· «Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν». Βούλει καὶ κολακείαν ἰδεῖν, καὶ θρασύτητα; θρασύτητα τὴν τοῦ Νάβαλ, καὶ κολακείαν τὴν τῶν Ζιφαίων; προδεδώκασι γὰρ τῇ γνώμῃ τοῦ Δαυῒδ. Βούλει φιλοσοφίαν καὶ οὐ κολακείαν ἰδεῖν τὴν τοῦ Δαυῒδ; πῶς εἷλε τὸν Σαούλ, καὶ ἐφείσατο; Βούλει κολακείαν ἰδεῖν τῶν ἀποκτεινάντων τὸν Μεμψιβασθέ, οὓς καὶ ἀνεῖλεν ὁ Δαυῒδ; Ἁπλῶς δέ, καὶ ὡς ἐν ὑποτυπώσει, ἐν κεφαλαίῳ εἰπεῖν, θρασύτης μέν ἐστιν, ὅταν τις ὀργίζηται καὶ ὑβρίζῃ ἐπὶ μηδενὶ προσήκοντι, ἢ ἑαυτὸν ἐκδικῶν, ἢ ἀδίκως πως θρασυνόμενος· παρρησία δὲ καὶ ἀνδρεία, ὅταν κινδύνων καὶ θανάτων κατατολμᾷ, καὶ φιλίας καὶ ἀπεχθείας ὑπερορᾷ ὑπὲρ τῶν δοκούντων τῷ Θεῷ. Πάλιν κολακεία μὲν ἐστι καὶ ἀνελευθερία, ὅταν τις θεραπεύῃ τινὰς ἐπὶ μηδενὶ τῶν δεόντων, ἀλλὰ θηρώμενός τι τῶν βιωτικῶν· ταπεινοφροσύνη δέ, ὅταν τις ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων τοῦτο ποιῇ, καί, ὥστε ἀνύσαι τι μέγα καὶ θαυμαστόν, ἀπὸ τοῦ ἀξιώματος καταβῇ τοῦ ἑαυτοῦ. Ἂν ταῦτα εἰδῶμεν, μακάριοί ἐσμεν, ἐὰν ποιῶμεν αὐτά. Οὐ γὰρ ἀρκεῖ

20. Α' Κορ. 4, 3-4.
21. Α' Κορ. 6, 1.
22. Ἰω. 19, 15.
23. Β' Κορ. 4, 5.
24. Πρβλ. Α' Βασ. 25, 1-44· 26, 1-25.

μου. Διότι δὲν μοῦ μαρτυρεῖ ἡ συνείδησις καμμίαν ἐνοχήν, ἀλλὰ δὲν φθάνει αὐτὸ διὰ νὰ εἶμαι δικαιωμένος»[20]. Τοῦτο εἶναι χαρακτηριστικὸν φρονήματος, ποὺ ἁρμόζει εἰς τὸν χριστιανόν. Καὶ πάλιν, «Πῶς τολμᾷ ὁποιοσδήποτε ἀπὸ σᾶς, ὅταν ἔχῃ διαφορὰν πρὸς τὸν ἄλλον ἀδελφόν, νὰ κρίνεται εἰς τὰ δικαστήρια τῶν εἰδωλολατρῶν ποὺ εἶναι ἄδικοι, καὶ δὲν προσφεύγει εἰς τὴν κρίσιν τῶν χριστιανῶν;»[21]. Θέλεις νὰ ἰδῇς τὴν κολακείαν τῶν ἀνοήτων Ἰουδαίων; Ἄκουε νὰ λέγουν· «Ἡμεῖς δὲν ἔχομεν βασιλέα ἄλλον παρὰ μόνον τὸν Καίσαρα»[22]. Θέλεις νὰ ἰδῇς ταπεινοφροσύνην; Ἄκουε πάλιν τὸν Παῦλον νὰ λέγῃ· «Διότι δὲν κηρύττομεν τὸν ἑαυτόν μας, ἀλλὰ κηρύττομεν τὸν μὲν Ἰησοῦν Χριστὸν ὡς Κύριον, τοὺς ἑαυτούς μας δὲ δούλους ἰδικούς σας πρὸς δόξαν τοῦ Ἰησοῦ»[23]. Θέλεις νὰ ἰδῇς κολακείαν καὶ θρασύτητα; θρασύτητα, τὴν θρασύτητα τοῦ Νάβαλ, καὶ κολακείαν, τὴν κολακείαν τῶν Ζιφαίων[24]; διότι εἶχαν καταδώσει τὸν Δαυῒδ μὲ τὴν θέλησίν των. Θέλεις νὰ ἰδῇς φιλοσοφίαν, καὶ ὄχι κολακείαν, τοῦ Δαυῒδ; πῶς συνέλαβε τὸν Σαούλ, καὶ δὲν τὸν ἔβλαψε; Θέλεις νὰ ἰδῇς τὴν κολακείαν ἐκείνων ποὺ ἀπέκτειναν τὸν Μεμφιβοσθέ, τοὺς ὁποίους καὶ ἐθανάτωσεν ὁ Δαυῒδ; Ἁπλῶς δέ, καὶ ὡς ὑποδειγματικῶς, νὰ εἰποῦμεν περιληπτικῶς, θρασύτης μὲν εἶναι, ὅταν κανεὶς ὀργίζεται καὶ ὑβρίζῃ διὰ κάτι ποὺ δὲν ἁρμόζει, ἢ ὅταν λαμβάνῃ ἐκδίκησιν διὰ τὸν ἑαυτόν του ἢ ὅταν χωρὶς λόγον εἶναι θρασύς· παρρησία δὲ καὶ ἀνδρεία εἶναι, ὅταν ριψοκινδυνεύῃ κανεὶς μεγάλους κινδύνους καὶ βιαίους θανάτους, καὶ παραβλέπῃ τὴν φιλίαν καὶ τὴν ἀπέχθειαν δι' ἐκεῖνα ποὺ φαίνονται καλὰ εἰς τὸν Θεόν. Ἐξ ἄλλου κολακεία μὲν καὶ ἀνελευθερία εἶναι, ὅταν ὑπηρετῇ κανεὶς τοὺς ἀνθρώπους διὰ τίποτε ἀπὸ τὰ ἀναγκαῖα, ἀλλὰ ἐπιδιώκων νὰ ἀποκτήσῃ κάτι ἀπὸ τὰ βιωτικά· ταπεινοφροσύνη δέ, ὅταν κανεὶς κάμνῃ τοῦτο δι' ἐκεῖνα ποὺ φαίνονται καλὰ εἰς τὸν Θεόν, καὶ διὰ νὰ κερδίσῃ κάτι τὸ μέγα καὶ θαυμαστόν, ταπεινώνεται ἀπὸ τὸ ἀξίωμά του. Ἂν γνωρίζωμεν αὐτά, εἴμεθα εὐτυχεῖς, ἂν πράττωμεν αὐτά. Διότι δὲν εἶναι ἀρκε-

τὸ εἰδέναι· «Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου», φησίν, «ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται»· μᾶλλον δὲ καὶ κατακρίνει τὸ εἰδέναι, ὅταν χωρὶς τῆς πράξεως ᾖ καὶ τῶν κατορθωμάτων. Ἵνα οὖν τὴν κατάκρισιν φύγωμεν, μετέλθωμεν τὴν πρᾶξιν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

25. Ρωμ. 2, 13.

τὸν τὸ νὰ γνωρίζωμεν· «Διότι ὄχι ὅσοι ἀκούουν ἁπλῶς τὸν θεῖον νόμον», λέγει, «ἀλλ' ὅσοι φυλάττουν τὸν νόμον, αὐτοὶ θὰ ἀναγνωρισθοῦν δίκαιοι»[25]· μᾶλλον δὲ καὶ καταδικάζει τὸ νὰ γνωρίζωμεν, ἐὰν δὲν ἀκολουθοῦν ἔργα καὶ κατορθώματα. Διὰ νὰ ἀποφύγωμεν λοιπὸν τὴν καταδίκην, ἂς ἐπιδιώκωμεν τὰ ἔργα, διὰ νὰ ἐπιτύχωμεν τὰ ἀγαθά, ποὺ ἔχει ὑποσχεθῆ εἰς ἡμᾶς ὁ Θεός, διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, διότι εἰς αὐτὸν ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Ζ΄
Φιλιπ. 2, 5 - 8

«Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθείς, ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ».

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πρὸς τὰ μεγάλα προτρέπων τοὺς ἑαυτοῦ μαθητάς, ἑαυτὸν ὑπόδειγμα τίθησι, καὶ τὸν πατέρα, καὶ τοὺς προφήτας, ὡς ὅταν λέγῃ· «Οὕτω γὰρ ἐποίησαν τοῖς προφήταις τοῖς πρὸ ὑμῶν»· καὶ πάλιν, «Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι»· καί, «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι»· καὶ πάλιν, «Οἰκτίρμονες γίνεσθε, ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς». Τοῦτο καὶ ὁ μακάριος Παῦλος ἐποίησε· προτρέπων αὐτοὺς εἰς ταπεινοφροσύνην, τὸν Χριστὸν εἰς μέσον παρήγαγε· καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ὅτε περὶ φιλοπτωχίας διαλέγεται, οὕτως πώς φησι· «Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν». Οὐδὲν γὰρ οὕτω τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν διανίστησι πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν, ὡς τὸ μαθεῖν, ὅτι τῷ Θεῷ κατὰ τοῦτο ὁμοιοῦται. Τί γὰρ ἴσον τούτου εἰς προτροπήν; Οὐδέν. Ὃ δὴ

---

1. Φιλιπ. 2, 5 - 8.
2. Ματθ. 5, 12.
3. Ἰω. 15, 20.
4. Ματθ. 11, 29.
5. Λουκᾶ 6, 36.
6. Β΄ Κορ. 8, 9.

ΛΟΓΟΣ Ζ΄
Φιλιπ. 2, 5 - 8

«Ἄς ὑπάρχῃ λοιπὸν μέσα σας αὐτὸ τὸ φρόνημα ποὺ ὑπῆρχε καὶ εἰς τὸν Ἰησοῦν Χριστόν· ὁ ὁποῖος ἄν καὶ ὑπῆρχεν ἐν μορφῇ Θεοῦ, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν· ἀλλ' ἐκένωσε τὸν ἑαυτό του καὶ ἔλαβε μορφὴν δούλου, γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους. Καὶ κατὰ τὸ ἐξωτερικὸν σχῆμα εὑρέθη ὡς ἄνθρωπος, ἐταπείνωσε τὸν ἑαυτόν του, γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ»[1].

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, προτρέπων τοὺς μαθητάς του πρὸς τὰ μεγάλα, θέτει ὡς ὑπόδειγμα τὸν ἑαυτόν του, καὶ τὸν Πατέρα, καὶ τοὺς προφήτας, καθὼς ὅταν λέγῃ· «Διότι ἔτσι κατεδίωξαν τοὺς προφήτας, τοὺς ὁποίους ἔστειλεν ὁ Θεὸς πρὶν ἀπὸ σᾶς»[2]· καὶ πάλιν· «Ἐὰν ἐμὲ κατεδίωξαν, θὰ καταδιώξουν καὶ σᾶς»[3]· καὶ «Μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος»[4]· καὶ πάλιν· «Γίνεσθε εὐσπλαγχνικοί, καθὼς καὶ ὁ οὐράνιος Πατήρ σας εἶναι εὐσπλαγχνικός»[5]. Τοῦτο ἔπραξε καὶ ὁ μακάριος Παῦλος· προτρέπων τοὺς Φιλιππησίους πρὸς ταπεινοφροσύνην, ἔφερεν ὡς παράδειγμα τὸν Χριστόν. Καὶ ὄχι ἐδῶ μόνον, ἀλλὰ καὶ ὅταν ὁμιλῇ περὶ φιλοπτωχίας, λέγει αὐτά· «Διότι γνωρίζετε τὴν χάριν, ποὺ ἔδειξεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, διότι δι' ἡμᾶς ἔγινε πτωχός, ἐνῷ ἦτο πλούσιος»[6]. Διότι τίποτε δὲν διεγείρει τόσον πολὺ τὴν ἐξαίρετον καὶ φιλόσοφον ψυχὴν πρὸς ἀγαθοεργίαν, ὅπως τὸ νὰ γνωρίσῃ, ὅτι κατὰ τοῦτο γίνεται ὁμοία πρὸς τὸν Θεόν. Τί λοιπὸν εἶναι ἴσον μὲ τοῦτο εἰς προτροπήν; Τίποτε. Γνωρίζων βεβαίως καὶ ὁ

καὶ Παῦλος εἰδώς, προτρέπων αὐτοὺς εἰς ταπεινοφροσύνην, πρῶτον μὲν παρεκάλεσεν, ἱκετηρίαν ἔθηκεν· εἶτα καὶ ἐντρεπτικῶς, εἶπεν ὅτι «Ἐν ἑνὶ πνεύματι στήκετε»· εἶπεν ὅτι «Ἐκείνοις ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας»· καὶ τοῦτο λοιπὸν τίθησι· «Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών».

Προσέχετε, παρακαλῶ, καὶ διανάστητε. Καθάπερ γάρ τις μάχαιρα ὀξεῖα ἑκατέρωθεν ἠκονημένη, ὅπουπερ ἂν ἐμπέσῃ, κἂν εἰς μυρίας φάλαγγας, εὐκόλως αὐτὰς διακόπτει καὶ ἀφανίζει, τῷ πάντοθεν ὀξεῖαν εἶναι, καὶ μηδὲν τὴν ἀκμὴν αὐτῆς φέρειν· οὕτω δὴ καὶ τὰ τοῦ Πνεύματος ῥήματα. Διὰ γὰρ τούτων τῶν ῥημάτων καὶ τοὺς Ἀρείου τοῦ Ἀλεξανδρέως, καὶ τοὺς Παύλου τοῦ Σαμοσατέως, καὶ τοὺς Μαρκέλλου τοῦ Γαλάτου, καὶ τοὺς Σαβελλίου τοῦ Λίβυος, καὶ τοὺς Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ τοὺς Οὐαλεντίνου, καὶ τοὺς τοῦ Μάνεντος, καὶ τοὺς τοῦ Λαοδικέως Ἀπολιναρίου, καὶ Φωτεινοῦ, καὶ Σωφρονίου, καὶ πάσας ἁπλῶς τὰς αἱρέσεις κατέβαλεν. Ὡς οὖν τοιαύτην ὀψόμενοι θέαν, καὶ μιᾷ πληγῇ τοσαύτας φάλαγγας πιπτούσας, διεγέρθητε, ὥστε μὴ τοῦ θεάματος παραδραμεῖν ὑμᾶς τὴν τέρψιν. Εἰ γὰρ ἐπὶ τῶν ἁμιλλητηρίων ἁρμάτων ἐν ταῖς τῶν ἵππων ἁμίλλαις οὐδὲν οὕτως ἐστὶ τερπνόν, ὡς ὅταν ὁλόκληρα ἅρματα μετὰ τῶν ἡνιόχων κρούσας

6α. Βλ. εἰς τὴν πρὸς Ἐφεσίους, Ὁμιλία ΚΓ', ὑποσημ. 11.
6β. Βλ. ἔνθα ἀνωτέρω, ὑποσημ. 10.
6γ. Μάρκελλος· ἐπίσκοπος Ἀγκύρας, ἤκμασε κατὰ τὸν 4ον αἰ., διεκρίθη κατὰ τὴν Α' Οἰκουμενικὴν Σύνοδον, ὅπου ὑπερήσπισε τὰ ὀρθόδοξα δόγματα. Καταπολεμῶν τὰς ἀρειανικὰς δοξασίας περιέπεσεν εἰς πλάνας, ἀναφερομένας εἰς τὸ τριαδολογικὸν καὶ χριστολογικὸν δόγμα (ΘΗΕ τ. 8).
6δ. Σαβέλλιος· ἤκμασε κατὰ τὰς ἀρχὰς τοῦ 3ου αἰ., διεμόρφωσεν συστηματικότερον τὴν διδασκαλίαν τῶν πατροπασχιτῶν μοναρχιανῶν (ΘΗΕ τ. 10).
6ε. Μαρκίων· Βλ. Εἰς τὴν πρὸς Ἐφεσίους, Ὁμιλία ΚΓ, ὑποσημ. 8.
6ζ. Οὐαλεντῖνος· Ἔνθα ἀνωτέρω, ὑποσημ. 9.
6η. Μάνης· ἤκμασε τὸν 3ον αἰ. Ἡ θρησκευτικὴ του ὀργάνωσις, ὀνομασθεῖσα Μανιχαϊσμός, ἐντάσσεται εἰς τὸ ρεῦμα τοῦ Γνωστικισμοῦ,

Παῦλος αὐτό, ὅταν προτρέπῃ αὐτοὺς πρὸς ταπεινοφροσύνην, πρῶτον μὲν παρεκάλεσε, τὴν ἱκεσίαν ἔθεσεν˙ ἔπειτα καὶ μὲ ἐπίπληξιν εἶπεν ὅτι˙ «Στέκεσθε μὲ ἕνα φρόνημα», καὶ ὅτι˙ «Εἰς ἐκείνους μὲν τοῦτο εἶναι ἀπόδειξις ἀπωλείας, διὰ σᾶς δὲ ἀπόδειξις σωτηρίας»˙ καὶ εἰς τὴν συνέχειαν παραγγέλλει τοῦτο˙ «῎Ας ὑπάρχῃ λοιπὸν μέσα σας αὐτὸ τὸ φρόνημα, ποὺ ὑπῆρχε καὶ εἰς τὸν ᾿Ιησοῦν Χριστόν, ὁ ὁποῖος καίτοι ὑπῆρχεν ἐν μορφῇ Θεοῦ, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν, ἀλλ᾿ ἐκένωσε τὸν ἑαυτόν του, καὶ ἔλαβε μορφὴν δούλου».

Προσέχετε, σᾶς παρακαλῶ, καὶ ἀφυπνισθεῖτε. Διότι ὅπως ἀκριβῶς ἕνα κοπτερὸν μαχαίρι, ἀκονισμένον ἑκατέρωθεν, ὁπουδήποτε καὶ ἂν ἐπιπέσῃ, ἔστω καὶ εἰς μυρίας φάλαγγας, κατακόπτει καὶ ἀφανίζει αὐτὰς μὲ εὐκολίαν, ἐπειδὴ ἀπὸ παντοῦ εἶναι κοπτερὸν καὶ τίποτε δὲν ἔχει νὰ καλύπτῃ τὴν κόψιν του˙ ἔτσι ἀκριβῶς εἶναι καὶ οἱ λόγοι τοῦ Πνεύματος. Διότι διὰ τῶν λόγων τούτων κατέβαλε τὰς αἱρέσεις καὶ τοῦ ᾿Αρείου τοῦ ᾿Αλεξανδρέως[6α] καὶ τοῦ Παύλου τοῦ Σαμοσατέως[6β] καὶ τοῦ Μαρκέλου τοῦ Γαλάτου[6γ] καὶ τοῦ Σαβελλίου τοῦ Λίβυος[6δ] καὶ τοῦ Μαρκίωνος τοῦ Ποντικοῦ[6ε] καὶ τοῦ Μάνεντος[6η] καὶ τοῦ ᾿Απολιναρίου τοῦ Λαοδικέως[6θ] καὶ τοῦ Φωτεινοῦ[6ι] καὶ τοῦ Σωφρονίου καὶ γενικῶς ὅλας τὰς αἱρέσεις. Μόλις λοιπὸν θὰ ἰδῆτε τέτοιο θέαμα καὶ νὰ πίπτουν μὲ ἕνα κτύπημα τόσαι πολλαὶ φάλαγγαι, ἀφυπνισθεῖτε, διὰ νὰ μὴ σᾶς διαφύγῃ ἡ τέρψις τοῦ θεάματος. Διότι ἐὰν εἰς τὴν περίπτωσιν τῶν ἀγωνιστικῶν ἁρμάτων τίποτε ἄλλο δὲν εἶναι τόσον τερπνὸν κατὰ τὰς ἱπποδρομίας, ὅπως ὅταν νικήσῃ κανείς, ἀφοῦ φέρῃ εἰς σύγκρουσιν ὅλα τὰ ἅρματα μὲ τοὺς ἡνιόχους των καὶ ἀφοῦ

ἐντὸς τοῦ ὁποίου κρατεῖ μαζὶ μὲ τὸν Μαρκίωνα τὴν διαρχικὴν πλευρὰν (ΘΗΕ τ. 8).

6θ. ᾿Απολινάριος˙ ἐπίσκοπος Λαοδικείας. Αἱρετικὸς θεολόγος τοῦ 4ου αἰ. ᾿Εκ τῆς διδασκαλίας του, ἡ ὁποία ὑπερτονίζει τὸ θεῖον ἐν Χριστῷ στοιχεῖον, διεμορφώθη ὁ ᾿Απολιναρισμὸς (Θ.Η.Ε. τ. 2).

6ι. Φωτεινός˙ ἐπίσκοπος Σιρμίου κατὰ τὸν 4ον αἰ. ᾿Οπαδὸς καὶ φίλος τοῦ Μαρκέλλου ᾿Αγκύρας˙ ἠκολούθησε τὰ διδάγματα τῶν δυναμικῶν μοναρχιανῶν.

τις καταβάλῃ, καὶ πολλὰ τέθριππα ὕπτια ῥίψας μετὰ τῶν ἐφεστώτων ἡνιόχων παρελάσῃ μόνος πρὸς τὴν νύσσαν καὶ τὸ τέρμα τοῦ ἀγῶνος, καὶ πολὺς πάντοθεν ὁ κρότος καὶ ἡ κραυγὴ πρὸς οὐρανὸν ἀνίῃ, καὶ ὥσπερ πτηνὸς ὑπὸ τῆς χαρᾶς ἐκείνης καὶ τῶν κρότων, οὕτω τὸ στάδιον ἅπαν διατρέχῃ μετὰ τῶν ἵππων· πόσῳ μᾶλλον ἐνταῦθα πλείων ἔσται ἡ ἡδονή, ὅταν ὁλοκλήρων αἱρέσεων συστήματα καὶ διαβολικὰ ἐργαστήρια μετὰ τῶν ἡνιόχων αὐτῶν καταβάλωμεν τῇ τοῦ Θεοῦ χάριτι πάντα ἀθρόον καὶ ὁμοῦ;

Καί, εἰ δοκεῖ, πρότερον στήσωμεν τὰς αἱρέσεις αὐτὰς κατὰ τάξιν· βούλεσθε τὴν τῆς ἀσεβείας, ἢ τὴν τῶν χρόνων; Τὴν τῶν χρόνων· τὴν γὰρ τῆς ἀσεβείας δύσκολον συνιδεῖν. Οὐκοῦν πρῶτος Σαβέλλιος ὁ Λίβυς παρήχθω. Τί οὖν οὗτός φησιν; Ὅτι τὸ Πατήρ, καὶ Υἱός καὶ ἅγιον Πνεῦμα, ὀνόματά ἐστι ψιλὰ καθ' ἑνὸς προσώπου κείμενα. Μαρκίων δὲ ὁ Ποντικός, φησίν, ὅτι ὁ Θεὸς ὁ πάντα συστησάμενος οὐκ ἔστιν ἀγαθός, οὐδὲ Πατὴρ τοῦ ἀγαθοῦ Χριστοῦ, ἀλλ' ἕτερός τις δίκαιος, καὶ σάρκα οὐκ ἀνέλαβεν ὑπὲρ ἡμῶν. Μάρκελλος καὶ Φωτεινὸς καὶ Σωφρόνιος τὸν λόγον ἐνέργειαν εἶναί φασι, τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαυΐδ, οὐκ οὐσίαν ἐνυπόστατον. Ἄρειος υἱὸν μὲν ὁμολογεῖ, ῥήματι δὲ μόνῳ· κτίσμα δὲ αὐτὸν εἶναί φησι, καὶ τοῦ Πατρὸς ἐλάττονα πολύ. Ἕτεροι δὲ οὔ φασιν αὐτὸν ἔχειν ψυχήν. Εἶδες τὰ ἅρματα ἑστῶτα; θεώρει τοίνυν αὐτῶν καὶ τὰ πτώματα, πῶς ὁμοῦ πάντας κατακρούων βάλλει, καὶ μιᾷ πληγῇ πάντας ἀθρόον. Πῶς; «Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν», φησίν, «ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»· καὶ Παῦλος ὁ Σαμοσατεὺς ἔπεσε, καὶ Μάρκελλος, καὶ Σαβέλλιος. «Ἐν μορφῇ» γάρ, φησί, «Θεοῦ ὑπάρχων». Πῶς οὖν λέγεις, ὅτι ἀπὸ Μα-

7. Ἅρματα συρόμενα ἀπὸ 4 ἵππους.

ρίψῃ πολλὰ τέθριππα[7] ὕπτια μαζὶ μὲ τοὺς ἡνιόχους, ποὺ ἦσαν ἐπάνω εἰς αὐτά, καὶ παρελάσῃ μόνος πρὸς τὴν ἀφετηρίαν καὶ τὸ τέρμα τοῦ ἀγῶνος, καὶ τὰ πολλὰ ἀπὸ παντοῦ χειροκροτήματα καὶ αἱ ζητωκραυγαὶ ἀναβαίνουν πρὸς τὸν οὐρανόν, καὶ ὡς νὰ πετᾷ ἀπὸ τὴν χαρὰν ἐκείνην καὶ τὰ χειροκροτήματα διατρέχει ἔτσι μαζὶ μὲ τοὺς ἵππους ὅλον τὸ στάδιον· πόσῳ μᾶλλον θὰ εἶναι ἐδῶ μεγαλυτέρα ἡ εὐχαρίστησις, ὅταν καταβάλωμεν μὲ τὴν χάριν τοῦ Θεοῦ τὰ συστήματα ὅλων τῶν αἱρέσεων καὶ τὰ διαβολικὰ ἐργαστήρια μαζὶ μὲ τοὺς ἀρχηγούς των ὅλα ἀμέσως καὶ συγχρόνως;

Καί, ἐὰν θέλετε, θὰ τοποθετήσωμεν πρῶτον τὰς αἱρέσεις αὐτὰς κατὰ σειράν· θέλετε τὴν σειρὰν τῆς ἀσεβείας ἢ τὴν χρονολογικὴν σειρὰν ἐμφανίσεώς των; Τὴν χρονολογικήν, διότι εἶναι δύσκολον νὰ γνωρίσωμεν καλῶς τὴν σειρὰν τῆς ἀσεβείας. Λοιπὸν πρῶτος ἐνεμανίσθη ὁ Σαβέλλιος ὁ Λίβυς. Τί λοιπὸν λέγει αὐτός; Ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, εἶναι ὀνόματα ψιλὰ ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου. Ὁ Μαρκίων δὲ ὁ Ποντικὸς διδάσκει ὅτι ὁ Θεός, ὁ ὁποῖος τὰ πάντα ἐδημιούργησε, δὲν εἶναι ἀγαθός, οὔτε Πατὴρ τοῦ ἀγαθοῦ Χριστοῦ, ἀλλὰ κάποιος ἄλλος δίκαιος καὶ σκληρός, καὶ δὲν ἔγινεν ἄνθρωπος δι' ἡμᾶς. Ὁ Μάρκελλος καὶ ὁ Φωτεινὸς καὶ ὁ Σωφρόνιος λέγουν ὅτι ὁ Λόγος εἶναι ἐνέργεια, ἡ δὲ ἐνέργεια αὐτὴ κατῴκησε μέσα εἰς τὸν ἀπόγονον τοῦ Δαυΐδ, καὶ ὄχι οὐσία ἐνυπόστατος. Ὁ Ἄρειος παραδέχεται μὲν τὸν Υἱόν, μόνον ὅμως μὲ τὸν λόγον· λέγει δὲ ὅτι ὁ Υἱὸς εἶναι κτίσμα καὶ πολὺ μικρότερος τοῦ Πατρός. Ἄλλοι δὲ ἰσχυρίζονται ὅτι αὐτὸς δὲν ἔχει ψυχήν. Εἶδες τὰ ἅρματα νὰ ἔχουν στηθῆ; βλέπε λοιπὸν καὶ τὴν πτῶσιν αὐτῶν, πῶς ρίπτει ὅλους μαζὶ κτυπῶν μὲ δύναμιν καὶ ἀμέσως μὲ ἕνα κτύπημα. Πῶς; «Ἂς ὑπάρχῃ λοιπὸν μέσα σας», λέγει, «αὐτὸ τὸ φρόνημα, ποὺ ὑπῆρχε καὶ εἰς τὸν Ἰησοῦν Χριστόν, ὁ ὁποῖος ἂν καὶ ὑπῆρχεν ἐν μορφῇ Θεοῦ, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν». Ἔπεσε καὶ ὁ Παῦλος ὁ Σαμοσατεύς, καὶ ὁ Μάρκελλος, καὶ ὁ Σαβέλλιος. «Διότι ἐν μορφῇ Θεοῦ ὑπάρχων», λέγει. Πῶς λοιπὸν λέγεις, μιαρέ, ὅτι ἔλα-

ρίας, ὦ μιαρέ, καὶ πρὸ τούτου οὐκ ἦν; πῶς δὲ σὺ λέγεις, ἐνέργεια ἦν; Μορφὴ γὰρ Θεοῦ, φησί, μορφὴν δούλου ἔλαβεν. Ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου ἐστίν, ἢ φύσις δούλου; Πάντως δήπου φύσις δούλου. Οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ, Θεοῦ φύσις· οὐκ ἄρα ἐνέργεια. Ἰδοὺ καὶ Μάρκελλος ὁ Γαλάτης, καὶ Σωφρόνιος, καὶ Φωτεινὸς κατέπεσον. Ἰδοὺ καὶ Σαβέλλιος. «Οὐχ ἁρπαγμὸν ἡγήσατο», φησί, «τὸ εἶναι ἴσα Θεῷ»· ἴσον δὲ ἐπὶ ἑνὸς οὐ λέγεται προσώπου· τὸ γὰρ ἴσον, τινί ἐστιν ἴσον.

Ὁρᾷς δύο προσώπων ὑπόστασιν, οὐχὶ ὀνόματα ψιλὰ καὶ χωρὶς πραγμάτων λεγόμενα; ἤκουσας τὴν προαιώνιον ὕπαρξιν τοῦ μονογενοῦς; Τί οὖν πρὸς Ἄρειον εἴπωμεν λοιπόν, τὸν λέγοντα ἑτέρας εἶναι οὐσίας τὸν Υἱόν; Εἰπὲ δή μοι, «μορφὴν δούλου ἔλαβε», τί ἐστιν; Ἄνθρωπος ἐγένετο, φησίν. Οὐκοῦν καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, Θεὸς ἦν· μορφὴ γάρ, καὶ μορφὴ κεῖται. Εἰ τοῦτο ἀληθές, κἀκεῖνο. Φύσει ἄνθρωπος, ἡ μορφὴ τοῦ δούλου· οὐκοῦν φύσει Θεός, ἡ μορφὴ τοῦ Θεοῦ. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἴσον αὐτῷ μαρτυρεῖ, ὥσπερ οὖν καὶ Ἰωάννης, ὅτι οὐδὲν ἐλάττων ἐστὶ τοῦ Πατρός· «Οὐχ ἁρπαγμὸν ἡγήσατο», φησί, «τὸ εἶναι ἴσα Θεῷ». Ἀλλὰ τίς ὁ σοφὸς αὐτῶν λόγος; Καὶ μὴν τοὐναντίον δείκνυσι, φησίν. Εἶπε γάρ, ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ. Καὶ μὴν εἰ ἦν Θεός, πῶς εἶχεν ἁρπάσαι; καὶ πῶς οὐκ ἀπερινόητον τοῦτο; Τίς γὰρ ἂν εἴποι, ὅτι ὁ δεῖνα ἄνθρωπος ὤν, οὐχ ἥρπασε τὸ εἶναι ἄνθρωπος; πῶς γὰρ ἄν τις ὅπερ ἐστὶν ἁρπάσειεν; Οὔ, φησίν· ἀλλ' ὅτι Θεὸς ὢν ἐλάττων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα τῷ Θεῷ τῷ μεγάλῳ καὶ μείζονι. Μικρὸς καὶ μέγας Θεὸς ἔνι; καὶ τὰ Ἑλληνικὰ τοῖς τῆς ἐκκλησίας δόγμασιν ἐπεισάγετε; Μέγας γὰρ καὶ μικρὸς παρ' αὐτοῖς Θεός· εἰ δὲ καὶ παρ'

θεν ὕπαρξιν ἀπὸ τὴν Μαρίαν καὶ πρὶν ἀπ' αὐτὸ δὲν ὑπῆρχε; Πῶς δὲ σὺ λέγεις, ἦτο ἐνέργεια; Διότι ἡ μορφὴ τοῦ Θεοῦ, λέγει, ἔλαβε μορφὴν δούλου. Ἡ μορφὴ τοῦ δούλου εἶναι ἐνέργεια δούλου ἢ φύσις δούλου; Ὁπωσδήποτε φύσις δούλου. Ἐπομένως καὶ ἡ μορφὴ τοῦ Θεοῦ, εἶναι φύσις τοῦ Θεοῦ˙ συνεπῶς δὲν εἶναι ἐνέργεια. Ἰδοὺ κατέπεσαν καὶ ὁ Μάρκελλος ὁ Γαλάτης καὶ ὁ Σωφρόνιος καὶ ὁ Φωτεινός. Ἰδοὺ καὶ ὁ Σαβέλλιος. «Δὲν ἐθεώρησε», λέγει, ὅτι εἶναι ἐξ ἁρπαγῆς ἴσος πρὸς τὸν Θεόν». Ἴσος ὅμως ἐπὶ ἑνὸς προσώπου δὲν λέγεται˙ διότι ὁ ἴσος, εἶναι ἴσος πρὸς κάποιον ἄλλον.

Βλέπεις τὴν ὑπόστασιν δύο προσώπων, ὄχι ψιλὰ ὀνόματα λεγόμενα χωρὶς τὴν ὕπαρξιν; ἤκουσες τὴν προαιώνιον ὕπαρξιν τοῦ Μονογενοῦς Υἱοῦ; Τί λοιπὸν θὰ εἰποῦμεν πρὸς τὸν Ἄρειον, ποὺ ἰσχυρίζεται ὅτι ὁ Υἱὸς εἶναι ἀπὸ ἄλλην οὐσίαν; Εἰπέ μου τώρα, τί σημαίνει, «ἔλαβε μορφὴν δούλου»; Ἔγινεν ἄνθρωπος, λέγει. Ἐπομένως καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, Θεὸς ἦτο˙ διότι ἡ μορφὴ ἐξακολουθεῖ νὰ εἶναι καὶ μορφή. Ἐὰν τοῦτο εἶναι ἀληθές, θὰ εἶναι καὶ ἐκεῖνο. Ἐκ φύσεως ἄνθρωπος εἶναι ἡ μορφὴ τοῦ δούλου˙ ἐπομένως ἐκ φύσεως Θεός, ἡ μορφὴ τοῦ Θεοῦ. Καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ τὴν ἰσότητα πρὸς αὐτὸν βεβαιώνει, ὅπως ἀκριβῶς καὶ ὁ Ἰωάννης, ὅτι δὲν εἶναι καθόλου μικρότερος τοῦ Πατρός. «Δὲν ἐθεώρησε», λέγει, «ὅτι εἶναι ἐξ ἁρπαγῆς ἴσος πρὸς τὸν Θεόν». Ἀλλὰ τί σημαίνει ὁ σοφὸς λόγος αὐτῶν; Καὶ ἀληθῶς τὸ ἀντίστροφον σημαίνει, λέγει. Διότι εἶπεν, ὅτι καίτοι ἐν μορφῇ Θεοῦ ὑπῆρχε, δὲν ἥρπαξε τὴν ἰσότητά του πρὸς τὸν Θεόν. Καὶ ἀληθῶς ἐὰν ἦτο Θεός, πῶς ἠμποροῦσε νὰ ἁρπάξῃ; καὶ πῶς δὲν εἶναι τοῦτο κατανοητόν; Διότι ποῖος θὰ εἰπῇ, ὅτι ὁ τάδε, ἂν καὶ εἶναι ἄνθρωπος, δὲν ἥρπαξε τὸ νὰ εἶναι ἄνθρωπος; διότι πῶς θὰ ἠμποροῦσε νὰ ἁρπάξῃ κανεὶς ἐκεῖνο ποὺ εἶναι; Ὄχι, λέγει˙ ἀλλ' ὅτι καίτοι ἦτο Θεὸς μικρότερος, δὲν ἥρπαξε τὴν ἰσότητά του πρὸς τὸν Θεὸν τὸν μέγαν καὶ μεγαλύτερον. Ὑπάρχει καὶ μέγας Θεός; εἰσάγετε καὶ τὰς ἑλληνικὰς δοξασίας εἰς τὰ δόγματα τῆς Ἐκκλησίας; Διότι μέγας καὶ μικρὸς Θεὸς ὑπάρχει εἰς αὐ-

ὑμῖν, οὐκ οἶδα. Παρὰ μὲν γὰρ ταῖς Γραφαῖς οὐδαμοῦ εὑρήσεις· ἀλλὰ μέγαν μὲν πανταχοῦ, μικρὸν δὲ οὐδαμοῦ. Εἰ γὰρ μικρός, πῶς καὶ Θεός; Εἰ μικρὸς οὐκ ἔστιν ἄνθρωπος καὶ μέγας, ἀλλὰ μία φύσις, καὶ εἴ τι οὐκ ἔστι τῆς φύσεως ταύτης μιᾶς οὐκ ἄνθρωπος, πῶς ἂν εἴη μικρὸς Θεὸς καὶ μέγας; Ὁ μὴ ὢν ἐκείνης τῆς φύσεως, οὐ Θεός· πανταχοῦ γὰρ μέγας λέγεται παρὰ τῇ Γραφῇ. «Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα». Ἰδοὺ καὶ περὶ τοῦ Υἱοῦ· πανταχοῦ γὰρ Κύριον αὐτὸν καλεῖ. Μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ ὁ Θεὸς μόνος»· καὶ πάλιν, «Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας».

Ἀλλ' ὁ υἱός», φησί, μικρός. Ἀλλὰ σὺ τοῦτο λέγεις· ἡ γὰρ Γραφὴ τοὐναντίον· ὥσπερ περὶ τοῦ Πατρός, οὕτω καὶ περὶ τοῦ Υἱοῦ φησιν. Ἄκουε γὰρ Παύλου λέγοντος, «Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ». Ἀλλ' ἄρα μὴ περὶ τοῦ πατρὸς ἐπιφάνειαν εἶπεν; Ἵνα δὲ καὶ μᾶλλον ὑμᾶς ἐλέγξῃ, κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ προσέθηκεν. Ἆρα οὖν μὴ περὶ τοῦ Πατρὸς εἴρηται; Οὐδαμῶς· ἡ γὰρ ἐπαγωγὴ οὐκ ἀφίησι, λέγουσα, «Κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἰδοὺ καὶ ὁ Υἱὸς μέγας. Πῶς οὖν λέγεις μικρὸν εἶναι καὶ μέγαν; Ἄκουε καὶ τοῦ προφήτου λέγοντος αὐτόν, «Μεγάλης βουλῆς ἄγγελον». Ὁ μεγάλης βουλῆς ἄγγελος οὐ μέγας; ὁ ἰσχυρὸς Θεὸς οὐ μέγας, ἀλλὰ μικρός; Τί οὖν φασιν οἱ ἀναίσχυντοι καὶ ἰταμοί; Ὅτι μικρὸς ὢν Θεός· λέγω ἃ λέγουσι πολλάκις, ἵνα μᾶλλον αὐτοὺς φύγητε· μικρὸς ὤν, φησί, Θεός, οὐχ ἥρπασε τὸ εἶναι κατὰ τὸν μέγαν. Τί γάρ, εἰπέ μοι· ἀλλὰ μὴ νομίσητε ἡμῶν εἶναι τὰ ῥήματα· εἰ μικρὸς ἦν κατ' αὐτοὺς καὶ πολὺ τῆς δυνάμεως ἀποδέων τῆς τοῦ Πατρός, πῶς ἂν ἠδυνήθη ἁρ-

8. Ψαλμ. 47, 1.
9. Ψαλμ. 85, 10· 144, 3.
10. Τίτ. 2, 13.
11. Ἡσ. 9, 5.

τούς· ἐὰν ὅμως καὶ εἰς σᾶς, δὲν γνωρίζω. Διότι πουθενὰ εἰς τὰς Γραφὰς δὲν θὰ εὕρῃς κάτι παρόμοιον, ἀλλὰ παντοῦ μὲν μέγαν, μικρὸν δὲ πουθενά. Διότι ἐὰν εἶναι μικρός, πῶς θὰ εἶναι καὶ Θεός; Ἐὰν δὲν ὑπάρχῃ μικρὸς καὶ μέγας ἄνθρωπος, ἀλλὰ μία φύσις, καὶ ἐὰν κάτι δὲν εἶναι ἀπ' αὐτὴν τὴν μίαν φύσιν, δὲν εἶναι ἄνθρωπος, πῶς ἠμπορεῖ νὰ ὑπάρχῃ μικρὸς καὶ μέγας Θεός; Ἐκεῖνος ποὺ δὲν εἶναι ἀπ' ἐκείνην τὴν φύσιν, δὲν εἶναι Θεός, διότι παντοῦ εἰς τὴν Ἁγίαν Γραφὴν ὀνομάζεται μέγας. «Μέγας εἶναι ὁ Κύριος, καὶ πάρα πολὺ ἄξιος ἐπαίνου»[8]. Ἰδοὺ καὶ διὰ τὸν Υἱόν, διότι παντοῦ καλεῖ αὐτὸν Κύριον. «Μέγας εἶσαι Σύ, καὶ κάμνεις θαυμαστὰ ἔργα. Σὺ εἶσαι ὁ μόνος Θεός»· καὶ πάλιν· «Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ δύναμις αὐτοῦ, καὶ ἡ μεγαλωσύνη αὐτοῦ εἶναι ἀπεριόριστος»[9].

Ὁ υἱὸς ὅμως, λέγει, εἶναι μικρός. Ἀλλὰ σὺ λέγεις τοῦτο· διότι ἡ Γραφὴ λέγει τὸ ἀντίθετον· ὅπως ἀκριβῶς λέγει διὰ τὸν Πατέρα, ἔτσι λέγει καὶ διὰ τὸν Υἱόν. Ἄκουε λοιπὸν τὸν Παῦλον νὰ λέγῃ· «Περιμένοντες μὲ χαρὰν τὴν μακαριότητα ποὺ ἐλπίζομεν καὶ τὴν φανέρωσιν τῆς δόξης τοῦ μεγάλου Θεοῦ»[10]. Ἀλλὰ μήπως εἶπε διὰ τὴν φανέρωσιν τοῦ Πατρός; Διὰ νὰ σᾶς ἐλέγξῃ δὲ καὶ περισσότερον, προσέθεσε κατὰ τὴν φανέρωσιν τοῦ μεγάλου Θεοῦ. Ἆρα γε μήπως ἔχει λεχθῆ διὰ τὸν Πατέρα; Καθόλου· διότι ἡ συνέχεια δὲν ἐπιτρέπει λέγουσα· «Κατὰ τὴν φανέρωσιν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος μας, τοῦ Ἰησοῦ Χριστοῦ». Ἰδοὺ καὶ ὁ Υἱὸς μέγας. Πῶς λοιπὸν λέγεις μικρὸν καὶ μέγαν; Ἄκουε καὶ τὸν προφήτην νὰ ἀποκαλῇ αὐτὸν «Ἄγγελον τῆς μεγάλης βουλῆς»[11]. Ὁ ἄγγελος τῆς μεγάλης βουλῆς δὲν εἶναι μέγας; Ὁ ἰσχυρὸς Θεὸς δὲν εἶναι μέγας, ἀλλὰ μικρός; Τί λοιπὸν ἰσχυρίζονται οἱ ἀναίσχυντοι καὶ οἱ ἰταμοί; Ὅτι καίτοι μικρὸς εἶναι Θεός. Ἀναφέρω ἐκεῖνο ποὺ λέγουν πολλὰς φοράς, διὰ νὰ ἀποφύγετε περισσότερον αὐτούς. Καίτοι μικρὸς Θεός, λέγει, δὲν ἥρπαξε τὸ νὰ εἶναι ἴσος πρὸς τὸν μέγαν. Τί λοιπόν, εἰπέ μου· ἀλλὰ μὴ νομίσετε ὅτι ἰδικοί μας εἶναι οἱ λόγοι. Ἐὰν ἦτο μικρὸς κατ' αὐτούς, καὶ ὡς πρὸς τὴν δύναμιν ἦτο πολὺ κατώτερος τῆς

πάσαι τὸ εἶναι ἴσα Θεῷ; Φύσις γὰρ ἐλάττων οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ εἶναι ἐν τῇ μεγάλῃ· οἷον ὁ ἄνθρωπος οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ γενέσθαι ἴσος ἀγγέλῳ κατὰ τὴν φύσιν· ὁ ἵππος οὐκ ἂν δύναιτο ἁρπάσαι, κἂν θέλῃ, τὸ εἶναι ἴσος ἀνθρώπῳ κατὰ τὴν φύσιν. Καὶ χωρὶς δὲ τούτου, ἐκεῖνο ἐρῶ· τί βούλεται κατασκευάσαι ὁ Παῦλος διὰ τούτου τοῦ ὑποδείγματος; Εἰς ταπεινοφροσύνην πάντως ἐναγαγεῖν τοὺς Φιλιππησίους. Τί οὖν, εἰπέ μοι, τοῦτο παρήνεγκεν εἰς μέσον; Οὐδεὶς γὰρ βουλόμενος προτρέψαι ταπεινοφρονεῖν τοῦτό φησιν· ἔσο ταπεινός, καὶ ἔλαττον φρόνει τῶν ὁμοτίμων· καὶ γὰρ ὁ δεῖνα ὁ δοῦλος οὐκ ἐπανέστη τῷ δεσπότῃ· μιμοῦ τοίνυν ἐκεῖνον.

Καὶ μὴν τοῦτο οὐκ ἔστι ταπεινοφροσύνης, εἴποι τις ἄν, ἀλλ' ἀπονοίας. Μάθετε τί ἐστι ταπεινοφροσύνη ὑμεῖς οἱ τῦφον ἔχοντες διαβολικόν. Τί οὖν ἐστι ταπεινοφροσύνη; Τὸ ταπεινὰ φρονεῖν· ταπεινὰ δὲ φρονεῖ, οὐχ ὁ ἀπὸ ἀνάγκης ὢν ταπεινός, ἀλλ' ὁ ἑαυτὸν ταπεινῶν. Οἷόν τι λέγω· προσέχετε δέ· ὅταν τις ὑψηλὰ δυνάμενος φρονῆσαι ταπεινοφρονῇ, οὗτος ταπεινόφρων ἐστίν· ὅταν δὲ παρὰ τὸ μὴ δύνασθαι ταπεινοφρονῇ, οὐκέτι ταπεινόφρων ἐστίν. Οἷον ὁ βασιλεὺς τῷ ὑπάρχῳ ἂν ὑποτάττηται, ταπεινόφρων ἐστίν, ὅτι ἀπὸ τοῦ ὕψους κατέβη· ὁ μέντοι ὕπαρχος ἐὰν τοῦτο ποιῇ, οὐ ταπεινοφρονήσει· πῶς γάρ; οὐ γὰρ ἀπὸ τοῦ ὕψους ἐταπείνωσεν ἑαυτόν. Οὐκ ἔστι δὲ ἄλλως ταπεινοφρονῆσαι, εἰ μὴ ἐν ἐξουσίᾳ γένοιτο. Εἰ γὰρ ἀνάγκη ἐστὶ τεταπεινῶσθαι καὶ ἄκοντα, οὐκέτι τῆς φρονήσεώς ἐστι τὸ κατόρθωμα, οὐδὲ τοῦ βουλήματος,

τοῦ Πατρός, πῶς θὰ ἠμποροῦσε νὰ ἁρπάξῃ τὴν ἰσότητά του πρὸς τὸν Θεόν; Διότι ἡ ὑποδεεστέρα φύσις δὲν θὰ ἠμποροῦσε νὰ ἁρπάξῃ αὐτὸ πού ὑπάρχει εἰς τὴν μεγάλην. Ὅπως ὁ ἄνθρωπος δὲν θὰ ἠμποροῦσε νὰ ἁρπάξῃ τὸ νὰ εἶναι κατὰ τὴν φύσιν του ἴσος πρὸς τὸν ἄγγελον˙ ὁ ἵππος δὲν θὰ ἠμποροῦσε νὰ ἁρπάξῃ, ἔστω καὶ ἂν θέλῃ, τὸ νὰ εἶναι ἴσος πρὸς τὸν ἄνθρωπον κατὰ τὴν φύσιν. Καὶ χωρὶς δὲ τοῦτο, θὰ εἰπῶ ἐκεῖνο˙ τί ἐπιθυμεῖ νὰ ἐπιτύχῃ ὁ Παῦλος μὲ τὸ παράδειγμα αὐτό; Νὰ ὠθήσῃ ὁπωσδήποτε τοὺς Φιλιππησίους πρὸς τὴν ταπεινοφροσύνην. Διατί λοιπόν, εἰπέ μου, προέβαλε αὐτὸ τὸ παράδειγμα; Διότι οὐδεὶς ὑπάρχει, ποὺ θέλων νὰ προτρέψῃ νὰ εἴμεθα ταπεινόφρονες λέγει αὐτό˙ νὰ εἶσαι ταπεινὸς καὶ νὰ ἔχῃς ταπεινότερον φρόνημα ἀπὸ τοὺς ἰσοτίμους σου˙ καὶ ὁ δεῖνα ὁ δοῦλος δὲν ἐξηγέρθη ἐναντίον τοῦ κυρίου του˙ νὰ γίνεσαι λοιπὸν μιμητὴς ἐκείνου.

Καὶ ὅμως αὐτὸ δὲν εἶναι ἐκδήλωσις τῆς ταπεινοφροσύνης, ἀλλὰ τῆς ἀλαζονείας, θὰ ἠμποροῦσε νὰ εἰπῇ κάποις. Μάθετε τί εἶναι ταπεινοφροσύνη σεῖς ποὺ ἔχετε διαβολικὴν ἀλαζονείαν. Τί λοιπὸν εἶναι ταπεινοφροσύνη; Τὸ νὰ φρονῇ κανεὶς τὰ ταπεινά. Τὰ ταπεινὰ δὲ φρονεῖ ὄχι ἐκεῖνος ποὺ ἀπὸ ἀνάγκην εἶναι ταπεινός, ἀλλ' ἐκεῖνος ποὺ ταπεινώνει τὸν ἑαυτόν του. Ἐπεξηγῶ τί λέγω, προσέχετε ὅμως. Ὅταν κανείς, ἂν καὶ ἠμπορεῖ νὰ ἔχῃ ὑψηλὰ φρονήματα, ταπεινοφρονῇ, αὐτὸς εἶναι ταπεινόφρων˙ ὅταν ὅμως ταπεινοφρονῇ ἐξ αἰτίας τοῦ ὅτι δὲν ἠμπορεῖ νὰ ἔχῃ ὑψηλὰ φρονήματα, δὲν εἶναι πλέον ταπεινόφρων. Ὅπως ἐὰν ὁ βασιλεὺς ὑποτάσσεται εἰς τὸν ὕπαρχον, εἶναι ταπεινόφρων, διότι κατέβη ἀπὸ τὴν ὑψηλήν του θέσιν˙ ὁ ὕπαρχος ὅμως ἐὰν κάμνῃ τοῦτο, δὲν θὰ εἶναι ταπεινόφρων. Διατί ὅμως; Διότι δὲν ἐταπείνωσε τὸν ἑαυτόν του ἀπὸ τὴν ὑψηλὴν θέσιν. Δὲν ἠμπορεῖ δὲ νὰ ταπεινοφρονήσῃ κατ' ἄλλον τρόπον, ἐκτὸς ἐὰν ἔλθῃ εἰς τὴν ἐξουσίαν. Διότι ἐὰν εἶναι ταπεινωμένος ἀπὸ ἀνάγκην καὶ χωρὶς τὴν θέλησίν του, δὲν εἶναι πλέον τὸ κατόρθωμα ἐνέργεια τῆς φρονήσεώς του, οὔτε τῆς προθέσεώς του, ἀλλὰ τῆς ἀνάγκης˙ ταπεινοφρο-

ἀλλὰ τῆς ἀνάγκης· ταπεινοφροσύνη δὲ διὰ τοῦτο λέγεται, ὅτι τοῦ φρονήματός ἐστι ταπείνωσις.

Εἰπέ μοι, εἴ τις μὴ ἔχων ἐξουσίαν πλεονεκτεῖν, μένοι τὰ ἑαυτοῦ κεκτημένος, τοῦτον ἐπαινεσόμεθα ἐπὶ δικαιοσύνῃ; Οὐδαμῶς. Διὰ τί; Τῇ γὰρ ἀνάγκῃ τὸ τῆς προαιρέσεως ἐγκώμιον ἀφήρηται. Εἰπέ μοι, εἴ τις μὴ δυνάμενος τυραννεῖν καὶ βασιλεύειν, μένοι ἰδιωτεύων, τοῦτον ἐπαινεσόμεθα, ὡς ἀπράγμονα; Οὐδαμῶς. Οὐκοῦν οὐδὲ ἐνταῦθα. Ὁ γὰρ ἔπαινος, ὦ πάντων ὑμεῖς ἀμαθέστατοι, οὐκ ἐν τῇ τούτων ἀποχῇ, ἀλλ' ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ γίνεται. Ἐκεῖνο μὲν γὰρ ψόγου ἀπήλλακται, οὔπω δὲ καὶ ἐπαίνου μετέχει· τὸ δὲ ἐγκώμιόν ἐστιν ἄξιον ἐκείνου. Ὅρα γοῦν καὶ τὸν Χριστὸν οὕτως ἐπαινοῦντα, ὅταν λέγῃ· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με». Οὐκ εἶπεν, ἐπειδὴ οὐκ ἐπλεονεκτήσατε, οὐδέ, ἐπειδὴ οὐχ ἡρπάσατε, μικρὰ γὰρ ταῦτα, ἀλλ' ἐπειδὴ πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. Καὶ τίς ἂν οὕτως ἐπήνεσεν ἢ τοὺς φίλους, ἢ τοὺς ἐχθρούς; Οὐκ ἂν οὐδὲ Παῦλον· τί λέγω Παῦλον; οὐδὲ τὸν τυχόντα τις ἄνδρα, ὡς σὺ τὸν Χριστὸν ἐπαινεῖς, ἐπήνεσεν, ὅτι μὴ προσήκουσαν ἀρχὴν οὐκ ἔλαβε. Τὸ γὰρ ἐπὶ τοιούτοις θαυμάζειν, πολλήν ἐστι κακίαν μαρτυρούντων. Πῶς; Ὅτι ἐπ' ἐκείνων τὸ τοιοῦτον ἔπαινός ἐστιν, οἷον ὁ κλέπτων, ἐὰν μηκέτι κλέπτῃ· ἐπὶ δὲ τῶν ἀγαθῶν οὐκέτι. Ὅτι οὐχ ἥρπασε μὴ προσήκουσαν ἀρχὴν καὶ τιμήν, ἐπαινετός; Καὶ ποίας ταῦτα ἀνοίας;

Προσέχετε, παρακαλῶ· μακρὸς γὰρ ὁ λόγος. Ἄλλως δέ, τίς ἂν ἀπὸ τούτων εἰς ταπεινοφροσύνην προέτρεψε; Τὰ γὰρ

12. Ματθ. 25, 34 - 35.

σύνη δὲ διὰ τοῦτο λέγεται, διότι εἶναι ταπείνωσις τοῦ φρονήματος.

Εἰπέ μου, ἐὰν κανείς, ποὺ δὲν ἔχει τὴν δύναμιν νὰ ἀπαιτῇ περισσότερα ἀπὸ ὅσα δικαιοῦται, ἤθελε νὰ παραμένῃ κύριος τῶν ἰδικῶν του, θὰ ἐπαινέσωμεν αὐτὸν διὰ δικαιοσύνην; Καθόλου. Διατί; Διότι ἡ ἀνάγκη ἔχει στερήσει εἰς αὐτὸν τὸ ἐγκώμιον τῆς προαιρέσεως. Εἰπέ μου, ἐὰν κάποιος, ποὺ δὲν ἠμπορεῖ νὰ γίνῃ τύραννος καὶ βασιλεύς, παραμένῃ ἁπλοῦς πολίτης, θὰ τὸν ἐπαινέσωμεν ὡς ἀπράγμονα; Καθόλου. Λοιπὸν οὔτε καὶ ἐδῶ. Διότι ὁ ἔπαινος, ἀμαθέστατοι πάντων, δὲν γίνεται ἕνεκα τῆς ἀποχῆς ἀπὸ τὰ ἔργα αὐτά, ἀλλὰ ἕνεκα τῆς ἐργασίας τῶν ἀγαθῶν. Διότι ἐκεῖνο μὲν εἶναι ἀπηλλαγμένον κατηγορίας, δὲν μετέχει ὅμως μὲ κανένα τρόπον καὶ εἰς τὸν ἔπαινον· τὸ ἐγκώμιον ὅμως εἶναι ἄξιον ἐκείνου. Πρόσεχε λοιπὸν καὶ τὸν Χριστὸν νὰ ἐπαινῇ κατὰ τὸν ἴδιον τρόπον, ὅταν λέγῃ· «Ἐλᾶτε σεῖς, ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, λάβετε ὡς κληρονομίαν τὴν βασιλείαν, ποὺ ἔχει ἑτοιμασθῆ διὰ σᾶς, ἀφ' ὅτου ἐθεμελιώνετο ὁ κόσμος· διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω, ἤμην διψασμένος καὶ μὲ ἐποτίσατε»[12]. Δὲν εἶπεν, ἐπειδὴ δὲν ἦσθε πλεονέκται, οὔτε ἐπειδὴ δὲν ἔχετε ἁρπάξει, διότι αὐτὰ εἶναι ἀσήμαντα, ἀλλ' ἐπειδὴ μὲ εἴδατε νὰ πεινῶ καὶ μοῦ ἐδώσατε νὰ φάγω. Καὶ ποῖος θὰ ἐπαινοῦσε ἔτσι ἢ τοὺς φίλους, ἢ τοὺς ἐχθρούς; Δὲν θὰ ἐπαινοῦσε οὔτε τὸν Παῦλον. Διατί λέγω τὸν Παῦλον; Οὔτε τὸν τυχόντα ἄνδρα ἐπῄνεσε κανείς, ὅπως σὺ ἐπαινεῖς τὸν Χριστόν, διότι δὲν ἔλαβε τὴν ἀκατάλληλον ἀρχήν. Τὸ θαυμάζειν βέβαια ἐξ αἰτίας τῶν τοιούτων, εἶναι δυνατὸν νὰ μαρτυρῇ πολλὴν κακίαν. Πῶς; Διότι ὡς πρὸς ἐκεῖνα κάτι τέτοιο εἶναι ἔπαινος, ὅπως ἐκεῖνος ποὺ κλέπτει, ἐὰν δὲν κλέπτῃ πλέον· ὡς πρὸς τὰ ἀγαθὰ ὅμως δὲν εἶναι πλέον ἔπαινος. Εἶναι ἄξιος ἐπαίνου, διότι ἥρπαξε κατάλληλον ἀρχὴν καὶ τιμήν; Ποίας μωρίας λόγια εἶναι αὐτά;

Προσέχετε, σᾶς παρακαλῶ, διότι ὁ λόγος εἶναι μακρός. Κατ' ἄλλον τρόπον δέ, ποῖος θὰ προέτρεπε πρὸς τα-

ὑποδείγματα πολλῷ μείζονα δεῖ εἶναι τῆς ὑποθέσεως, εἰς ἣν παρακαλοῦμεν· οὐ γὰρ ἄν τις ἀλλοτρίων προτραπείη. Οἷον, προέτρεπεν ὁ Χριστὸς εὖ ποιεῖν τοὺς ἐχθρούς· ἤνεγκε παράδειγμα μέγα, τὸ τοῦ Πατρός, ὅτε ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· προέτρεπεν εἰς ἀνεξικακίαν· ἤνεγκε παράδειγμα· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»· καὶ πάλιν, «Εἰ ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ταῦτα ποιῶ, πόσῳ μᾶλλον ὑμεῖς;». Ὁρᾷς πῶς οὐκ ἀφέστηκε τὰ παραδείγματα; οὐδὲ γὰρ τοσοῦτον ἀφεστάναι δεῖ· καὶ γὰρ καὶ ἡμεῖς οὕτω ποιοῦμεν. Ἄλλως δὲ καὶ ἐνταῦθα οὐδὲ ἐγγύς ἐστι τὸ παράδειγμα. Πῶς; Ὅτι εἰ δοῦλός ἐστι καὶ ἐλάττων ἐστί, καὶ ὑπήκοος τῷ μείζονι. Τοῦτο δὲ οὐ ταπεινοφροσύνη ἐστί· τοὐναντίον γὰρ ἔδει ποιῆσαι, μείζονά τινα τῷ ἐλάττονι ὑπακούσαντα δεῖξαι· ἀλλ' ἐπειδὴ τοῦτο οὐχ εὗρεν ἐπὶ Θεοῦ, μείζονα καὶ ἐλάττονα, τὸ γοῦν ἴσον ἐποίησεν. Εἰ δὲ ἐλάττων ἦν ὁ Υἱός, οὐχ ἱκανὸν εἰς ταπεινοφροσύνην προτρέψαι. Διὰ τί; Ὅτι οὐκ ἔστι ταπεινοφροσύνη τὸ τὸν ἐλάττονα μὴ ἐπαναστῆναι τῷ μείζονι, τὸ μὴ ἁρπάσαι τὴν ἀρχήν, τὸ ὑπακοῦσαι μέχρι θανάτου.

Ἄλλως δέ, ὅρα καὶ μετὰ τὸ ὑπόδειγμα τί φησι· «Τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν». Ἡγούμενοι, φησίν. Ἐπειδὴ γὰρ καὶ κατὰ τὴν οὐσίαν ἕν ἐστε, καὶ κατὰ τὴν τιμὴν τὴν παρὰ τοῦ Θεοῦ, δεῖ λοιπὸν τῆς ὑπολήψεως εἶναι τὸ πρᾶγμα. Ἐπὶ δὲ τῶν μειζόνων καὶ ἐλαττόνων οὐκ ἂν τοῦτο εἶπεν, ὅτι ἡγούμενοι, ἀλλά, τιμᾶτε τοὺς ὑπερέχοντας ὑμῶν· καθὼς καὶ ἀλλαχοῦ φησι, «Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε». Ἐκεῖ τῆς φύσεως

13. Ματθ. 11, 29.
14. Ἰω. 13, 14.
15. Ἑβρ. 13, 17.

πεινοφροσύνην ἀπ᾽ αὐτά; Διότι τὰ παραδείγματα πρέπει νὰ εἶναι πολὺ μεγαλύτερα ἀπὸ τὴν ὑπόθεσιν, εἰς τὴν ὁποίαν προτρέπομεν. Ὅπως, ὁ Χριστὸς προέτρεπε νὰ εὐεργετοῦμεν τοὺς ἐχθρούς μας καὶ ἔφερε μέγα παράδειγμα, τὸ τοῦ Πατρός, διότι ἀνατέλλει τὸν ἥλιον χωρὶς διάκρισιν εἰς πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει εἰς δικαίους καὶ ἀδίκους. Προέτρεπεν εἰς ἀνεξικακίαν˙ ἔφερε παράδειγμα˙ «Μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς κατὰ τὸ φρόνημα καὶ τὴν ἐσωτερικὴν διάθεσιν»[13] καὶ πάλιν, «Ἐὰν ἐγὼ ὁ Κύριος καὶ ὁ Διδάσκαλος κάμνω αὐτά, πόσον περισσότερον ὀφείλετε σεῖς;»[14]. Βλέπεις πῶς δὲν ἔχει ἀπομακρύνει τὰ παραδείγματα; διότι οὔτε τόσον πολὺ πρέπει νὰ ἀπομακρύνωνται˙ καὶ βέβαια καὶ ἡμεῖς ἔτσι κάμνομεν. Ἔτσι καὶ εἰς τὴν περίπτωσιν αὐτὴν τὸ παράδειγμα δὲν εἶναι πλησίον. Πῶς; Ὅτι ἐὰν εἶναι δοῦλος, εἶναι καὶ μικρότερος καὶ ὑπήκοος εἰς τὸν μεγαλύτερον. Τοῦτο ὅμως δὲν εἶναι ταπεινοφροσύνη˙ διότι ἔπρεπε νὰ κάμνῃ τὸ ἀντίθετον, νὰ δείξῃ κάποιον μεγαλύτερον νὰ ὑπακούσῃ εἰς τὸν μικρότερον. Ἀλλ᾽ ἐπειδὴ δὲν εὗρε τοῦτο εἰς τὸν Θεόν, δηλαδὴ μεγαλύτερον καὶ μικρότερον, ἔκαμε βεβαίως τὸ ἴσον. Ἐὰν δὲ ὁ Υἱὸς ἦτο μικρότερος, δὲν ἠμποροῦσε νὰ προτρέψῃ εἰς ταπεινοφροσύνην. Διατί; Διότι δὲν εἶναι ταπεινοφροσύνη τὸ νὰ μὴ ἐξεγείρεται ὁ μικρότερος ἐναντίον τοῦ μεγαλυτέρου, τὸ νὰ μὴ ἁρπάξῃ τὴν ἐξουσίαν, τὸ νὰ ὑπακούσῃ μέχρι τὸν θάνατον.

Ἐξ ἄλλου, πρόσεχε καὶ μετὰ τὸ παράδειγμα τί λέγει˙ «Διὰ τῆς ταπεινοφροσύνης νὰ θεωρῇ ὁ καθένας σας τοὺς ἄλλους ὅλους ὑπερτέρους καὶ ἀνωτέρους ἀπὸ τὸν ἑαυτόν του». Νὰ θεωρῆτε, λέγει. Ἐπειδὴ βέβαια καὶ κατὰ τὴν οὐσίαν εἶσθε ἕνα, καὶ κατὰ τὴν τιμὴν ποὺ ἀπολαύετε ἀπὸ τὸν Θεόν, πρέπει λοιπὸν τὸ πρᾶγμα νὰ εἶναι δεῖγμα τῆς ὑπολήψεως. Διὰ τοὺς μεγαλυτέρους δὲ καὶ μικροτέρους δὲν θὰ ἔλεγε αὐτό, νὰ θεωρῆτε, ἀλλὰ νὰ τιμᾶτε τοὺς ὑπερτέρους καὶ ἀνωτέρους σας, καθὼς καὶ ἀλλοῦ λέγει˙ «Πείθεσθε εἰς τοὺς πνευματικοὺς προϊσταμένους σας καὶ νὰ ὑποτάσσεσθε τελείως εἰς αὐτούς»[15]. Ἐκεῖ ἡ ὑποταγὴ ἔρ-

τοῦ πράγματός ἐστιν ἡ ὑποταγή· ἐνταῦθα τῆς κρίσεως δεῖ γενέσθαι τῆς ἡμετέρας. «Τῇ ταπεινοφροσύνῃ», φησίν, «ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν», ὥσπερ καὶ ὁ Χριστὸς ἐποίησε. Καὶ τὰ μὲν ἐκείνων οὕτως ἀνατέτραπται· τὰ δὲ ἡμέτερα λοιπὸν εἰπεῖν χρή, πρότερον ἐν κεφαλαίῳ τὰ ἐκείνων εἰπόντα, ὅτι εἰς ταπεινοφροσύνην παρακαλῶν οὐκ ἂν τὸν ἐλάττονα ὄντα καὶ τῷ μείζονι ὑπακούσαντα παρήγαγεν. Εἰ μὲν γὰρ δούλους δεσπόταις παρεκάλει ὑπακούειν, εἰκότως· εἰ δὲ ἐλευθέρους ἐλευθέροις, τί τοῦ δούλου πρὸς τὸν δεσπότην τὴν ὑποταγὴν ἔφερε; τί τοῦ ἐλάττονος πρὸς τὸν μείζονα; Μὴ γὰρ εἶπεν, οἱ ἐλάττονες τοῖς μείζοσιν ὑπακουέτωσαν; ἀλλ' ἰσότιμοι ἀλλήλων ὄντες, ὑπακούετε, «ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν». Διὰ τί δὲ μὴ παρήγαγεν, εἰ ἄρα, κἂν τὸ τῆς γυναικός, ὅτι ὥσπερ ἡ γυνὴ ὑπακούει τῷ ἀνδρί, οὕτω καὶ ὑμεῖς ὑπακούετε; Εἰ δὲ ὅπερ ἴσον ἐστὶ καὶ ἐλευθέριον οὐ παρήγαγεν, ἐπειδὴ ὅλως μικρά τις ἦν ὑποταγή, πόσῳ μᾶλλον τὸ τοῦ δούλου οὐκ ἂν παρήγαγεν; Εἶπον φθάσας, ὅτι οὐδεὶς οὕτως ἐπαινεῖ ἀπὸ τῆς τῶν κακῶν ἀποχῆς, οὐδὲ ὅλως αὐτοῦ μέμνηται· οὐδὲ σώφρονα βουλόμενος ἐπαινέσαι τις οὕτως ἐρεῖ, ὅτι οὐκ ἐμοίχευσεν, ἀλλ' ὅτι καὶ τῆς ἰδίας ἀπέστη γυναικός. Οὐδαμοῦ γὰρ τὴν τῶν κακῶν ἀποχὴν τίθεμεν· γέλως γὰρ τοῦτο. Εἶπον ὅτι ἡ μορφὴ τοῦ δούλου ἀληθής, καὶ οὐδὲν ἐλάττων· οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεο τελεία, καὶ οὐκ ἐλάττων. Διὰ τί μὴ εἶπεν, ἐν μορφῇ Θεοῦ γενόμενος, ἀλλ', «ὑπάρχων»; Ἴσον ἐστὶ τοῦτο τοῦ εἰπεῖν, «Ἐγώ εἰμι ὁ ὤν». Τὸ ἀπαράλλακτον ἡ μορφὴ δείκνυσι, καθὸ ἐστι μορφή. Οὐκ ἔστι δὲ ἄλλης οὐσίας ὄντα,

16. Δηλαδὴ τῶν αἱρετικῶν.
17. Ἐξ. 3, 14.

χεται ὡς φυσικὸν ἐπακόλουθον, ἐδῶ πρέπει νὰ ἐξαρτηθῇ ἀπὸ τὴν ἰδικήν μας κρίσιν. «Διὰ τῆς ταπεινοφροσύνης», λέγει, «νὰ θεωρῇ ὁ καθένας σας τοὺς ἄλλους ὅλους ὑπερτέρους καὶ ἀνωτέρους ἀπὸ τὸν ἑαυτόν του», ὅπως ἀκριβῶς ἔπραξε καὶ ὁ Χριστός. Καὶ ὅσον ἀφορᾷ μὲν τὰ λεγόμενα ἀπ' ἐκείνους[16], ἔτσι ἔχουν ἀνατραπῆ· τὰ δὲ ἰδικά μας πρέπει νὰ εἰποῦμεν εἰς τὸ ἑξῆς, κατὰ πρῶτον μὲ συντομίαν ἐκεῖνα ποὺ εἶπαν ἐκεῖνοι, ὅτι προτρέπων εἰς ταπεινοφροσύνην δὲν θὰ ἔφερεν ὡς παράδειγμα ἐκεῖνον, ποὺ εἶναι μικρότερος, νὰ ὑπακούσῃ εἰς τὸν μεγαλύτερον. Διότι ἐὰν μὲν προέτρεπε τοὺς δούλους νὰ ὑπακούουν εἰς τοὺς κυρίους των, εὐλόγως, ἐὰν ὅμως προτρέπῃ ἐλευθέρως νὰ ὑπακούουν εἰς ἐλευθέρους, διατί ἔφερεν ὡς παράδειγμα τὴν ὑποταγὴν τοῦ δούλου πρὸς τὸν κύριόν του; διατί τοῦ μικροτέρου πρὸς τὸν μεγαλύτερον; Μήπως λοιπὸν εἶπεν, οἱ μικρότεροι ἂς ὑπακούσουν εἰς τοὺς μεγαλυτέρους; ἀλλ' ὄντες ἰσότιμοι μεταξύ σας, νὰ ὑπακούετε, «νὰ θεωρῇ ὁ καθένας σας τοὺς ἄλλους ὅλους ὑπερτέρους καὶ ἀνωτέρους ἀπὸ τὸν ἑαυτόν του». Διατί ὅμως δὲν ἔφερεν ὡς παράδειγμα βέβαια, ἔστω τὸ τῆς γυναικός, ὅτι ὅπως ἀκριβῶς ἡ γυναῖκα ὑπακούει εἰς τὸν ἄνδρα, ἔτσι καὶ σεῖς νὰ ὑπακούετε; Ἐὰν δὲ ἐκεῖνο ποὺ εἶναι ἴσον καὶ ἐλεύθερον δὲν ἐπαρουσίασεν, ἐπειδὴ ἡ ὑπακοὴ ἦτο ἐντελῶς ἀσήμαντος, πόσῳ μᾶλλον δὲν θὰ ἔφερε τὸ παράδειγμα τοῦ δούλου; Εἶπα πρὶν ἀπὸ ὅλα, ὅτι κανεὶς δὲν ἐπαινεῖ ἔτσι διὰ τὴν ἀποχὴν ἀπὸ τὰ κακά, οὔτε ἀναφέρει ἐντελῶς αὐτό. Οὔτε θὰ εἰπῇ κανεὶς ἔτσι, ἐπιθυμῶν νὰ ἐπαινέσῃ τὸν σώφρονα, ὅτι δὲν ἐμοίχευσεν, ἀλλ' ὅτι ἀπέχει καὶ ἀπὸ τὴν γυναῖκα του. Καθόλου λοιπὸν δὲν παραγγέλομεν τὴν ἀποχὴν ἀπὸ τὰ κακά, διότι τοῦτο θὰ προκαλέσῃ γέλιο. Εἶπα ὅτι ἡ μορφὴ τοῦ δούλου εἶναι ἀληθινή, καὶ καθόλου κατωτέρα· ἐπομένως καὶ ἡ μορφὴ τοῦ Θεοῦ εἶναι τελεία, καὶ ὄχι κατωτέρα. Διατί δὲν εἶπε, «καίτοι ἔγινεν ἐν μορφῇ Θεοῦ», ἀλλὰ «καίτοι ὑπῆρχε;». Τοῦτο εἶναι ἴσον μὲ τὸ νὰ εἰπῇ· «Ἐγὼ εἶμαι ὁ Ὤν»[17]. Ἡ μορφὴ δεικνύει τὸ ἀκριβῶς ὅμοιον, ἐπειδὴ εἶναι μορφή. Δὲν ὑπάρχουν δὲ ὄντα ἄλλης οὐσίας, νὰ

τὴν ἄλλης μορφὴν ἔχειν· οἷον, οὐδεὶς ἀνθρώπων ἀγγέλου ἔχει μορφήν, οὐδὲ ἄλογον ἀνθρώπου ἔχει μορφήν· πῶς οὖν ὁ Υἱός; Εἶτα ἐπὶ μὲν ἡμῶν, ἐπειδὴ σύνθετοί ἐσμεν, ἡ μορφὴ τοῦ σώματός ἐστιν· ἐπὶ δὲ τοῦ ἁπλοῦ καὶ ἀσυνθέτου πάντως, τῆς οὐσίας. Εἰ δὲ τὸ χωρὶς ἄρθρου εἰρῆσθαι οὐ δείκνυσι τὸν Πατέρα, πολλαχοῦ τοῦτο δείκνυται χωρὶς ἄρθρου εἰρημένον. Καὶ τί λέγω πολλαχοῦ; ἐν γὰρ αὐτῷ εὐθέως τῷ χωρίῳ τούτῳ, «Οὐχ ἁρπαγμόν», φησίν, «ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»· καὶ οὐκ εἶπε, τῷ Θεῷ, περὶ τοῦ Πατρὸς λέγων. Βούλομαι καὶ τὰ ἡμέτερα προσθεῖναι, ἀλλὰ δέδοικα μὴ καταχώσωμεν ὑμῶν τῆς διανοίας. Τέως δὲ τὰ εἰρημένα μέμνησθε πρὸς ἀνατροπὴν ἐκείνων· τέως τὰς ἀκάνθας ἐκτέμωμεν, καὶ τότε τὸν σπόρον καταβαλοῦμεν τὸν καλὸν μετὰ τὸ τὰς ἀκάνθας ἐκτιμηθῆναι, καὶ μικρὸν ἀναπνεῦσαι τὴν γῆν· ἵνα πᾶσαν τὴν ἐκεῖθεν ἀποθεμένη κακίαν, μετὰ πολλῆς τῆς ἀρετῆς δέχηται τὰ θεῖα σπέρματα.

Εὐχαριστήσωμεν ὑπὲρ τῶν εἰρημένων τῷ Θεῷ· ἀξιώσωμεν αὐτὸν δοῦναι φυλακὴν καὶ διατήρησιν αὐτῶν, ἵνα καὶ ἡμεῖς καὶ ὑμεῖς εὐφραινώμεθα, καὶ οἱ αἱρετικοὶ καταισχύνονται. Παρακαλέσωμεν αὐτὸν καὶ εἰς τὸ ἑξῆς ἡμῖν ἀνοῖξαι στόμα, ὥστε καὶ τὰ ἡμέτερα μετὰ τῆς αὐτῆς πάλιν σπουδῆς παρακαταθέσθαι. Δεηθῶμεν αὐτοῦ, ὥστε καὶ τῆς πίστεως βίον ἄξιον ἡμῖν παρασχεῖν, ἵνα εἰς δόξαν αὐτοῦ ζῶμεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βλασφημῆται δι' ἡμᾶς. «Οὐαὶ γὰρ ὑμῖν», φησί, «δι' οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται». Εἰ γὰρ υἱὸν ἔχοντες· καίτοι τί υἱοῦ γνησιώτερον; εἰ υἱὸν τοίνυν ἔχοντες, ὅταν δι' αὐτὸν βλασφημώμεθα, ἀποκηρύττομεν αὐτόν, ἀποστρεφόμεθα, οὐ προσιέμεθα· πόσῳ μᾶλλον ὁ Θεὸς δούλους ἔχων ἀγνώμονας, βλασφημοῦντας αὐτὸν καὶ ὑβρίζοντας, οὐκ ἀποστραφήσεται καὶ μισήσει; ὃν δ' ἂν ὁ Θεὸς μισήσῃ

18. Ἡσ. 52, 5.

ἔχουν μορφὴν διαφορετικῆς οὐσίας· ὅπως, κανεὶς ἄνθρωπος δὲν ἔχει μορφὴν ἀγγέλου, οὔτε τὸ ζῶον ἔχει μορφὴν ἀνθρώπου· πῶς λοιπὸν θὰ εἶχεν ὁ Υἱός; Ἔπειτα ὡς μὲν πρὸς ἡμᾶς, ἐπειδὴ εἴμεθα σύνθετοι, ἡ μορφὴ εἶναι χαρακτηριστικὸν τοῦ σώματος· ὡς πρὸς δὲ τὸ ἐντελῶς ἁπλοῦν καὶ ἀσύνθετον, τῆς οὐσίας. Ἐὰν δὲ τὸ νὰ ἔχῃ λεχθῆ χωρὶς ἄρθρον δὲν δεικνύει τὸν Πατέρα, εἰς πολλὰ σημεῖα δεικνύεται τοῦτο λεγόμενον χωρὶς ἄρθρον. Καὶ διατί λέγω εἰς πολλὰ σημεῖα; διότι ἀμέσως εἰς αὐτὸ τὸ ἴδιον τὸ χωρίον, «Δὲν ἐθεώρησε», λέγει, «ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς Θεόν»· καὶ δὲν εἶπε, «πρὸς τὸν Θεόν», λέγων διὰ τὸν Πατέρα. Θέλω νὰ προσθέσω καὶ τὰ ἰδικά μας, ἀλλὰ φοβοῦμαι μήπως ἐπισκοτίσωμεν τὰς διανοίας σας. Κατὰ πρῶτον δὲ νὰ ἐνθυμῆσθε αὐτὰ ποὺ ἔχουν λεχθῆ πρὸς ἀνασκευὴν ἐκείνων· πρωτίστως ἂς ἀποκόψωμεν τὰ ἀγκάθια, καὶ τότε θὰ σπείρωμεν τὸν σπόρον τὸν καλόν, ἀφοῦ ἀποκοποῦν τὰ ἀγκάθια καὶ ἀναπνεύσῃ ἐπ' ὀλίγον ἡ γῆ· διὰ νὰ δέχεται μὲ πολλὴν ἀρετὴν τὰ σπέρματα τοῦ θείου λόγου, ἀφοῦ ἀποβάλῃ ὅλην τὴν κακίαν ποὺ προέρχεται ἀπ' ἐκεῖ.

Ἂς εὐχαριστήσωμεν τὸν Θεὸν δι' ὅσα ἔχουν λεχθῆ· ἂς ἀξιώσωμεν νὰ φυλάσσῃ καὶ νὰ διατηρῇ αὐτά, διὰ νὰ εὐφραινώμεθα καὶ ἡμεῖς καὶ σεῖς, οἱ δὲ αἱρετικοὶ νὰ καταισχύνωνται. Ἂς παρακαλέσωμεν αὐτὸν καὶ εἰς τὸ μέλλον νὰ μᾶς ἀνοίξῃ τὸ στόμα, ὥστε καὶ τὰ ἰδικά μας πάλιν μὲ τὸν αὐτὸν ζῆλον νὰ παραδώσωμεν πρὸς φύλαξιν. Ἂς τὸν παρακαλέσωμεν, ὥστε νὰ μᾶς δώσῃ βίον ἄξιον τῆς πίστεως, διὰ νὰ ζῶμεν πρὸς δόξαν αὐτοῦ, διὰ νὰ μὴ βλασφημῆται ἐξ αἰτίας μας τὸ ὄνομά του. «Διότι ἀλλοίμονον εἰς σᾶς», λέγει, «ἐξ αἰτίας τῶν ὁποίων βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ»[18]. Διότι ἐὰν ἔχοντες υἱόν· καὶ ἀληθῶς τί εἶναι γνησιώτερον ἀπὸ τὸν υἱόν; Ἐὰν λοιπόν, ἔχοντες υἱὸν βλασφημούμεθα ἐξ αἰτίας του, ἀποκηρύσσωμεν αὐτόν, τὸν ἀποστρεφώμεθα, δὲν τὸν παραδεχώμεθα, πολὺ περισσότερον ὁ Θεός, ἐὰν ἔχῃ δούλους ἀγνώμονας, ποὺ βλασφημοῦν καὶ ὑβρίζουν αὐτόν, δὲν θὰ ἀποστραφῆ καὶ θὰ μισήσῃ αὐτούς;

καὶ ἀποστραφῇ, τίς προσλήψεται; Οὐδείς, ἀλλ' ἢ ὁ διάβολος, ἀλλ' ἢ οἱ δαίμονες· ὃν δ' ἂν οἱ δαίμονες λάβωσι, ποίαν ἕξει σωτηρίας ἐλπίδα; ποίαν παραμυθίαν ζωῆς; Ἕως ἂν ἐν τῇ χειρὶ ὦμεν τοῦ Θεοῦ, οὐδεὶς ἡμᾶς ἁρπάζειν δύναται· ἰσχυρὰ γάρ ἐστιν· ὅταν δὲ τῆς χειρὸς ἐκείνης ἐκπέσωμεν καὶ τῆς βοηθείας, ἀπολώλαμεν, πᾶσιν ἕτοιμοι προκείμεθα εἰς ἁρπαγήν, «ὡς τοῖχος κεκλιμένος καὶ φραγμὸς ὠσμένος». Ὅταν ᾖ ἀσθενὴς ὁ τοῖχος, εὐεπίβατος ἔσται πᾶσι

Μὴ γὰρ ἐπὶ τῆς Ἱερουσαλὴμ οἴεσθε τοῦτο λέγεσθαι μόνον, ὃ μέλλω λέγειν, ἀλλὰ καὶ ἐπὶ παντὸς ἀνθρώπου. Τί δὲ ἐπὶ τῆς Ἱερουσαλὴμ ἐλέγετο; «Ἄισω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου, τῷ ἀμπελῶνί μου. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι. Καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρήκ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. Καὶ νῦν ἄνθρωπος τοῦ Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. Τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. Νῦν οὖν ἀναγγελῶ ὑμῖν, τί ποιήσω τῷ ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ καὶ ἀναβήσονται εἰς αὐτόν, ὡς εἰς χέρσον, ἄκανθαι· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον· ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν· καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν».

---

19. Ψαλμ. 61, 4.
20. Ἡσ. 5, 1-7.

Ἐκεῖνον ὅμως ποὺ ὁ Θεὸς θὰ μισήσῃ καὶ θὰ ἀποστραφῇ, ποῖος θὰ τὸν προσλάβῃ; Κανείς, ἀλλὰ ἢ ὁ διάβολος ἢ οἱ δαίμονες. Ἐκεῖνος ὅμως ποὺ θὰ τὸν παραλάβουν οἱ δαίμονες, ποίαν ἐλπίδα σωτηρίας θὰ ἔχῃ; ποίαν παρηγορίαν διὰ τὴν ζωήν; Ἕως ὅτου θὰ εἴμεθα κάτω ἀπὸ τὴν προστασίαν τοῦ Θεοῦ, κανεὶς δὲν ἠμπορεῖ νὰ μᾶς ἁρπάζῃ, διότι εἶναι ἰσχυρὰ ἡ προστασία του· ὅταν ὅμως θὰ ἐκπέσωμεν ἀπὸ τὴν προστασίαν ἐκείνην καὶ τὴν βοήθειαν, ἔχομεν καταστραφῆ, εἴμεθα ἕτοιμοι νὰ μᾶς ἁρπάξουν ὅλοι, «ὡς τοῖχος κεκλιμένος καὶ φράκτης πεσμένος»[19]. Ὅταν ὁ τοῖχος εἶναι ἀδύνατος, θὰ εἶναι εὐάλωτος εἰς ὅλους.

Μὴ νομίζετε λοιπὸν ὅτι τοῦτο, ποὺ πρόκειται νὰ εἰπῶ, λέγεται μόνον διὰ τὴν Ἱερουσαλήμ, ἀλλὰ καὶ διὰ κάθε ἄνθρωπον. Τί δὲ ἐλέγετο διὰ τὴν Ἱερουσαλήμ; «Ἂς ψάλω λοιπὸν διὰ τὸν ἀγαπημένον τὸ προσφιλές μου ᾆσμα τοῦ ἀμπελῶνος μου. Ὁ ἀγαπημένος μου εἶχεν ἀμπελῶνα εἰς εὔφορον λόφον. Καὶ φράκτην ἐτοποθέτησα καὶ τὸν ὠχύρωσα καὶ τὸν ἐφύτευσα μὲ ἐκλεκτὰ κλήματα καὶ ἔκτισα παρατηρητήριον εἰς τὸ μέσον αὐτοῦ καὶ κατεσκεύασα ληνὸν εἰς αὐτὸν καὶ ἐπερίμενα νὰ κάμῃ σταφύλια, ἀλλ' ἔκαμε ἀγριοστάφυλα. Καὶ τώρα, ἄνδρες τοῦ Ἰούδα καὶ κάτοικοι τῆς Ἱερουσαλήμ, κρίνατε, μεταξὺ ἐμοῦ καὶ τοῦ ἀμπελῶνος μου. Τί ἔπρεπε νὰ κάμω εἰς τὸν ἀμπελῶνα μου, καὶ δὲν ἔκαμα εἰς αὐτόν; διότι ἐπερίμενα νὰ κάνῃ σταφύλια, ἀλλ' ἔκανε ἀγριοστάφυλα. Τώρα λοιπόν, θὰ σᾶς ἀναγγείλω, τί θὰ κάμω εἰς τὸν ἀμπελῶνα μου. Θὰ ἀφαιρέσω τὸν φράκτην του, ὥστε νὰ διαρπαγῇ, καὶ θὰ κατεδαφίσω τὸν τοῖχον του, ὥστε νὰ καταπατηθῇ. Καὶ θὰ καταστήσω αὐτὸν ἔρημον, καὶ δὲν θὰ κλαδευθῇ, οὔτε θὰ σκαφῇ· καὶ θὰ βλαστήσουν εἰς αὐτόν, ὅπως εἰς χέρσον τόπον, ἀγκάθια. Καὶ θὰ προστάξω τὰ σύννεφα νὰ μὴ βρέξουν βροχὴν εἰς αὐτόν. Διότι ὁ ἀμπελὼν τοῦ Κυρίου τῶν δυνάμεων, εἶναι ὁ οἶκος τοῦ Ἰσραήλ, καὶ οἱ ἄνδρες τοῦ Ἰούδα, εἶναι ἡ ἀγαπημένη του φυτεία· ἐπερίμενα διὰ νὰ κάμῃ κρίσιν, ἀλλ' ἔκαμεν ἀνομίαν, καὶ ὄχι δικαιοσύνην, ἀλλὰ κραυγήν»[20].

Τοῦτο καὶ ἐφ' ἑκάστης λέγεται ψυχῆς. Ὅταν γὰρ πάντα πληρώσῃ, ἃ ἐχρῆν, ὁ φιλάνθρωπος Θεός, εἶτα ποιήσῃ ἀκάνθας ἀντὶ σταφυλῆς, ἀφελεῖ τὸν φραγμόν, καὶ καθαιρεῖ τὸν τοῖχον, καὶ ἐσόμεθα εἰς διαρπαγήν. Ἄκουε γὰρ πῶς καὶ ἕτερος προφήτης ὀδυρόμενος ἔλεγεν· «Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν». Ἐκεῖ μὲν περὶ τοῦ Μήδου καὶ τοῦ Βαβυλωνίου φησίν· ἐνταῦθα δὲ περὶ τούτου οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ ὗς καὶ μονιὸς ὁ διάβολός ἐστι, καὶ πᾶσα αὐτοῦ ἡ δύναμις, διὰ τὸ ἄγριον καὶ ἀκάθαρτον αὐτοῦ τοῦ παραστήματος. Ὅταν μὲν γὰρ αὐτοῦ τὸ ἁρπακτικὸν βούληται δηλῶσαι, φησίν· «Ὡς λέων ὠρυόμενος περιέρχεται, ζητῶν τίνα καταπίῃ· ὅταν δὲ τὸ ἰοβόλον καὶ θανάσιμον καὶ ὀλέθριον, ὄφιν αὐτὸν καλεῖ καὶ σκορπίον· «Πατεῖτε», φησίν, «ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἀντικειμένου»· ὅταν δὲ τὸ ἰσχυρὸν ὁμοῦ καὶ ἰοβόλον, δράκοντα αὐτὸν καλεῖ, ὡς ὅταν λέγῃ· «Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ»· καὶ δράκοντα, καὶ ὄφιν σκολιόν, καὶ ἀσπίδα αὐτὸν καλεῖ πανταχοῦ. Πολύπλοκον γὰρ τὸ θηρίον καὶ ποικίλον, καὶ πολλὴν ἔχει τὴν ἰσχύν· πάντα κινεῖ, πάντα θορυβεῖ, πάντα ἄνω καὶ κάτω στρέφει.

Ἀλλὰ μὴ φοβηθῆτε, ἀλλὰ μὴ δείσητε· γρηγορεῖτε μόνον, καὶ ὡς στρουθίον ἔσται, φησί· «Πατεῖτε γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων». Καταπάτημα αὐτὸν τῶν ἡμετέρων ἐποίησε ποδῶν, ἂν βουλώμεθα. Ὅρα τοίνυν πόσος γέλως, πόση ἀθλιότης, ὃν ἐλάβομεν πατεῖν, τοῦτον ὁρᾶν ὑπὲρ κεφαλῆς ἑστῶτα τῆς ἡμετέρας. Πῶς δὲ τοῦτο γίνεται. Παρ' ἡμῶν ἂν ἡμεῖς βουλώμεθα, μέγας ἐστίν· ἂν ἡμεῖς βουλώμεθα γίνεται μικρός. Ἐὰν προσέχωμεν ἑαυτοῖς, καὶ μετὰ τοῦ βασιλέως ὦμεν τοῦ ἡμετέρου, συστέλλεται, καὶ παιδίου μικροῦ οὐδὲν

---

21. Ψαλμ. 79, 13 - 14.
22. Α' Πέτρ. 5, 8.
23. Λουκᾶ 10, 19.
24. Ψαλμ. 103, 26.

Αὐτὸ λέγεται καὶ διὰ κάθε ἄνθρωπον. Διότι ὅταν τελειώση τὰ πάντα, ποὺ ἔπρεπε, ὁ φιλάνθρωπος Θεὸς ἔπειτα θὰ κάμῃ ἀγκάθια ἀντὶ διὰ σταφύλια, θὰ ἀφαιρέσῃ τὸν φράκτην καὶ θὰ κατεδαφίσῃ τὸν τοῖχον καὶ θὰ εἴμεθα ἐκτεθειμένοι εἰς τὴν διαρπαγήν. Ἄκουε πῶς καὶ ἄλλος προφήτης ὀδυρόμενος ἔλεγε· «Διατί κατεκρέμνησες τὸν φράκτην αὐτῆς καὶ τρυγοῦν αὐτὴν ὅλοι οἱ διαβάται; Τὴν ἐρημώνει ὁ ἀγριόχοιρος, καὶ τὰ θηρία τοῦ ἀγροῦ τὴν νέμονται»[21]. Ἐκεῖ μὲν λέγει διὰ τοὺς Πέρσας καὶ τοὺς Βαβυλωνίους, ἐδῶ ὅμως δὲν εἶναι δυνατὸν νὰ εἰπῇ δι᾽ αὐτούς, ἀλλ᾽ ὁ ἀγριόχοιρος καὶ τὸ ἄγριον θηρίον εἶναι ὁ διάβολος καὶ ὅλη ἡ δύναμίς του, ἐπειδὴ τὸ παράστημά του εἶναι ἄγριον καὶ ἀκάθαρτον. Διότι ὅταν μὲν θέλῃ νὰ δηλώσῃ τὴν ἁρπακτικότητα αὐτοῦ λέγει· «Ὡσὰν λεοντάρι, ποὺ βρυχᾶται, περιφέρεται καὶ ζητεῖ ποῖον νὰ καταπιῇ»[22]· ὅταν δὲ δηλώνῃ τὸ δηλητηριῶδες καὶ τὸ θανάσιμον καὶ τὴν καταστρεπτικότητά του καλεῖ αὐτὸν ὄφιν καὶ σκορπιόν· «Διότι πατεῖτε», λέγει, «ἐπάνω εἰς τοὺς ὄφεις καὶ τοὺς σκορπιούς, καὶ ἐπάνω εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ»[23]· ὅταν δὲ τὴν δύναμιν καὶ τὸ δηλητηριῶδες συγχρόνως, καλεῖ αὐτὸν δράκοντα, καθὼς ὅταν λέγῃ· «Ὁ δράκων αὐτός, τὸν ὁποῖον ἔπλασες διὰ νὰ παίζῃ ἐντὸς αὐτῆς»[24], καὶ δράκοντα καὶ ὄφιν διεστραμμένον καὶ ἀσπίδα καλεῖ αὐτὸν παντοῦ. Πολύπλοκον λοιπὸν καὶ πολύμορφον εἶναι τὸ θηρίον καὶ ἔχει ἰσχυρὰν δύναμιν· τὰ πάντα κινεῖ, τὰ πάντα διαταράσσει, τὰ πάντα στρέφει ἄνω - κάτω.

Ἀλλὰ μὴ φοβηθῆτε, μὴ σᾶς καταλάβῃ ὁ τρόμος· μόνον ἀγρυπνεῖτε, καὶ θὰ εἶναι ὡς σπουργίτης λέγει· «Διότι πατεῖτε ἐπάνω εἰς τοὺς ὄφεις καὶ τοὺς σκορπιούς». Ἔκαμε νὰ καταπατοῦμεν αὐτὸν μὲ τὰ πόδια μας, ἐὰν θέλωμεν. Βλέπε λοιπὸν πόσον γέλιο, πόση ἀθλιότης ὑπάρχει· ἐκεῖνον ποὺ ἐλάβαμεν ὥστε νὰ πατοῦμεν, τοῦτον νὰ βλέπωμεν νὰ στέκεται ὑπεράνω τῆς κεφαλῆς μας. Πῶς δὲ γίνεται τοῦτο; Ἀπὸ ἡμᾶς, ἐὰν θέλωμεν, εἶναι μέγας· ἐὰν θέλωμεν, γίνεται μικρός. Ἐὰν προσέχωμεν τὸν ἑαυτόν μας, καὶ εἴμεθα μαζὶ μὲ τὸν ἰδικόν μας βασιλέα, συστέλλεται

ἄμεινον διακείσεται ἐν τῇ πρὸς ἡμᾶς μάχῃ· ὅταν ἀποστῶμεν αὐτοῦ, μεγάλα φυσᾷ, βρυχᾶται, τρίζει τοὺς ὀδόντας, ἅτε ἐρήμους ἡμᾶς τῆς μεγάλης συμμαχίας λαβών· οὐ γὰρ πρόσεισιν, ἐὰν μὴ συγχωρήσῃ ὁ Θεός. Εἰ γὰρ χοίρων ἀγέλαις οὐ κατετόλμησεν ἐπεμβῆναι, μὴ τοῦ Θεοῦ συγχωροῦντος, πολλῷ μᾶλλον ἀνθρώπων ψυχαῖς. Συγχωρεῖ δὲ ὁ Θεός, ἢ παιδεύων, ἢ δίκην ἀπαιτῶν, ἢ δοκιμωτέρους ποιῶν, ὡς τὸν Ἰώβ. Ὁρᾷς αὐτὸν μὴ προσερχόμενον, μηδὲ τολμῶντα γενέσθαι ἐγγύς, ἀλλὰ δεδοικότα καὶ τρέμοντα; Καὶ τί λέγω περὶ τὸν Ἰώβ; τῷ γὰρ Ἰούδᾳ ἐφαλλόμενος, οὐκ ἐτόλμησεν, ἕως αὐτὸν τοῦ ἱεροῦ χοροῦ ἀπέσχισεν ὁ Χριστός, λαβεῖν ὁλόκληρον, καὶ εἰσελθεῖν εἰς αὐτόν. Τότε μὲν οὖν ἔξωθεν προσέβαλλεν, ἔνδον δὲ εἰσελθεῖν οὐκ ἐτόλμα· ἐπειδὴ δὲ εἶδεν ἀποσχισθέντα τῆς ἱερᾶς ἀγέλης, παντὸς λύκου σφοδρότερον ἐφήλατο καὶ οὐ πρότερον ἀπέστη, ἕως αὐτὸν ἀνεῖλε θάνατον διπλοῦν.

Ταῦτα πρὸς νουθεσίαν ἡμῶν γέγραπται. Ἐπεὶ ποῖον κέρδος τὸ γνῶναι, ὅτι εἷς τῶν δώδεκα προέδωκε; ποία ὄνησις; ποία ὠφέλεια; Μεγάλη. Ὅταν γὰρ μάθωμεν πόθεν ἐκεῖνος ἐπὶ τὴν ὀλέθριον ταύτην ἦλθε βουλήν, φυλαττόμεθα καὶ αὐτοὶ μὴ τὰ αὐτὰ παθεῖν. Πόθεν οὖν ἦλθεν ἐπὶ τοῦτο; Ἀπὸ φιλαργυρίας· κλέπτης ἦν· τριάκοντα ἀργυρίων τὸν Κύριον προέδωκεν. Οὕτως ἐμέθυε τῷ πάθει· τὸν τῆς οἰκουμένης δεσπότην τριάκοντα ἀργυρίων προέδωκε. Τί τῆς μανίας ταύτης χεῖρον; Οὗ οὐδὲν ἀντάξιον οὐδὲ ἴσον, ᾧ τὰ ἔθνη εἰς οὐδὲν ἐλογίσθη, τοῦτον τριάκοντα ἀργυρίων προέδωκε. Χαλεπὴ γὰρ τῆς φιλαργυρίας ἡ τυραννίς, δεινὴ ψυχὴν ἐκστῆσαι. Οὐχ

καὶ κατὰ τὴν ἐναντίον μας μάχην δὲν θὰ συμπεριφέρεται καθόλου καλύτερον ἀπὸ μικρὸν παιδί. Ὅταν ἀπομακρυνθοῦμεν ἀπ' αὐτόν, διαστέλλεται πολύ, βρυχᾶται, τρίζει τὰ δόντια, ἐπειδὴ μᾶς συνέλαβε νὰ εἴμεθα ἐστερημένοι τῆς μεγάλης συμμαχίας, καθόσον δὲν ἐπιτίθεται, ἐὰν δὲν θὰ ἐπιτρέψῃ ὁ Θεός. Ἐὰν βέβαια δὲν ἐτόλμησε νὰ εἰσέλθῃ εἰς τὰς ἀγέλας τῶν χοίρων, ἐπειδὴ ὁ Θεὸς δὲν τὸν ἐπέτρεψε, πολὺ περισσότερον δὲν θὰ εἰσέλθῃ εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων. Ἐπιτρέπει δὲ ὁ Θεὸς ἢ ὅταν σωφρονίζῃ ἢ ὅταν ἀπαιτῇ ἱκανοποίησιν ἢ ὅταν δοκιμάζῃ περισσότερον, ὅπως τὸν Ἰώβ. Βλέπεις αὐτὸν νὰ μὴ πλησιάζῃ, οὔτε νὰ τολμᾷ νὰ ἔλθῃ πλησίον, ἀλλὰ νὰ φοβῆται καὶ νὰ τρέμῃ; Καὶ διατί λέγω διὰ τὸν Ἰώβ; Διότι ἐπιτιθέμενος ὁ διάβολος ἐναντίον τοῦ Ἰούδα, δὲν ἐτόλμησε νὰ τὸν ἁρπάξῃ ὁλόκληρον καὶ νὰ εἰσέλθῃ εἰς αὐτόν, ἕως ὅτου ἀπέκοψεν αὐτὸν ὁ Χριστὸς ἀπὸ τὴν ἱερὰν ὁμάδα τῶν μαθητῶν. Τότε λοιπὸν τὸν προσέβαλλεν ἔξωθεν, ὅμως δὲν ἐτολμοῦσε νὰ εἰσέλθῃ ἐντὸς αὐτοῦ. Ὅταν ὅμως τὸν εἶδε νὰ εἶναι ἀποκομμένος ἀπὸ τὴν ἱερὰν ὁμάδα, ἐπετέθη ὁρμητικώτερον ἀπὸ κάθε λύκον, καὶ δὲν ἀπεμακρύνθη πρωτύτερον, ἀλλὰ τότε μόνον, ὅταν ἐφόνευσεν αὐτὸν μὲ διπλοῦν θάνατον.

Αὐτὰ εἶναι γεγραμμένα διὰ νὰ μᾶς νουθετοῦν. Διότι ποῖον εἶναι τὸ κέρδος τὸ νὰ γνωρίσωμεν, ὅτι ἕνας ἀπὸ τοὺς δώδεκα μαθητὰς ἦτο ὁ προδότης; ποία ἡ χρησιμότης; ποία ἡ ὠφέλεια; Μεγάλη. Διότι ὅταν μάθωμεν ἀπὸ ποίαν αἰτίαν ἐσκέφθη ἐκεῖνος τὴν ὀλέθριον αὐτὴν σκέψιν, προφυλασσόμεθα καὶ ἡμεῖς οἱ ἴδιοι μήπως πάθωμεν τὰ ἴδια. Ἀπὸ ποίαν λοιπὸν αἰτίαν ἀπεφάσισε τοῦτο; Ἀπὸ τὴν φιλαργυρίαν· κλέπτης ἦτο· παρέδωσε τὸν Κύριον διὰ τριάκοντα ἀργύρια. Ἔτσι ἐμέθυεν εἰς τὸ πάθος του· τὸν Κύριον τῆς οἰκουμένης παρέδωσε διὰ τριάκοντα ἀργύρια. Τί ὑπάρχει χειρότερον ἀπὸ τὴν μανίαν αὐτήν; Ἐκεῖνον πρὸς τὸν ὁποῖον τίποτε δὲν εἶναι ἀντάξιον, οὔτε ἴσον, πρὸς τὸν ὁποῖον συγκρινόμενα τὰ ἔθνη θεωροῦνται μηδέν, τοῦτον παρέδωσε διὰ τριάκοντα ἀργύρια. Διότι ἡ τυραννὶς τῆς φιλαργυρίας εἶναι δύσκολος, φοβερὰ διὰ νὰ μεταβάλῃ τὴν

οὕτω τις ὑπὸ τῆς μέθης παραπλὴξ γίνεται, ὡς ὑπὸ φιλαργυρίας· οὐχ οὕτως ὑπὸ μανίας καὶ παραπληξίας, ὡς ὑπὸ φιλαργυρίας. Τί γάρ, εἰπέ μοι; Ἄσημον ὄντα σε καὶ ἀγνῶτα ἐκάλεσε, καὶ ἕνα τῶν δώδεκα ἐποίησε, διδασκαλίας σοι μετέδωκεν, ὑπέσχετο μυρία ἀγαθά, θαύματά σε ἐργάζεσθαι πεποίηκε, τραπέζης, ὁδῶν, ὁμιλίας, συνουσίας, πάντων ἐκοινώνησας, ὧν καὶ οἱ λοιποί. Ταῦτα οὐκ ἦν ἱκανὰ κατασχεῖν; Τίνος ἕνεκεν προέδωκας; τί ἔχων ἐγκαλεῖν ὦ μιαρέ; τί δὲ οὐκ εὖ παθών; Ἤδει σου τὴν διάνοιαν, οὐκ ἐπαύσατο τὰ παρ' ἑαυτοῦ εἰσφέρων· πολλάκις εἶπεν, ὅτι «Εἷς ἐξ ὑμῶν παραδώσει με»· πολλάκις ἔστιξε, καὶ ἐφείσατό σου, καὶ εἰδώς σε τοιοῦτον, οὐκ ἐξέβαλε τοῦ χοροῦ· ἔτι διεβάσταζεν, ἔτι ὡς γνήσιον καὶ ἕνα τῶν δώδεκα, οὕτως ἐτίμα, οὕτως ἐφίλει. Τὸ τελευταῖον, ὦ τῆς μιαρίας, καὶ λέντιον λαβὼν ἔνιψε ταῖς ἀχράντοις ἐκείναις χερσὶ τοὺς μιαρούς σου πόδας, καὶ οὐδὲ τοῦτό σε κατέσχεν. Ἔκλεπτες τὰ τῶν πενήτων· καὶ ἵνα μὴ προέλθῃς εἰς μεῖζον κακόν, καὶ τοῦτο ἔφερεν· οὐδέν σε ἔπεισεν. Εἰ γὰρ θηρίον ἦς, εἰ γὰρ λίθος, οὐ ταῖς εὐεργεσίαις ταῖς εἰς σέ, οὐ τοῖς θαύμασιν, οὐ ταῖς διδασκαλίαις μετεβλήθης; Ἀλλὰ καὶ οὕτως ἐκτεθηριωμένον ἐκάλει, καὶ διὰ τῶν θαυμασίων ἔργων ἐπήγετο τὸν λίθον ἀναισθητότερον. Σὺ δὲ οὐδενὶ τούτων γέγονας βελτίων.

Θαυμάζετε ἴσως τὴν τοσαύτην ἄνοιαν τοῦ προδότου· οὐκοῦν φοβήθητε τὸ ἐκείνου τραῦμα. Ἀπὸ φιλαργυρίας τοιοῦτος ἐγένετο, ἀπὸ τοῦ τῶν χρημάτων ἔρωτος. Ἔκκοψον τὸ πάθος· τοιαῦτα γὰρ τίκτει νοσήματα· ἀσεβεῖς ποιεῖ, καὶ τὸν Θεὸν ἀγνοεῖν παρασκευάζει, κἂν μυριάκις εὐεργετηθῶμεν. Ἔκκοψον, παρακαλῶ· οὐκ ἔστι τῶν τυχόντων· θανάτους οἶδε τίκτειν ὀλεθρίους μυρίους. Εἴδομεν τὸ ἐκείνου πάθος· φοβη-

---

25. Ματθ. 26, 21.

ψυχήν. Κανεὶς δὲν γίνεται τόσον παράφρων ἀπὸ τὴν μέθην, ὅπως ἀπὸ τὴν φιλαργυρίαν, ὄχι τόσον ἀπὸ τὴν μανίαν καὶ τὴν παραφροσύνην, ὅπως ἀπὸ τὴν φιλαργυρίαν. Διατί λοιπόν; εἰπέ μου. Ἂν καὶ ἦσο ἄσημος καὶ ἀφανὴς σὲ ἐκάλεσε, καὶ σὲ ἐδέχθη ὡς ἕνα ἀπὸ τοὺς δώδεκα μαθητάς του, μετέδωσεν εἰς σὲ διδασκαλίας, ὑπέσχετο μύρια ἀγαθά, σὲ ἔκαμε νὰ ἐνεργῇς θαύματα, ἔλαβες μέρος, ὅπως καὶ οἱ ὑπόλοιποι, εἰς τράπεζαν, ὁδοιπορίας, ὁμιλίας, συγκεντρώσεις, εἰς τὰ πάντα. Δὲν ἦσαν ἀρκετὰ αὐτὰ νὰ σὲ συγκρατήσουν; Διὰ ποῖον λόγον τὸν παρέδωσες; διατί ἠμπορεῖς νὰ κατηγορῇς, μιαρέ; δὲν εὐεργετήθης; Ἐγνώριζε τὴν σκέψιν σου, δὲν ἔπαυσε νὰ εἰσφέρῃ τὰ ἰδικά του· πολλὰς φορὰς εἶπεν, ὅτι «ἕνας ἀπὸ σᾶς θὰ μὲ παραδώσῃ»[25]· πολλὰς φορὰς σὲ ἐπέκρινε καὶ σὲ ηὐσπλαγχνίσθη, καὶ ἐνῷ σὲ ἐγνώριζεν ὡς τοιοῦτον, δὲν σὲ ἀπεμάκρινε ἀπὸ τὴν ὁμάδα τῶν μαθητῶν· ἀκόμη σὲ εἶχε μαζί του, ἀκόμη ὡς γνήσιον καὶ ἕνα ἀπὸ τοὺς δώδεδα ἔτσι σὲ ἐκτιμοῦσε, ἔτσι σὲ ἀγαποῦσε. Τὸ τελευταῖον, ἀχρεῖε, καὶ ἐμπροσθέλλαν ἀφοῦ ἔλαβεν ἔνιψε μὲ τὰ ἄχραντα ἐκεῖνα χέρια τὰ ἀχρεῖα πόδια σου, καὶ οὔτε τοῦτο σὲ συνεκράτησεν. Ἔκλεπτες ἐκεῖνα ποὺ ἐπρόσφεραν οἱ πτωχοί· καὶ διὰ νὰ μὴ φθάσῃς εἰς μεγαλύτερον κακόν, καὶ τοῦτο ὑπέφερε. Τίποτε δὲν σὲ ἔπεισεν. Ἐὰν βέβαια ἦσο θηρίον, ἐὰν ἦσο πέτρα δὲν ἔπρεπε νὰ ἀλλάξῃς συμπεριφορὰν ἀπὸ τὰς πρὸς σὲ εὐεργεσίας, ἀπὸ τὰ θαύματα, ἀπὸ τὰς διδασκαλίας; Ἀλλὰ καὶ ἔτσι ἐξαγριωμένον σὲ ἐκαλοῦσε καὶ μὲ τὰ θαύματά του καθωδηγοῦσε τὸν ἀναισθητότερον τῶν λίθων. Σὺ ὅμως μὲ τίποτε ἀπ' αὐτὰ δὲν ἔγινες καλύτερος.

Θαυμάζετε ἴσως τὴν τόσον μεγάλην μωρίαν τοῦ προδότου. Φοβηθῆτε λοιπὸν τὸ τραῦμα ἐκείνου. Ἀπὸ τὴν φιλαργυρίαν του ἔγινε τέτοιος, ἀπὸ τὸν ἔρωτα τῶν χρημάτων. Κόψε ἐντελῶς τὸ πάθος, διότι γεννᾷ αὐτὰ τὰ νοσήματα· κάμνει ἀσεβεῖς, καὶ μᾶς προετοιμάζει νὰ ἀγνοοῦμεν τὸν Θεόν, ἔστω καὶ ἂν ἔχωμεν εὐεργετηθῆ ἀπείρους φοράς. Κόψε ἐντελῶς αὐτό, παρακαλῶ, δὲν εἶναι ἀπὸ τὰ ἁπλᾶ πάθη· ἔχει τὴν δύναμιν νὰ γεννᾷ πολλοὺς ὀλεθρίους

θῶμεν μὴ τοῖς αὐτοῖς αὐτοὶ περιπέσωμεν. Διὰ τοῦτο γέγραπται, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν καὶ ἡμεῖς· διὰ τοῦτο πάντες οἱ εὐαγγελισταὶ τοῦτο διηγήσαντο, ἵνα ἡμᾶς σωφρονίσωσι. Πόρρωθεν φεῦγε. Οὐκ ἔστι τοῦτο μόνον φιλαργυρία, τὸ πολλῶν ἐρᾶν, ἀλλὰ τὸ ὅλως χρημάτων ἐρᾶν. Φιλαργυρία δεινή, τὸ πλέον τῆς χρείας αἰτεῖν. Μὴ γὰρ τάλαντα χρυσοῦ ἦν τότε τὰ πείσαντα τὸν προδότην; τριάκοντα ἀργυρίων αὐτὸν προέδωκεν. Ἆρα μέμνησθε, ὅτε ἔλεγον πρὸ τούτου, ὅτι οὐκ ἐν τῷ λαμβάνειν πολλὰ ἡ πλεονεξία δείκνυται, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ ὀλίγα; Ἰδοὺ ὅσον κακὸν οὗτος εἰργάσατο δι' ὀλίγον χρυσίον· μᾶλλον δὲ οὐ διὰ χρυσίον, ἀλλὰ δι' ἀργύρια. Οὐκ ἔστιν, οὐκ ἔστιν ἄνδρα φιλάργυρον ἰδεῖν ποτε τοῦ Χριστοῦ τὸ πρόσωπον· ἓν τῶν ἀδυνάτων τοῦτο. Ρίζα ἐστὶ τῶν κακῶν. Εἰ δὲ ἕν τις ἔχων κακόν, ἐκπίπτει τῆς δόξης ἐκείνης, ὁ τὴν ρίζαν ἐπιφερόμενος ποῦ στήσεται; Οὐκ ἔστι τὸν χρημάτων ὄντα δοῦλον, δοῦλον εἶναι Χριστοῦ γνήσιον. Αὐτὸς ὁ Χριστὸς ἀπεφήνατο, ὅτι τὸ πρᾶγμα ἀδύνατον. «Οὐ δύνασθε», φησί, «Θεῷ δουλεύειν καὶ μαμωνᾷ»· καί, «Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν»· ἐναντία γὰρ ἐπιτάττουσιν. Ὁ Χριστὸς λέγει, φείδου τῶν πενομένων· ὁ μαμωνᾶς λέγει, ἀπόδυσον καὶ αὐτὰ ἃ ἔχουσιν· ὁ Χριστὸς λέγει, κένωσον ἅπερ ἔχεις· ὁ μαμωνᾶς λέγει, λάβε καὶ ἅπερ οὐκ ἔχεις.

Εἶδες ἐναντίωσιν, εἶδες πόλεμον; πῶς οὐ δύναταί τις ρᾳδίως ἀμφοτέρων ὑπακούειν, ἀλλ' ἑνὸς δεῖ καταφρονῆσαι; ἢ οὐ δεῖ λόγου; Πῶς; Ἐν τοῖς ἔργοις οὐχ ὁρῶμεν τοῦτο, τὸν Χριστὸν μὲν καταφρονούμενον, τὸν δὲ μαμωνᾶν τιμώμενον; Ὁρᾶτε πῶς καὶ τὰ ρήματα φορτικά; πόσῳ μᾶλλον τὰ

---

26. Ματθ. 6, 24.

θανάτους. Ἐγνωρίσαμεν τὸ πάθος ἐκείνου. Ἂς φοβηθοῦμεν μήπως περιπέσωμεν καὶ ἡμεῖς εἰς τὰ ἴδια. Διὰ τοῦτο εἶναι γεγραμμένα, διὰ νὰ μὴ πάθωμεν καὶ ἡμεῖς τὰ ἴδια· διὰ τοῦτο ὅλοι οἱ εὐαγγελισταὶ διηγήθησαν τοῦτο διὰ νὰ μᾶς σωφρονίσουν. Φεῦγε μακρυά. Δὲν εἶναι τοῦτο φιλαργυρία μόνον, τὸ νὰ ἐπιθυμοῦμεν μὲ πάθος τὰ πολλά, ἀλλὰ τὸ νὰ ἐπιθυμοῦμεν ἐξ ὁλοκλήρου τὰ χρήματα. Εἶναι φιλαργυρία δεινή, τὸ νὰ ζητοῦμεν τὸ περισσότερον ἀπὸ τὴν ἀνάγκην μας. Διότι μήπως ἦσαν τότε τὰ χρυσᾶ τάλαντα ποὺ παρεκίνησαν τὸν προδότην; Παρέδωσεν αὐτὸν διὰ τριάκοντα ἀργύρια. Ἆρα ἐνθυμεῖσθε, ὅταν ἔλεγα πρὶν ἀπ' αὐτό, ὅτι ἡ πλεονεξία δὲν ἀποδεικνύεται εἰς τὸ νὰ λαμβάνῃ κανεὶς πολλά, ἀλλὰ πολὺ περισσότερον εἰς τὸ νὰ λαμβάνῃ ὀλίγα; Ἰδοὺ πόσον μέγα κακὸν ἐπροξένησεν αὐτὸς δι' ὀλίγα χρυσᾶς νομίσματα, μᾶλλον δὲ ὄχι διὰ χρυσᾶ, ἀλλὰ διὰ ἀργύρια. Δὲν εἶναι δυνατόν, ποτὲ δὲν εἶναι δυνατὸν νὰ ἰδῇ ὁ φιλάργυρος τὸ πρόσωπον τοῦ Χριστοῦ· τοῦτο εἶναι ἕνα κακὸν τῶν ἀδυνάτων ἀνθρώπων. Εἶναι ρίζα τῶν κακῶν. Ἐὰν δὲ ἐκεῖνος ποὺ ἔχει ἕνα κακόν, ἐκπίπτῃ ἀπὸ τὴν δόξαν ἐκείνην, ὁ εὑρισκόμενος ἐπάνω εἰς τὴν ρίζαν τῶν κακῶν ποῦ θὰ σταθῇ; Δὲν ἠμπορεῖ ἐκεῖνος ποὺ εἶναι δοῦλος τῶν χρημάτων, νὰ εἶναι γνήσιος δοῦλος τοῦ Χριστοῦ. Ὁ ἴδιος ὁ Χριστὸς ἀπεφάνθη, ὅτι τοῦτο τὸ πρᾶγμα εἶναι ἀδύνατον. «Δὲν ἠμπορεῖτε», λέγει, «νὰ εἶσθε συγχρόνως δοῦλοι καὶ τοῦ Θεοῦ καὶ τοῦ μαμωνᾶ»[28]· καί, «Κανεὶς δὲν ἠμπορεῖ νὰ εἶναι δοῦλος συγχρόνως εἰς δύο κυρίους», διότι διατάσσουν τὰ ἀντίθετα. Ὁ Χριστὸς λέγει, νὰ φροντίζῃς τοὺς πτωχούς· ὁ μαμωνᾶς λέγει, νὰ ἁρπάξῃς καὶ αὐτὰ ποὺ ἔχουν. Ὁ Χριστὸς λέγει, νὰ ἐγκαταλείψῃς ἐκεῖνα ποὺ ἔχεις· ὁ μαμωνᾶς λέγει, νὰ λάβῃς καὶ ἐκεῖνα ποὺ δὲν ἔχεις.

Εἶδες ἀντίθεσιν, εἶδες πόλεμον; Πῶς δὲν ἠμπορεῖ κανεὶς νὰ ὑπακούῃ εὐκόλως καὶ εἰς τοὺς δύο, ἀλλὰ πρέπει νὰ καταφρονήσῃ τὸν ἕνα; ἢ δὲν ἔχει ἀνάγκην ἀπὸ λόγους; Πῶς; Δὲν βλέπομεν τοῦτο εἰς τὴν πρᾶξιν, ὁ μὲν Χριστὸς νὰ καταφρονῆται, ὁ δὲ μαμωνᾶς νὰ τιμᾶται; Βλέπετε πῶς καὶ αἱ λέξεις εἶναι φορτικαί; πόσῳ μᾶλλον τὰ

πράγματα; Ἀλλ᾽ ἐπὶ τῶν πραγμάτων οὐ φαίνεται φορτικὰ ὁμοίως, ἐπειδὴ τῷ πάθει κατεχόμεθα. Νῦν μὲν γὰρ κἂν ὀλίγον ᾖ καθαρεύουσα τοῦ πάθους ἡ ψυχή, ἕως ἂν ἐνταῦθα ἑστήκῃ, δύναται κρίνειν ὀρθῶς· ἐκεῖ δὲ ἀπελθοῦσα καὶ κατασχεθεῖσα τῷ πυρετῷ, καὶ ἐν τῇ ἡδονῇ τοῦ πράγματος γενομένη, οὐκ ἔχει καθαρὸν τὸ κριτήριον, οὐκ ἔχει τὸ δικαστήριον ἀδέκαστον. Ὁ Χριστός φησιν, «Ἐὰν μή τις ἀποτάξηται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου μαθητής»· ὁ μαμωνᾶς φησι, λάβε ἀπὸ τοῦ πεινῶντος τὸν ἄρτον· ὁ Χριστὸς λέγει, περίβαλε τὸν γυμνόν· οὗτος λέγει, τὸν γυμνὸν ἀπόδυσον· ὁ Χριστὸς λέγει, τοὺς οἰκείους τοῦ σπέρματός σου οὐκ ὑπερόψει· ὁ μαμωνᾶς λέγει, οὐκ ἐλεήσεις τοὺς οἰκείους τοῦ σπέρματός σου· κἂν μητέρα ἴδῃς, κἂν πατέρα, καταφρόνει. Καὶ τί λέγω πατέρα καὶ μητέρα; καὶ τῆς σαυτοῦ ψυχῆς, καὶ ταύτην ἀπόλλυε· ἀλλ᾽ ὅμως ἀκούεται. Οἴμοι, ὁ τὰ ὠμὰ καὶ ἀπηνῆ καὶ θηριώδη προστάττων ἀκούεται μᾶλλον τοῦ τὰ ἐπιεικῆ καὶ σωτήρια ἡμῖν κελεύοντος. Διὰ τοῦτο γέεννα, διὰ τοῦτο πῦρ, διὰ τοῦτο ποταμὸς πυρός, διὰ τοῦτο σκώληξ ἀτελεύτητος.

Οἶδα ὅτι πολλοὶ ταῦτα οὐχ ἡδέως ἀκούουσιν ἡμῶν λεγόντων. Οὐδὲ γὰρ ἐγὼ ἡδέως αὐτὰ λέγω· τίς γὰρ χρεία ταῦτα λέγειν; Ἐβουλόμην τὰ περὶ βασιλείας ὑμῖν ἀεὶ διηγεῖσθαι, τὴν ἀνάπαυσιν, τὸ ὕδωρ τὸ τῆς ἀναπαύσεως, τὸν τόπον τῆς χλόης. «Ἐπὶ ὕδατος γάρ», φησίν, «ἀναπαύσεως ἐξέθρεψέ με, καὶ εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσε». Ἐβουλόμην περὶ τοῦ τόπου λέγειν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ἐβουλόμην διηγεῖσθαι τῆς τοῦ Χριστοῦ συνουσίας τὴν ἡδονήν· καίτοιγε πάντα ὑπερβαίνει λόγον, καὶ πάντα νοῦν· ἀλλ᾽ ὅμως κατὰ δύναμιν ἐβουλόμην ταῦτα λέγειν. Ἀλλὰ τί πάθω; Οὐκ ἔνι τῷ πυρέττοντι καὶ κακῶς

---

27. Λουκᾶ 14, 33. Πρβλ. καὶ Ἡσ. 58, 7.
28. Ψαλμ. 22, 2.

πράγματα; Ἀλλ' ὅσον ἀφορᾷ τὰ πράγματα δὲν φαίνονται ἐξ ἴσου φορτικά, ἐπειδὴ κατεχόμεθα ἀπὸ τὸ πάθος. Τώρα μὲν ἐὰν ἡ ψυχὴ εἶναι ὀλίγον καθαρὰ ἀπὸ τὸ πάθος, ἕως ὅτου θὰ εὑρίσκεται ἐδῶ, ἠμπορεῖ νὰ κρίνῃ ὀρθῶς˙ ὅταν ὅμως ἀπέλθῃ ἐκεῖ καὶ εἶναι ὑπὸ τὴν κατοχὴν τοῦ πυρετοῦ καὶ εἰς τὴν ἡδονὴν τοῦ πράγματος, δὲν ἔχει καθαρὸν τὸ κριτήριον, δὲν ἔχει τὸ δικαστήριον ἀδέκαστον. Ὁ Χριστὸς λέγει˙ «Ἐὰν κάποιος δὲν ἀπαρνηθῇ ὅλα τὰ ὑπάρχοντά του, δὲν εἶναι μαθητής μου»[27]˙ ὁ μαμωνᾶς λέγει, νὰ ἁρπάξῃς τὸν ἄρτον ἀπ' αὐτὸν ποὺ πεινᾷ. Ὁ Χριστὸς λέγει, ἔνδυσε τὸν γυμνόν˙ αὐτὸς λέγει, ἔκδυσε τὸν γυμνόν. Ὁ Χριστὸς λέγει, νὰ μὴ περιφρονήσῃς τοὺς συγγενεῖς τῆς οἰκογενείας σου˙ ὁ μαμωνᾶς λέγει, νὰ μὴ ἐλεήσῃς τοὺς συγγενεῖς σου, καὶ εἴτε ἴδῃς τὴν μητέρα, καὶ εἴτε τὸν πατέρα, νὰ τοὺς περιφρονῇς. Καὶ διατί λέγω πατέρα καὶ μητέρα; καὶ τὴν ψυχήν σου, καὶ αὐτὴν νὰ καταστρέψῃς ἐντελῶς˙ ἀλλ' ὅμως ἀκούεται. Ἀλλοίμονον, ἐκεῖνος ποὺ προστάζει τὰ σκληρά, τὰ ἀπηνῆ καὶ τὰ θηριώδη ἀκούεται περισσότερον ἀπ' αὐτὸν ποὺ προτρέπει τὰ ἐπιεικῆ καὶ σωτήρια. Διὰ τοῦτο θὰ ὑπάρξῃ ἡ γέεννα, διὰ τοῦτο τὸ πῦρ, διὰ τοῦτο ὁ ποταμὸς τοῦ πυρός, διὰ τοῦτο ὁ αἰώνιος σκώληξ τῆς Κολάσεως.

Γνωρίζω ὅτι πολλοὶ δὲν ἀκούουν μὲ εὐχαρίστησιν αὐτά, ποὺ λέγομεν. Οὔτε ἐγὼ βέβαια λέγω αὐτὰ μὲ εὐχαρίστησιν. Ποία λοιπὸν ἀνάγκη ὑπάρχει διὰ νὰ λέγω αὐτά; Ἤθελα νὰ διηγοῦμαι πάντοτε εἰς σᾶς τὰ περὶ τῆς Βασιλείας τῶν Οὐρανῶν, τὴν ἀνάπαυσιν, τὸ ὕδωρ τῆς ἀναπαύσεως, τὸν τόπον τῆς χλόης. «Διότι μὲ ἐξέθρεψε», λέγει, εἰς δροσερὰ ὕδατα, καὶ εἰς χλοερὰ λιβάδια ἐκεῖ μὲ κατεσκήνωσεν»[28]. Ἤθελα νὰ ὁμιλῶ διὰ τὸν τόπον, ὅπου ἀπέδρα ἡ ὀδύνη καὶ ἡ λύπη καὶ ὁ στεναγμός. Ἤθελα νὰ διηγοῦμαι τὴν εὐχαρίστησιν ποὺ προέρχεται ἀπὸ τὴν συναναστροφὴν μὲ τὸν Χριστόν, ἂν καὶ βεβαίως ὑπερβαίνει κάθε λόγον καὶ κάθε νοῦν˙ πράγματι, ὅσον ἠμπορῶ, ἤθελα νὰ λέγω αὐτά. Ἀλλὰ τί ἠμπορῶ νὰ πράξω; Δὲν ἐπιτρέπεται εἰς ἐκεῖνον ποὺ ἔχει πυρετὸν καὶ εὑρίσκεται εἰς κακὴν κα-

διακειμένῳ περὶ βασιλείας λέγειν· τέως γὰρ περὶ ὑγείας χρὴ διαλέγεσθαι. Οὐκ ἔνι τῷ δίκης ὑπευθύνῳ περὶ τιμῆς διαλέγεσθαι· τέως γὰρ τὸ ζητούμενον, δίκης ἀπαλλαγῆναι, καὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας· ἂν μὴ τοῦτο γένηται, πῶς ἐκεῖνο ἔσται; Διὰ τοῦτο ταῦτα λέγω συνεχῶς, ἵνα ἐπ' ἐκεῖνα ἔλθωμεν ταχέως. Καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο γέενναν ἠπείλησεν, ἵνα μηδεὶς εἰς γέενναν ἐμπέσῃ, ἵνα πάντες βασιλείας ἐπιτύχωμεν. Καὶ ἡμεῖς διὰ τοῦτο συνεχῶς γεέννης μεμνήμεθα, ἵνα πρὸς τὴν βασιλείαν ὑμᾶς ὠθήσωμεν, ἵνα τῷ φόβῳ μαλάξαντες ὑμῶν τὴν διάνοιαν, παρασκευάσωμεν ἄξια τῆς βασιλείας ποιεῖν.

Μὴ τοίνυν δυσχεραίνετε πρὸς τὸ τῶν ῥημάτων βαρύ· τὸ γὰρ βαρὺ τῶν ῥημάτων τοῦτο κούφας ἡμῖν ἐργάζεται ἀπὸ τῶν ἁμαρτημάτων τὰς ψυχάς. Ἐπεὶ καὶ ὁ σίδηρος βαρύς ἐστι, καὶ ἡ σφῦρα βαρεῖα, ἀλλὰ κατασκευάζει σκεύη εὔχρηστα χρυσᾶ καὶ ἀργυρᾶ, καὶ τὰ διεστραμμένα ὀρθοῖ· ὡς εἰ μὴ βαρεῖα ἦν, οὐκ ἂν ἴσχυσε διορθῶσαι τὴν διεστραμμένην ὕλην. Οὕτω καὶ ὁ λόγος ἡμῶν ὁ βαρὺς ῥυθμίσαι τὴν ψυχὴν ἰσχύει. Μὴ τοίνυν φεύγωμεν τὴν βαρύτητα τῶν ῥημάτων, μηδὲ τὰς ἀπὸ τούτων πληγάς. Οὐχ ἵνα διακλάσῃ, οὐδ' ἵνα διαθρύψῃ τὴν ψυχήν, καταφέρεται ἡ πληγή, ἀλλ' ἵνα διορθώσηται. Οἴδαμεν πῶς πλήττομεν, πῶς ἐπάγομεν τὴν πληγὴν τῇ τοῦ Θεοῦ χάριτι, ὥστε μὴ συντρῖψαι τὸ σκεῦος, ἀλλ' ὥστε λεᾶναι, ὥστε ὀρθῶσαι, ὥστε ποιῆσαι εὔχρηστον τῷ δεσπότῃ, ὥστε αὐτὸ προσενεγκεῖν ἀποστίλβον τὴν ὑγείαν, καλῶς ἐκτετορνευμένον κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν ὁ ποταμὸς τοῦ πυρός, ὥστε προσενεγκεῖν μὴ δεόμενον τῆς ἐκεῖ πυρᾶς. Ἂν γὰρ μὴ πυρώσωμεν ὑμᾶς ἐνταῦθα, ἀνάγκη πάντως πυρωθῆναι ἐκεῖ, καὶ οὐκ ἔνι ἄλλως· «Ἡ γὰρ ἡμέρα Κυρίου ἐν πυρὶ ἀποκαλύπτεται». Κρεῖσσον τοῖς ἡμετέροις

---

29. Α' Κορ. 3, 13.

τάστασιν νὰ ὁμιλῇ περὶ βασιλείας, διότι κατὰ πρῶτον πρέπει νὰ ὁμιλῇ περὶ ὑγείας. Δὲν ἐπιτρέπεται εἰς τὸν ὑπόλογον δίκης νὰ ὁμιλῇ περὶ τιμῆς, διότι τὸ ζήτημα εἶναι πρωτίστως νὰ ἀπαλλαγῇ τῆς δίκης καὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας· ἂν δὲν γίνῃ τοῦτο, πῶς θὰ συμβῇ ἐκεῖνο; Διὰ τοῦτο συνεχῶς λέγω αὐτά, διὰ νὰ ἔλθωμεν ταχέως εἰς ἐκεῖνα. Καὶ ὁ Θεὸς βεβαίως διὰ τοῦτο ἠπείλησε τὴν γέενναν, διὰ νὰ μὴ πέσῃ κανεὶς εἰς τὴν γέενναν, διὰ νὰ ἐπιτύχωμεν ὅλοι τὴν Βασιλείαν τοῦ Θεοῦ. Καὶ ἡμεῖς διὰ τοῦτο συνεχῶς ὑπενθυμίζομεν τὴν γέενναν, διὰ νὰ σᾶς ὠθήσωμεν πρὸς τὴν Βασιλείαν τοῦ Θεοῦ, διὰ νὰ σᾶς προετοιμάσωμεν νὰ ἐνεργῆτε ἄξια τῆς Βασιλείας τοῦ Θεοῦ, ἀφοῦ καταπραΰνωμεν μὲ τὸν φόβον τὴν διάνοιάν σας.

Μὴ δυσανασχετεῖτε λοιπὸν ὡς πρὸς τὸ βαρὺ τῶν λόγων, διότι τὸ βαρὺ τοῦτο τῶν λόγων κάμνει εἰς ἡμᾶς ἐλαφρὰς ἀπὸ τὰς ἁμαρτίας τὰς ψυχάς. Ἐπειδὴ καὶ ὁ σίδηρος εἶναι βαρὺς καὶ ἡ σφῦρα βαρεῖα, ἀλλὰ κατασκευάζει εὔχρηστα σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἐπανορθώνει τὰ παραμορφωμένα, διότι ἐὰν δὲν ἦτο βαρεῖα, δὲν θὰ ἠμποροῦσε νὰ διορθώσῃ τὴν παραμορφωμένην ὕλην. Ἔτσι καὶ ὁ λόγος μας ὁ βαρὺς ἠμπορεῖ νὰ διαπλάσσῃ τὴν ψυχήν. Ἂς μὴ ἀποφεύγωμεν λοιπὸν τὴν βαρύτητα τῶν λόγων, οὔτε τὰ τραύματα ποὺ προέρχονται ἀπ᾽ αὐτούς. Τὸ τραῦμα καταφέρεται ὄχι διὰ νὰ θραύσῃ, οὔτε διὰ νὰ συντρίψῃ τὴν ψυχήν, ἀλλὰ διὰ νὰ διορθώσῃ αὐτήν. Γνωρίζομεν πῶς πλήττομεν, πῶς προκαλοῦμεν τὸ τραῦμα μὲ τὴν χάριν τοῦ Θεοῦ, ὥστε νὰ μὴ συντρίψῃ τὸ σκεῦος, ἀλλὰ διὰ νὰ τὸ λειάνῃ, νὰ τὸ διορθώσῃ, νὰ τὸ κάμῃ εὔχρηστον εἰς τὸν δεσπότην, νὰ προσφέρῃ τοῦτο ἀστραπτερὸν κατὰ τὴν ὑγείαν, καλῶς ἐπεξεργασμένον κατὰ τὴν ἡμέραν ἐκείνην, κατὰ τὴν ὁποίαν θὰ ἔλθῃ ὁ ποταμὸς τοῦ πυρός, ὥστε νὰ προσφέρῃ τοῦτο χωρὶς νὰ ἔχῃ τὴν ἀνάγκην τῆς πυρᾶς ποὺ εὑρίσκεται ἐκεῖ. Διότι ἂν δὲν σᾶς δοκιμάσωμεν μὲ τὸ πῦρ ἐδῶ, εἶναι ἀνάγκη νὰ δοκιμασθῆτε ὁπωσδήποτε ἐκεῖ, καὶ δὲν ἠμπορεῖ νὰ συμβῇ διαφορετικά· «Διότι ἡ ἡμέρα τῆς κρίσεως θὰ ἀποκαλυφθῇ συνοδευομένη μὲ τὸ πῦρ»[39]. Προ-

ὑμᾶς κατακαυθῆναι λόγοις πρὸς βραχύ, ἢ διαπαντὸς ἐκείνῃ τῇ φλογί. Πάντως γὰρ ὅτι τοῦτο ἔσται, δῆλον, καὶ πολλάκις ὑμῖν εἶπον λογισμοὺς ἀναντιρρήτους. Δεῖ μὲν γὰρ ἀπὸ τῶν Γραφῶν πείθεσθαι· ἐπειδὴ δὲ φιλονείκως τινὲς διάκεινται, καὶ ἀπὸ τῶν λογισμῶν ἐκινήσαμεν πολλά· οὐδὲν δὲ κωλύει καὶ νῦν αὐτοὺς εἰπεῖν.

Τίνες δὲ ἦσαν; Δίκαιός ἐστιν ὁ Θεός· πάντες ὁμολογοῦμεν τοῦτο, καὶ Ἕλληνες, καὶ Ἰουδαῖοι, καὶ αἱρετικοί, καὶ Χριστιανοί. Ἀλλ' ἐνταῦθα πολλοὶ τῶν ἡμαρτηκότων ἀπῆλθον μὴ κολασθέντες· πολλαὶ καὶ τῶν κατορθωσάντων ἀπῆλθον μυρία παθόντες δεινά. Εἰ τοίνυν δίκαιος ὁ Θεός, ποῦ τούτοις τὰ ἀγαθὰ ἀποδώσει, ποῦ ἐκείνοις τὰς τιμωρίας, εἰ γέεννα μὴ ἔστιν, εἰ ἀνάστασις μὴ ἐστι; Τοῦτο οὖν ἀεὶ καὶ ἐκείνοις καὶ ἑαυτοῖς τὸν λόγον κατεπάδετε, καὶ οὐκ ἀφήσει ὑμᾶς διαπιστῆσαι τῇ ἀναστάσει. Ὁ δὲ μὴ ἀπιστῶν τῇ ἀναστάσει, σπουδάσει μετὰ πολλῆς ζῆν τῆς προσοχῆς, ὥστε τῶν αἰωνίων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τιμότερον νὰ καῆτε μὲ τοὺς ἰδικούς μας λόγους δι' ὀλίγον, παρὰ διὰ παντὸς μὲ ἐκείνην τὴν φλόγα. Διότι εἶναι φανερόν, ὅτι ὁπωσδήποτε θὰ συμβῇ τοῦτο, καὶ σᾶς τὸ εἶπα πολλὰς φορὰς μὲ ἀναντιρρήτους συλλογισμούς. Πρέπει βεβαίως νὰ πείθεσθε ἀπὸ τὰς Γραφάς, ἐπειδὴ ὅμως μερικοὶ διάκεινται ἐχθρικῶς, καὶ ἀπὸ τοὺς συλλογισμοὺς ἐπροκαλέσαμεν πολλά. Τίποτε ὅμως δὲν ἐμποδίζει νὰ τοὺς ἐπαναλάβω καὶ τώρα.

Ποῖοι δὲ ἦσαν; Ὁ Θεὸς εἶναι δίκαιος. Ὅλοι ὁμολογοῦμεν τοῦτο, καὶ οἱ Ἕλληνες καὶ οἱ Ἰουδαῖοι καὶ οἱ αἱρετικοὶ καὶ οἱ χριστιανοί. Ἀλλ' ἐδῶ πολλοὶ ποὺ ἔχουν ἁμαρτήσει ἀπῆλθον χωρὶς νὰ τιμωρηθοῦν, πολλοὶ δὲ ποὺ δὲν ἔσφαλαν ἀπῆλθον, ἀφοῦ ἔπαθαν πολλὰ δεινά. Ἐὰν λοιπὸν εἶναι δίκαιος ὁ Θεός, ποῦ θὰ ἀποδώσῃ εἰς αὐτοὺς τὰ ἀγαθά, ποῦ εἰς ἐκείνους τὰς τιμωρίας, ἐὰν δὲν ὑπάρχῃ γέεννα, ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις; Τοῦτον λοιπὸν τὸν λόγον πάντοτε νὰ ὑπενθυμίζετε καὶ εἰς ἐκείνους καὶ εἰς τὸν ἑαυτόν σας, καὶ δὲν θὰ σᾶς ἀφήσῃ νὰ δυσπιστήσετε καθόλου διὰ τὴν ἀνάστασιν. Ἐκεῖνος δὲ ποὺ πιστεύει εἰς τὴν ἀνάστασιν, θὰ προσπαθήσῃ νὰ ζῇ μὲ πολλὴν προσοχήν, ὥστε νὰ ἐπιτύχῃ τὰ αἰώνια ἀγαθά, τῶν ὁποίων εἴθε ὅλοι μας νὰ ἀξιωθοῦμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα, δόξα, δύναμις, καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Η΄

Φιλιπ. 2, 5 - 11

«Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθείς, ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός».

Εἴρηται ἡμῖν τὰ παρὰ τῶν αἱρετικῶν· εὔκαιρον δὴ λοιπὸν καὶ τὰ ἡμέτερα εἰπεῖν. Ἐκεῖνοι λέγουσιν, ὅτι οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ ἁρπάσαι· ἐδείξαμεν, ὅτι πάντῃ ἕωλον καὶ ἄτοπον τοῦτο· ὅτι οὔτε εἰς ταπεινοφροσύνην τις ἐντεῦθεν παρακαλεῖ, οὔτε τὸν Θεὸν οὕτω θαυμάζει, ἀλλ' οὐδὲ ἄνθρωπον. Τί οὖν ἐστιν, ἀγαπητοί; Προσέχετε τοῖς λεγομένοις νῦν. Ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων νομίζουσιν, ὅταν ταπεινόφρονες

1. Φιλ. 2, 5 - 11.
2. Ὁμιλία Γ.

ΛΟΓΟΣ Η'
Φιλιπ. 2, 5 - 11

«῞Ας ὑπάρχῃ λοιπὸν μέσα σας αὐτὸ τὸ φρόνημα, ποὺ ὑπῆρχε καὶ εἰς τὸν 'Ιησοῦν Χριστόν, ὁ ὁποῖος ἂν καὶ ὑπῆρχεν ἐν μορφῇ Θεοῦ, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν· ἀλλ' ἐκένωσε τὸν ἑαυτόν του καὶ ἔλαβε μορφὴν δούλου, γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους. Καὶ κατὰ τὸ ἐξωτερικὸν σχῆμα εὑρέθη ὡς ἄνθρωπος, ἐταπείνωσε τὸν ἑαυτόν του, γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ. Διὰ τοῦτο καὶ ὁ Θεὸς ὑπερύψωσεν αὐτόν, καὶ ἐχάρισεν εἰς αὐτὸν ὄνομα, ποὺ εἶναι ὑπεράνω ἀπὸ κάθε ἄλλο ὄνομα, ὥστε εἰς τὸ ὄνομα τοῦ 'Ιησοῦ νὰ καμφθῇ ταπεινῶς κάθε γόνατον καὶ τῶν εἰς οὐρανοὺς εὑρισκομένων ἀγγέλων καὶ τῶν ἐπὶ γῆς ἀνθρώπων καὶ τῶν εἰς τὰ καταχθόνια ὄντων, καὶ κάθε γλῶσσα νὰ ὁμολογήσῃ, ὅτι ὁ 'Ιησοῦς Χριστὸς εἶναι Κύριος, διὰ τὴν δόξαν τοῦ Θεοῦ καὶ Πατρός»[1].

῎Εχω εἰπεῖ τὰ περὶ τῶν αἱρετικῶν[2]· εἶναι πλέον ἡ κατάλληλος εὐκαιρία νὰ εἰπῶ καὶ τὰ ἰδικά μας. 'Εκεῖνοι λέγουν ὅτι τὸ «δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς», σημαίνει τὸ «νὰ ἁρπάξῃ». 'Απεδείξαμεν ὅτι τοῦτο εἶναι ἐντελῶς εὐάλωτον καὶ ἀνόητον, διότι οὔτε εἰς ταπεινοφροσύνην κανεὶς προτρέπει ἐκ τούτου, οὔτε τὸν Θεὸν θαυμάζει κατ' αὐτὸν τὸν τρόπον, ἀλλ' οὔτε τὸν ἄνθρωπον. Τί λοιπὸν συμβαίνει, ἀγαπητοί; Προσέχετε εἰς τὰ λεγόμενα τώρα. 'Επειδὴ πολλοὶ ἄνθρωποι νομίζουν ὅτι στεροῦνται τοῦ ἰδικοῦ των ἀξιώματος, ὅταν εἶναι ταπεινόφρονες, καὶ ὑποβι-

ὦσιν, ἀποστερεῖσθαι τοῦ οἰκείου ἀξιώματος, καὶ ἐλαττοῦσθαι καὶ ταπεινοῦσθαι, τοῦτον τὸν φόβον, καὶ δεικνὺς ὅτι οὐ χρὴ οὕτω διακεῖσθαι, φησὶν ὅτι ὁ Θεὸς ὁ μονογενής, ὁ ἐν μορφῇ Θεοῦ ὤν, ὁ μηδὲν ἔλαττον ἔχων τοῦ Πατρός, ὁ ἴσος αὐτῷ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. Τί δὲ τοῦτό ἐστι μάνθανε.

Ὅπερ ἂν ἁρπάσῃ τις, καὶ παρὰ τὸ προσῆκον λάβῃ, τοῦτο ἀποθέσθαι οὐ τολμᾷ, δεδοικὼς μὴ ἀπόληται, μὴ ἐκπέσῃ, ἀλλὰ διαπαντὸς αὐτὸ κατέχει· ὁ μέντοι φυσικόν τι ἔχων ἀξίωμα, οὐ δέδοικε καὶ καταβῆναι ἀπ' ἐκείνου τοῦ ἀξιώματος, εἰδὼς ὅτι οὐδὲν τοιοῦτον πείσεται. Οἷον, ὡς ἐπὶ ὑποδείγματος ἵνα εἴπω· ὁ Ἀβεσσαλὼμ ἥρπασε τὴν τυραννίδα, καὶ ἀποθέσθαι ταύτην οὐκ ἐτόλμα λοιπόν. Καὶ ἐπὶ ἄλλο δὲ ἐλευσόμεθα ὑπόδειγμα. Ἂν δὲ μὴ ἰσχύῃ τὰ ὑποδείγματα τὸ πᾶν παραστῆσαι, μὴ δυσχεραίνετε· τὰ γὰρ ὑποδείγματα τοιαῦτά ἐστι· τὸ πλέον ἀφιᾶσι τῇ διανοίᾳ λογίζεσθαι. Ἐπανέστη τις βασιλεῖ, καὶ τὴν βασιλείαν ἥρπασεν· οὗτος ἀποθέσθαι καὶ κρύψαι τὸ πρᾶγμα οὐ τολμᾷ· ἂν γὰρ ἅπαξ κρύψῃ, ἀπόλωλεν. Ἢ καὶ ἐπὶ ἄλλου τινὸς ἔλθωμεν ἀποδείγματος· οἷον, ἥρπασέ τις τι, τοῦτο κατέχει διαπαντός· ἂν γὰρ ἀπόθηται, εὐθέως ἀπώλεσε. Καὶ ὅλως οἱ ἐξ ἁρπαγῆς ἔχοντές τι, δεδοίκασιν ἀποθέσθαι καὶ κρύψαι, καὶ μὴ διαπαντὸς εἶναι ἐν ἐκείνῳ, ἐν ᾧ εἰσιν. Ἀλλ' οὐχ οἱ μὴ ἐξ ἁρπαγῆς ἔχοντες· οἷον, ὁ ἄνθρωπος ἀξίωμα ἔχει, τὸ εἶναι λογικός. Οὐχ εὑρίσκω παράδειγμα. Οὐ γάρ ἐστι παρ' ἡμῖν ἀρχὴ φυσική· οὐδὲν γάρ ἐστι τῶν ἀγαθῶν φυσικόν· ἐπὶ δὲ τοῦ Θεοῦ τῇ φύσει συγκεκλήρωται.

Τί οὖν φησιν; Ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς οὐκ ἐφοβήθη καταβῆναι ἀπὸ τοῦ ἀξιώματος· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὴν

βάζονται καὶ ταπεινώνονται, ἐπισημαίνων τοῦτον τὸν φόβον καὶ ἐπεξηγῶν ὅτι δὲν πρέπει ἔτσι νὰ διάκεινται, λέγει ὅτι ὁ Θεὸς ὁ μονογενής, ὁ ὁποῖος ὑπῆρχεν ἐν μορφῇ Θεοῦ καὶ δὲν εἶχε τίποτε μικρότερον ἀπὸ τὸν Πατέρα, ὁ ἴσος πρὸς αὐτόν, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν. Τί ὅμως σημαίνει τοῦτο, μάνθανε.

Ἐκεῖνο ποὺ θὰ ἁρπάξῃ κανεὶς καὶ θὰ λάβῃ χωρὶς νὰ τοῦ ἀνήκῃ, δὲν τολμᾷ νὰ τὸ ἀποθέσῃ, φοβούμενος μήπως χαθῇ, μήπως διαφύγῃ, ἀλλὰ συνεχῶς κατέχει αὐτό. Ἀλλ' ἐκεῖνος ὅμως ποὺ ἔχει ἐκ τῆς φύσεώς του ἕνα ἀξίωμα, δὲν φοβεῖται καὶ νὰ κατέλθῃ ἀπὸ τὸ ἀξίωμά του ἐκεῖνο, ἐπειδὴ γνωρίζει ὅτι δὲν θὰ πάθῃ τίποτε ἀπ' αὐτό. Ὅπως, διὰ νὰ ὁμιλήσω μὲ παράδειγμα, ὁ Ἀβεσσαλὼμ ἥρπαξε τὴν ἐξουσίαν καὶ δὲν ἐτολμοῦσε τότε νὰ ἀποθέσῃ αὐτήν. Καὶ θὰ ἔλθωμεν εἰς ἄλλο παράδειγμα. Ἂν τὰ παραδείγματα δὲν θὰ ἠμπορέσουν νὰ παραστήσουν τὸ πρᾶγμα, μὴ δυσφορεῖτε, διότι ἔτσι εἶναι τὰ παραδείγματα· ἀφήνουν τὸ περισσότερον εἰς τὴν διάνοιαν νὰ τὸ συμπεραίνῃ. Ἔστω ὅτι ἐπαναστάτησε κάποιος ἐναντίον τοῦ βασιλέως καὶ ἥρπαξε τὴν βασιλείαν. Αὐτὸς δὲν τολμᾷ νὰ ἀποθέσῃ καὶ νὰ κρύψῃ τὸ πρᾶγμα, διότι ἐὰν μίαν μόνον φορὰν τὸ κρύψῃ, ἀμέσως ἔχει χάσει τοῦτο. Ἢ ἂς ἔλθωμεν καὶ εἰς ἄλλο παράδειγμα. Ἐπὶ παραδείγματι, ἥρπαξε κάποιος κάτι, κατέχει τοῦτο συνεχῶς· διότι ἂν τὸ ἀφήσῃ, ἀμέσως τὸ ἔχασε. Καὶ γενικῶς οἱ κατέχοντες κάτι ἐξ ἁρπαγῆς φοβοῦνται νὰ τὸ ἀποθέσουν καὶ νὰ τὸ κρύψουν καὶ νὰ μὴ εἶναι διαρκῶς ἡ σκέψις των εἰς ἐκεῖνο, εἰς τὸ ὁποῖον εἶναι. Ὅμως δὲν συμβαίνει ἔτσι εἰς ἐκείνους ποὺ δὲν τὸ ἔχουν ἐξ ἁρπαγῆς· ὅπως ὁ ἄνθρωπος ἔχει ἕνα ἀξίωμα, τὸ νὰ εἶναι λογικός. Δὲν εὑρίσκω παράδειγμα. Διότι δὲν ὑπάρχει εἰς ἡμᾶς ἀρχὴ ἐκ φύσεως, διότι κανένα ἀπὸ τὰ ἀγαθὰ δὲν εἶναι φυσικόν. Ὅσον ἀφορᾷ ὅμως τὸν Θεόν, τὰ πάντα εἶναι συνδεδεμένα πρὸς τὴν φύσιν του.

Τί λοιπὸν λέγει; Ὅτι ὁ υἱὸς τοῦ Θεοῦ δὲν ἐφοβήθη νὰ κατέλθῃ ἀπὸ τὸ ἀξίωμά του, διότι δὲν ἐθεώρησεν ὅτι

θεότητα, οὐκ ἐδεδοίκει μή τις αὐτὸν ἀφέληται τὴν φύσιν, ἢ τὸ ἀξίωμα. Διὸ καὶ ἀπέθετο αὐτό, θαρρῶν ὅτι αὐτὸ ἀναλήψεται· καὶ ἔκρυψεν, ἡγούμενος οὐδὲν ἐλαττοῦσθαι ἀπὸ τούτου. Διὰ τοῦτο οὐκ εἶπεν, οὐχ ἥρπασεν, ἀλλ', «οὐχ ἁρπαγμὸν ἡγήσατο». Οὐχ ἁρπάσας εἶχε τὴν ἀρχήν, ἀλλὰ φυσικήν, οὐ δεδομένην, καὶ μόνιμον καὶ ἀσφαλῆ. Διὸ οὐ παραιτεῖται καὶ τὸ τῶν ὑπασπιστῶν ἀναλαβεῖν σχῆμα. Ὁ τύραννος δέδοικεν ἐν πολέμῳ ἀποθέσθαι τὴν ἁλουργίδα, ὁ δὲ βασιλεὺς μετὰ πολλῆς αὐτὸ ποιεῖ τῆς ἀσφαλείας. Διὰ τί; ὅτι οὐχ ἁρπαγμὸν ἔχει τὴν ἀρχήν. Οὐχ ὡς ἁρπάσας οὖν οὐκ ἀπετίθετο, ἀλλ' ὡς φυσικὴν ἔχων, καὶ οὐδέποτε ἀποστῆναι δυναμένην, ἔκρυψε. Τοῦτο τὸ εἶναι ἴσα Θεῷ οὐχ ὡς ἁρπαγμὸν εἶχεν, ἀλλὰ φυσικόν· διὸ ἐκένωσεν ἑαυτόν. Ποῦ οἱ λέγοντες, ὅτι ἀνάγκην ὑπέστη, ὅτι ὑπετάγη; «Ἑαυτόν», φησίν, «ἐκένωσεν, ἑαυτὸν ἐταπείνωσεν, ὑπήκοος γενόμενος μέχρι θανάτου».

Πῶς ἐκένωσε; «Μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος». Ἐνταῦθα πρὸς τό, «Ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν», τοῦτο εἶπε, τὸ ἑαυτὸν ἐκένωσεν· ἐπεὶ εἰ ὑπετάγη, οὐδὲ ταπεινοφροσύνης ἦν τὸ πρᾶγμα, εἰ μὴ οἴκοθεν τοῦτο εἵλετο, εἰ μὴ παρ' ἑαυτοῦ. Ἢ γὰρ οὐκ ᾔδει, ὅτι δεῖ τοῦτο γενέσθαι, καὶ ἔσται ἀτελής· ἢ εἰδὼς περιέμενε τὸν καιρὸν τοῦ πράγματος, καὶ ἔσται καιρὸν οὐκ εἰδώς· ἢ εἰ ᾔδει καὶ ὅτι δεῖ γενέσθαι, καὶ πότε γενέσθαι, τίνος ἕνεκεν ὑποταγῆναι ὑπέμενεν; Ἵνα δείξῃ τὴν ὑπεροχήν; Τοῦτο οὐ Πατρός ἐστι δεῖξαι ὑπεροχήν, ἀλλ' οἰκείαν εὐτέλειαν· οὐ γὰρ ἱκανὸν τὸ

εἶχε τὴν θεότητα ἐξ ἁρπαγῆς, οὔτε ἐφοβεῖτο μήπως κανεὶς ἀφαιρέσῃ τὴν φύσιν ἢ τὸ ἀξίωμά του. Διὰ τοῦτο καὶ ἀπέθεσεν αὐτό, ἔχων τὴν πεποίθησιν ὅτι θὰ ἀναλάβῃ αὐτό· καὶ τὸ ἔκρυψεν, ἐπειδὴ ἐθεωροῦσε ὅτι δὲν θὰ ἐλαττωθῇ καθόλου ἀπὸ τοῦτο. Διὰ τοῦτο δὲν εἶπε, δὲν ἥρπαξεν, ἀλλὰ «δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς». Δὲν εἶχε τὴν ἀρχὴν ἐπειδὴ τὴν ἥρπαξεν, ἀλλ' ἐκ τῆς φύσεώς του, ὄχι δοτὴν ἀλλὰ μόνιμον καὶ ἀσφαλῆ. Διὰ τοῦτο δὲν ἀποφεύγει νὰ ἀναλάβῃ καὶ τὸ σχῆμα τῶν ὑπερασπιστῶν του. Ὁ τύραννος φοβεῖται νὰ ἀποθέσῃ κατὰ τὴν διάρκειαν τοῦ πολέμου τὴν πορφύραν, ὁ βασιλεὺς ὅμως κάνει αὐτὸ μὲ πολλὴν ἀσφάλειαν. Διατί; διότι δὲν ἔχει τὴν ἀρχὴν ἐξ ἁρπαγῆς. Λοιπὸν δὲν τὴν ἀπέθετεν, ὄχι ἐπειδὴ δὲν ἥρπαξεν, ἀλλ' ἐπειδὴ τὴν εἶχεν ἐκ φύσεως, καὶ ἐπειδὴ δὲν ἠμποροῦσε ποτὲ νὰ ἀπομακρυνθῇ, τὴν ἔκρυψεν. Αὐτό, δηλαδή, τὴν ἰσότητά του πρὸς τὸν Θεόν, δὲν εἶχεν ἐπειδὴ τὴν ἥρπαξεν, ἀλλ' ἐκ τῆς φύσεώς του· διὰ τοῦτο ἐκένωσε τὸν ἑαυτόν του. Ποῦ εἶναι οἱ λέγοντες ὅτι ὑπέκυψεν εἰς τὴν ἀνάγκην, ὅτι ὑπετάγη; «Ἐκένωσε», λέγει, «τὸν ἑαυτόν του, ἐταπείνωσε τὸν ἑαυτόν του, γενόμενος ὑπήκοος μέχρι θανάτου».

Πῶς ἐκένωσε; «Λαβὼν μορφὴν δούλου καὶ ἔγινεν ὅμοιος πρὸς τοὺς ἀνθρώπους, καὶ κατὰ τὸ ἐξωτερικὸν σχῆμα εὑρέθη ὡς ἄνθρωπος». Εἰς τὸ σημεῖον αὐτὸ πρὸς τὸ «Νὰ θεωρῇ ὁ καθένας σας τοὺς ἄλλους ὅλους ὑπερτέρους καὶ ἀνωτέρους ἀπὸ τὸν ἑαυτόν του», εἶπε τοῦτο, τὸ «ἐκένωσε τὸν ἑαυτόν του»· διότι ἐὰν ὑπετάγη εἰς τοῦτο, δὲν θὰ ἦτο τὸ πρᾶγμα ἐκδήλωσις τῆς ταπεινοφροσύνης, ἐκτὸς ἐὰν ἐπροτίμησε τοῦτο αὐτοπροαιρέτως καὶ κατὰ τὴν ἰδικήν του κρίσιν. Διότι ἢ δὲν ἐγνώριζεν ὅτι τοῦτο πρέπει νὰ γίνῃ, καὶ θὰ εἶναι ἀτελής, ἤ, ἂν καὶ ἐγνώριζεν, ἐπερίμενε τὸν κατάλληλον καιρὸν τοῦ πράγματος καὶ θὰ συνέβαινεν ὡς νὰ μὴ γνωρίζῃ τὸν καιρόν. Ἢ ἐὰν ἐγνώριζε καὶ ὅτι πρέπει νὰ γίνῃ, καὶ πότε νὰ γίνῃ, διὰ ποῖον λόγον ἐδέχθη νὰ ὑποταγῇ; Διὰ νὰ δείξῃ τὴν ὑπεροχὴν τοῦ Πατρός; Τοῦτο δὲν δεικνύει τὴν ὑπεροχὴν τοῦ Πατρός, ἀλλὰ τὴν ἰδικήν του ἀπλότητα· διότι δὲν ἦτο ἀρκετὸν τὸ ὄνομα τοῦ

τοῦ Πατρὸς ὄνομα δεῖξαι τὰ πρεσβεῖα τοῦ Πατρός; Χωρὶς γὰρ τούτου πάντα τὰ αὐτά ἐστι τῷ παιδί. Οὐ γὰρ ἱκανὴ αὕτη ἡ τιμὴ παρὰ τοῦ Πατρὸς εἰς τὸν Υἱόν.

Τί οὖν φασιν οἱ αἱρετικοί; Ἰδού, φησίν, οὐκ ἐγένετο ἄνθρωπος· οἱ Μαρκίωνος, λέγω· ἀλλὰ τί; ἐν ὁμοιώματι, φησίν, ἀνθρώπων. Πῶς δέ ἐστιν ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι; σκιὰν περιβαλλόμενον; Οὐκοῦν εἴδωλον τοῦτό ἐστι, καὶ οὐκέτι ἀνθρώπου ὁμοίωμα· ἀνθρώπου γὰρ ὁμοίωμα, ἄνθρωπος ἕτερος. Τί δὲ ἐρεῖς Ἰωάννῃ λέγοντι, «Ὁ λόγος σὰρξ ἐγένετο»; Ἀλλὰ καὶ αὐτὸς οὗτός φησιν ὁ μακάριος ἀλλαχοῦ, «Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας». «Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος». Ἰδού, φησί, καὶ σχήματι, καὶ ὡς ἄνθρωπος. Τοῦτο δὲ οὐκ ἔστιν ἄνθρωπος ἀληθῶς, τὸ ὡς ἄνθρωπον εἶναι, καὶ τὸ σχήματι εἶναι ἄνθρωπον· τὸ γὰρ σχήματι εἶναι ἄνθρωπον, οὐκ ἔστι φύσει ἄνθρωπον εἶναι. Ὁρᾶτε μεθ' ὅσης ἐγὼ εὐγνωμοσύνης τὰ παρὰ τῶν ἐχθρῶν τίθημι; Ἡ γὰρ λαμπρὰ νίκη καὶ ἐκ περιουσίας γινομένη αὕτη ἐστίν, ὅταν τὰ δοκοῦντα αὐτῶν ἰσχυρὰ εἶναι μὴ ἀποκρύπτωμεν· τοῦτο γὰρ ἀπάτη ἐστὶ μᾶλλον, ἢ νίκη.

Τί οὖν φασι; πάλιν αὐτὰ ἀναλάβωμεν. Τὸ σχήματι, οὐκ ἔστι φύσει, καὶ τὸ ὡς ἄνθρωπον εἶναι, καὶ τὸ ἐν ὁμοιώματι ἀνθρώπου εἶναι, οὐκ ἔστι τοῦτο ἄνθρωπον εἶανι. Ἄρα καὶ τὸ μορφὴν δούλου λαβεῖν, οὐκ ἔστι μορφὴν δούλου λαβεῖν. Οὐκοῦν μάχη ἐνταῦθα· καὶ διὰ τί μὴ ἐκεῖνο σὺ πρότερος λύεις; Ὥσπερ γὰρ ταῦτα νομίζεις ἡμῖν ἀντικεῖσθαι, οὕτω καὶ ἡμεῖς φαμεν ἐκεῖνό σοι ἀντικεῖσθαι. Οὐ γὰρ εἶπεν, ὡς μορφὴ δούλου, οὐδέ, ἐν ὁμοιώματι μορφῆς δούλου, οὐδέ, ἐν σχήματι μορφῆς δούλου, ἀλλά, «μορφὴν δούλου ἔλαβε». Τί οὖν ἐστι; καὶ γὰρ μάχη ἐστίν. Οὐδεμία μάχη, μὴ γένοιτο· ἀλλὰ τίς ὁ ψυχρὸς αὐτῶν

3. Ἰω. 1, 14.
4. Ρωμ. 8, 3.

Πατρὸς νὰ δείξη τὰ πρεσβεῖα τοῦ Πατρός; Χωρὶς βέβαια τοῦτο τὰ πάντα κοινὰ ἔχει ὁ Υἱός. Διότι δὲν ἠμπορεῖ ἡ τιμὴ αὐτὴ νὰ διαβῇ ἀπὸ τὸν Πατέρα εἰς τὸν Υἱόν.

Τί λοιπὸν ἰσχυρίζονται οἱ αἱρετικοί; Ἰδού, λέγουν, δὲν ἔγινεν ἄνθρωπος˙ οἱ ὀπαδοὶ τοῦ Μαρκίωνος, ἐννοῶ˙ ἀλλὰ τί; ὅμοιος πρὸς τοὺς ἀνθρώπους, λέγει. Πῶς ὅμως εἶναι δυνατὸν νὰ γίνῃ ὅμοιος πρὸς τοὺς ἀνθρώπους; περιβαλλόμενος σκιάν; Ἀσφαλῶς τοῦτο εἶναι εἴδωλον, καὶ ὄχι ὁμοίωμα ἀνθρώπου˙ διότι τὸ ὁμοίωμα ἀνθρώπου εἶναι ἄλλος ἄνθρωπος. Τί ὅμως θὰ ἀπαντήσῃς εἰς τὸν Ἰωάννην, ὅταν λέγῃ «Ὁ Λόγος ἔγινεν ἄνθρωπος»[3]; Ἀλλὰ καὶ ὁ ἴδιος ὁ μακάριος Παῦλος λέγει ἀλλοῦ, «Ὅμοιος μὲ τὴν σάρκα τῆς ἁμαρτίας»[4]. «Καὶ εὑρέθη κατὰ τὸ ἐξωτερικὸν σχῆμα ὡς ἄνθρωπος». Ἰδού, λέγει, καὶ κατὰ τὸ σχῆμα, καὶ ὡς ἄνθρωπος. Τοῦτο ὅμως δὲν σημαίνει ἄνθρωπος ἀληθῶς, τὸ νὰ εἶναι ὡς ἄνθρωπος, καὶ τὸ νὰ εἶναι κατὰ τὸ σχῆμα ἄνθρωπος˙ διότι τὸ νὰ εἶναι κατὰ τὸ σχῆμα ἄνθρωπος δὲν σημαίνει ὅτι εἶναι ἐκ φύσεως ἄνθρωπος. Βλέπετε μὲ πόσην εὐγνωμοσύνην ἐκθέτω ἐγὼ τὰς ἰδέας τῶν ἐχθρῶν; Διότι ἡ λαμπρὰ νίκη καὶ γινομένη ὑπὸ εὐνοϊκωτέρους ὅρους εἶναι αὐτή, ὅταν δὲν ἀποκρύπτωμεν ὅτι αἱ γνῶμαι αὐτῶν εἶναι ἰσχυραί. Διότι τὸ νὰ ἀποκρύπτωμεν αὐτὰς εἶναι ἀπάτη μᾶλλον, παρὰ νίκη.

Τί λοιπὸν ἰσχυρίζονται; πάλιν αὐτὰ θὰ ἐπαναλάβωμεν. Τὸ κατὰ τὸ σχῆμα, δὲν σημαίνει ἐκ φύσεως, καὶ τὸ νὰ εἶναι ὡς ἄνθρωπος καὶ τὸ νὰ εἶναι ὅμοιος πρὸς ἄνθρωπον, δὲν σημαίνει τοῦτο ὅτι εἶναι ἄνθρωπος. Ἄρα καὶ τὸ ὅτι ἔλαβε μορφὴν δούλου δὲν σημαίνει ὅτι ἔλαβε μορφὴν δούλου. Ἀσφαλῶς ἐδῶ γίνεται μάχη˙ καὶ διατί δὲν ἐξηγεῖς πρότερον σὺ ἐκεῖνο. Διότι ὅπως ἀκριβῶς νομίζεις ὅτι αὐτὰ εἶναι ἀντίθετα πρὸς ἡμᾶς, ἔτσι καὶ ἡμεῖς ἰσχυριζόμεθα ὅτι ἐκεῖνο εἶναι ἀντίθετον πρὸς σέ. Διότι δὲν εἶπεν, ὡς μορφὴ δούλου, οὔτε ὅμοιος μὲ μορφὴν δούλου, οὔτε κατὰ τὸ σχῆμα μορφῆς δούλου, ἀλλὰ «μορφὴν δούλου ἔλαβε». Τί λοιπὸν συμβαίνει; διότι πράγματι γίνεται μάχη. Καμμία μάχη, μὴ γένοιτο. Ἀλλὰ ποῖος ὁ ψυχρὸς καὶ καταγέλα-

λόγος, καὶ καταγέλαστος; Μορφὴν δούλου, φησίν, ἔλαβεν, ὅτε τὸ λέντιον περιζωσάμενος ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. Τοῦτο μορφὴ δούλου ἐστίν; Ἀλλ' οὐκ ἔστι τοῦτο μορφὴ δούλου, ἀλλ' ἔργον δούλου. Ἕτερον δέ ἐστιν ἔργον εἶναι δούλου, καὶ μορφὴν δούλου λαβεῖν. Διὰ τί γὰρ οὐκ εἶπεν, ὅτι ἔργον ἐποίησε δούλου, ὃ σαφέστερον ἦν; Οὐδαμοῦ δὲ ἐν τῇ γραφῇ μορφὴ ἀντὶ ἔργου εἴρηται· πολὺ γὰρ τὸ μέσον· τὸ μὲν γὰρ φύσεώς ἐστι, τὸ δὲ ἐνεργείας. Καὶ ἐν τῇ συνηθείᾳ δὲ οὐδαμοῦ τὴν μορφὴν ἀντὶ ἔργου λέγοντες λαμβάνομεν. Ἄλλως δέ, οὐδὲ τὸ ἔργον ἔλαβε κατ' ἐκείνους, οὐδὲ διεζώσατο. Εἰ γὰρ φαντασία τὸ πρᾶγμα ἦν, οὐκ ἦν ἀλήθεια· εἰ μὴ χεῖρας εἶχε, πῶς ἔνιψεν; εἰ μὴ ὀσφὺν εἶχε, πῶς λέντιον περιεζώσατο; ποῖα δὲ καὶ ἱμάτια ἔλαβεν; «Ἔλαβε γὰρ τὰ ἱμάτια αὐτοῦ», φησίν. Ὥστε οὐδὲ τὸ ἔργον ἐνταῦθα εὑρίσκεται γεγονός, ἀλλὰ ἀπάτη ἐστὶ μόνον, οὐδὲ ἔνιψε τοὺς μαθητάς. Εἰ γὰρ ἡ ἀσώματος φύσις οὐκ ἐφάνη, ἐν σώματι οὐκ ἦν· τίς οὖν τοὺς μαθητὰς ἔνιψε;

Τί οὖν πάλιν πρὸς Παῦλον τὸν Σαμοσατέα; Τί γὰρ ἐκεῖνός φησι; Καὶ αὐτὸς τὸ αὐτό φησιν. Ἀλλ' οὐκ ἔστι τοῦτο κένωσις, τὸ φύσεως ὄντα ἀνθρωπίνης καὶ ἄνθρωπον ψιλόν, νίψαι τοὺς ὁμοδούλους. Ἃ γὰρ πρὸς Ἀρειανοὺς εἴπομεν, ταῦτα καὶ πρὸς τούτους ῥητέον· οὐδὲν γὰρ ἀλλήλων διεστήκασιν, ἀλλ' ἢ ὀλίγῳ χρόνῳ· καὶ γὰρ οὗτοι κἀκεῖνοι κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ φασι. Τί οὖν ἐροῦμεν πρὸς αὐτούς; Εἰ ἄνθρωπος ἀνθρώπους ἔνιψεν, οὐκ ἐκένωσεν, οὐκ ἐταπείνωσεν ἑαυτόν· εἰ ἄνθρωπος ὢν οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ, οὐκ ἐπαινετός. Τὸ μὲν γὰρ Θεὸν ὄντα ἄνθρωπον γενέσθαι, πολλὴ ταπείνωσις, ἄφατος, ἀνεκδιήγητος· τὸ δὲ ἄνθρωπον ὄντα τὰ τῶν ἀνθρώπων ποιεῖν, ποία ταπείνωσις; Ποῦ δὲ μορφὴ Θεοῦ ἔργον Θεοῦ λέγεται; Εἰ γὰρ ἄνθρωπος ἦν

5. Ἰω. 13, 4.

στος λόγος αὐτῶν; Μορφὴν δούλου ἔλαβε, λέγει, ὅταν περιζωσάμενος τὴν ἐμπροσθέλλαν ἔπλυνε τὰ πόδια τῶν μαθητῶν. Τοῦτο εἶναι μορφὴ δούλου; Τοῦτο ὅμως δὲν εἶναι μορφὴ δούλου, ἀλλ' ἔργου δούλου. Εἶναι δὲ διαφορετικὸν τὸ νὰ εἶναι ἔργον δούλου καὶ τὸ νὰ λάβῃ μορφὴν δούλου. Καὶ διατί δὲν εἶπεν, ὅτι ἔκαμεν ἔργον δούλου, τὸ ὁποῖον ἦτο σαφέστερον; Πουθενὰ ὅμως δὲν λέγεται εἰς τὴν Γραφὴν ἡ μορφὴ ἀντὶ τοῦ ἔργου, διότι ἡ διαφορὰ εἶναι μεγάλη· διότι ἡ μὲν μορφὴ ἀναφέρεται εἰς τὴν φύσιν, τὸ δὲ ἔργον εἰς τὴν ἐνέργειαν. Καὶ συνήθως δὲ πουθενὰ ὅταν ὁμιλοῦμεν δὲν ἐννοοῦμεν τὴν μορφὴν ἀντὶ τοῦ ἔργου. Ἄλλωστε δέ, κατὰ τὴν γνώμην ἐκείνων, οὔτε τὸ ἔργον ἔκαμε, οὔτε περιεζώσθη. Ἐὰν βέβαια τὸ πρᾶγμα ἦτο φαντασία, δὲν ἦτο ἀλήθεια· ἐὰν δὲν εἶχε χέρια, πῶς ἔπλυνεν; ἐὰν δὲν εἶχε μέσην, πῶς περιεζώσθη τὴν ἐμπροσθέλλαν; ποῖα δὲ ἐνδύματα ἔλαβε; «Διότι ἔλαβε τὰ ἐνδύματα αὐτοῦ», λέγει[5]. Ὥστε οὔτε τὸ ἔργον ἐδῶ εἶναι γεγονὸς τετελεσμένον, ἀλλ' ἀπάτη μόνον, οὔτε ἔπλυνε τοὺς μαθητάς. Διότι ἐὰν ἡ ἀσώματος φύσις δὲν ἐφάνη, δὲν ἦτο μὲ σῶμα. Ποῖος λοιπὸν ἔπλυνε τοὺς μαθητάς;

Τί λοιπὸν θὰ εἰποῦμεν πάλιν πρὸς τὸν Παῦλον τὸν Σαμοσατέα; Καὶ τί λέγει ἐκεῖνος; Καὶ αὐτὸς τὸ ἴδιον λέγει. Ἀλλὰ δὲν εἶναι τοῦτο κένωσις, τὸ νὰ νίψῃ τοὺς ὁμοδούλους του, ἐνῷ εἶχε τὴν ἀνθρωπίνην φύσιν καὶ ἦτο ψιλὸς ἄνθρωπος. Ἐκεῖνα ποὺ εἴπαμεν πρὸς τοὺς Ἀρειανούς, αὐτὰ πρέπει νὰ εἰποῦμεν καὶ πρὸς αὐτούς. Διότι δὲν ἔχουν καμμίαν διαφορὰν μεταξύ των, ἐκτὸς ἀπὸ ὀλίγον χρόνον, διότι καὶ αὐτὰ καὶ ἐκεῖνοι λέγουν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ εἶναι κτίσμα. Τί λοιπὸν θὰ εἰποῦμεν πρὸς αὐτούς; Ἐὰν ἄνθρωπος ἔπλυνεν ἀνθρώπους, δὲν ἐκένωσεν, οὔτε ἐταπείνωσε τὸν ἑαυτόν του. Ἐὰν ἄνθρωπος ὢν δὲν ἥρπαξε τὴν ἰσότητά του πρὸς τὸν Θεόν, δὲν εἶναι ἐπαινετός. Διότι τὸ νὰ γίνῃ μὲν ἄνθρωπος, ἐνῷ εἶναι Θεός, εἶναι ταπείνωσις μεγάλη, ἀνέκφραστος, ἀπερίγραπτος· τὸ νὰ ἐνεργῇ ὅμως τὰ ἀνθρώπινα, ἐνῷ εἶναι ἄνθρωπος, ποία ταπείνωσις; Ποῦ δὲ ἡ μορφὴ τοῦ Θεοῦ λέγεται ἔργον τοῦ Θεοῦ. Διότι ἐὰν ἦτο

ψιλός, καὶ διὰ τὰ ἔργα λέγεται μορφὴ Θεοῦ, διὰ τί μὴ καὶ ἐπὶ Πέτρου τὸ αὐτὸ ποιοῦμεν; μείζονα γὰρ αὐτοῦ εἰργάσατο. Διὰ τί μὴ καὶ ἐπὶ Παύλου λέγεις, ὅτι μορφὴν Θεοῦ εἶχε; διὰ τί μὴ καὶ παρ' ἑαυτοῦ τὸ παράδειγμα εἰσήνεγκε Παῦλος, ὁ μυρία πράξας δουλικά, καὶ μηδὲ παραιτησάμενος λέγειν, «Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν». Γέλως ταῦτα καὶ φλυαρία. Πῶς ἐκένωσεν ἑαυτόν, εἰπέ, καὶ τί ἡ κένωσις; τί ἡ ταπείνωσις; εἰ ἐπειδὴ θαύματα εἰργάσατο; Τοῦτο ἐποίησε καὶ Παῦλος, καὶ Πέτρος, ὥστε οὐ τοῦ Υἱοῦ τοῦτο ἐξαίρετον.

Τί οὖν ἐστιν, «ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος»; Πολλὰ μὲν εἶχεν ἡμέτερα, πολλὰ δὲ οὐκ εἶχεν· οἷον ἀπὸ συνουσίας οὐκ ἐτέχθη, οἷον ἁμαρτίαν οὐκ ἐποίησε. Ταῦτα ὑπῆρχεν αὐτῷ, ἃ μηδενὶ τῶν ἀνθρώπων. Οὐκ ἦν τὸ φαινόμενον μόνον, ἀλλὰ καὶ Θεός. Ἐφαίνετο ἄνθρωπος, οὐκ ἦν τοῖς πολλοῖς ὅμοιος. Τὴν μὲν γὰρ σάρκα ὅμοιος ἦν. Τοῦτο οὖν λέγει, ὅτι οὐκ ἦν ψιλὸς ἄνθρωπος. Διὰ τοῦτό φησιν, «ἐν ὁμοιώματι ἀνθρώπων». Ἡμεῖς μὲν γὰρ ψυχὴ καὶ σῶμά ἐσμεν· ἐκεῖνος δὲ Θεός, καὶ ψυχή, καὶ σῶμα. Διὰ τοῦτό φησιν, «ἐν ὁμοιώματι». Ἵνα γὰρ μὴ ἀκούσας, ὅτι ἐκένωσεν ἑαυτόν, μεταβολὴν νομίσῃς καὶ μετάπτωσιν καὶ ἀφανισμόν τινα, μένων, φησίν, ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν, καὶ σὰρξ γενόμενος ἔμενε Θεὸς λόγος ὤν. Ὥστε κατὰ τοῦτο ὅμοιος ἀνθρώπῳ, καὶ διὰ τοῦτό φησι, «καὶ σχήματι». Οὐχ ἡ φύσις μετέπεσεν, οὐδὲ σύγχυσίς τις ἐγένετο, ἀλλὰ σχήματι ἐγένετο.

Εἰπὼν γάρ, ὅτι μορφὴν δούλου ἔλαβεν, ἐθάρσησε λοιπὸν καὶ τοῦτο εἰπεῖν, ὡς ἐκείνου πάντας ἐπιστομίζοντος. Ἐπεὶ καὶ ὅταν λέγῃ, «ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας», οὐ τοῦτό

---

6. Β' Κορ. 4, 5.

ἄνθρωπος ψιλὸς καὶ ἐξ αἰτίας τῶν ἔργων του λέγεται μορφὴ Θεοῦ, διατί δὲν λέγομεν τὸ αὐτὸ καὶ διὰ τὸν Πέτρον; διότι ἐπραγματοποίησε μεγαλύτερα ἔργα ἀπ' αὐτόν. Διατί δὲν λέγεις καὶ διὰ τὸν Παῦλον, ὅτι εἶχε μορφὴν Θεοῦ; διατί δὲν ἔφερε καὶ ἀπὸ τὸν ἑαυτόν του τὸ παράδειγμα ὁ Παῦλος, ὁ ὁποῖος ἔπραξε πάρα πολλὰ ταπεινὰ καὶ δὲν ἔπαυσε νὰ λέγῃ· «Διότι δὲν κηρύττομεν τὸν ἑαυτόν μας, ἀλλὰ τὸν μὲν Ἰησοῦν Χριστὸν ὡς Κύριον, τοὺς ἑαυτούς μας δὲ δούλους ἰδικούς σας πρὸς δόξαν τοῦ Ἰησοῦ»[6]. Αὐτὰ προκαλοῦν γέλιο καὶ εἶναι φλυαρία. Πῶς ἐκένωσε τὸν ἑαυτόν του, εἰπέ, καὶ τί εἶναι ἡ κένωσις; τί ἡ ταπείνωσις; ἢ ἐπειδὴ ἐνήργησε θαύματα; Τοῦτο ἔκαμε καὶ ὁ Παῦλος καὶ ὁ Πέτρος, ὥστε νὰ μὴ εἶναι τοῦτο ἐξαιρετικὸν προνόμιον τοῦ Υἱοῦ.

Τί λοιπὸν σημαίνει τὸ «γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους»; Πολλὰ μὲν χαρακτηριστικὰ εἶχε τὰ ἰδικά μας, πολλὰ δὲ δὲν εἶχεν, ὅπως δὲν ἐγεννήθη ἀπὸ συνουσίαν, ἁμαρτίαν δὲν ἔπραξε. Αὐτὰ ὑπῆρχαν εἰς αὐτόν, τὰ ὁποῖα δὲν ὑπάρχουν εἰς κανένα ἄνθρωπον. Δὲν ἦτο μόνον αὐτὸ ποὺ ἐφαίνετο, ἀλλὰ καὶ Θεός. Ἐφαίνετο μὲν ἄνθρωπος, ὅμως δὲν ἦτο ὅμοιος μὲ τὰ πολλὰ τῶν ἀνθρώπων. Βέβαια ὡς πρὸς τὴν σάρκα μὲν ἦτο ὅμοιος. Τοῦτο λοιπὸν λέγει, ὅτι δὲν ἦτο ψιλὸς ἄνθρωπος. Διὰ τοῦτο λέγει, «ὅμοιος πρὸς τοὺς ἀνθρώπους». Διότι ἡμεῖς μὲν εἴμεθα ψυχὴ καὶ σῶμα· ἐκεῖνος δὲ Θεὸς καὶ ψυχὴ καὶ σῶμα. Διὰ τοῦτο λέγει, «ὅμοιος». Διὰ νὰ μὴ νομίσῃς, ὅταν ἀκούσῃς ὅτι ἐκένωσε τὸν ἑαυτόν του, ὅτι ἔπαθε κάποιαν μεταβολὴν καὶ μετάπτωσιν καὶ ἐξαφάνισιν, ἐνῷ μένει, λέγει, ἐκεῖνο ποὺ ἦτο, ἔλαβεν ἐκεῖνο ποὺ δὲν ἦτο, καὶ γενόμενος ἄνθρωπος ἔμενε Θεὸς Λόγος διὰ παντός. Ὥστε κατὰ τοῦτο ἔγινεν ὅμοιος πρὸς τὸν ἄνθρωπον, καὶ διὰ τοῦτο λέγει, «καὶ κατὰ τὸ ἐξωτερικὸν σχῆμα». Δὲν μετεβλήθη ἡ φύσις, οὔτε ἔγινε σύγχυσις, ἀλλ' ἔγινε κατὰ τὸ σχῆμα.

Ἀφοῦ λοιπὸν εἶπεν, ὅτι ἔλαβε μορφὴν δούλου, εἰς τὴν συνέχειαν ἔλαβε θάρρος νὰ εἴπῃ καὶ τοῦτο, ὡς νὰ ἀποστομώνῃ ἐκεῖνο ὅλους. Ἐπειδὴ καὶ ὅταν λέγῃ, «ὅμοιος μὲ τὴν

φησιν, ὅτι σάρκα οὐκ εἶχεν, ἀλλ' ὅτι ἡ σὰρξ ἐκείνη οὐχ ἥμαρτεν, ἀλλ' ὁμοία ἦν τῇ ἁμαρτωλῷ. Κατὰ τί ὁμοία; Κατὰ τὴν φύσιν, οὐ κατὰ τὴν κακίαν· διὰ τοῦτο ὁμοία ἁμαρτωλοῦ ψυχῆς. Ὥσπερ οὖν ἐκεῖ τὸ ὅμοιον διὰ τὸ μὴ πάντα εἶναι ἴσον, οὕτω καὶ ἐνταῦθα ὁμοίωμα διὰ τὸ μὴ πάντα εἶναι ἴσα· οἷον τὸ μὴ ἐκ συνουσίας, τὸ χωρὶς ἁμαρτίας, τὸ μὴ ψιλὸν ἄνθρωπον. Καὶ καλῶς εἶπεν, «ὡς ἄνθρωπος»· οὐ γὰρ ἦν εἷς τῶν πολλῶν, ἀλλ' ὡς εἷς τῶν πολλῶν. Οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ Θεὸς Λόγος, οὐδὲ οὐσία μετεβλήθη, ἀλλ' ὡς ἄνθρωπος ἐφάνη, οὐ φαντασιοκοπῶν ἡμᾶς, ἀλλὰ παιδεύων εἰς ταπεινοφροσύνην. Ὅταν οὖν εἴπῃ, «ὡς ἄνθρωπος», τοῦτό φησιν· ἐπεὶ καὶ ἀλλαχοῦ φησιν αὐτὸν ἄνθρωπον, ὅταν λέγῃ· «Εἷς Θεός, καὶ εἷς μεσίτης, ἄνθρωπος Χριστὸς Ἰησοῦς».

Εἴρηται ἡμῖν καὶ τὰ πρὸς τούτους· καὶ πρὸς τοὺς μὴ λέγοντας δὲ ἀνειληφέναι ψυχήν, ἀναγκαῖον εἰπεῖν. Εἰ ἡ μορφὴ τοῦ Θεοῦ τέλειος Θεός, καὶ ἡ μορφὴ τοῦ δούλου τέλειος δοῦλος. Πάλιν πρὸς Ἀρειανούς. «Μορφὴ Θεοῦ ὑπάρχων», φησίν, «οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ». Ἐνταῦθα περὶ τῆς θεότητος, οὐδαμοῦ τό, ἐγένετο, οὐδαμοῦ τό, ἔλαβεν. «Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος». Ἐνταῦθα περὶ τῆς ἀνθρωπότητος, τὸ ἔλαβε, καὶ ἐγένετο. Τοῦτο ἐγένετο, τοῦτο ἔλαβεν· ἐκεῖνο ὑπῆρχε. Μὴ δὴ συγχέωμεν, μηδὲ διϊστῶμεν. Εἷς Θεός, εἷς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ. Τὸ δέ, εἷς, ὅταν εἴπω, ἕνωσιν λέγω, οὐ σύγχυσιν, τῆς φύσεως ταύτης εἰς ἐκείνην μεταπεσούσης, ἀλλὰ ἡνωμένης. «Ἐταπείνωσεν ἑαυτόν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ». Ἰδού, φησίν, ὑπήκοος γέγονεν ἑκών, οὐκ ἴσος ἦν τῷ ᾧ ὑπήκουσεν. Οὐδὲν τοῦτο αὐτὸν ἐλαττοῖ, ὦ ἀγνώμονες καὶ ἀνόητοι· ἐπεὶ καὶ φίλοις ὑπακούομεν ἡμεῖς, καὶ οὐδὲν τοῦτο ποιεῖ. Ὡς Υἱὸς

---

7. Α´ Τιμ. 2, 5.

σάρκα τῆς ἁμαρτίας», δὲν ἐννοεῖ τοῦτο, ὅτι δηλαδὴ δὲν εἶχε σάρκα, ἀλλ' ὅτι ἡ σὰρξ ἐκείνη δὲν ἡμάρτησεν, ἀλλ' ἦτο ὁμοία πρὸς τὴν σάρκα τοῦ ἁμαρτωλοῦ. Κατὰ τί ὁμοία; Κατὰ τὴν φύσιν, ὄχι κατὰ τὴν κακίαν· διὰ τοῦτο ἦτο ὁμοία πρὸς τὴν ψυχὴν τοῦ ἁμαρτωλοῦ. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ τὸ ὅμοιον ἐπειδὴ δὲν εἶναι ὅλα ἴσα, ἔτσι καὶ ἐδῶ ἡ ὁμοιότης ἐπειδὴ δὲν εἶναι ὅλα ἴσα, ὅπως τὸ ὅτι δὲν ἐγεννήθη ἐκ συνουσίας, τὸ ὅτι ἦτο χωρὶς ἁμαρτίαν, τὸ ἦτο δὲν ἦτο ψιλὸς ἄνθρωπος. Καὶ καλῶς εἶπεν «ὡς ἄνθρωπος», διότι δὲν ἦτο ἕνας ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους, ἀλλ' ὡς ἕνας ἀπὸ τοὺς πολλούς. Διότι ὁ Θεὸς Λόγος δὲν μετεβλήθη εἰς ἄνθρωπον, οὔτε ἡ οὐσία του μετεβλήθη, ἀλλ' ὡς ἄνθρωπος ἐφάνη, ὄχι μὲ σκοπὸν νὰ μᾶς ἐξαπατήσῃ διὰ φαντασιοκοπιῶν, ἀλλὰ νὰ μᾶς διδάξῃ τὴν ταπεινοφροσύνην. Ὅταν λοιπὸν λέγῃ «ὡς ἄνθρωπος», τοῦτο ἐννοεῖ, ἐπειδὴ καὶ ἀλλοῦ ἀποκαλεῖ αὐτὸν ἄνθρωπον, ὅταν λέγῃ· «Ἕνας εἶναι ὁ Θεὸς καὶ ἕνας ὁ μεσίτης, ὁ ἄνθρωπος Ἰησοῦς Χριστός»[7].

Εἴπομεν καὶ τὰ πρὸς τούτους· καὶ εἶναι ἀνάγκη νὰ εἴπουμεν καὶ πρὸς αὐτούς, ποὺ δὲν λέγουν ὅτι ἔχει ἀναλάβει ψυχήν. Ἐὰν ἡ μορφὴ τοῦ Θεοῦ σημαίνῃ τέλειος Θεός, καὶ ἡ μορφὴ τοῦ δούλου σημαίνει τέλειος δοῦλος. Πάλιν ὁ λόγος πρὸς τοὺς Ἀρειανούς. «Ἂν καὶ ὑπῆρχεν ἐν μορφῇ Θεοῦ, λέγει, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν». Ἐδῶ ὁ λόγος εἶναι διὰ τὴν θεότητα, πουθενὰ τὸ 'ἔγινε', πουθενὰ τὸ 'ἔλαβεν'. «Ἀλλ' ἐκένωσε τὸν ἑαυτόν του καὶ ἔλαβε μορφὴν δούλου, γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους». Ἐδῶ τὸ 'ἔλαβεν' καὶ τὸ 'ἔγινε' ἀναφέρονται εἰς τὴν ἀνθρωπίνην φύσιν. Τοῦτο ἔγινε, τοῦτο ἔλαβεν, ἐκεῖνο ὑπῆρχε. Ἂς μὴ τὰ συγχέωμεν λοιπόν, οὔτε νὰ τὰ διαχωρίζωμεν. Ἕνας εἶναι ὁ Θεός, ἕνας εἶναι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ. Ὅταν δὲ εἰπῶ τὸ «ἕνας», ἐννοῶ ἕνωσιν, ὄχι σύγχυσιν, ἡ φύσις αὐτὴ νὰ μεταβληθῇ εἰς ἐκείνην, ἀλλ' ἡνωμένη. «Ἐταπείνωσε τὸν ἑαυτόν του γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυρικοῦ». Ἰδού, λέγει, ἔχει γίνει ὑπήκοος μὲ τὴν

Πατρὶ ὑπήκουσεν, οὐκ εἰς δουλικὸν ἀξίωμα καταπεσών, ἀλλὰ τούτῳ αὐτῷ μάλιστα φυλάττων τῆς γνησιότητος τὸ θαῦμα, τῇ πολλῇ περὶ τὸν Πατέρα τιμῇ. Ἐτίμησε τὸν Πατέρα, οὐχ ἵνα σὺ αὐτὸν ἀτιμάσῃς, ἀλλ' ἵνα μᾶλλον θαυμάσῃς, ἵνα καὶ ἀπὸ τούτου μάθῃς, ὅτι γνήσιος Υἱός, τῷ μάλιστα πάντων τὸν Πατέρα τετιμηκέναι. Οὐδεὶς οὕτως ἐτίμησε τὸν Θεόν. Ὅσον εἶχε τὸ ὕψος, τοσαύτην ταπείνωσιν ὑπέστη ἀντίρροπον. Ὥσπερ πάντων ἐστὶ μείζων, καὶ οὐδεὶς αὐτῷ ἴσος, οὕτω καὶ τῇ περὶ τὸν Πατέρα τιμῇ πάντας ἐνίκησεν, οὐκ ἀναγκασθείς, οὐδὲ ἄκων, ἀλλὰ καὶ τοῦτο τῆς ἀρετῆς αὐτοῦ· ἢ οὐκ ἔχω πως εἴπω. Βαβαί, μέγα καὶ τὸ δοῦλον γενέσθαι, καὶ σφόδρα ἄρρητον· τὸ δὲ καὶ θάνατον ἀποστῆναι, πάλιν πολλῷ πλέον.

Ἀλλ' ἔστι καὶ ἕτερόν τι τούτου μεῖζον καὶ παραδοξότερον. Διὰ τί; Ὅτι οὐχ ἅπας θάνατος ὅμοιος. Οὗτος γὰρ ὁ πάντων ἐπονειδιστικώτερος εἶναι ἐδόκει, οὗτος ὁ αἰσχύνης γέμων, οὗτος ὁ ἐπάρατος· «Ἐπικατάρατος» γάρ, φησί, «πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου». Διὰ τοῦτο καὶ Ἰουδαῖοι τούτῳ ἐσπούδασαν αὐτὸν ἀνελεῖν, ὥστε καὶ ἐπονείδιστον ἐργάσασθαι, ἵνα εἰ καὶ τῷ ἀναιρεθῆναι μηδεὶς ἀπέχηται αὐτοῦ, ἀλλὰ τῷ οὕτως ἀναιρεθῆναι. Διὰ τοῦτο καὶ λῃσταὶ δύο μεταξὺ αὐτοῦ ἐσταυρώθησαν, ἵνα κοινωνήσῃ τῆς δόξης αὐτοῖς, καὶ πληρωθῇ τὸ εἰρημένον, «Καὶ μετὰ ἀνόμων ἐλογίσθη». Ἀλλὰ τοσούτῳ μᾶλλον ἡ ἀλήθεια λάμπει, τοσούτῳ φαιδροτέρα γίνεται. Ὅταν γὰρ τοσαῦτα ᾖ μηχανήματα παρὰ τῶν ἐχθρῶν κατὰ

8. Γαλ. 3, 13.
9. Ἡσ. 53, 12.

θέλησίν του, δὲν ἦτο ἴσος πρὸς ἐκεῖνον εἰς τὸν ὁποῖον ὑπήκουσε. Τοῦτο δὲν μειώνει αὐτὸν καθόλου, ἀγνώμονες καὶ ἀνόητοι, καθόσον ἡμεῖς ὑπακούομεν καὶ εἰς τοὺς φίλους, καὶ δὲν μᾶς ὑποβιβάζει αὐτὸ καθόλου. Ὡς Υἱὸς εἰς τὸν Πατέρα ὑπήκουσε, χωρὶς νὰ περιπέσῃ εἰς δουλικὸν ἀξίωμα, ἀλλ' εἰς αὐτὸ ἀκριβῶς φυλάσσων μάλιστα τὸ θαῦμα τῆς γνησιότητος, εἰς τὴν μεγάλην τιμὴν πρὸς τὸν Πατέρα. Ἐτίμησε τὸν Πατέρα, ὄχι διὰ νὰ ἀτιμάσῃς σὺ αὐτόν, ἀλλὰ διὰ νὰ θαυμάσῃς περισσότερον, ὥστε καὶ ἀπὸ τοῦτο νὰ μάθῃς, ὅτι εἶναι γνήσιος Υἱός, ἀπὸ τὸ ὅτι ἔχει τιμήσει τὸν Πατέρα περισσότερον ἀπὸ ὅλους. Κανεὶς δὲν ἐτίμησεν ἔτσι τὸν Θεόν. Ὅσον ὕψος εἶχε, τόσον μεγάλην ταπείνωσιν ὑπέστη ὡς ἀντίρροπον. Ὅπως εἶναι μεγαλύτερος ὅλων, καὶ κανεὶς δὲν εἶναι ἴσος πρὸς αὐτόν, ἔτσι καὶ εἰς τὴν τιμὴν πρὸς τὸν Πατέρα ἐνίκησεν ὅλους, χωρὶς νὰ ἀναγκασθῇ, οὔτε παρὰ τὴν θέλησίν του, ἀλλὰ καὶ τοῦτο εἶναι ἐκδήλωσις τῆς ἀρετῆς του ἢ δὲν ἠμπορῶ πῶς νὰ τὸ εἰπῶ. Μέγα καὶ τὸ νὰ γίνῃ δοῦλος καὶ πάρα πολὺ ἀνέκφραστον· τὸ νὰ ὑποστῇ ὅμως θάνατον, πάλιν πολὺ περισσότερον.

Ἀλλὰ ὑπάρχει καὶ κάτι ἄλλο μεγαλύτερον καὶ παραδοξότερον ἀπὸ τοῦτο. Διατί; Διότι δὲν εἶναι ὅμοιος ὁ κάθε θάνατος. Διότι ὁ θάνατος αὐτὸς ἐφαίνετο ὅτι εἶναι ὁ περισσότερον ἐπονειδιστικός, αὐτὸς εἶναι πλήρης αἰσχύνης, αὐτὸς εἶναι ὁ κατ' ἐξοχὴν κατηραμένος· «Διότι εἶναι κατηραμένος», λέγει, «ὁ καθένας ποὺ κρεμᾶται καὶ πεθαίνει ἐπάνω εἰς τὸ ξύλον»[8]. Διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι προσεπάθησαν μὲ τοῦτον νὰ θανατώσουν Αὐτόν, διὰ νὰ τὸν καταστήσουν καὶ ἐπονείδιστον, ὥστε ἂν καὶ μὲ τὸ νὰ θανατωθῇ κανεὶς δὲν ἀπομακρύνεται ἀπ' αὐτόν, ἀλλὰ μὲ τὸ νὰ θανατωθῇ ἔτσι πολλοὶ θὰ ἀπομακρυνθοῦν. Διὰ τοῦτο καὶ δύο λησταὶ ἐσταυρώθησαν μεταξὺ αὐτοῦ, διὰ νὰ μετάσχῃ μὲ αὐτοὺς εἰς τὴν δόξαν καὶ νὰ ἐκπληρωθῇ τὸ λεχθέν, «Καὶ ὑπελογίσθη μαζὶ μὲ τοὺς ἀνόμους»[9]. Ἀλλὰ τόσον περισσότερον λάμπει ἡ ἀλήθεια, τόσον περισσότερον γίνεται φαιδρά. Διότι ὅταν εἶναι τόσον πολλὰ τὰ τεχνάσματα ποὺ

τῆς δόξης αὐτοῦ γινόμενα, διαλάμπῃ δέ, τοσούτῳ μεῖζον δείκνυται. Οὐ γὰρ τῷ ἀποκτεῖναι, ἀλλὰ καὶ τῷ οὕτως ἀποκτεῖναι ᾤοντο βδελυκτὸν αὐτὸν ἐργάσασθαι, καὶ πάντων ἀποφαίνειν βδελυκτότερον· καὶ οὐδὲν ἴσχυσαν. Οὕτω δὲ μιαροί τινες ἦσαν ἀμφότεροι οἱ λῃσταί· ὕστερον γὰρ ὁ εἷς μετεβάλετο· ὅτι καὶ ἐν σταυρῷ ὄντες, ὠνείδιζον αὐτῷ· καὶ οὔτε τὸ συνειδὸς τῶν ἰδίων ἁμαρτημάτων, οὔτε τὸ ἐν κολάσει εἶναι, οὔτε τὸ καὶ αὐτοὺς τὰ αὐτὰ πάσχειν, κατεῖχεν αὐτῶν τὴν μανίαν. Ὅπερ οὖν καὶ ὁ εἷς τῷ ἑνὶ εἶπε, καὶ ἐπεστόμισε λέγων· «Οὐδὲ φοβῇ τὸν Θεὸν σύ, ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν;». Τοσαύτην εἶχον τὴν κακίαν.

«Διό», φησί, «καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα». Ὅταν τῆς σαρκὸς ἐπιλάβηται ὁ μακάριος Παῦλος, πάντα λοιπὸν τὰ ταπεινὰ μετὰ ἀδείας φθέγγεται. Ἕως μὲν γὰρ οὐκ ἔλεγεν, ὅτι μορφὴν δούλου ἔλαβεν, ἀλλὰ περὶ τῆς θεότητος διελέγετο, ὅρα πῶς ὑψηλῶς· ὑψηλῶς λέγω κατὰ τὴν δύναμιν· κατὰ γὰρ τὴν ἀξίαν οὐ φθέγγεται τὴν αὐτοῦ· οὐδὲ γὰρ δύναται· «Ἐν μορφῇ», φησί, «Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ». Ἐπειδὴ δὲ εἶπεν, ὅτι ἐνηνθρώπησε, λοιπὸν ἀδεῶς τὰ ταπεινὰ φθέγγεται, θαρρῶν ὡς οὐδὲν βλάπτει τὴν θεότητα τὸ ταπεινὰ λέγεσθαι, τῆς σαρκὸς αὐτοῦ δεχομένης ταῦτα. «Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός». Εἴπωμεν πρὸς τοὺς αἱρετι-

---

10. Λουκᾶ 23, 40.

γίνονται ἀπὸ τοὺς ἐχθροὺς ἐναντίον τῆς δόξης αὐτοῦ, καὶ λάμπει πολύ, τόσον μεγαλύτερον ἀποδεικνύεται τὸ θαῦμα. Διότι ὄχι μόνον μὲ τὸ νὰ τὸν θανατώσουν, ἀλλὰ καὶ μὲ τὸ νὰ τὸν θανατώσουν κατ' αὐτὸν τὸν τρόπον ἐνόμιζαν ὅτι θὰ καταστήσουν αὐτὸν βδελυρόν, καὶ ὅτι ἀποδεικνύουν αὐτὸν βδελυρώτερον ὅλων. Τίποτε ὅμως δὲν κατώρθωσαν. Ἔτσι δὲ καὶ οἱ δύο λησταὶ ἦσαν μιαροί, ὕστερον ὅμως ὁ ἕνας μετεβλήθη· διότι καὶ ὅταν ἦσαν ἐπάνω εἰς τὸν σταυρόν, ὠνείδιζον αὐτόν· καὶ οὔτε ἡ συνείδησις τῶν ἰδικῶν των ἁμαρτημάτων, οὔτε καὶ τὸ ὅτι εὑρίσκοντο εἰς τὴν κόλασιν, οὔτε καὶ τὸ ὅτι ἔπασχον καὶ αὐτοὶ τὰ ἴδια, ἐσυγκρατοῦσε τὴν μανίαν αὐτῶν. Πρᾶγμα ποὺ βεβαίως καὶ ὁ ἕνας εἶπεν εἰς τὸν ἄλλον καὶ τὸν ἀπεστόμισε λέγων· «Οὔτε τὸν Θεὸν φοβεῖσαι σύ, διότι ὑφιστάμεθα τὴν αὐτὴν καταδίκην, τὴν ὁποίαν καὶ αὐτός;»[10]. Τόσον μεγάλην εἶχον τὴν κακίαν.

«Διὰ τοῦτο, λέγει, καὶ ὁ Θεὸς ὑπερύψωσεν αὐτὸν καὶ ἐχάρισεν εἰς αὐτὸν ὄνομα, ποὺ εἶναι ὑπεράνω ἀπὸ κάθε ἄλλο ὄνομα». Ὅταν ἀναφέρεται εἰς τὴν σάρκα ὁ μακάριος Παῦλος, ὅλα ἔπειτα τὰ εὐτελῆ τὰ λέγει ἀφόβως. Διότι ἕως ὅτου μὲν δὲν ἔλεγεν, ὅτι ἔλαβε μορφὴν δούλου, ἀλλ' ὡμιλοῦσε διὰ τὴν θεότητα, πρόσεχε πῶς ὡμιλοῦσε ὑψηλῶς. Ὑψηλῶς ἐννοῶ κατὰ τὴν δύναμιν, διότι δὲν ὁμιλεῖ κατὰ τὴν ἀξίαν αὐτοῦ, ἄλλωστε δὲ δὲν ἠμπορεῖ. «Ἂν καὶ ὑπῆρχε», λέγει, «ἐν μορφῇ Θεοῦ, δὲν ἐθεώρησεν ὅτι εἶχεν ἐξ ἁρπαγῆς τὴν ἰσότητά του πρὸς τὸν Θεόν». Ἐπειδὴ ὅμως εἶπεν, ὅτι ἔγινεν ἄνθρωπος, ἔπειτα ὁμιλεῖ διὰ τὰ ταπεινὰ ἀφόβως, ἔχων τὴν πεποίθησιν ὅτι δὲν βλάπτει καθόλου τὴν θεότητα τὸ νὰ λέγωνται τὰ ταπεινά, διότι τὰ δέχεται ἐκεῖνα ἡ σὰρξ αὐτοῦ. «Διὰ τοῦτο καὶ ὁ Θεὸς ὑπερύψωσεν αὐτόν, καὶ ἐχάρισεν εἰς αὐτὸν ὄνομα, ποὺ εἶναι ὑπεράνω ἀπὸ κάθε ἄλλο ὄνομα, ὥστε εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ νὰ καμφθῇ κάθε γόνατον, καὶ τῶν εὑρισκομένων εἰς τοὺς οὐρανοὺς ἀγγέλων καὶ τῶν ἐπὶ γῆς ἀνθρώπων καὶ τῶν εἰς τὰ καταχθόνια ὄντων, καὶ κάθε γλῶσσα νὰ ὁμολογήσῃ, ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι Κύριος, διὰ τὴν δόξαν τοῦ Θεοῦ καὶ Πατρός». Ἂς εἴπουμεν πρὸς τοὺς αἱρετικούς, ἐὰν αὐτὰ

κούς, εἰ περὶ τοῦ μὴ σαρκωθέντος ταῦτα λέγεται, εἰ περὶ τοῦ Θεοῦ Λόγου, πῶς αὐτὸν ὑπερύψωσεν; ὡς πλέον τι δεδωκώς; Οὐκοῦν ἀτελὴς ἦν κατὰ τοῦτο, καὶ δι' ἡμᾶς ἐγένετο τέλειος. Εἰ γὰρ μὴ ἡμᾶς εὐηργέτησεν, οὐκ ἂν ἔτυχε τῆς τιμῆς.

«Καὶ ἐχαρίσατο», φησίν, «ὄνομα». Ἰδού, οὐδὲ ὄνομα εἶχε καθ' ὑμᾶς. Πῶς δέ, εἰ ὀφειλὴν ἔλαβεν, εὑρίσκεται ἐνταῦθα χάριτι καὶ δωρεᾷ λαβών, καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; Ποῖον δὲ ἴδωμεν καὶ τὸ ὄνομα· «ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ», φησί, «πᾶν γόνυ κάμψῃ». Ὄνομα αὐτοὶ τὴν δόξαν λέγουσιν. Αὕτη οὖν ἡ δόξα ὑπὲρ πᾶσαν δόξαν ἐστί; δόξα δὲ ὅλως ἐστί, τὸ προσκυνεῖν αὐτῷ; Πόρρω ἀπέχετε τῆς τοῦ Θεοῦ μεγαλειότητος ὑμεῖς, οἱ νομίζοντες εἰδέναι τὸν Θεόν, ὡς αὐτὸς οἶδεν ἑαυτόν. Καὶ ἀπὸ τούτου μὲν δῆλον, ὅσον ἀπέχετε τῆς ἐννοίας τῆς περὶ Θεοῦ· δῆλον δὲ καὶ ἐκ τούτου. Αὕτη δόξα ἐστίν, εἰπέ μοι; Οὐκοῦν πρὶν ἢ τοὺς ἀνθρώπους γενέσθαι, πρὶν ἢ τοὺς ἀγγέλους, πρὶν ἢ τοὺς ἀρχαγγέλους, οὐκ ἦν ἐν δόξῃ. Εἰ γὰρ αὕτη ἐστὶν ἡ δόξα ἡ ὑπὲρ πᾶσαν δόξαν· τοῦτο γάρ ἐστι τὸ ὑπὲρ πᾶν ὄνομα· εἰ καὶ ἐν δόξῃ ἦν, ἀλλ' ἐν ἐλάττονι ταύτης. Οὐκοῦν τοῦτο τὰ ὄντα ἐποίησε, καὶ διὰ τοῦτο, ἵνα ἐν δόξῃ γένηται, οὐκέτι ἀγαθότητι, ἀλλὰ δεόμενος τῆς παρ' ἡμῶν δόξης. Ὁρᾶτε τὴν ἄνοιαν, ὁρᾶτε τὴν ἀσέβειαν; Ἂν μὲν οὖν περὶ τοῦ σαρκωθέντος ταῦτα ἔλεγεν, εἶχε λόγον· ἀνέχεται γὰρ ὁ Θεὸς Λόγος περὶ ῆς σαρκὸς ταῦτα λέγεσθαι· οὐ γὰρ τῆς φύσεως ἅπτεται, ἀλλὰ περὶ τὴν οἰκονομίαν τὸ πᾶν ἵσταται.

Τί δέ ἐστιν, «ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων»; Τουτέστιν, ὁ κόσμος πᾶς, καὶ ἄγγελοι, καὶ ἄνθρωποι, καὶ δαίμονες· ἢ ὅτι καὶ οἱ δίκαιοι, καὶ οἱ ζῶντες, καὶ οἱ ἁμαρτωλοί. «Καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύ-

λέγωνται δι' ἐκεῖνον ποὺ δὲν ἐσαρκώθη, ἐὰν διὰ τὸν Θεὸν Λόγον, πῶς ὑπερύψωσεν αὐτόν; ἐπειδὴ τοῦ εἶχε δώσει κάτι περισσότερον; Ἦτο λοιπὸν ἀτελὴς κατὰ τοῦτο, καὶ δι' ἡμᾶς ἔγινε τέλειος. Διότι ἐὰν δὲν μᾶς εἶχεν εὐεργετήσει, δὲν θὰ ἀπέλαυε τιμῆς.

«Καὶ ἐχάρισε», λέγει, «ὄνομα». Ἰδού, οὔτε ὄνομα εἶχε κατὰ τὴν γνώμην σας. Πῶς δέ, ἐὰν ἔλαβεν ὀφειλήν, παρουσιάζεται ἐδῶ ὡς λαβὼν κατὰ χάριν καὶ δωρεάν, καὶ τὸ ὄνομα, ποὺ εἶναι ὑπεράνω ἀπὸ κάθε ἄλλο ὄνομα; Ἂς ἰδοῦμεν δὲ ποῖον ἦτο καὶ τὸ ὄνομα, «ὥστε εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ νὰ καμφθῇ κάθε γόνατον». Αὐτοὶ τὴν δόξαν λέγουν ὄνομα. Αὐτὴ λοιπὸν ἡ δόξα εἶναι ὑπεράνω ἀπὸ κάθε ἄλλην δόξαν; δόξα δὲ ἐν ὀλίγοις εἶναι, τὸ νὰ προσκυνοῦμεν αὐτόν; Ἀπέχετε μακρὰν ἀπὸ τὴν μεγαλοπρέπειαν τοῦ Θεοῦ σεῖς, οἱ ὁποῖοι νομίζετε ὅτι γνωρίζετε τὸν Θεόν, ὅπως αὐτὸς γνωρίζει τὸν ἑαυτόν του. Καὶ ἀπὸ τοῦτο μὲν εἶναι σαφές, πόσον ἀπέχετε ἀπὸ τὴν ἔννοιαν τοῦ Θεοῦ· γίνεται ὅμως φανερὸν καὶ ἀπὸ τοῦτο. Αὐτὴ εἶναι δόξα; εἰπέ μου. Ἑπομένως προτοῦ νὰ δημιουργηθοῦν οἱ ἄνθρωποι, προτοῦ οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι, δὲν εὑρίσκετο ἐν δόξῃ. Ἐὰν βέβαια αὐτὴ εἶναι ἡ δόξα, ποὺ εἶναι ὑπεράνω ἀπὸ κάθε δόξαν, διότι τοῦτο σημαίνει τὸ ὑπεράνω ἀπὸ κάθε ἄλλο ὄνομα· καὶ ἂν ἀκόμη εὑρίσκετο ἐν δόξῃ, ὅμως εἰς μικρότερον βαθμὸν ἀπ' αὐτήν. Συνεπῶς διὰ τοῦτο ἐδημιούργησε τὰ ὄντα, διὰ νὰ δοξάζεται, καὶ ὄχι ἐξ αἰτίας τῆς ἀγαθότητός του, ἀλλ' ἐπειδὴ ἔχει ἀνάγκην νὰ δοξάζεται ἀπὸ ἡμᾶς. Βλέπετε τὴν μωρίαν; βλέπετε τὴν ἀσέβειαν; Ἂν μὲν λοιπὸν ἔλεγεν αὐτὰ περὶ τοῦ σαρκωθέντος, εἶχε δικαιολογίαν, διότι ὁ Θεὸς Λόγος ἀνέχεται νὰ λέγωνται αὐτὰ διὰ τὴν σάρκα. Διότι δὲν ἅπτεται τῆς φύσεως, ἀλλὰ τὸ πᾶν ἵσταται περὶ τὴν οἰκονομίαν τοῦ πράγματος.

Τί δὲ σημαίνει, «τῶν εὑρισκομένων εἰς τοὺς οὐρανοὺς καὶ ἐπὶ γῆς καὶ εἰς τὰ καταχθόνια»; Δηλαδή, ὅλος ὁ κόσμος, καὶ οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι καὶ οἱ δαίμονες ἢ ὅτι καὶ οἱ δίκαιοι καὶ οἱ ζῶντες καὶ οἱ ἁμαρτωλοί. «Καὶ

ριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός». Τουτέστιν, ἵνα πάντες τοῦτο εἴπωσι· τοῦτο δὲ δόξα τοῦ Πατρός. Ὁρᾷς πανταχοῦ, ὅταν ὁ Υἱὸς δοξάζηται, τὸν Πατέρα δοξαζόμενον; Οὕτω καὶ ὅταν ἀτιμάζηται ὁ Υἱός, ὁ Πατὴρ ἀτιμάζεται. Εἰ γὰρ ἐφ' ἡμῶν τοῦτο, ἔνθα πολὺ τοῖς πατράσι πρὸς τοὺς υἱοὺς τὸ μέσον, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ, ἔνθα μέσον οὐδέν, ἐπ' αὐτὸν διαβαίνει καὶ ἡ τιμὴ καὶ ἡ ὕβρις. Ἂν γὰρ ἡ οἰκουμένη ὑποταγῇ τῷ Υἱῷ, φησί, τοῦτο Πατρός ἐστι δόξα.

Οὐκοῦν καὶ ὅταν λέγωμεν, ὅτι τέλειός ἐστιν, ἀνενδεής, ὅτι οὐκ ἐλάττων τοῦ Πατρός, τοῦτο δόξα τοῦ Πατρός, ὅτι τοιοῦτον ἐγέννησε. Τοῦτο καὶ τῆς δυνάμεως αὐτοῦ τεκμήριον μέγα, καὶ τῆς ἀγαθότητος καὶ τῆς σοφίας, ὅτι οὐδὲν ἐλάττονα, οὔτε κατὰ τὴν σοφίαν, οὔτε κατὰ τὴν ἀγαθότητα. Ὅταν εἴπω, ὅτι σοφός ἐστιν, ὡς ὁ Πατήρ, καὶ οὐδὲν ἐλάττων, τοῦτο τῆς πολλῆς τοῦ Πατρὸς σοφίας τεκμήριον· ὅταν εἴπω, ὅτι δυνατός ἐστιν, ὡς ὁ Πατήρ, τοῦτο τῆς δυνάμεως αὐτοῦ τεκμήριον· ὅταν εἴπω, ὅτι ἀγαθός ἐστιν, ὡς ὁ Πατήρ, τοῦτο τῆς ἀγαθότητος αὐτοῦ δεῖγμα μέγιστον ὅτι τοιοῦτον ἐγέννησεν, οὐδὲν αὐτοῦ λειπόμενον, οὐδὲ ἀποδέοντα· ὅταν εἴπω, ὅτι οὐκ ἐλάττονα κατὰ τὴν οὐσίαν, ἀλλ' ἴσον οὐδὲ ἑτέρας οὐσίας, καὶ ἐν τούτῳ πάλιν τὸν Θεὸν θαυμάζω καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν ἀγαθότητα καὶ τὴν σοφίαν, ὅτι ἄλλον ὑμῖν τοιοῦτον ἔδειξεν ἐξ αὐτοῦ, πλὴν τοῦ Πατέρα εἶναι. Ὥστε ὅσα ἂν εἴπω μεγάλα περὶ τοῦ Υἱοῦ, ταῦτα εἰς τὸν Πατέρα διαβαίνει. Εἰ γὰρ τὸ μικρὸν τοῦτο καὶ εὐτελές· μικρὸν γάρ ἐστι πρὸς τὴν τοῦ Θεοῦ δόξαν τὸ τὴν οἰκουμένην αὐτῷ προσκυνῆσαι· εἰς Δόξαν Θεοῦ γίνεται, πόσῳ μᾶλλον τὰ ἄλλα πάντα;

Πιστεύωμεν τοίνυν εἰς δόξαν αὐτοῦ καὶ βιῶμεν εἰς δόξαν αὐτοῦ· ἐπεὶ οὐδὲν ὄφελος θατέρου. Ὥστε ὅταν δοξάζω-

κάθε γλῶσσα θὰ ὁμολογήσῃ ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι Κύριος, διὰ τὴν δόξαν τοῦ Θεοῦ καὶ Πατρός». Δηλαδή, διὰ νὰ εἰποῦν τοῦτο ὅλοι· τοῦτο δὲ εἶναι ἡ δόξα τοῦ Πατρός. Βλέπεις παντοῦ, ὅταν δοξάζεται ὁ Υἱός, νὰ δοξάζεται ὁ Πατήρ; Ἔτσι καὶ ὅταν ἀτιμάζεται ὁ Υἱός, ἀτιμάζεται ὁ Πατήρ. Ἐὰν βέβαια τοῦτο ἰσχύῃ εἰς ἡμᾶς, ὅπου ὑπάρχει μεγάλη διαφορὰ τῶν πατέρων πρὸς τοὺς υἱούς, πολὺ περισσότερον εἰς τὸν Θεόν, ὅπου δὲν ὑπάρχει καμμία διαφορά, πρὸς αὐτὸν μεταβαίνει καὶ ἡ τιμὴ καὶ ἡ ὕβρις. Διότι ἂν ὁ κόσμος ὅλος ὑποταγῇ εἰς τὸν Υἱόν, λέγει, τοῦτο εἶναι δόξα τοῦ Πατρός.

Συνεπῶς καὶ ὅταν λέγωμεν, ὅτι ὁ Υἱὸς εἶναι τέλειος, ἀνενδεής, ὅτι δὲν εἶναι μικρότερος τοῦ Πατρός, τοῦτο εἶναι δόξα τοῦ Πατρός, διότι ἔτσι τὸν ἐγέννησε. Τοῦτο εἶναι μεγάλη ἀπόδειξις καὶ τῆς δυνάμεως αὐτοῦ, καὶ τῆς ἀγαθότητος καὶ τῆς σοφίας, διότι δὲν μειονεκτεῖ καθόλου, οὔτε κατὰ τὴν σοφίαν, οὔτε κατὰ τὴν ἀγαθότητα. Ὅταν εἰπῶ, ὅτι εἶναι σοφός, ὅπως ὁ Πατήρ, καὶ καθόλου μικρότερος, τοῦτο εἶναι ἀπόδειξις τῆς μεγάλης σοφίας τοῦ Πατρός· ὅταν εἰπῶ, ὅτι εἶναι δυνατός, ὅπως ὁ Πατήρ, τοῦτο εἶναι ἀπόδειξις τῆς δυνάμεως αὐτοῦ· ὅταν εἰπῶ, ὅτι εἶναι ἀγαθός, ὅπως ὁ Πατήρ, τοῦτο εἶναι μεγίστη ἀπόδειξις τῆς ἀγαθότητος αὐτοῦ, διότι τοιοῦτον τὸν ἐγέννησε, καθόλου κατώτερον ἀπ' αὐτόν, οὔτε ὑπολειπόμενον κατὰ κάτι· ὅταν εἰπῶ, ὅτι δὲν εἶναι ὑποδεέστερος κατὰ τὴν οὐσίαν, ἀλλ' ἴσος, οὔτε ἀπὸ ἄλλην οὐσίαν, καὶ μὲ τοῦτο πάλιν τὸν Θεὸν θαυμάζω, καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν ἀγαθότητα καὶ τὴν σοφίαν, διότι ἀπ' αὐτὸν προσέφερεν εἰς ἡμᾶς ἄλλον ὅμοιον ἐκτὸς ἀπὸ τὸ ὅτι δὲν εἶναι Πατήρ. Ὥστε ὅσα μεγάλα ἂν εἰπῶ διὰ τὸν Υἱόν, μεταβαίνουν αὐτὰ εἰς τὸν Πατέρα. Διότι ἐὰν τὸ μικρὸν τοῦτο καὶ ἀσήμαντον, καθόσον εἶναι μικρὸν συγκρινόμενον πρὸς τὴν δόξαν τοῦ Θεοῦ τὸ νὰ προσκυνήσῃ αὐτὸν ὅλος ὁ κόσμος, εἶναι διὰ τὴν δόξαν τοῦ Θεοῦ, πόσῳ μᾶλλον ὅλα τὰ ἄλλα;

Ἂς ἔχωμεν λοιπὸν πίστιν διὰ τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἂς ζῶμεν πρὸς δόξαν αὐτοῦ, ἐπειδὴ δὲν ὑπάρχει καμ-

μεν καλῶς, μὴ ζῶμεν δὲ καλῶς, τότε μάλιστα ὑβρίζομεν αὐτόν, ὅτι ἐπιγραφόμενοι αὐτὸν δεσπότην καὶ διδάσκαλον, καταφρονοῦμεν αὐτοῦ, καὶ οὐ δεδοίκαμεν τὸ φοβερὸν ἐκεῖνο κριτήριον. Τὸ μὲν γὰρ Ἕλληνας ἀκαθάρτως βιοῦν, θαυμαστὸν οὐδέν, οὐδὲ τοσαύτης καταγνώσεως ἄξιον· τὸ δὲ Χριστιανοὺς τοσούτων μετέχοντας μυστηρίων, τοσαύτης ἀπολαύοντας δόξης, οὕτως ἀκαθάρτως βιοῦν, τοῦτό ἐστι τὸ πάντων χείριστον καὶ ἀφόρητον. Εἰπὲ γάρ μοι· ὑπήκουσε τὴν ἐσχάτην ὑπακοήν, διὰ τοῦτο ἔλαβε τὴν ἄνω τιμήν· δοῦλος ἐγένετο, διὰ τοῦτο δεσπότης ἐστὶ πάντων, καὶ ἀγγέλων καὶ τῶν ἄλλων ἁπάντων. Ὥστε καὶ ἡμεῖς μὴ νομίζωμεν κατέρχεσθαι ἀπὸ τοῦ ἀξιώματος, ὅταν ταπεινώσωμεν ἑαυτούς. Τότε γὰρ μᾶλλόν ἐστιν ὑψωθῆναι· εἰκότως· τότε μάλιστά ἐστι θαυμασθῆναι. Ὅτι γὰρ ὁ ὑψηλὸς ταπεινός ἐστιν, ὁ δὲ ταπεινὸς ὑψηλός, ἀρκεῖ μὲν καὶ ἡ τοῦ Χριστοῦ ἀπόφασις τοῦτο λέγουσα· πλὴν ἀλλὰ καὶ αὐτὸ τὸ πρᾶγμα ἐξετάσωμεν.

Τί ἐστι ταπεινωθῆναι; οὐ τὸ ψέγεσθαι, οὐ τὸ κατηγορεῖσθαι καὶ διαβάλλεσθαι; Τί δὲ ὑψωθῆναι; τὸ τιμᾶσθαι, τὸ ἐπαινεῖσθαι, τὸ δοξάζεσθαι. Καλῶς. Ἴδωμεν οὖν πῶς τοῦτο γίνεται. Ἄγγελος ὢν ὁ Σατανᾶς, ὕψωσεν ἑαυτόν· τί οὖν; οὐχὶ πάντων μᾶλλον ἐταπεινώθη; οὐχὶ χωρίον ἔχει τὴν γῆν; οὐχὶ ὑπὸ πάντων κατηγορεῖται καὶ διαβάλλεται; Ἄνθρωπος ὢν ὁ Παῦλος, ἐταπείνωσεν ἑαυτόν· τί οὖν; οὐχὶ θαυμάζεται; οὐχὶ ἐπαινεῖται; οὐχὶ ἐγκωμιάζεται; οὐχὶ φίλος ἐστὶ τοῦ Χριστοῦ; οὐχὶ μείζονα εἰργάσατο ὧν ὁ Χριστὸς ἐποίησεν; οὐχ ὡς ἀνδραπόδῳ πολλάκις ἐπέταξε τῷ διαβόλῳ; οὐχὶ ὡς δήμιον περιέφερεν; οὐχὶ ἔπαιζεν ἐν αὐτῷ; οὐχὶ συντετριμμένην αὐτοῦ τὴν κεφαλὴν εἶχεν ὑπὸ τοὺς πόδας τοὺς αὐτοῦ; οὐχὶ καὶ ἑτέροις μετὰ πολλῆς τῆς παρρησίας τοῦτο ἐπηύχετο; Τί λέγω; Ἐπῆρεν ἑαυτὸν ὁ Ἀβεσσα-

μία ὠφέλεια ἀπὸ τὸ ἕνα ἐκ τῶν δύο. Ὥστε ὅταν δοξάζωμεν καλῶς, καὶ δὲν ζῶμεν καλῶς, τότε ὑβρίζομεν αὐτὸν εἰς τὸν ὑπέρτατον βαθμόν, διότι ἀποκαλοῦντες αὐτὸν Κύριον καὶ διδάσκαλον, περιφρονοῦμεν αὐτὸν καὶ δὲν φοβούμεθα τὴν φοβερὰν κρίσιν ἐκείνου. Δὲν εἶναι βέβαια καθόλου παράδοξον νὰ ζοῦν οἱ εἰδωλολάτραι ἀκαθάρτως, οὔτε ἄξιον τόσον μεγάλης κατακρίσεως. Οἱ Χριστιανοὶ ὅμως, ποὺ μετέχουν εἰς τόσα μυστήρια καὶ ἀπολαύουν τόσον μεγάλης δόξης, νὰ ζοῦν ἔτσι ἀκαθάρτως, τοῦτο εἶναι τὸ χειρότερον ὅλων καὶ ἀνυπόφορον. Διότι εἰπέ μου· ὑπήκουσε τὴν ἐσχάτην ὑπακοήν, διὰ τοῦτο ἔλαβε τὴν ἄνω τιμήν· ἔγινε δοῦλος, διὰ τοῦτο εἶναι κύριος πάντων, καὶ τῶν ἀγγέλων καὶ ὅλων τῶν ἄλλων. Συνεπῶς καὶ ἡμεῖς νὰ μὴ νομίζωμεν ὅτι ὑποβιβαζόμεθα ἀπὸ τὸ ἀξίωμά μας, ὅταν ταπεινώσωμεν τὸν ἑαυτόν μας. Διότι τότε εἶναι δυνατὸν νὰ ἐξυψωθοῦμεν περισσότερον· εὐλόγως τότε εἶναι δυνατὸν νὰ τιμηθοῦμεν εἰς τὸν ὑπέρτατον βαθμόν. Ὅτι βέβαια ὁ ὑψηλὸς εἶναι ταπεινός, ὁ δὲ ταπεινὸς ὑψηλός, εἶναι ἀρκετὴ μὲν καὶ ἡ ἀπόκρισις τοῦ Χριστοῦ ποὺ λέγει τοῦτο, πλὴν ὅμως ἂς ἐξετάσωμεν καὶ αὐτὸ τὸ πρᾶγμα.

Τί σημαίνει νὰ ταπεινωθοῦμεν; δὲν σημαίνει νὰ μᾶς ψέγουν, νὰ μᾶς κατηγοροῦν καὶ νὰ μᾶς διαβάλλουν; Καὶ τί νὰ ὑψωθοῦμεν; τὸ νὰ μᾶς τιμοῦν, νὰ μᾶς ἐπαινοῦν, νὰ μᾶς δοξάζουν. Καλῶς. Ἂς ἰδοῦμεν λοιπὸν πῶς γίνεται τοῦτο. Ὁ σατανᾶς, ἄγγελος ὤν, ὕψωσε τὸν ἑαυτόν του. Τί λοιπὸν συνέβη; δὲν ἐταπεινώθη περισσότερον ἀπὸ ὅλους; δὲν ἔχει τόπον παραμονῆς τὴν γῆν; δὲν κατηγορεῖται καὶ διαβάλλεται ἀπὸ ὅλους; Ὁ Παῦλος, ἄνθρωπος ὤν, ἐταπείνωσε τὸν ἑαυτόν του. Τί λοιπόν; δὲν θαυμάζεται; δὲν ἐπαινεῖται; δὲν ἐγκωμιάζεται; δὲν εἶναι φίλος τοῦ Χριστοῦ; δὲν ἐπραγματοποίησε μεγαλύτερα ἀπὸ ὅσα ἔπραξεν ὁ Χριστός; δὲν διέταξε πολλὰς φορὰς τὸν διάβολον ὡς δοῦλον; δὲν τὸν περιέφερεν ὡς δήμιον; δὲν τὸ περιέπαιζε; δὲν εἶχε κάτω ἀπὸ τὰ πόδια του συντετριμμένον τὸ κεφάλι αὐτοῦ; δὲν ηὔχετο τοῦτο καὶ εἰς τοὺς ἄλλους μὲ πολλὴν παρρησίαν; Διατί λέγω αὐτά; Ἐξύψωσε τὸν ἑαυ-

λώμ, ἐταπείνωσεν ἑαυτὸν ὁ Δαυΐδ· ποῖος ὑψηλὸς ἐγένετο; τίς ἐπίδοξος; Τί γὰρ ταπεινότερον τῶν ῥημάτων τούτων, ὧν ἐπὶ τοῦ Σεμεεὶ ἐφθέγγετο ὁ μακάριος οὗτος προφήτης, λέγων· «Ἄφετε αὐτὸν καταρᾶσθαι· Κύριος γὰρ ἐνετείλατο αὐτῷ»;.

Καὶ ἐπ' αὐτῶν δὲ τῶν πραγμάτων ἐξετάσωμεν, εἰ δοκεῖ. Ἐταπείνωσεν ἑαυτὸν ὁ τελώνης, καίτοιγε οὐδὲ ταπεινοφροσύνη τὸ πρᾶγμα ἦν, ἀλλὰ πῶς; εὐγνωμόνως ἀπεκρίνατο. Ὕψωσεν ἑαυτὸν ὁ Φαρισαῖος. Τί οὖν; ἐξετάσωμεν καὶ τὰ πράγματα. Ἔστωσαν δύο τινές, ἀμφότεροι καὶ πλουτοῦντες, καὶ μετέχοντες πολλῆς τιμῆς, καὶ ἐπὶ σοφίᾳ καὶ δυναστείᾳ, καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς κοσμικοῖς πλεονεκτήμασι μεγαλοφρονοῦντες· εἶτα ἐκεῖνος μὲν καὶ ζητείτω τὰς παρὰ πάντων τιμάς, καὶ μὴ λαμβάνων ὀργιζέσθω, καὶ πλέον ἢ δεῖ ἀπαιτείτω, καὶ ὑψούτω ἑαυτόν· οὗτος δὲ καταφρονείτω τοῦ πράγματος, πρὸς μηδένα ὑπὲρ τούτου δυσχεραινέτω, καὶ διδομένην τὴν τιμὴν διακρουέσθω. Δόξης γὰρ οὐκ ἔστιν ἄλλως ἐπιτυχεῖν, ἀλλ' ἢ ἐν τῷ δόξαν φεύγειν. Ἕως μὲν γὰρ αὐτὴν διώκωμεν, φεύγει ἡμᾶς· ὅταν δὲ αὐτὴν φεύγωμεν, διώκει ἡμᾶς. Εἰ βούλει ἔνδοξος εἶναι, μὴ ἐπιθύμει δόξης· εἰ βούλε ὑψηλὸς εἶναι, μὴ γίνου ὑψηλός. Καὶ ἄλλως δέ, τὸν μὲν μὴ ἐφιέμενον τιμῆς πάντες τιμῶσι, τὸν δὲ ἐπιζητοῦντα διαπτύουσι. Πέφυκε γάρ πως φιλόνεικον εἶναι τὸ ἀνθρώπινον γένος, καὶ ἀντιπαθές.

Καταφρονῶμεν τοίνυν δόξης· οὕτω γὰρ δυνησόμεθα γενέσθαι ταπεινοί, μᾶλλον δὲ ὑψηλοί. Μὴ ὕψου σαυτόν, ἵνα παρ' ἑτέρου ὑψωθῇς. Ὁ παρ' ἑαυτοῦ ὑψούμενος, παρ' ἑτέρων οὐχ ὑψοῦται· ὁ παρ' ἑαυτοῦ ταπεινούμενος, παρ' ἑτέρων οὐ ταπεινοῦται. Μέγα ἀπόνοια κακόν· μωρὸν εἶναι κρεῖττον,

---

11. Β' Βασ. 16, 11.

τόν του ὁ Ἀβεσσαλώμ, ἐταπείνωσε τὸν ἑαυτόν του ὁ Δαυΐδ. Ποῖος ὑψώθη; ποῖος ἔγινεν ἔνδοξος; Διότι τί ὑπάρχει ταπεινότερον ἀπὸ τοὺς λόγους, ποὺ ἔλεγε διὰ τὸν Σεμεεὶ ὁ μακάριος αὐτὸς προφήτης, λέγων· «Ἀφήσατε αὐτὸν νὰ μὲ καταρᾶται, διότι ὁ Κύριος ἔδωσεν ἐντολὴν εἰς αὐτόν»[11];

Καὶ ἐὰν θέλετε, ἂς ἐξετάσωμεν ἐπάνω εἰς τὰ ἴδια τὰ πράγματα. Ὁ τελώνης ἐταπείνωσε τὸν ἑαυτόν του, ἂν καὶ βεβαίως τοῦτο δὲν ἦτο οὔτε ταπεινοφροσύνη, ἀλλὰ μὲ ποῖον τρόπον; εἶπε μὲ εὐγνωμοσύνην αὐτὰ ποὺ εἶπεν. Ὕψωσε τὸν ἑαυτόν του ὁ Φαρισαῖος. Τί λοιπόν; ἂς ἐξετάσωμεν καὶ τὰ πράγματα. Ἂς ὑποτεθῇ ὅτι εἶναι δύο ἄνθρωποι· καὶ οἱ δύο εἶναι πλούσιοι καὶ ἀπολαύουν μεγάλης τιμῆς καὶ ἔχουν μεγάλην πεποίθησιν διὰ τὴν σοφίαν καὶ τὴν ἐξουσίαν των, καὶ δι' ὅλα τὰ ἄλλα κοσμικὰ πλεονεκτήματα. Ἔπειτα ὁ ἕνας μὲν ζητεῖ τὰς τιμὰς ἀπὸ ὅλους καί, ἐπειδὴ δὲν λαμβάνει, ὀργίζεται, καὶ περισσότερον ἀπὸ ὅ,τι πρέπει ἀπαιτεῖ καὶ ὑψώνει τὸν ἑαυτόν του. Ὁ ἄλλος ὅμως περιφρονεῖ τὸ πρᾶγμα, μὲ κανένα δὲν δυσανασχετεῖ διὰ τοῦτο, καὶ ὅταν δίδεται ἡ τιμὴ τὴν ἀποφεύγει. Δὲν ὑπάρχει βέβαια ἄλλος τρόπος νὰ ἐπιτύχωμεν τὴν δόξαν, παρὰ νὰ ἀποφεύγωμεν αὐτήν. Διότι ἕως ὅτου μὲν ἐπιδιώκομεν αὐτήν, μᾶς ἀποφεύγει· ὅταν ὅμως τὴν ἀποφεύγωμεν, αὐτὴ μᾶς ἀκολουθεῖ κατὰ πόδας. Ἐὰν ἐπιθυμῇς νὰ εἶσαι ἔνδοξος, νὰ μὴ ἐπιθυμῇς δόξαν· ἐὰν ἐπιθυμῇς νὰ εἶσαι ὑψηλός, νὰ μὴ γίνεσαι ὑψηλός. Καὶ ἐκτὸς τούτου δέ, ὅλοι τιμοῦν ἐκεῖνον ποὺ δὲν ἐπιθυμεῖ τὴν τιμήν, περιφρονοῦν ὅμως ἐκεῖνον ποὺ τὴν ἐπιζητεῖ. Ἐκ φύσεως εἶναι τὸ ἀνθρώπινον γένος κατὰ κάποιον τρόπον φιλόνεικον καὶ ἀντιπαθές.

Ἂς περιφρονοῦμεν λοιπὸν τὴν δόξαν, διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ γίνωμεν ταπεινοί, μᾶλλον δὲ ὑψηλοί. Μὴ ὑψώνῃς τὸν ἑαυτόν σου, διὰ νὰ ὑψωθῇς ἀπὸ ἄλλον. Ἐκεῖνος ποὺ ὑψώνει τὸν ἑαυτόν του, ἀπὸ ἄλλους δὲν ὑψώνεται. ἐκεῖνος ποὺ ταπεινώνει τὸν ἑαυτόν του, ἀπὸ ἄλλους δὲν ταπεινώνεται. Ἡ ἀλαζονεία εἶναι μέγα κακόν· εἶναι

ἢ ἀπονενοημένον· ἐκεῖ μὲν γὰρ ἡ μωρία μόνον παρανοίας ἐστίν, ἐνταῦθα δὲ χείρων ἐστί, καὶ μωρία μετὰ μανίας. Ὁ ἀνόητος ἑαυτῷ κακόν, ὁ δὲ ἀπονενοημένος καὶ ἑτέροις λύμη. Ἀπὸ ἀνοίας τοῦτο τὸ πάθος τίκτεται. Οὐκ ἔστιν ὑψηλόφρονα εἶναι μὴ ὄντα μωρόν· ὁ δὲ μωρίας ἔμπλεως, ἐστὶν ἀπονενοημένος. Ἄκουε σοφοῦ τινος λέγοντος· «Εἶδον ἄνθρωπον δοκοῦντα φρόνιμον εἶναι παρ' ἑαυτῷ· ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ». Ὁρᾷς ὅτι οὐκ εἰκῇ ἔλεγον, ὅτι χεῖρον μωρίας τὸ κακόν; «Ἐλπίδα», γάρ, φησί, «μᾶλλον ἔχει ὁ ἄφρων αὐτοῦ». Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε, «Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς». Ἐπὶ τῶν σωμάτων, εἰπέ μοι, ποῖά φαμεν ὑγιαίνειν; τὰ ὄγκον ἔχοντα πολύν, καὶ πολλοῦ πνεύματος ἔνδοθεν γέμοντα καὶ ὕδατος, ἢ τὰ κατεσταλμένα, καὶ τεταπεινωμένην ἔχοντα τὴν ἐπιφάνειαν; Δῆλον ὅτι ταῦτα. Οὐκοῦν καὶ ἐπὶ τῆς ψυχῆς, ἡ μὲν φλεγμαίνουσα ὑδέρου χεῖρον ἔχει νόσημα· ἡ δὲ κατεσταλμένη παντὸς ἀπήλλακται πάθους.

Πόσα οὖν τίκτει ἡμῖν ἀγαθὰ ἡ ταπεινοφροσύνη; Τί βούλει; τὸ ἀνεξίκακον, τὸ ἀόργητον, τὸ φιλάνθρωπον, τὸ νηπιικόν, τὸ προσεκτικόν; Πάντα ταῦτα ἀπὸ ταπεινοφροσύνης τὰ καλά, καὶ τὰ ἐναντία ἀπὸ τῆς ἀπονοίας. Ἀνάγκη τὸν τοιοῦτον καὶ ὑβριστὴν εἶναι, καὶ κλέπτην, καὶ ὀργίλον, καὶ πικρόν, καὶ ἀμειδῆ, θηρίον μᾶλλον ἢ ἄνθρωπον. Ἰσχυρὸς εἶ, καὶ μέγα φρονεῖς; Οὐκοῦν διὰ τοῦτο μᾶλλον ὀφείλεις ταπεινοῦσθαι. Διὰ τί ἐπὶ πράγματι μέγα φρονεῖς οὐδαμινῷ; Καὶ γὰρ καὶ λέων σου θρασύτερος, καὶ ὗς ἰσχυρότερος, καὶ οὐδὲ κώνωψ εἶ πρὸς αὐτούς· καὶ λῃσταὶ δὲ καὶ τυμβωρύχοι καὶ μονομάχοι, καὶ οἱ οἰκέται οἱ σοί, καὶ ἴσως οἱ ἀγνωμονέστεροι, ἰσχυρότεροί σου. Τοῦτο οὖν ἄξιον ἐπαίνου; καὶ οὐ κατορύττεις σαυτόν, ἐπὶ τούτῳ μέγα φρονῶν; Ἀλλὰ καλὸς εἶ καὶ

12. Παροιμ. 26, 12.
13. Ρωμ. 12, 16.

καλύτερον νὰ εἶναι κανεὶς μωρὸς παρὰ ἀλαζών· διότι ἐκεῖ μὲν ἡ μωρία εἶναι ἰδιαίτερον γνώρισμα μόνον τῆς παραφροσύνης, ἐδῶ δὲ εἶναι χειροτέρα, καὶ μωρία μαζὶ μὲ μανίαν. Ὁ ἀνόητος εἶναι διὰ τὸν ἑαυτόν του κακόν, ὁ ἀλαζὼν ὅμως καταστροφὴ καὶ εἰς ἄλλους. Ἀπὸ τὴν μωρίαν γεννᾶται τοῦτο τὸ πάθος. Δὲν εἶναι δυνατὸν νὰ ὑπάρχῃ ὑπερήφανος ποὺ νὰ μὴ εἶναι μωρός· ἐκεῖνος δὲ ποὺ ἔχει εἰς μέγαν βαθμὸν τὴν μωρίαν εἶναι ἀπεγνωσμένος. Ἄκουε κάποιον σοφὸν νὰ λέγῃ· «Εἶδα ἄνθρωπον νὰ νομίζῃ μόνος του ὅτι εἶναι σοφός, περισσοτέραν ὅμως ἐλπίδα ἀπ' αὐτὸν ἔχει ὁ ἄφρων»[12]. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Μὴ σχηματίζετε διὰ τὸν ἑαυτόν σας τὴν γνώμην ὅτι εἶσθε συνετοί»[13]. Ὅσον ἀφορᾷ τὰ σώματα, εἰπέ μου, ποῖα λέγομεν ὅτι εἶναι ὑγιῆ; ἐκεῖνα ποὺ ἔχουν πολὺν ὄγκον καὶ εἶναι γεμᾶτα ἀπὸ μέσα ἀέρια καὶ ὕδωρ ἢ ἐκεῖνα ποὺ εἶναι κομψὰ καὶ ἔχουν περιωρισμένην τὴν ἐπιφάνειαν; Εἶναι φανερὸν ὅτι τὰ δεύτερα. Λοιπὸν καὶ ὡς πρὸς τὴν ψυχήν, ἐκείνη μὲν ποὺ εὑρίσκεται εἰς ταραχὴν ἔχει χειρότερον νόσημα ἀπὸ τὸν διαβήτην, ἡ δὲ ἤρεμος ψυχὴ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε πάθος.

Πόσα λοιπὸν ἀγαθὰ γεννᾷ δι' ἡμᾶς ἡ ταπεινοφροσύνη; Τί θέλεις; τὴν ἀνεξικακίαν, τὴν ἔλλειψιν ὀργῆς, τὴν φιλανθρωπίαν, τὴν νηφαλιότητα, τὴν προσοχήν; Ὅλα τὰ ἀγαθὰ αὐτὰ προέρχονται ἀπὸ τὴν ταπεινοφροσύνην, καὶ τὰ ἀντίθετα ἀπὸ τὴν ἀπόγνωσιν. Κατ' ἀνάγκην ὁ τοιοῦτος εἶναι καὶ ὑβριστὴς καὶ φιλόνεικος καὶ ὀργίλος καὶ σκληρὸς καὶ κατηφής, θηρίον μᾶλλον παρὰ ἄνθρωπος. Εἶσαι ἰσχυρὸς καὶ ὑπερήφανος; Λοιπὸν διὰ τοῦτο μᾶλλον ὀφείλεις νὰ ταπεινώνεσαι. Διατί ἔχεις μεγάλην ἰδέαν διὰ πρᾶγμα εὐτελές; Διότι ἀληθῶς καὶ τὸ λεοντάρι εἶναι γενναιότερον ἀπὸ σὲ καὶ ὁ χοῖρος ἰσχυρότερος, καὶ οὔτε κουνούπι εἶσαι συγκρινόμενος πρὸς αὐτά· καὶ οἱ λησταὶ δὲ καὶ οἱ τυμβωρύχοι καὶ οἱ μονομάχοι καὶ οἱ ἰδικοί σου ὑπηρέται, ἴσως δὲ οἱ περισσότερον ἀγνώμονες, εἶναι ἰσχυρότεροι ἀπὸ σέ. Τοῦτο λοιπὸν εἶναι ἄξιον ἐπαίνου; καὶ δὲν κρύπτεις τὸν ἑαυτόν σου, ἐπειδὴ καυχᾶσαι διὰ τοῦτο; Ἀλλ' εἶσαι καλὸς καὶ

ὡραῖος; Κορωνῶν τὸ καύχημα. Οὐκ εἶ τοῦ ταὼ καλλίων, οὐδὲ ἄνθους ἕνεκεν, οὐδὲ πτερῶν· ἐν τοῖς πτεροῖς τοῦ ὄρνιθος ἡ νίκη· πολύ σε παρελαύνει τῇ κόμῃ, τῷ ἄνθει. Καὶ ὁ κύκνος δὲ σφόδρα ἐστὶ καλός, καὶ πολλοὶ τῶν ὀρνίθων ἕτεροι, πρὸς οὓς εἰ παραβληθείης, οὐδὲν ὄψει σαυτόν. Πολλάκις δὲ καὶ παιδία εὐτελῆ, καὶ κόραι ἀπειρόγαμοι, καὶ πόρναι γυναῖκες, καὶ ἄνδρες μαλακοὶ τοῦτο ἔσχον τὸ καύχημα. Τοῦτο οὖν ἄξιον ἀπονοίας;

Ἀλλὰ πλουτεῖς; πόθεν; τί κεκτημένος; χρυσόν, ἄργυρον, λίθους τιμίους; Τοῦτο καὶ λῃστῶν ἐστι, καὶ ἀνδροφόνων τὸ καύχημα, καὶ τῶν τὰ μέταλλα ἐργαζομένων. Ὁ τῶν καταδίκων πόνος, τοῦτό σοι καύχημα; Ἀλλὰ κοσμῇ καὶ καλλωπίζῃ; Καὶ ἵππους ἐστὶν ἰδεῖν καλλωπιζομένους· παρὰ δὲ τοῖς Πέρσαις καὶ καμήλους ἴδοι τις ἂν καλλωπιζομένας· ἐπὶ δὲ τῶν ἀνθρώπων, τοὺς ἐπὶ σκηνῆς ἅπαντας. Οὐκ αἰσχύνῃ ἐπὶ τούτοις μέγα φρονῶν, ἐν οἷς τὰ ἄλογά σοι κοινωνεῖ, καὶ δοῦλοι καὶ ἀνδροφόνοι καὶ μαλακοὶ καὶ λῃσταὶ καὶ τυμβωρύχοι; Ἀλλ᾽ οἰκίας οἰκοδομεῖς λαμπράς; Καὶ τί τοῦτο; πολλοὶ κολοιοὶ λαμπροτέρας οἰκοῦσι, καὶ σεμνότερα ἔχουσι καταγώγια. Ἢ οὐχ ὁρᾷς τούτους τοὺς περὶ τὰ χρήματα μαινομένους, οἳ ἐν ἀγροῖς καὶ ἐν ἐρήμοις τόποις ᾠκοδόμησαν οἴκους, κολοιῶν καταγώγια; Ἀλλὰ φωνῆς ἕνεκα μέγα φρονεῖς; Τοῦ κύκνου καὶ τῆς ἀηδόνος οὐδέποτε σὺ δυνήσῃ ᾆσαι λιγυρώτερον. Ἀλλ᾽ ἐπὶ ποικιλίᾳ τέχνης; Καὶ τί τῆς μελίττης ἐν τούτῳ σοφώτερον; ποῖος ποικιλτής, τίς ζωγράφος, ποῖος γεωμέτρης τὰ ταύτης ἔργα μιμήσασθαι δυνήσεται; Ἀλλ᾽ ἐπὶ λεπτότητι ἐσθῆτος; Ἀλλ᾽ ἐνταῦθά σε ἀράχναι νικῶσιν. Ἀλλ᾽ ἐπὶ ταχύτητι ποδῶν; Πάλιν τὰ πρωτεῖα παρὰ τοῖς ἀλόγοις,

14. Κορώνη· πτηνὸν ἐκ τῶν κορακιδῶν, ἡ κουρούνα.

ὡραῖος; Ἡ καύχησις αὐτὴ ἀνήκει εἰς τοὺς κορώνας[14]. Δὲν εἶσαι ὀμορφότερος ἀπὸ τὸ παγώνι, οὔτε ὡς πρὸς τὴν λαμπρότητα, οὔτε ὡς πρὸς τὰ πτερά˙ ἡ νίκη ἀνήκει εἰς τὰ πτερὰ τοῦ πτηνοῦ˙ σὲ ὑπερβάλλει πολὺ εἰς τὴν κόμην, εἰς τὴν λαμπρότητα. Καὶ ὁ κύκνος εἶναι πάρα πολὺ ὄμορφος, καὶ πολλὰ ἄλλα πτηνά, πρὸς τὰ ὁποῖα ἂν συγκριθῇς, θὰ ἰδῇς ὅτι δὲν ἀξίζεις τίποτε. Πολλὰς φορὰς δὲ καὶ παιδιὰ εὐτελῆ καὶ κόραι ἀνύπανδροι καὶ γυναῖκες πόρναι καὶ ἄνδρες θηλυπρεπεῖς εἶχαν τὸ καύχημα αὐτό. Τοῦτο λοιπὸν εἶναι ἄξιον ὑπερηφανείας;

Ἀλλ' εἶσαι πλούσιος; ἀπὸ ποῦ; τί κατέχεις; χρυσόν, ἄργυρον, πολυτίμους λίθους; Τοῦτο εἶναι καύχημα καὶ τῶν ληστῶν καὶ τῶν δολοφόνων καὶ ἐκείνων ποὺ ἐπεξεργάζονται τὰ μέταλλα. Τὸ ἔργον τῶν καταδίκων, τοῦτο εἶναι διὰ σὲ τὸ καύχημα; Ἀλλὰ στολίζεσαι καὶ καλλωπίζεσαι; Εἶναι δυνατὸν νὰ ἰδῇς καὶ ἵππους νὰ καλλωπίζωνται˙ εἰς τοὺς Πέρσας δὲ θὰ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς καὶ τὰς καμήλους νὰ καλλωπίζωνται˙ ὅσον ἀφορᾷ δὲ εἰς τοὺς ἀνθρώπους, θὰ ἰδῇς ὅλους τοὺς ἠθοποιοὺς νὰ καλλωπίζωνται. Δὲν αἰσχύνεσαι νὰ εἶσαι ὑπερήφανος ἐξ αἰτίας τούτων, εἰς τὰ ὁποῖα μετέχουν μαζί σου καὶ τὰ ζῶα καὶ οἱ δοῦλοι καὶ οἱ δολοφόνοι καὶ οἱ θηλυπρεπεῖς καὶ οἱ λησταὶ καὶ οἱ τυμβωρύχοι; Ἀλλὰ κατασκευάζεις οἰκίας πολυτελείας; Καὶ τί μὲ τοῦτο; πολλοὶ κόρακες κατοικοῦν εἰς πολυτελεστέρας καὶ ἔχουν μεγαλοπρεπέστερα καταλύματα. Ἢ δὲν βλέπεις αὐτοὺς ποὺ ἐπιθυμοῦν μὲ μανίαν τὰ χρήματα, ἔκτισαν τὰς οἰκίας των εἰς τοὺς ἀγροὺς καὶ εἰς ἐρήμους τόπους, καταλύματα κοράκων; Ἀλλὰ καυχᾶσαι διὰ τὴν φωνήν σου; Ποτὲ δὲν θὰ ἠμπορέσῃς νὰ τραγουδήσῃς μελωδικώτερον ἀπὸ τὸν κύκνον καὶ τὸ ἀηδόνι. Ἀλλὰ διὰ τὴν ποικιλίαν τῆς τέχνης; Καὶ τί ὑπάρχει εἰς τοῦτο σοφώτερον ἀπὸ τὴν μέλισσαν; ποῖος κεντητής, ποῖος ζωγράφος, ποῖος γεωμέτρης θὰ ἠμπορέσῃ νὰ μιμηθῇ τὰ ἔργα αὐτῆς; Ἀλλὰ διὰ τὴν λεπτότητα τοῦ ἐνδύματος; Εἰς τὴν περίπτωσιν ὅμως αὐτὴν αἱ ἀράχναι σὲ νικοῦν. Ἀλλὰ διὰ τὴν ταχύτητα τῶν ποδιῶν;

λαγωῷ καὶ δορκάδι, καὶ ὅσα τῶν κτηνῶν οὐκ ἀπολείπεται τῇ ταχύτητι τῶν ποδῶν.

Ἀλλ' ἀποδημεῖς; Ἀλλ' οὐ μᾶλλον τῶν πτηνῶν· ταῦτα γὰρ εὐκολώτερον τὴν ἀποδημίαν ποιεῖται· οὐκ ἐφοδίων δεῖται, οὐχ ὑποζυγίων, ἀλλ' ἀρκεῖ πρὸς πάντα αὐτοῖς τὸ πτερόν. Τοῦτο καὶ ναῦς, τοῦτο καὶ ὑποζύγιον τοῦτο καὶ ὄχημα, τοῦτο καὶ ἄνεμος, καὶ πᾶν ὅ τι ἂν εἴπῃ τις. Ἀλλ' ὀξὺ βλέπεις; ἀλλ' οὐχ ὡς δορκάς οὐδ' ὡς ἀετός. Ἀλλ' ὀξὺ ἀκούεις; ἀλλ' ὁ ὄνος ὀξύτερον. Ἀλλ' ὀσφραίνῃ; ἀλλ' ὁ κύων οὐκ ἀφίησί σε αὐτὸν παρελθεῖν. Ἀλλὰ ποριστικὸς εἶ; ἀλλὰ τοῦ μύρμηκος ἀπολείπῃ. Ἀλλὰ χρυσοφορεῖς; ἀλλ' οὐχ οὕτως, ὡς οἱ Ἰνδικοὶ μύρμηκες. Ὑγείας δὲ ἕνεκεν πολλῷ βελτίω ἡμῶν τὰ ἄλογα, καὶ εὐεξίας καὶ τοῦ εὐπορεῖν· οὐ δέδοικεν ἐκεῖνα πενίαν. «Ἐμβλέψατε» γάρ, φησίν, «εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας».

Οὐκοῦν, φησίν, ἡμῶν τὰ ἄλογα κρείττονα ἐδημιούργησεν ὁ Θεός. Ὁρᾷς πόσον ἐστὶ τὸ ἀπερίσκεπτον; ὁρᾷς τὸ ἀνεξέταστον; ὁρᾷς, ἡ τῶν πραγμάτων ἐξέτασις ὅσον ἡμῖν χαρίζεται; Ὁ πάντων ἀνθρώπων μείζω φρενῶν, εὑρέθη καὶ τῶν ἀλόγων ταπεινότερος. Ἀλλὰ φεισόμεθα αὐτοῦ, καὶ οὐ μιμησόμεθα αὐτόν, οὐδὲ ἐπειδὴ τῆς ἡμετέρας φύσεως μεῖζον ἐφρόνησε, καταγαγόντες αὐτὸν ὑπὸ τὴν τῶν ἀλόγων τάξιν, ἀφήσαμεν, ἀλλ' ἀναστήσομεν αὐτὸν ἐκεῖθεν, οὐ δι' αὐτόν· αὐτὸς μὲν γὰρ ἄξιος τοιαῦτα παθεῖν· ἀλλ' ἵνα τοῦ Θεοῦ ἡ φιλανθρωπία καὶ ἡ εἰς ἡμᾶς δειχθῇ τιμή. Ἔστι γάρ, ἔστιν ἐν οἷς οὐδὲν ἡμῖν κοινωνεῖ τὰ ἄλογα. Ποῖα δὴ ταῦτα; Εὐσέβεια, καὶ ὁ

15. Ματθ. 6, 26.

Πάλιν τὰ πρωτεῖα κατέχουν τὰ ζῷα, ὁ λαγὸς καὶ τὸ ζαρκάδι καὶ ὅσα δὲν ὑστεροῦν κατὰ τὴν ταχύτητα τῶν ποδιῶν.

Ἀλλ' ἀποδημεῖς; Ὄχι ὅμως περισσότερον ἀπὸ τὰ πτηνά· διότι αὐτὰ ἀποδημοῦν εὐκολώτερον, δὲν ἔχουν τὴν ἀνάγκην τῶν ἐφοδίων, οὔτε τῶν ὑποζυγίων, ἀλλὰ τὸ πτερὸν εἶναι εἰς αὐτὰ ἀρκετὸν δι' ὅλα. Τοῦτο εἶναι καὶ πλοῖον, τοῦτο καὶ ὑποζύγιον, τοῦτο καὶ ὄχημα, τοῦτο καὶ ἄνεμος καὶ ὅ,τιδήποτε θὰ ἠμποροῦσε νὰ εἴπῃ κανείς. Ἀλλ' ἔχεις ὀξεῖαν ὅρασιν; ὄχι ὅμως ὅπως τὸ ζαρκάδι, οὔτε ὅπως ὁ ἀετός. Ἀλλ' ἔχεις ὀξεῖαν ἀκοήν; ὁ ὄνος ὅμως ἔχει ὀξυτέραν. Ἀλλ' ἔχεις ὀξεῖαν ὄσφρησιν; ὅμως ὁ κύων δὲ σὲ ἀφήνει νὰ τὸν ὑπερβάλῃς. Ἀλλ' εἶσαι ἱκανὸς νὰ προμηθεύῃς ἀγαθὰ διὰ τὸν ἑαυτόν σου; ὑπολείπεσαι ὅμως τοῦ μύρμηγκος. Ἀλλὰ φορεῖς χρυσᾶ κοσμήματα, ὅμως ὄχι ἔτσι, ὅπως οἱ ἰνδικοὶ μύρμηγκες. Τὰ ζῷα δὲ εἶναι πολὺ καλύτερα ἀπὸ ἡμᾶς ἐξ αἰτίας τῆς ὑγείας καὶ τῆς εὐεξίας καὶ τῆς ἀφθονίας τῶν ἀγαθῶν· ἐκεῖνα δὲν φοβοῦνται τὴν πενίαν. «Διότι κυττάξατε», λέγει, «τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι δὲν σπείρουν, δὲν θερίζουν, οὔτε συγκεντρώνουν εἰς τὰς ἀποθήκας»[15].

Ἐπομένως, θὰ εἴπῃ κάποιος, ἐδημιούργησεν ὁ Θεὸς τὰ ζῷα ἀνώτερα ἀπὸ ἡμᾶς. Βλέπεις πόση εἶναι ἡ ἀπερισκεψία; βλέπεις τὸ ἀνεξέταστον τοῦ πράγματος; βλέπεις πόσα χαρίζει εἰς ἡμᾶς ἡ ἐξέτασις καὶ ἔλεγχος τῶν πραγμάτων; Ὁ μεγαλοφρονῶν περισσότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους, εὑρέθη ταπεινότερος καὶ ἀπὸ τὰ ἄλογα ζῷα. Ἀλλὰ θὰ λυπηθοῦμεν αὐτὸν καὶ δὲν θὰ τὸν μιμηθοῦμεν· οὔτε καταβιβάζοντες αὐτὸν εἰς τὴν τάξιν τῶν ζώων, ἐπειδὴ ὑπερηφανεύθη ὑψηλότερον ἀπὸ τὴν ἀνθρωπίνην φύσιν, θὰ τὸν ἀφήσωμεν ἐκεῖ, ἀλλὰ θὰ σηκώσωμεν αὐτόν, ὄχι πρὸς χάριν του, διότι αὐτὸς μὲν εἶναι ἄξιος νὰ πάθῃ αὐτά, ἀλλὰ διὰ νὰ ἀποδειχθῇ ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ ἡ πρὸς ἡμᾶς τιμή. Διότι ὑπάρχουν μερικὰ πράγματα, εἰς τὰ ὁποῖα δὲν μετέχουν καθόλου τὰ ζῷα μαζί μας. Ποῖα λοιπὸν εἶναι αὐτά; Ἡ εὐσέβεια καὶ ὁ ἐνάρετος βίος. Ἐδῶ δὲν ἠμπορεῖς νὰ εἴπῃς πόρνους, οὔτε θηλυπρεπεῖς, οὔτε

κατ᾽ ἀρετὴν βίος. Ἐνταῦθα οὐκ ἔχεις πόρνους εἰπεῖν, οὐδὲ μαλακούς, οὐδὲ ἀνδροφόνους· ἀπεσχίσμεθα γὰρ αὐτῶν. Τί δὴ τοῦτό ἐστι; Τὸν Θεὸν ἴσμεν, τὴν πρόνοιαν ἐπιγινώσκομεν τὴν αὐτοῦ, περὶ ἀθανασίας φιλοσοφοῦμεν. Παραχωρείτω ἐνταῦθα τὰ ἄλογα· οὐκ ἀμφισβητήσει περὶ τούτων. Σωφρονοῦμεν· ἐνταῦθα οὐδὲν τὰ ἄλογα κοινὸν ἔχει. Πάντων γὰρ αὐτῶν λειπόμενοι, κρατοῦμεν αὐτῶν. Τούτῳ γὰρ μείζων ἡ ἀρχή, ὅτι λειπόμενοι αὐτῶν, βασιλεύομεν αὐτῶν· ἵνα μάθῃς, ὅτι οὐ σὺ τούτων αἴτιος, ἀλλ᾽ ὁ ποιήσας σε Θεός, καὶ λόγον χαρισάμενος. Δίκτυα, θήρατρα αὐτοῖς τίθεμεν, καὶ ἐμβάλλομεν αὐτά, καὶ χειρούμεθα. Σωφροσύνη παρ᾽ ἡμῖν, ἐπιείκεια, πραότης, χρημάτων ὑπεροψία. Ἀλλ᾽ ἐπειδὴ σὺ τῶν ἀπονενοημένων τις ὢν οὐδὲν τούτων ἔχεις, εἰκότως ἢ τῶν ἀνθρώπων μεῖζον φρονεῖς, ἢ καὶ τῶν ἀλόγων ταπεινότερον. Τοιαύτη γὰρ ἡ ἄνοια καὶ ἡ θρασύτης· ἢ ἀπαίρεται πέρα τοῦ δέοντος, ἢ ταπεινοῦται πάλιν ὁμοίως, οὐδαμοῦ τὴν συμμετρίαν φυλάττουσα.

Ἀγγέλων ἐσμὲν ἴσοι κατὰ τοῦτο· βασιλεία ἡμῖν ἐπήγγελται, ἡ μετὰ Χριστοῦ χορεία. Ἄνθρωπος μαστίζεται, καὶ οὐχ ὑποπίπτει· ἄνθρωπος θανάτου καταφρονεῖ, οὐ τρέμει, οὐ δέδοικεν, οὐκ ἐφίεται τοῦ πλείονος. Ὥστε ὅσοι μὴ τοιοῦτοί εἰσι, τῶν ἀλόγων εἰσὶ χείρους. Ὅταν γὰρ ἐν μὲν τοῖς σωματικοῖς πλεονεκτῇ, τὰ δὲ ψυχικὰ πλεονεκτήματα μὴ ἔχῃς, πῶς οὐχὶ τῶν ἀλόγων εἶ χείρων; Ἄγε γὰρ εἰς μέσον τινὰ τῶν ἐν κακίᾳ ἀλογωτέρων, τῶν ἐν τρυφῇ ζώντων καὶ πλεονεξίᾳ. Ὁ ἵππος αὐτοῦ πολεμικώτερος, ὁ ὗς ἰσχυρότερος, ὁ λαγωὸς ταχύτερος, ὁ ταὼς ὡραιότερος, ὁ κύκνος εὐφωνότερος, ὁ ἐλέφας μείζων, ὁ ἀετὸς ὀξυδερκέστερος, πάντες ὄρνιθες πλουσιώτεροι. Πόθεν οὖν ἄξιος εἶ κρατεῖν τῶν ἀλόγων; ἀπὸ τοῦ λόγου; Ἀλλ᾽ οὐκ ἔστιν. Ὅστις γὰρ μὴ εἰς δέον αὐτῷ κέχρηται, πάλιν ἐκείνων χείρων ἐστίν. Ὅταν γὰρ λό-

ἀνθρωποκτόνους, διότι ἀπεχωρίσθημεν ἀπ' αὐτούς. Τί λοιπὸν σημαίνει τοῦτο; Γνωρίζομεν τὸν Θεόν, γνωρίζομεν καλῶς τὴν πρόνοιαν αὐτοῦ, φιλοσοφοῦμεν περὶ ἀθανασίας. Ἂς παραμερίσουν ἐδῶ τὰ ζῶα, δὲν θὰ ἀμφισβητήσουν δι' αὐτά. Σωφρονοῦμεν· ἐδῶ κανένα κοινὸν δὲν ἔχουν τὰ ζῶα. Ὑπολειπόμενοι βέβαια ὅλων τῶν ζώων, εἴμεθα κυρίαρχοι αὐτῶν. Διότι ὡς πρὸς τοῦτο εἶναι μεγαλυτέρα ἡ ἐξουσία, ὅτι ὑπολειπόμενοι αὐτῶν, βασιλεύομεν εἰς αὐτά, διὰ νὰ μάθῃς ὅτι δὲν εἶσαι σὺ αἴτιος τούτων, ἀλλ' ὁ Θεός, ὁ ὁποῖος σὲ ἐδημιούργησε καὶ ἐχάρισε τὸ λογικόν. Τοποθετοῦμεν δίκτυα καὶ παγίδας εἰς αὐτά, τὰ ρίπτομεν μέσα εἰς αὐτὰς καὶ τὰ τιθασεύομεν. Εἰς ἡμᾶς ὑπάρχει σωφροσύνη, ἐπιείκεια, πραότης, περιφρόνησις τῶν χρημάτων. Ἀλλ' ἐπειδὴ σύ, ἕνας ἀπὸ τοὺς ἀπεγνωσμένους ὤν, δὲν ἔχεις τίποτε ἀπ' αὐτά, εὐλόγως ἢ φρονεῖς ὑψηλότερον ἀπὸ τοὺς ἀνθρώπους ἢ καὶ τῶν ἀλόγων ταπεινότερον. Διότι ἔτσι εἶναι ἡ μωρία καὶ ἡ θρασύτης· ἢ ἐξυψώνεται περισσότερον τοῦ δέοντος ἢ ταπεινώνεται πάλιν ὁμοίως, χωρὶς νὰ φυλάσσῃ πουθενὰ τὸ μέτρον.

Εἴμεθα ἴσοι πρὸς τοὺς ἀγγέλους κατὰ τοῦτο· μᾶς ὑπεσχέθη ἡ βασιλεία τῶν οὐρανῶν, ἡ μετὰ τοῦ Χριστοῦ χορεία. Ὁ ἄνθρωπος μαστίζεται καὶ δὲν ὑποκύπτει· ὁ ἄνθρωπος περιφρονεῖ τὸν θάνατον, δὲν τρέμει, δὲν φοβεῖται, δὲν ἀποβλέπει εἰς τὰ περισσότερα. Συνεπῶς ὅσοι δὲν συμπεριφέρονται κατ' αὐτὸν τὸν τρόπον, εἶναι χειρότεροι ἀπὸ τὰ ζῶα. Διότι ὅταν εἰς μὲν τὰ σωματικὰ χαρίσματα ὑπερτερῇς, δὲν ἔχεις ὅμως τὰ ψυχικά, πῶς δὲν εἶσαι χειρότερος ἀπὸ τὰ ζῶα; Διότι φέρει ἐνώπιόν μας ἕνα ἀπὸ τοὺς περισσότερον ἀνοήτους, ποὺ ζοῦν εἰς τὴν κακίαν, τὴν τρυφὴν καὶ τὴν πλεονεξίαν. Ὁ ἵππος εἶναι πολεμικώτερος αὐτοῦ, ὁ χοῖρος ἰσχυρότερος, ὁ λαγὸς ταχύτερος, τὸ παγώνι ὀμορφότερον, ὁ κύκνος μελωδικώτερος, ὁ ἐλέφας μεγαλύτερος, ὁ ἀετὸς ὀξυδερκέστερος, ὅλα τὰ πτηνὰ πλουσιώτερα. Ἀπὸ ποῦ λοιπὸν εἶσαι ἄξιος νὰ ἐξουσιάζῃς τὰ ζῶα; ἀπὸ τὸ λογικόν; Ἀλλὰ δὲν εἶναι δυνατόν. Διότι ἐκεῖνος ποὺ δὲν μεταχειρίζεται αὐτὸ πρὸς τὸ καλόν, πάλιν εἶναι

γων ἔχων ὀλιγώτερος ἐκείνων ᾖ, κρεῖττον ἦν εἰ μηδὲ τὴν ἀρχὴν ἐγένετο λογικός. Οὐ γάρ ἐστιν ἴσον λαβόντα ἀρχὴν προδοῦναι, καὶ παρὰ καιρὸν μὴ λαβεῖν. Ὁ βασιλεύων, καὶ τῶν δορυφόρων χείρων ὤν, κρεῖττον ἦν εἰ μηδὲ τὴν ἁλουργίδα περιέκειτο. Οὕτω δὴ καὶ ἐνταῦθα.

***Εἰδότες** οὖν, ὅτι καὶ τῶν ἀλόγων χείρους ἐσμὲν τῆς ἀρετῆς χωρίς, ταύτην ἀσκῶμεν, ἵνα ἄνθρωποι γενώμεθα, μᾶλλον δὲ ἄγγελοι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαύσωμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

χειρότερος ἀπ' ἐκεῖνα. Διότι ὅταν εἶναι περισσότερον ἀνόητος ἀπ' ἐκεῖνα, ἂν καὶ ἔχῃ λογικόν, ἦτο καλύτερον ἐὰν δὲν ἐγίνετο καθόλου λογικός. Διότι δὲν εἶναι ἴσον, λαβὼν κάποιος ἀρχὴν νὰ τὴν προδώσῃ, καὶ παρὰ καιρὸν νὰ μὴ λάβῃ. Ἐκεῖνος ποὺ εἶναι βασιλεὺς καὶ εἶναι χειρότερος ἀπὸ τοὺς σωματοφύλακάς του, ἦτο καλύτερον ἐὰν δὲν ἐφοροῦσε οὔτε τὴν πορφύραν. Ἔτσι ἀκριβῶς συμβαίνει καὶ ἐδῶ.

Γνωρίζοντες λοιπόν, ὅτι εἴμεθα χειρότεροι ἀπὸ τὰ ζῶα χωρὶς τὴν ἀρετήν, ἂς ἐπιδιώκωμεν αὐτήν, ὥστε νὰ γίνωμεν ἄνθρωποι, μᾶλλον δὲ ἄγγελοι, καὶ νὰ ἀπολαύσωμεν τὰ ὑπεσχημένα ἀγαθά, τὰ ὁποῖα ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Θ΄
Φιλιπ. 2, 12 - 18

«Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ καὶ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖον ὑπὲρ τῆς εὐδοκίας. Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σχολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε, ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ».

Τὰς παραινέσεις μετὰ ἐγκωμίων δεῖ ποιεῖσθαι· οὕτω γὰρ καὶ εὐπαράδεκτοι γίνονται ὅταν πρὸς τὸν οἰκεῖον ζῆλον καλῶμεν τοὺς παραινουμένους· οἷον καὶ Παῦλος ἐνταῦθα ἐποίησε. Καὶ θέα πῶς συνετῶς. «Ὥστε, ἀγαπητοί μου», φησίν. Οὐκ εἶπεν ἁπλῶς, ὅτι ὑπακούετε, ἀλλὰ πρότερον ἐπαινέσας καὶ εἰπών, «καθὼς πάντοτε ὑπηκούσατε»· τουτέστι, μιμεῖσθαι παρακαλῶ οὐχ ἑτέρους, ἀλλ' ὑμᾶς αὐτούς. «Μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου». Διὰ τί πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου; Τότε μὲν ἴσως ἐδοκεῖτε διὰ τὴν εἰς ἐμὲ τιμὴν καὶ τὴν αἰδὼ πάντα ποιεῖν,

---

1. Φιλιπ. 2, 12 - 16

ΛΟΓΟΣ Θ΄

Φιλιπ. 2, 12 - 18

«Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε, ὄχι μόνον ὅταν ἤμην παρὼν μεταξύ σας, ἀλλὰ πολὺ περισσότερον καὶ τώρα κατὰ τὴν ἀπουσίαν μου, μὲ φόβον καὶ τρόμον νὰ ἐργάζεσθε διὰ νὰ φέρετε εἰς πέρας τὴν σωτηρίαν σας. Διότι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ ἐργάζεται μέσα σας καὶ τὸ νὰ θέλετε καὶ τὸ νὰ ἐνεργῆτε διὰ νὰ πληρωθῇ ἡ ἀγαθή του διάθεσις. Ὅλα κάμνετέ τα χωρὶς γογγυσμοὺς καὶ χωρὶς ἀμφιβολίας, διὰ νὰ γίνετε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα τοῦ Θεοῦ ἄμεμπτα εἰς τὸ μέσον μιᾶς γενεᾶς ἀνθρώπων πονηρῶν καὶ διεστραμμένων, μεταξὺ τῶν ὁποίων σεῖς φαίνεσθε ὡς φωτεινοὶ ἀστέρες εἰς τὸν κόσμον, καὶ κρατεῖτε σταθερῶς τὸν λόγον τῆς ζωῆς, διὰ νὰ εἶσθε κατὰ τὴν ἡμέραν τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ καύχημά μου»[1].

Πρέπει νὰ κάμνωμεν τὰς παραινέσεις μαζὶ μὲ τὰ ἐγκώμια· διότι ἔτσι γίνονται καὶ εὐπρόσδεκτοι, ὅταν καλοῦμεν αὐτοὺς ποὺ παραινοῦμεν πρὸς τὸν ἰδικόν των ζῆλον, ὅπως καὶ ὁ Παῦλος ἔκαμεν ἐδῶ. Καὶ πρόσεχε πῶς παραινεῖ μὲ σύνεσιν. «Ὥστε, ἀγαπητοί μου», λέγει. Δὲν εἶπεν ἁπλῶς, ὅτι ὑπακούετε, ἀλλ' ἀφοῦ προηγουμένως τοὺς ἐπήνεσε καὶ εἶπε, «καθὼς πάντοτε ὑπηκούσατε»· δηλαδή, σᾶς προτρέπω νὰ μιμῆσθε ὄχι ἄλλους, ἀλλὰ τοὺς ἰδίους τοὺς ἑαυτούς σας. «Ὄχι μόνον ὅταν ἤμην παρὼν μεταξύ σας, ἀλλὰ πολὺ περισσότερον κατὰ τὴν ἀπουσίαν μου». Διατί πολὺ περισσότερον κατὰ τὴν ἀπουσίαν μου; Τότε μὲν ἴσως ἐνομίζετε ὅτι πράττετε τὰ πάντα ἐξ αἰτίας τῆς πρὸς ἐμὲ

νυνὶ δὲ οὐκέτι. Ἐὰν οὖν δειχθῇ ὅτι νῦν ἐπιτείνατε δείκνυται ὅτι καὶ τότε οὐδι' ἐμέ, ἀλλὰ διὰ τὸν Θεόν. Τί βούλει; εἰπέ. Οὐχ ἵνα ἐμοῦ ἀκούσητε, ἀλλ' ἵνα μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζησθε. Οὐ γάρ ἔνι τὸν χωρὶς φόβου ζῶντα γενναῖόν τι καὶ θαυμαστὸν ἐπιδείξασθαι. Καὶ οὐχ ἁπλῶς εἶπε «φόβου», ἀλλά, «καὶ τρόμου», ὅπερ ἐπίτασίς ἐστι τοῦ φόβου.

Τοῦτον εἶχε τὸν φόβον ὁ Παῦλος· διὰ τοῦτο καὶ ἔλεγε, «Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Εἰ γὰρ τὰ βιωτικὰ κατορθῶσαι φόβου χωρὶς οὐκ ἔνι, πόσῳ μᾶλλον τὰ πνευματικά; Εἰπὲ γάρ μοι· τίς γράμματα ἔμαθε φόβου χωρίς; τίς τέχνης ἔμπειρος γέγονε φόβου χωρίς; Εἰ δὲ ἔνθα οὐκ ἐφεδρεύει ὁ διάβολος, ἀλλὰ ῥᾳθυμία μόνον ἐνοχλεῖ, τοσούτου φόβου ἡμῖν ἐδέησεν, ὥστε ῥᾳθυμίαν ἐπιστρέψαι φυσικὴν μόνον, ἔνθα τοσοῦτος ὁ πόλεμος, τοσαῦτα τὰ κωλύματα, πῶς ἔνι φόβου χωρὶς διασωθῆναί ποτε; Πῶς δ' ἂν οὗτος γένοιτο ὁ φόβος; Ἂν ἐννοήσωμεν, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός, πάντα ἀκούει, ὁρᾷ, οὐ τὰ πραττόμενα μόνον καὶ λεγόμενα, ἀλλὰ καὶ τὰ ἐν καρδίαις ἅπαντα, καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας· «Κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας». Ἂν οὕτω διαθῶμεν ἑαυτούς, οὐδὲν πονηρὸν πράξομεν, οὐδὲν ἐροῦμεν, οὐδὲν ἐννοήσομεν. Εἰπέ μοι, εἰ διαπαντὸς τοῦ ἄρχοντος πλησίον εἱστήκεις, οὐ μετὰ φόβου ἂν εἱστήκεις; Καὶ πῶς Θεῷ σὺ παρεστὼς γελᾷς καὶ ἀνανίπτεις, καὶ οὐ δέδοικας οὐδὲ φρίσσεις;

Μὴ δὴ τῆς ἀνοχῆς αὐτοῦ καταφρόνει· πρὸς γὰρ μετάνοιάν σε ἄγων μακροθυμεῖ. Ὅταν ἐσθίῃς, νόμισον παρεῖναι τὸν Θεόνδ πάρεστι γάρ· ὅταν καθεύδειν μέλλῃς, ὅταν ὀργίζῃ, ὅταν ἁρπάζῃς, κἂν τρυφᾷς, κἂν ὁτιοῦν ποιῇς, οὐδέποτε

---

2. Α' Κορ. 9, 27.
3. Ἑβρ. 4, 12.

τιμῆς καὶ ἐντροπῆς, τώρα δὲ ὄχι πλέον. Ἐὰν λοιπὸν ἀποδειχθῇ ὅτι τώρα ἐπηυξήσατε, ἀποδεικνύεται ὅτι καὶ τότε τὸ ἐκάματε ὄχι δι' ἐμέ, ἀλλὰ διὰ τὸν Θεόν. Τί θέλεις; εἰπέ μου. Ὄχι διὰ νὰ ἀκούσετε ἐμέ, ἀλλὰ διὰ νὰ ἐργάζεσθε μὲ φόβον καὶ τρόμον τὴν πρόοδον τῆς σωτηρίας σας. Διότι δὲν εἶναι δυνατὸν ἐκεῖνος ποὺ ζῇ χωρὶς φόβον νὰ ἐπιδείξῃ κάτι γενναῖον καὶ θαυμαστὸν ἔργον. Καὶ δὲν εἶπεν ἁπλῶς, φόβον, ἀλλὰ «καὶ τρόμον», τὸ ὁποῖον εἶναι ἐπίτασις τοῦ φόβου.

Αὐτὸν τὸν φόβον εἶχεν ὁ Παῦλος, διὰ τοῦτο καὶ ἔλεγε, «Φοβοῦμαι μήπως δὲν γίνω εὐπρόσδεκτος ἐγὼ ὁ ἴδιος, ποὺ ἐκήρυξα εἰς ἄλλους»[2]. Ἐὰν βέβαια δὲν εἶναι δυνατὸν νὰ κατορθώσωμεν τὰς βιωτικάς μας ἀνάγκας χωρὶς φόβον, πόσῳ μᾶλλον τὰς πνευματικάς; Διότι εἰπέ μου· ποῖος ἔμαθε γράμματα χωρὶς φόβον; ποῖος ἔχει γίνει ἔμπειρος μιᾶς τέχνης χωρὶς φόβον; Ἐὰν δὲ ἐκεῖ, ὅπου δὲν καιροφυλακτεῖ ὁ διάβολος, ἀλλὰ μόνον ἡ ῥαθυμία προκαλεῖ ἐνόχλησιν, ἐχρειάσθη εἰς ἡμᾶς τόσον πολὺς φόβος, ὥστε νὰ ἀπομακρύνωμεν τὴν φυσικὴν μόνον ῥαθυμίαν, ἐκεῖ ὅπου εἶναι τόσον μέγας ὁ πόλεμος καὶ τόσον μεγάλα τὰ ἐμπόδια, πῶς εἶναι δυνατὸν νὰ διασωθοῦμεν ποτὲ χωρὶς φόβον; Πῶς ὅμως θὰ γίνῃ ὁ φόβος αὐτός; Ἂν κατανοήσωμεν, ὅτι ὁ Θεὸς εἶναι παρὼν παντοῦ, τὰ πάντα ἀκούει, τὰ πάντα βλέπει, ὄχι μόνον αὐτὰ ποὺ γίνονται, ἀλλὰ καὶ ὅλα ποὺ βρίσκονται μέσα εἰς τὰς καρδίας καὶ εἰς τὸ βάθος τῆς διανοίας· «διότι εἶναι ἱκανὸς νὰ κρίνῃ καὶ τὰς σκέψεις καὶ ἰδέας τῆς καρδίας»[3]. Ἂν ἔτσι διαθέσωμεν τοὺς ἑαυτούς μας, δὲν θὰ πράξωμεν τίποτε πονηρόν, τίποτε δὲν θὰ εἰποῦμεν, τίποτε δὲν θὰ σκεφθοῦμεν. Εἰπέ μου, ἐὰν στέκεσαι συνεχῶς πλησίον τοῦ ἄρχοντος, δὲν θὰ στέκεσαι μὲ φόβον; Καὶ πῶς ὅταν στέκεσαι πλησίον τοῦ Θεοῦ γελᾷς καὶ ἀνακλίνεσαι, καὶ δὲν φοβεῖσαι οὔτε φρίττεις;

Μὴ περιφρονῇς λοιπὸν τὴν ἀνοχήν του, διότι μακροθυμεῖ μὲ σκοπὸν νὰ σὲ ὁδηγήσῃ εἰς μετάνοιαν. Ὅταν τρώγῃς, θεώρισε ὅτι ὁ Θεὸς εἶναι παρών· διότι εἶναι παρών· ὅταν πρόκειται νὰ κοιμηθῇς, ὅταν ὀργίζεσαι, ὅταν ἁρπάζῃς,

εἰς γέλωτα ἐμπεσῇ, οὐδέποτε εἰς ὀργὴν ἐξαφθήσῃ. Ἂν τοῦτον ἔχῃς διαπαντὸς τὸν λογισμόν, διαπαντὸς ἐν φόβῳ ἔσῃ καὶ τρόμῳ, ἅτε τοῦ βασιλέως πλησίον ἑστώς. Ὁ τεχνίτης, κἂν ἔμπειρος ᾖ, κἂν σφόδρα ᾖ τεχνίτης, μετὰ φόβου καὶ τρόμου ἕστηκε, δεδοικὼς μὴ καταπέσῃ ἐκ τῆς οἰκοδομῆς. Καὶ σὺ ἐπίστευσας, ἔπραξας ἀγαθὰ πολλά, ἀνῆλθες εἰς ὕψος· ἐν ἀσφαλείᾳ κάτεχε σαυτόν, καὶ φοβοῦ ἑστώς, καὶ τὸ ὄμμα ἔχε διεγηγερμένον, μὴ καταπέσῃς ἐκεῖθεν· πολλὰ γὰρ τὰ πνευματικὰ τῆς πονηρίας, τὰ βουλόμενά σε καθελεῖν. «Δουλεύσατε», φησί, «τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ». Καὶ πῶς ἔνι ἀγαλλίασις μετὰ τρόμου; Αὕτη μὲν οὖν ἐστι μόνη ἀγαλλίασις. Ὅταν γάρ τι ἀγαθὸν ἐργασώμεθα, καὶ τοιοῦτον, οἷον εἰκὸς τοὺς ἐν τρόμῳ τι ποιοῦντας, τότε χαίρομεν μόνον.

«Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε». Οὐκ εἶπεν, ἐργάζεσθε, ἀλλά, «κατεργάζεσθε», τουτέστι μετὰ πολλῆς τῆς σπουδῆς, μετὰ πολλῆς τῆς ἐπιμελείας. Ἐπειδὴ δὲ εἶπε, «μετὰ φόβου καὶ τρόμου», ὅρα πῶς παραμυθεῖται τὴν ἀγωνίαν. Τί γάρ φησιν; «Ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν». Μὴ φοβοῦ, ὅτι εἶπον, «μετὰ φόβου καὶ τρόμου»· οὐ διὰ τοῦτο εἶπον, ἵνα ἀπαγορεύσῃς, ἵνα δυσέφικτόν τι εἶναι νομίσῃς τὴν ἀρετήν, ἀλλ' ἵνα προσέχῃς, ἵνα μὴ διαχέῃς σαυτόν. Ἂν τοῦτο ᾖ, ὁ Θεὸς πάντα ἐργάσεται· σὺ θάρσει. «Ὁ Θεὸς γάρ ἐστιν ἐνεργῶν ἐν ὑμῖν». Εἰ τοίνυν αὐτὸς ἐνεργεῖ, ἡμᾶς δεῖ τὴν προαίρεσιν παρασχεῖν συγκεκροτημένην διαπαντός, ἐσφιγμένην, ἀδιάχυτον. «Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν». Εἰ τὸ θέλειν αὐτὸς ἡμῖν ἐνεργεῖ, πῶς ἡμῖν παρακελεύῃ; Εἰ γὰρ καὶ τὸ θέλειν αὐτὸς ποιεῖ, εἰκῇ ἡμῖν λέγεις, ὅτι ὑπηκούσατε· οὐ γὰρ ὑπακούομεν· εἰκῇ λέγεις ἐν φόβῳ καὶ ἐν τρόμῳ· Θεοῦ γὰρ τὸ ὅλον ἐστίν. Οὐ διὰ τοῦτο εἶπον, «Αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν»,

4. Ψαλμ. 2, 11

εἴτε ζῇς βίον τρυφηλόν, εἴτε κάμνῃς ὅ,τιδήποτε, ποτὲ νὰ μὴ περιγελάσῃς, ποτὲ νὰ μὴ ὀργισθῇς. Ἂν ἔχῃς συνεχῶς τὴν σκέψιν αὐτήν, συνεχῶς θὰ φοβῆσαι καὶ θὰ τρέμῃς, ὡς νὰ στέκεσαι πλησίον τοῦ βασιλέως. Ὁ οἰκοδόμος στέκεται μὲ φόβον καὶ τρόμον, εἴτε εἶναι ἔμπειρος, εἴτε εἶναι πάρα πολὺ καλὸς τεχνίτης, ἐπειδὴ φοβεῖται μήπως πέσῃ ἀπὸ τὴν οἰκοδομήν. Καὶ σὺ ἐπίστευσες, ἔπραξες ἀγαθὰ πολλά, ἀνῆλθες εἰς ὕψος, κράτησε τὸν ἑαυτόν σου μὲ ἀσφάλειαν καὶ νὰ φοβῆσαι ὅταν στέκεσαι καὶ νὰ προσέχῃς μήπως καταπέσῃς ἀπ᾽ ἐκεῖ, διότι πολλὰ εἶναι τὰ πνεύματα τῆς πονηρίας, ποὺ ἐπιθυμοῦν νὰ σὲ καταβιβάσουν. «Δουλεύσατε», λέγει, «τὸν Κύριον μὲ φόβον καὶ ἀγαλλιᾶσθε μὲ τρόμον»[4]. Καὶ πῶς εἶναι δυνατὴ ἡ ἀγαλλίασις μαζὶ μὲ τρόμον; Αὐτὴ πράγματι εἶναι ἡ μόνη ἀγαλλίασις. Διότι ὅταν πράξωμεν ἕνα ἀγαθόν, καὶ τέτοιο, ὅμοιον δηλαδὴ πρὸς τοὺς πράττοντας κάτι μὲ φόβον, τότε χαίρομεν μόνον.

«Μὲ φόβον καὶ τρόμον νὰ ἐργάζεσθε διὰ νὰ ἐπιτύχετε τὴν σωτηρίαν σας». Δὲν εἶπε, νὰ ἐργάζεσθε, ἀλλὰ «νὰ κατεργάζεσθε», δηλαδή, μὲ πολὺν ζῆλον, μὲ πολλὴν ἐπιμέλειαν. Ἐπειδὴ δὲ εἶπε, «μὲ φόβον καὶ τρόμον», πρόσεχε πῶς καταπραΰνει τὴν ἀγωνίαν. Τί λοιπὸν λέγει; «Ὁ Θεὸς εἶναι ποὺ ἐργάζεται μέσα σας». Μὴ φοβεῖσαι, διότι εἶπα, «μὲ φόβον καὶ τρόμον»· δὲν εἶπα διὰ τοῦτο, νὰ ἀποκάμῃς, νὰ νομίσῃς ὅτι ἡ ἀρετὴ εἶναι κάτι ποὺ κατορθώνεται δυσκόλως, ἀλλὰ διὰ νὰ προσέχῃς, διὰ νὰ μὴ ἔχῃς τὸν ἑαυτόν σου παραλελυμένον. Ἂν τοῦτο συμβαίνῃ, ὁ Θεὸς θὰ ἐνεργήσῃ τὰ πάντα, σὺ νὰ ἔχῃς θάρρος. «Διότι ὁ Θεὸς εἶναι ποὺ ἐνεργεῖ μέσα σας». Ἐὰν λοιπὸν αὐτὸς ἐνεργῇ, ἡμεῖς πρέπει νὰ ἔχωμεν τὴν προαίρεσιν συνεχῶς ἡτοιμασμένην, ἀδιάχυτον. «Διότι ὁ Θεὸς εἶναι ποὺ ἐνεργεῖ μέσα σας καὶ τὸ νὰ θέλετε καὶ τὸ νὰ ἐνεργῆτε». Ἐὰν αὐτὸς ἐνεργῇ εἰς ἡμᾶς τὴν θέλησιν, πῶς μᾶς προτρέπει; Διότι ἂν αὐτὸς κάμνῃ καὶ τὸ νὰ θέλωμεν, ἄδικα μᾶς λέγεις, ὅτι ὑπηκούσατε· διότι δὲν ὑπακούομεν· ἄδικα λέγεις μὲ φόβον καὶ τρόμον· διότι τὸ πᾶν εἶναι ὁ Θεός. Δὲν εἶπα διὰ τοῦτο, «Διότι αὐτὸς εἶναι ποὺ ἐργάζεται καὶ τὸ νὰ θέλετε καὶ τὸ

ἀλλ' ἐκλῦσαι τὴν ἀγωνίαν ὑμῶν βουλόμενος. Ἂν θελήσῃς, τότε ἐνεργήσει τὸ θέλειν. Μὴ φοβηθῇς, οὐδὲν κάμνεις· καὶ προθυμίαν αὐτὸς ἡμῖν δίδωσι καὶ ἐργασίαν. Ὅταν γὰρ θελήσωμεν, αὔξει τὸ θέλειν ἡμῶν λοιπόν· οἷον, βούλομαι ἀγαθόν τι ἐργάσασθαι· ἐνήργησεν αὐτὸ τὸ ἀγαθόν, ἐνήργησε δι' αὐτοῦ καὶ τὸ θέλειν. Ἢ ἀπὸ πολλῆς εὐλαβείας τοῦτό φησιν, ὥσπερ ὅταν τὰ κατορθώματα τὰ ἡμέτερα χαρίσματα εἶναι λέγῃ.

Ὥσπερ οὖν λέγων αὐτὰ χαρίσματα, οὐκ ἐξωθεῖ ἡμᾶς τοῦ αὐτεξουσίου, ἀλλ' ἀφίησιν ἐν ἡμῖν τὸ αὐτεξούσιον, οὕτως ὅταν λέγῃ ἐνεργεῖν ἐν ἡμῖν τὸ θέλειν, οὐκ ἀφαιρεῖται ἡμᾶς τὸ αὐτεξούσιον, ἀλλὰ δείκνυσιν, ὅτι ἀπὸ τοῦ κατορθοῦν πολλὴν εἰς τὸ θέλειν λαμβάνομεν προθυμίαν. Καθάπερ γὰρ τὸ ποιεῖν ἐκ τοῦ ποιεῖν γίνεται· οὕτως ἐκ τοῦ μὴ ποιεῖν τὸ μὴ ποιεῖν. Ἔδωκας ἐλεημοσύνην; μᾶλλον προετράπης δοῦναι. Οὐκ ἔδωκας; μᾶλλον ἤργησας. Ἐσωφρόνησας μίαν ἡμέραν; ἔχεις προτροπὴν καὶ εἰς τὴν δευτέραν. Ἐρραθύμησας; ἐπέτεινας τὴν ῥαθυμίαν. «Ἀσεβὴς» γάρ, φησίν, «ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ». Ὥσπερ οὖν ὅταν ἔλθῃ εἰς βάθος κακῶν, καταφρονεῖ· οὕτως ὅταν ἔλθῃ εἰς βάθος ἀγαθῶν, σπουδάζει. Καθάπερ γὰρ ἐκεῖνος ἀπογνοὺς ῥαθυμότερος γίνεται· οὕτως οὗτος ἐννοῶν τὸ πλῆθος τῶν ἀγαθῶν, σπουδαιότερος γίνεται, δεδοικὼς μὴ τὸ πᾶν ἀπολέσῃ. «Ὑπὲρ τῆς εὐδοκίας», φησί· τουτέστι, διὰ τὴν ἀγάπην, διὰ τὴν ἀρέσκειαν αὐτοῦ, ἵνα τὰ δοκοῦντα αὐτῷ γένηται, ἵνα κατὰ τὴν θέλησιν αὐτοῦ γένηται. Ἐνταῦθα δείκνυσι, ὅτι ποιεῖ θαρρεῖν, ὅτι πάντως ἐνεργεῖ. Θέλει γὰρ ἡμᾶς, ὡς αὐτὸς βούλεται ζῆν. Εἰ δὲ βούλεται, πρὸς δὲ τοῦτο αὐτὸς ἐνεργεῖ, καὶ τοῦτο πάντως ἐνεργήσει· θέλει γὰρ ἡμᾶς ὀρθῶς ζῆν. Ὁρᾷς πῶς οὐκ ἀφαιρεῖται τὸ αὐτεξούσιον;

Ταῦτα «πάντα ποιεῖτε», φησί, «χωρὶς γογγυσμῶν καὶ

---

5. Παροιμ. 18, 3.

νὰ ἐνεργῆτε», ἀλλ' ἐπειδὴ ἐπιθυμῶ νὰ διαλύσω τὴν ἀγωνίαν σας. Ἐὰν θελήσῃς, τότε θὰ ἐνεργήσῃ ἡ θέλησις. Μὴ φοβηθῇς, καθόλου δὲν καταπονεῖσαι. Αὐτὸς μᾶς δίδει καὶ τὴν προθυμίαν καὶ τὴν ἐργασίαν. Διότι ὅταν θελήσωμεν, αὐξάνει ἡ θέλησίς μας εἰς τὴν συνέχειαν˙ ὅπως, ἐπιθυμῶ νὰ πράξω ἕνα ἀγαθόν˙ ἐνήργησεν αὐτὸ τὸ ἀγαθόν, ἐνήργησε μὲ αὐτὸ καὶ ἡ θέλησις. Ἢ λέγει τοῦτο ἀπὸ πολλὴν εὐσέβειαν, ὅπως ὅταν λέγῃ ὅτι τὰ ἰδικά μας κατορθώματα εἶναι χαρίσματα.

Ὅπως ἀκριβῶς λοιπὸν ὀνομάζει αὐτὰ χαρίσματα, δὲν μᾶς στερεῖ τὸ αὐτεξούσιον, ἀλλ' ἀφήνει μέσα μας τὸ αὐτεξούσιον, ἔτσι ὅταν λέγῃ, ὅτι ἐνεργεῖ μέσα μας ἡ θέλησις, δὲν μᾶς ἀφαιρεῖ τὸ αὐτεξούσιον, ἀλλὰ δεικνύει, ὅτι ἀπὸ τὰ κατορθώματα λαμβάνομεν πολλὴν προθυμίαν εἰς τὸ νὰ θέλωμεν. Διότι ὅπως ἀκριβῶς τὸ ἔργον γίνεται ἀπὸ τὴν πρᾶξιν, ἔτσι καὶ ἀπὸ τὴν ἀπραξίαν δὲν ὑπάρχει ἔργον. Ἔδωσες ἐλεημοσύνην; περισσότερον παρεκινήθης νὰ δώσῃς. Δὲν ἔδωσες; περισσότερον ἀργὰ ἔγινες. Ἔδειξες σωφροσύνην μίαν ἡμέραν; ἔχεις τὴν προτροπὴν καὶ διὰ τὴν ἄλλην. Ἔγινες ράθυμος; ἐπηύξησες τὴν ραθυμίαν. «Διότι ὁ ἀσεβής», λέγει, «ὅταν ἔλθῃ εἰς τὸ βάθος τῶν κακῶν περιφρονεῖ»[5]. Ὅπως ἀκριβῶς λοιπόν, ὅταν ἔλθῃ εἰς τὸ βάθος τῶν κακῶν, περιφρονεῖ, ἔτσι ὅταν ἔλθῃ εἰς τὸ βάθος τῶν ἀγαθῶν, βιάζεται. Διότι ὅπως ἐκεῖνος ποὺ περιῆλθεν εἰς ἀπόγνωσιν γίνεται ραθυμότερος, ἔτσι αὐτὸς ποὺ κατανοεῖ τὸ πλῆθος τῶν ἀγαθῶν γίνεται ταχύτερος, φοβούμενος μήπως ἀπολέσῃ τὸ πᾶν. «Διὰ νὰ πληρωθῇ ἡ ἀγαθή του διάθεσις», λέγει. Δηλαδή, διὰ τὴν ἀγάπην, διὰ τὴν ἀρέσκειάν του, διὰ νὰ γίνουν αὐτὰ ποὺ φαίνονται καλὰ εἰς αὐτόν, διὰ νὰ γίνουν συμφώνως πρὸς τὴν θέλησίν του. Ἐδῶ ἀποδεικνύει, καὶ μᾶς δίδει θάρρος, ὅτι ἐνεργεῖ ὁπωσδήποτε. Διότι θέλει νὰ ζῶμεν, ὅπως αὐτὸς ἐπιθυμεῖ. Ἐὰν δὲ ἐπιθυμῇ καὶ ἐπὶ πλέον καὶ ὁ ἴδιος ἐνεργεῖ, καὶ αὐτὸ ὁπωσδήποτε θὰ ἐνεργήσῃ˙ διότι θέλει νὰ ζῶμεν ὀρθῶς. Βλέπεις πῶς δὲν ἀφαιρεῖ τὸ αὐτεξούσιον;

Αὐτὰ «ὅλα πράττετε», λέγει, «χωρὶς γογγυσμοὺς καὶ

διαλογισμῶν». Ὁ διάβολος ἐπειδὰν μὴ δυνηθῇ ἡμᾶς ἀπαγαγεῖν τοῦ καλῶς ποιεῖν, ἑτέρως βούλεται ἡμῶν κενῶσαι τὸν μισθόν. Ἢ γὰρ κενοδοξίαν, ἢ ἀπόνοιαν ἐπεισήγαγεν, ἤ, εἰ μηδὲν τούτων, γογγυσμόν, ἤ, εἰ μὴ τοῦτο, διάκρισιν. Ὅρα τοίνυν πῶς αὐτὰ ἐκκαθαίρει ὁ Παῦλος. Εἶπε περὶ τῆς ταπεινοφροσύνης ὅσαπερ εἶπεν ἀναιρῶν ἀπόνοιαν· εἶπε περὶ τῆς κενοδοξίας, τουτέστι, «μὴ ἐν τῇ παρουσίᾳ μου μόνον»· λέγει ἐνταῦθα περὶ τοῦ γογγυσμοῦ καὶ τοῦ διακριτικοῦ. Τί δήποτε ἐπὶ μὲν τῶν Κορινθίων τοῦτο τὸ πάθος ἀναιρῶν, ἐμνημόνευσε καὶ τῶν Ἰσραηλιτῶν, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ' ἁπλῶς ἐπέταξεν; Ὅτι ἐκεῖ μὲν γενόμενον ἤδη ἦν τοῦτο· διὸ καὶ σφοδροτέρας ἐδέησεν αὐτῷ τῆς πληγῆς, καὶ μείζονος τῆς ἐπιτιμήσεως· ἐνταῦθα δέ, ὥστε μὴ γενέσθαι, παραινεῖ. Τοὺς οὖν οὐδέπω ἡμαρτηκότας περιττὸν ἦν πληκτικώτερον ἀσφαλίζεσθαι· ἐπεὶ καὶ εἰς ταπεινοφροσύνην ἐνάγων οὐ παρέθηκεν ὑπόδειγμα τὸ ἐν τῷ εὐαγγελίῳ, ἔνθα οἱ ἀλαζόνες ἐκολάσθησαν, ἀλλ' ἀπὸ τοῦ Θεοῦ τὴν παραίνεσιν εἰσήγαγε, καὶ ὡς ἐλευθέροις αὐτοῖς διαλέγεται, ὡς τέκνοις γνησίοις, οὐχ ὡς οἰκέταις. Ἐν γὰρ τοῖς ἀγαθοῖς ὁ μὲν εὐγνώμων καὶ εὐγενὴς ἀπὸ τῶν κατορθούντων ἐνάγεται, ὁ δὲ ἀγνώμων ἀπὸ τῶν μὴ κατορθούντων· ἐκεῖνος ἀπὸ τῆς τιμῆς, οὗτος ἀπὸ τῆς κολάσεως. Διὰ τοῦτο καὶ Ἑβραίοις γράφων ἔλεγε, τὸν Ἠσαῦ εἰς μέσον παραγαγών, «Ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια»· καὶ πάλιν· «Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ». Καὶ ἐν τοῖς Κορινθίοις δὲ πολλοὶ ἦσαν οἱ πορνεύσαντες· διὰ τοῦτο ἔλεγε, «Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν».

«Ἵνα γένησθε», φησίν, «ἄμεμπτοι καὶ ἀκέραιοι», τουτέ-

---

6. Ἑβρ. 12, 16· 10, 38.
7. Β' Κορ. 12, 21

χωρὶς ἀμφιβολίας». Ὅταν ὁ διάβολος δὲν ἠμπορέσῃ νὰ μᾶς ἐκτρέψῃ ἀπὸ τὸ νὰ κάμνωμεν τὸ καλόν, ἐπιθυμεῖ νὰ μᾶς ἀφαιρέσῃ μὲ ἄλλον τρόπον τὸν μισθόν. Εἰσήγαγε λοιπὸν ἢ τὴν κενοδοξίαν ἢ νὴ ἀπόγνωσιν, ἢ ἐὰν τίποτε ἀπ' αὐτά, τὸν γογγυσμόν, καὶ ἐὰν ὄχι τοῦτο, τὴν διάκρισιν. Πρόσεχε λοιπὸν πῶς ὁ Παῦλος ἐκκαθαρίζει αὐτά. Εἶπε περὶ τῆς ταπεινοφροσύνης τόσα ποὺ εἶπεν ἀναιρῶν τὴν ἀλαζονείαν· εἶπε περὶ τῆς κενοδοξίας, δηλαδή, «ὄχι μόνον ὅταν ἤμουν παρὼν μεταξύ σας»· λέγει ἐδῶ περὶ τοῦ γογγυσμοῦ καὶ τῆς διακρίσεως. Διατί λοιπὸν ἀναιρῶν τοῦτο τὸ πάθος εἰς μὲν τοὺς Κορινθίους ἐμνημόνευσε καὶ τοὺς Ἰσραηλίτας, ἐδῶ δὲ τίποτε δὲν εἶπε σχετικόν, ἀλλ' ἁπλῶς διέταξε; Διότι ἐκεῖ μὲν εἶχε συμβῆ αὐτό· διὰ τοῦτο ἐχρειάζετο εἰς αὐτὸν καὶ δυνατότερον κτύπημα καὶ ἐντονωτέρα ἐπιτίμησις· ἐδῶ ὅμως παραινεῖ, διὰ νὰ μὴ συμβῇ αὐτό. Ἐκείνους, ποὺ δὲν ἔχουν ἁμαρτήσει ἀκόμη, ἦτο περιττὸν νὰ προφυλάσσῃ μὲ δυνατότερον κτύπημα, ἀφοῦ καὶ εἰς ταπεινοφροσύνην προτρέπων δὲν παρέθεσε τὸ παράδειγμα τοῦ εὐαγγελίου, ὅπου οἱ ἀλαζόνες ἐτιμωρήθησαν, ἀλλ' εἰσήγαγε τὴν παραίνεσιν ἀπὸ τὸν Θεόν, καὶ ὁμιλεῖ πρὸς αὐτούς, ὡς πρὸς ἐλευθέρους, ὡς πρὸς τέκνα γνήσια, ὄχι ὡς πρὸς ὑπηρέτας. Διότι μεταξὺ τῶν ἀγαθῶν ὁ μὲν εὐγνώμων καὶ εὐγενὴς παρακινεῖται ἀπὸ τὸ παράδειγμα ἐκείνων ποὺ ἐπιτυγχάνουν κάτι, ὁ δὲ ἀγνώμων ἀπ' ἐκείνους ποὺ δὲν ἐπιτυγχάνουν· ἐκεῖνος ἀπὸ τὴν τιμήν, αὐτὸς ἀπὸ τὴν τιμωρίαν. Διὰ τοῦτο καὶ ὅταν ἔγραφε πρὸς τοὺς Ἑβραίους ἔλεγε, φέρων ὡς παράδειγμα τὸν Ἠσαῦ, «Ὁ ὁποῖος δι' ἕνα φαγητὸν ἐπώλησε τὰ πρωτοτόκια», καὶ πάλιν, «Ἐὰν ὀπισθοχωρήσῃ κανείς, δὲν εὐαρεστεῖται ἡ ψυχή μου εἰς αὐτόν»[6]. Καὶ μεταξὺ τῶν Κορινθίων δὲ πολλοὶ ἦσαν ἐκεῖνοι ποὺ ἐπόρνευσαν· διὰ τοῦτο ἔλεγε, «Μήπως, ὅταν ἔλθω πρὸς σᾶς, μὲ ταπεινώσῃ πάλιν ὁ Θεός μου καὶ πενθήσω πολλοὺς ἀπὸ ἐκείνους ποὺ ἔχουν ἁμαρτήσει πρὸ τοῦ νέου μου ταξειδίου καὶ δὲν μετενόησαν διὰ τὴν ἀκαθαρσίαν καὶ πορνείαν καὶ ἀσέλγειαν, τὴν ὁποίαν ἔπραξαν»[7].

«Διὰ νὰ γίνετε», λέγει, «ἄμεμπτοι καὶ ἀκέραιοι», δηλαδή,

στιν ἄληπτοι, εἰλικρινεῖς· οὐ μικρὰν γὰρ προσάγει κηλῖδα ὁ γογγυσμός. Τί δέ ἐστι, «χωρὶς διαλογισμῶν»; Ἆρα καλόν, ἆρα οὐ καλόν; Μὴ διαλογίζεσθε, φησί, κἂν πόνος ᾖ, κἂν κάματος, κἂν ὁτιοῦν. Οὐκ εἶπεν ἵνα μὴ κολασθῆτε· κόλασις γὰρ ἀπόκειται τῷ πράγματι· καὶ τοῦτο ἐν τῇ πρὸς Κορινθίους ἐδήλωσεν ἐπιστολῇ· ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ', «Ἵνα γένησθε», φησίν, ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένηςς, ἐν οἷς φαίνεσθε, ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ».

Ὁρᾷς ὅτι παιδεύει τούτους τὸ μὴ γογγίζειν; Ὥστε δούλων ἀγνωμόνων καὶ ἀναισθήτων τὸ γογγίζειν. Ποῖος γάρ, εἰπέ μοι, υἱὸς ἐν τοῖς τοῦ πατρὸς πονῶν, καὶ ἑαυτῷ ποιῶν γογγύζει; Ἐννόησον, φησίν, ὅτι σαυτῷ πονεῖς, ὅτι σαυτῷ συνάγεις. Ἐκείνων ἴδιον τὸ γογγύζειν ἐστίν, ὅταν ἑτέροις ποιῶσιν, ὅταν ἑτέροις κάμνωσιν· ὁ δὲ ἑαυτῷ συλλέγων, τίνος ἕνεκεν γογγύζει; ὅτι ὁ πλοῦτος αὐτοῦ οὐκ αὔξεται; Ἀλλ' οὐκ ἔστιν. Ὁ ἑκοντὶ καὶ μὴ κατ' ἀνάγκην ποιῶν, τίνος ἕνεκεν γογγύζει; Βέλτιον μηδὲν ἐργάσασθαι, ἢ μετὰ γογγυσμῶν· ἀπόλλυται γὰρ καὶ αὐτὸ τὸ γινόμενον. Ἢ οὐχ ὁρᾷς, ὅτι καὶ ἐν ταῖς οἰκίαις ταῖς ἡμετέραις ἀεὶ ταῦτα λέγομεν, βέλτιον ταῦτα μὴ γίνεσθαι, ἢ μετὰ γογγυσμοῦ; καὶ πολλάκις εἱλόμεθα τῆς διακονίας ἀποστερηθῆναι τῆς ἡμετέρας, ἢ γογγύζοντος ἀνασχέσθαι. Δεινὸν γάρ, δεινὸν ὁ γογγυσμός· ἐγγὺς βλασφημίας ἐστίν· ἐπεὶ τίνος ἕνεκεν τοσαύτην ἐκεῖνοι ἔδωκαν δίκην; Ἀχαριστία τὸ πρᾶγμά ἐστιν. Ὁ γογγύζων ἀχαριστεῖ τῷ Θεῷ· ὁ δὲ ἀχαριστῶν τῷ Θεῷ,

ἀπρόσβλητοι καὶ εἰλικρινεῖς, διότι ὁ γογγυσμὸς προσάγει μεγάλην καταισχύνην. Τί σημαίνει δὲ «χωρὶς διαλογισμῶν»; Μήπως καλόν, μήπως κακόν; Μὴ ἀμφιβάλλετε, λέγει, καὶ ἂν ἀκόμη ὑπάρχῃ πόνος καὶ κάματος καὶ ὅ,τιδήποτε ἄλλο. Δὲν εἶπε, διὰ νὰ μὴ τιμωρηθῆτε˙ διότι ἡ τιμωρία ἐπιφυλάσσεται διὰ τὸ πρᾶγμα αὐτό˙ καὶ τοῦτο κατέστησε σαφὲς εἰς τὴν πρὸς Κορινθίους ἐπιστολήν, ἐδῶ ὅμως δὲν εἶπε τίποτε τὸ σχετικόν, ἀλλά, «Διά νὰ γίνετε», λέγει, «ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα τοῦ Θεοῦ ἄμεμπτα εἰς τὸ μέσον μιᾶς γενεᾶς ἀνθρώπων πονηρῶν καὶ διεστραμμένων, μεταξὺ τῶν ὁποίων σεῖς φαίνεσθε ὡς φωτεινοὶ ἀστέρες εἰς τὸν κόσμον, καὶ κρατεῖτε σταθερῶς τὸν λόγον τῆς ζωῆς τοῦ εὐαγγελίου, διὰ νὰ εἶσθε τὸ καύχημά μου κατὰ τὴν ἡμέραν τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ».

Βλέπεις ὅτι τοὺς διδάσκει τὸ νὰ μὴ γογγύζουν; Ὥστε τὸ γογγύζειν εἶναι χαρακτηριστικὸν τῶν ἀγνωμόνων καὶ ἀναισθήτων δούλων. Διότι εἰπέ μου, ποῖος υἱός, ποὺ μοχθεῖ εἰς τὰ τοῦ πατρός του καὶ μοχθεῖ χάριν τοῦ ἑαυτοῦ του, γογγύζει; Σκέψου, λέγει, ὅτι χάριν τοῦ ἑαυτοῦ σου μοχθεῖς, χάριν τοῦ ἑαυτοῦ σου συνάγεις. Οἱ γογγυσμοὶ εἶναι χαρακτηριστικὸν ἐκείνων, ὅταν μοχθοῦν χάριν τῶν ἄλλων, ὅταν ἐργάζωνται διὰ τοὺς ἄλλους. Ἐκεῖνος ὅμως ποὺ συνάγει διὰ τὸν ἑαυτόν του, διὰ ποίαν αἰτίαν γογγύζει; διότι δὲν αὐξάνει ὁ πλοῦτος του; Ἀλλὰ δὲν εἶναι δυνατόν. Ἐκεῖνος ποὺ κάμνει κάτι ἑκουσίως καὶ ὄχι ἀναγκαστικῶς, διὰ ποίαν αἰτίαν γογγύζει; Καλύτερον εἶναι νὰ μὴ πράττωμεν τίποτε, παρὰ μὲ γογγυσμόν˙ διότι καταστρέφεται καὶ αὐτὸ ποὺ ἔγινε. Ἢ δὲν βλέπεις, ὅτι καὶ εἰς τὰς οἰκίας μας αὐτὰ πάντοτε λέγομεν, ὅτι εἶναι καλύτερον νὰ μὴ γίνωνται αὐτὰ παρὰ μὲ γογγυσμόν; καὶ πολλὰς φορὰς ἐπροτιμήσαμεν νὰ στερηθοῦμεν τοὺς ἰδικούς μας ὑπηρέτας, παρὰ νὰ τοὺς ὑπομένωμεν γογγύζοντας. Πράγματι εἶναι κακὸν ὁ γογγυσμός, εἶναι πλησίον τῆς βλασφημίας˙ διότι διὰ ποῖον λόγον ἐτιμωρήθησαν ἐκεῖνοι τόσον πολύ; Ἀχαριστία εἶναι τὸ πρᾶγμα. Ἐκεῖνος ποὺ γογγύζει εἶναι ἀχάριστος πρὸς τὸν Θεόν. Ἐκεῖνος ποὺ εἶναι ἀχάριστος πρὸς τὸν Θεόν,

ἄρα βλάσφημος. Μάλιστα γὰρ τότε πειρασμοὶ συνεχεῖς ἦσαν, καὶ ἐπάλληλοι κίνδυνοι, οὐδεμία ἀνάπαυσις, οὐδεμία ἄνεσις, μυρία πάντοθεν ἐπέρρει δεινά· νῦν δὲ εἰρήνη βαθεῖα, νῦν εὐμάρεια.

Τίνος οὖν ἕνεκεν γογγύζεις; ὅτι πένῃ; Ἀλλ' ἐννόει τὸν Ἰώβ. Ἀλλ' ὅτι νοσεῖς; Τί οὖν, εἰ τοσαῦτα συνειδὼς ἀγαθὰ σαυτῷ καὶ κατορθώματα, ὅσα ὁ ἅγιος ἐκεῖνος, ἐνόσησας; Ἐννόει πάλιν ἐκεῖνον, ὅτι ἐκεῖνος ἐπὶ πολὺν χρόνον σκώληκας βρύων, καὶ ἐπὶ τῆς κοπρίας καθήμενος, καὶ τὸν ἰχῶρα ξέων διετέλει. «Χρόνου» γάρ, φησί, «πολλοῦ προβεβηκότος, εἶπε πρὸς αὐτὸν ἡ γυνή· μέχρι τίνος καρτερήσεις λέγων, ἀναμένω χρόνον ἔτι μικρόν; εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα». Ἀλλὰ παῖς σου ἀπέθανε; Τί οὖν, εἰ πάντας ἀπέβαλες, καὶ θανάτῳ πονηρῷ, ὥσπερ ἐκεῖνος; Ἴστε γάρ, ἴστε ὅτι πολλὴν ἔχει παραμυθίαν τὸ παρακαθῆσθαι νοσοῦντι, τὸ συμβαλεῖν στόμα, τὸ μύσαι ὀφθαλμούς, τὸ ἅψασθαι γενειάδος, τὸ τὰ τελευταῖα ἀκοῦσαι ῥήματα. Ἀλλ' οὐδενὸς τούτων ἠξιώθη ὁ δίκαιος, ἀλλὰ πάντες ὁμοῦ κατεχώσθησαν. Καὶ τί λέγω; εἰ προσετάγης αὐτὸς σφάξαι τὸν υἱόν σου καὶ καταθῦσαι, καὶ καυθέντα ἰδεῖν, καθάπερ ὁ μακάριος ἐκεῖνος ὁ πατριάρχης; τίς ἄρα ἦς τὸ θυσιαστήριον οἰκοδομῶν, τὰ ξύλα ἐπιτιθείς, συμποδίζων τὸ παιδίον; Ἀλλ' ὀνειδίζουσί σε τινές; Τίς οὖν ἦς, εἰ παρὰ φίλων ἐπὶ παραμυθίᾳ ἡκόντων ἤκουες ταῦτα; Νῦν μὲν γὰρ ἁμαρτήματα ἔχομεν πολλά, καὶ ὀνειδιζόμεθα εἰκότως· τότε δὲ ἐκεῖνος ὁ ἀληθινός, ὁ δίκαιος, ὁ θεοσεβής, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, τἀναντία τούτων ἤκουε παρὰ τῶν φίλων.

Τί δέ, εἰπέ μοι, εἰ τῆς γυναικὸς ὀνειδιζούσης ἤκουες λεγούσης, «Ἐγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας περιερχομένη, προσδεχομένη τὸν ἥλιον πότε

8. Ἰὼβ 2, 9

εἶναι ἑπομένως καὶ βλάσφημος. Διότι τότε μὲν ὑπῆρχον κατ᾽ ἐξοχὴν πειρασμοὶ καὶ κίνδυνοι ὁ ἕνας μετὰ τὸν ἄλλον, καμμία ἀνάπαυσις, καμμία ἄνεσις, πολλὰ κακὰ ἐπήρχοντο ἀπὸ παντοῦ˙ τώρα δὲ ὑπάρχει εἰρήνη βαθεῖα, τώρα εὐμάρεια.

Διὰ ποῖον λοιπὸν λόγον γογγύζεις; διότι εἶσαι πτωχός; Ἀλλὰ σκέψου τὸν Ἰώβ. Μήπως διότι εἶσαι ἀσθενής; Διατί λοιπὸν ἠσθένησες, ἐφ᾽ ὅσον ἀναγνωρίζῃς εἰς τὸν ἑαυτόν σου τόσα πολλὰ ἀγαθὰ καὶ κατορθώματα, ὅσα ὁ ἅγιος ἐκεῖνος; Σκέψου πάλιν ἐκεῖνον, διότι ἐπὶ πολὺν χρόνον ἦτο γεμᾶτος σκουλήκια καὶ ἐκάθητο ἐπάνω εἰς τὴν κοπριὰν καὶ ἔξυνε τὸ πῦον τῶν πληγῶν του. «Διότι ὅταν παρῆλθε, λέγει, πολὺς χρόνος, εἶπε πρὸς αὐτὸν ἡ γυναῖκα˙ μέχρι πότε θὰ ὑπομένῃς λέγων, ἀναμένω ἀκόμη ὀλίγον χρόνον; εἰπὲ ἕνα λόγον πρὸς τὸν Κύριον καὶ ἀπόθανε»[8]. Μήπως ὅμως ἀπέθανεν ὁ υἱός σου; Τί λοιπόν, ἐὰν ἔχασες ὅλους καὶ μὲ θάνατον κακόν, ὅπως ἀκριβῶς ἐκεῖνος; Διότι γνωρίζετε ὅτι ἔχει πολλὴν παρηγορίαν τὸ νὰ καθήσῃ κανεὶς πλησίον τοῦ ἀσθενοῦς, τὸ νὰ κλείσῃ τὸ στόμα του, τὸ νὰ κλείσῃ τὰ μάτια του, τὸ νὰ ἐγγίσῃ τὴν γενειάδα του καὶ νὰ ἀκούσῃ τὰ τελευταῖα λόγια του. Ἀλλὰ τίποτε ἀπ᾽ αὐτὰ δὲν ἠξιώθη ὁ δίκαιος, ἀλλὰ ὅλοι συγχρόνως ἐκρύβησαν. Καὶ διατί λέγω αὐτά; Ἐὰν ἔπαιρνες ἐντολήν, ὅπως ὁ μακάριος ἐκεῖνος πατριάρχης, νὰ σφάξῃς ὁ ἴδιος τὸν υἱόν σου καὶ νὰ τὸν θυσιάσῃς καὶ νὰ τὸν ἰδῇς νὰ καίεται; πῶς θὰ ᾐσθάνεσο ἀνεγείρων τὸ θυσιαστήριον, τοποθετῶν τὰ ξύλα, καὶ δένων τὸ παιδί; Ἀλλὰ σὲ ὀνειδίζουν μερικοί; Πῶς θὰ ἔνοιωθες, ἐὰν ἀπὸ τοὺς φίλους ποὺ ἔχουν ἔλθει διὰ παρηγορίαν ἤκουες αὐτά; Διότι τώρα μὲν ἔχομεν ἁμαρτήματα πολλὰ καὶ ὀνειδιζόμεθα δικαίως, τότε ὅμως ἐκεῖνος ὁ εἰλικρινής, ὁ δίκαιος, ὁ φοβούμενος τὸν Θεόν, ὁ ὁποῖος ἀπεῖχεν ἀπὸ κάθε πονηρὰν πρᾶξιν, ἤκουε ἀπὸ τοὺς φίλους τὰ ἀντίθετα τούτων.

Καὶ τί, εἰπέ μου, ἐὰν ἤκουες τὴν γυναῖκα σου νὰ σὲ ὀνειδίζῃ λέγουσα˙ «Ἐγὼ εἶμαι περιπλανώμενη καὶ ὑπηρέτρια, περιέρχομαι ἀπὸ τόπον εἰς τόπον καὶ ἀπὸ οἰκίαν εἰς οἰκίαν, καὶ περιμένω πότε θὰ δύσῃ ὁ ἥλιος διὰ νὰ ἀναπαυ-

δύσει, καὶ ἀναπαύσομαι τῶν περιεχουσῶν με ὀδυνῶν»; Τίνος ἕνεκεν ταῦτα λέγεις, ὦ ἀνόητε; μὴ γὰρ ὁ ἀνήρ σοι τούτων αἴτιος; ἀλλ' ὁ διάβολος. «Εἰπόν τι ῥῆμα πρὸς Κύριον», φησί, «καὶ τελεύτα». Εἶτα, ἂν ὁ κείμενος εἴπῃ καὶ τελευτήσῃ, σὺ ῥάων γέγονας; Οὐκ ἔστι νόσος ἐκείνης χαλεπωτέρα, κἂν μυριάκις εἴπῃς. Τοιαύτη ἦν, ὡς μηδὲ ἐν οἰκίᾳ καὶ ὑπωρόφιον εἶναι δύνασθαι· τοιαύτη ἦν, ὡς πάντας ἀπαγορεύειν. Οὐ γὰρ ἄν, εἰ μὴ ἀνίατα ἐνόσησεν, ἔξω τῆς πόλεως ἐκάθητο, τῶν ἐλέφαντι κατεχομένων χείρων ὤν. Οὗτοι μὲν γὰρ καὶ εἰς οἰκίας εἰσίασι, καὶ συναγελάζονται ἀλλήλοις· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἐπὶ τῆς κοπρίας ἦν γυμνός, οὐδὲ ἱμάτιον περιβαλέσθαι ἠδύνατο. Πῶς γάρ; ἴσως ἂν καὶ προσετέθη τοῖς ἀλγηδόσι. «Τήκω βώλακας γῆς», φησίν, «ἀπὸ ἰχῶρος ξέων». Ἰχῶρας αὐτῷ αἱ σάρκες καὶ σκώληκας ἔτικτον, καὶ τοῦτο διηνεκῶς.

Ὁρᾷς πῶς ἕκαστος ἡμῶν ναρκᾷ ταῦτα ἀκούων; Εἰ δὲ ἀκοῦσαι οὐκ ἀνεκτὰ ταῦτα, ἰδεῖν ἀνεκτά; εἰ δὲ ἰδεῖν οὐκ ἀνεκτά, πολλῷ μᾶλλον παθεῖν. Ἀλλ' ὅμως ἔπαθεν ὁ δίκαιος, οὐκ ἐπὶ δύο ἡμέρας ἢ τρεῖς, ἀλλ' ἐπὶ χρόνῳ πολλῷ, καὶ οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ. Ποίαν ἔχεις μοι τοιαύτην νόσον εἰπεῖν, ὀδύνας ἔχουσαν πολλάς; πηρώσεως γὰρ οὐ χεῖρον τοῦτο ἦν; «Βρόμον γὰρ ὁρῶ», φησί, «τὰ σῖτά μου». Καὶ οὐδὲ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὃ τοῖς ἄλλοις ἀνάπαυσίς ἐστιν ἡ νὺξ καὶ ὁ ὕπνος, τοῦτο ἐκείνῳ παραμυθίαν τινὰ ἔφερεν, ἀλλὰ χαλεπωτέρα ἦν πάσης βασάνου. Καὶ ἄκουε αὐτοῦ λέγοντος· «Ἵνα τί με φοβεῖς ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις; Ἐὰν γένηται πρωΐ, λέγω, πότε ἑσπέρα; καὶ οὐκ ἐγόγγυσε. Καὶ οὐ τοῦτο μόνον ἦν, ἀλλὰ

9. Ἰὼβ 2, 9.
10. Ἰὼβ 7, 5.
11. Ἰὼβ 6, 7.
12. Ἰὼβ 7, 14. 4

θῶ ἀπὸ τὰς ὀδύνας ποὺ μὲ συνέχουν»[9]; Διὰ ποῖον λόγον λέγεις αὐτά, ἀνόητη; μήπως πράγματι ὁ ἄνδρας σου εἶναι αἴτιος τούτων; δὲν εἶναι αὐτός, ἀλλ' ὁ διάβολος. «Βλασφήμησε τὸν Κύριον», λέγει, καὶ ἀπόθανε». Ἔπειτα, ἂν ἐκεῖνος ποὺ ἦτο ἐξηπλωμένος βλασφημήσῃ καὶ ἀποθάνῃ, σὺ ἐβελτιώθης εἰς τὴν ὑγείαν; Δὲν ὑπάρχει ἀσθένεια φοβερωτέρα ἀπ' ἐκείνην, ἔστω καὶ ἂν εἰπῇς πάρα πολλὰς φοράς. Ἦτο τέτοια ὥστε νὰ μὴ εἶναι εἰς θέσιν νὰ παραμείνῃ οὔτε εἰς τὴν οἰκίαν καὶ κάτω ἀπὸ τὴν ὀροφήν· ἦτο τέτοια, ὥστε ὅλους νὰ ἀπαγορεύῃ νὰ πλησιάζουν. Ἐὰν βέβαια δὲν εἶχεν ἀνίατον ἀσθένειαν, δὲν θὰ ἐκάθητο ἔξω ἀπὸ τὴν πόλιν, εὑρισκόμενος εἰς χειροτέραν θέσιν ἀπὸ τοὺς πάσχοντας ἐλεφαντίασιν. Διότι αὐτοὶ μὲν καὶ εἰς τὰς οἰκίας των εἰσέρχονται, καὶ μεταξύ των συναναστρέφονται· ἐκεῖνος δὲ εἰς τὸ ὕπαιθρον διανυκτερεύων ἐπάνω εἰς τὴν κοπριὰν ἦτο γυμνός, οὔτε ἱμάτιον ἠμποροῦσε νὰ φορέσῃ. Πῶς λοιπόν; ἴσως καὶ θὰ ἔκαμεν ἰσχυροτέρους τοὺς πόνους του. «Διότι διαλύω βώλους σκόνης», λέγει, «ξύνων αὐτοὺς ἀπὸ τὸ πῦον»[10]. Αἱ σάρκες ἐγεννοῦσαν εἰς αὐτὸν πῦον καὶ σκουλήκια, καὶ τοῦτο ἐγίνετο συνεχῶς.

Βλέπεις πῶς ὁ καθένας μας, ἀκούων αὐτά, εὑρίσκεται εἰς κατάστασιν νάρκης; Ἐὰν δὲ αὐτὰ δὲν εἶναι ὑποφερτὰ νὰ τὰ ἀκούσωμεν, εἶναι ὑποφερτὰ νὰ τὰ ἰδοῦμεν; Ἐὰν δὲ δὲν εἶναι ὑποφερτὰ νὰ ἰδοῦμεν αὐτά, πολὺ περισσότερον νὰ τὰ πάθωμεν. Ἀλλ' ὅμως ἔπαθεν ὁ δίκαιος, ὄχι διὰ δύο ἢ τρεῖς ἡμέρας, ἀλλὰ διὰ πολὺν χρόνον, καὶ δὲν ἡμάρτησεν οὔτε εἰς τὰ χείλη αὐτοῦ. Ποίαν ἄλλην ἀσθένειαν ἠμπορεῖς νὰ μοῦ εἰπῇς, ποὺ νὰ ἔχῃ πολλοὺς πόνους; δὲν ἦτο λοιπὸν τοῦτο χειρότερον ἀπὸ τὴν ἀναπηρίαν; «Διότι βλέπω», λέγει, «τὸ φαγητόν μου ὡς ἀκαθαρσίαν»[11]. Καὶ ὄχι μόνον τοῦτο, ἀλλ' οὔτε ἐκεῖνο ποὺ εἶναι ἀνάπαυσις εἰς τοὺς ἄλλους, δηλαδὴ ἡ νύκτα καὶ ὁ ὕπνος, ἔφερε καμμίαν παρηγορίαν εἰς ἐκεῖνον, ἀλλ' ἦτο φοβερωτέρα ἀπὸ κάθε βάσανον. «Διατί μὲ φοβίζεις μὲ ὄνειρα, καὶ μὲ τρομάζεις μὲ ἐφιάλτας; Ὅταν ἔλθῃ τὸ πρωΐ, λέγω, πότε θὰ ἔλθῃ ἡ ἑσπέρα;»[12], καὶ δὲν ἐγόγγυσε. Καὶ δὲν ἦτο τοῦτο μόνον,

καὶ ἡ παρὰ τῶν πολλῶν δόξα· ὡς γὰρ μυρίων ἔνοχον κακῶν εἶχον ἑαυτόν, ἀφ' ὧν ἔπασχε. Τοῦτο γοῦν καὶ οἱ φίλοι αὐτῷ ἔλεγον, «Οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι». Διὸ καὶ αὐτὸς ἔλεγε· «Καὶ νουθετοῦσί με ἐλάχιστοι, οὓς οὐκ ἀξίους ἡγησάμην κυνῶν τῶν ἐμῶν νομάδων». Πόσων τοῦτο θανάτων οὐ χεῖρον; Ἀλλὰ τοσούτῳ κλύδωνι πάντοθεν βαλλόμενος, καὶ πάντοθεν αἰρομένου τοῦ χειμῶνος χαλεποῦ, συννεφείας, ζάλης, σκυπτῶν, ἰλίγγων, στροβίλων, ἔμενεν αὐτὸς ἀκλινής, καθάπερ ἐν γαλήνῃ καθήμενος τῷ κλύδωνι τῷ τοσούτῳ, τῷ οὕτω χαλεπῷ, καὶ οὐκ ἐγόγγυσε· καὶ ταῦτα πρὸ τῆς χάριτος, πρὶν ἢ περὶ ἀναστάσεώς τι λαχθῆναι, πρὶν ἢ περὶ γεέννης καὶ κολάσεως καὶ τιμωρίας.

Ἡμεῖς δὲ καὶ προφητῶν καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν ἀκούοντες, καὶ μυρία ὁρῶντες παραδείγματα, καὶ τοὺς περὶ ἀναστάσεως μανθάνοντες λόγους, ἀσχάλλομεν ἔτι, καίτοι οὐδεὶς ἂν ἔχοι λέγειν ἑαυτῷ τοσαῦτα συμπεπτωκότα. Εἰ γὰρ χρήματά τις ἀπώλεσεν, ἀλλ' οὐ παῖδας καὶ θυγατέρας τοσαύτας, καὶ εἰ ἀπώλεσεν, ἴσως ἁμαρτών· ἐκεῖνος δὲ ἐξαίφνης ἐν μέσαις ταῖς θυσίαις, ἐν μέσῃ τῇ θεραπείᾳ τῇ πρὸς Θεόν· καὶ εἰ παῖδας καὶ χρήματα ὁμοῦ τοσαῦτα, ὅπερ ἀδύνατον, ἀλλ' οὐχὶ καὶ ἥλκωτο διαπαντός, καὶ ἰχῶρας ἔξεεν· εἰ δὲ καὶ τοῦτο, ἀλλ' οὐχὶ τοὺς ἐπεμβαίνοντας εἶχε καὶ ὀνειδίζοντας· ὅπερ μάλιστα πάντων δάκνειν ἡμᾶς εἴωθεν, ἢ αἱ συμφοραί. Εἰ γὰρ τοὺς παρακαλοῦντας ἔχοντες ἐν τοῖς κακοῖς καὶ παραμυθουμένους καὶ ἐλπίδας ἡμῖν ὑποτείνοντας χρηστάς, οὕτως ἀλύομεν, ἐννόησον τί ἦν ὀνειδίζοντας ἔχειν. Εἰ τό, «Ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ πα-

13. Ἰὼβ 11, 6.
14. Ἰὼβ 30, 1.
15. Ψαλμ. 68, 21

ἀλλὰ καὶ ἡ γνώμη τῶν πολλῶν˙ διότι ἐθεωροῦσαν αὐτὸν ὡς ἔνοχον πολλῶν κακῶν, ἀπὸ τὰ ὁποῖα ἔπασχεν. Αὐτὸ λοιπὸν καὶ οἱ φίλοι ἔλεγον εἰς αὐτόν˙ «Δὲν ἔχεις τιμωρηθῇ ἀξίως δι᾿ ὅσα ἔχεις ἁμαρτήσει»[13]. Διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε˙ «Τώρα μὲ συμβουλεύουν ἐλάχιστοι, τοὺς ὁποίους θὰ ἀπηξίουν νὰ βάλω μὲ τοὺς κύνας τῶν ποιμνίων μου»[14]. Ἀπὸ πόσους θανάτους δὲν ἦτο αὐτὸ χειρότερον; Ἀλλ᾿ ἐνῷ ἐβάλλετο ἀπὸ παντοῦ μὲ τόσον μεγάλην τρικυμίαν καὶ ἐγείρετο ἀπὸ παντοῦ φοβερὸς ὁ χειμών, αὐτὸς ἔμενε σταθερὸς εἰς τὸ μέσον συννεφίας, θυέλλης, κεραυνῶν, ἰλίγγων, στροβίλων˙ ὡσὰν νὰ ἦτο γαλήνη ἐκάθητο εἰς τὴν θαλασσοταραχὴν τὴν τόσον μεγάλην καὶ φοβεράν, καὶ δὲν ἐγόγγυσε. Καὶ αὐτὰ πρὶν ἀπὸ τὴν χάριν, προτοῦ νὰ λεχθῇ κάτι περὶ τῆς ἀναστάσεως, περὶ τῆς γεέννης καὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας.

Ἡμεῖς ὅμως ποὺ ἀκούωμεν τοὺς λόγους καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ τῶν εὐαγγελιστῶν, καὶ βλέπομεν πολλὰ παραδείγματα καὶ ἐγνωρίσαμεν τοὺς λόγους περὶ τῆς ἀναστάσεως, ἀδημονοῦμεν ἀκόμη ἂν καὶ κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ λέγῃ εἰς τὸν ἑαυτόν του τόσα πολλὰ συμβεβηκότα. Ἐὰν βέβαια ἀπώλεσε κάποιος χρήματα, δὲν ἀπώλεσεν υἱοὺς καὶ θυγατέρας τόσας πολλάς, καὶ ἐὰν ἀπώλεσεν, ἴσως ἐπειδὴ ἡμάρτησεν˙ ἐκεῖνος ὅμως ἀπώλεσεν αἰφνιδίως ἐνῷ ἐθυσίαζε καὶ ἐλάτρευε τὸν Θεόν˙ καὶ ἐὰν ἐπώλεσεν υἱοὺς καὶ χρήματα μαζὶ τόσον πολλά, πρᾶγμα ποὺ εἶναι ἀδύνατον, ἀλλὰ καὶ δὲν ὑπέφερεν ἀπὸ ἕλκη συνεχῶς καὶ ἔξινε τὸ πῦον˙ ἐὰν δὲ καὶ τοῦτο συνέβαινεν, ἀλλὰ δὲν εἶχεν αὐτοὺς ποὺ ἀνεμειγνύοντο εἰς τὰς ὑποθέσεις του καὶ τὸν ὠνείδιζον˙ πρᾶγμα ποὺ βεβαίως μᾶς ἐρεθίζει συνήθως περισσότερον ἀπὸ ὅλα παρὰ αἱ συμφοραί. Διότι ἐὰν ἀδημονοῦμεν ἔτσι, ὅταν ἔχωμεν αὐτοὺς ποὺ μᾶς παρηγοροῦν εἰς τὰς συμφορὰς καὶ μᾶς ἐνθαρρύνουν καὶ μᾶς ὑπόσχονται χρηστὰς ἐλπίδας, ἐννόησε τί ἦτο νὰ ἔχῃ κανεὶς αὐτοὺς ποὺ τὸν ὠνείδιζον. Ἐὰν τό, «ἀπεκδέχομαι συμπάθειαν, ἀλλὰ δὲν ὑπάρχει, καὶ παρηγορητάς, ἀλλὰ δὲν εὑρίσκω κανένα»[15], εἶναι φοβερὸν καὶ ἀφόρητον,

ρακαλοῦντας, καὶ οὐχ εὗρον», δεινὸν καὶ ἀφόρητον, τὸ ἀντὶ τῶν παρακαλούντων ὀνειδίζοντας εὑρεῖν πόσον κακόν; «Παρακλήτορες», φησί, «κακῶν πάντες». Εἰ ταῦτα διαπαντὸς ἐστρέφομεν, εἰ ταῦτα ἐλογιζόμεθα, οὐκ ἂν ἡμᾶς ἐλύπησέ τι τῶν παρόντων, εἰς ἐκεῖνον ὁρῶντας τὸν ἀθλητήν, εἰς τὴν ἀδαμαντίνην ψυχήν, εἰς τὴν ἀρραγῆ καὶ χάλκεον διάνοιαν· ὥσπερ γὰρ χαλκοῦν ἢ λίθινον περικείμενος σῶμα, αὐτὸς ἅπαντα ἔφερε γενναίως καὶ καρτερικῶς.

Ταῦτα ἐννοοῦντες, πάντα ποιῶμεν χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. Ποιεῖς τι ἀγαθόν, καὶ γογγύζεις; διὰ τί; ἀνάγκη γάρ σοι ἐπίκειται; Οἶδα, φησίν, ὅτι πολλοὶ πλησίον ἀναγκάζουσιν ὑμᾶς γογγύζειν· τοῦτο γὰρ ᾐνίξατο εἰπὼν τό, «ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης»· ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστόν, τὸ καὶ παρακνιζόμενον μηδὲν πάσχειν τοιοῦτον. Καὶ γὰρ οἱ ἀστέρες ἐν νυκτὶ λάμπουσιν, ἐν σκότῳ φαίνουσι, καὶ οὐδὲν εἰς τὸ οἰκεῖον παραβλάπτονται κάλλος, ἀλλὰ καὶ λαμπρότεροι φαίνονται· ὅταν δὲ φῶς ᾖ, οὐχ οὕτω φαίνονται. Οὕτω καὶ σύ, ὅταν μετὰ σκολιῶν ὤν, εὐθὺς μένῃς, μᾶλλον ἀπολάμπεις. Τὸ θαυμαστὸν τοῦτό ἐστι, τὸ ἀμέμπτους γενέσθαι. Ἵνα γὰρ μὴ τοῦτο λέγωσι, προλαβὼν αὐτὸς τοῦτο τέθεικε. Τί ἐστί, «λόγον ζωῆς ἐπέχοντες»; Τουτέστι, μέλλοντες ζήσεσθαι, τῶν σωζομένων ὄντες. Ὅρα πῶς εὐθέως τίθησι τὰ ἔπαθλα· οἱ φωστῆρες, φησί, λόγον φωτὸς ἐπέχουσιν· ὑμεῖς λόγον ζωῆς. Τί ἐστι, «λόγον ζωῆς»; Σπέρμα ζωῆς ἔχοντες, τουτέστιν, ἐνέχυρα ζωῆς ἔχοντες, αὐτὴν κατέχοντες τὴν ζωήν, τουτέστι, σπέρμα ζωῆς ἐν ὑμῖν ἔχοντες· τοῦτο λέγει λόγον ζωῆς. Ἆρα οὖν οἱ ἄλλοι πάντες νεκροί· τοῦτο γὰρ ἐδήλωσεν· ἢ γὰρ ἂν οἱ ἄλλοι λόγον ζωῆς ἐπεῖχον.

«Εἰς καύχημα ἐμοί», φησί. Καὶ ἐγὼ κοινωνῶ, φησί, τῶν ὑμετέρων ἀγαθῶν. Τοσαύτη ὑμῶν ἡ ἀρετή, ὡς μὴ

---

16. Ἰώβ 16, 2

τὸ νὰ εὕρῃς αὐτοὺς ποὺ σὲ ὀνειδίζουν ἀντὶ ἐκείνων ποὺ σὲ παρηγοροῦν, πόσον κακὸν εἶναι; «Ὅλοι εἶναι», λέγει, «κακοὶ παρηγορηταί»[16]. Ἐὰν ἐσκεπτόμεθα συνεχῶς αὐτά, ἐὰν αὐτὰ ὑπελογίζαμεν, δὲν θὰ μᾶς εἶχε λυπήσει τίποτε ἀπὸ τὰ παρόντα κακά, ἀποβλέποντες εἰς ἐκεῖνον τὸν ἀθλητήν, εἰς τὴν ἀδαμαντίνην ψυχήν, εἰς τὴν σταθερὰν καὶ ἰσχυρὰν διάνοιαν. Διότι ὡσὰν νὰ εἶχε χάλκινον ἢ λίθινον σῶμα, ὑπέφερεν αὐτὸς γενναίως καὶ καρτερικῶς ὅλα.

Ἔχοντες ὑπ' ὄψιν αὐτά, ἂς κάμνωμεν τὰ πάντα χωρὶς γογγυσμοὺς καὶ ἀμφιβολίας. Κάμνεις κάτι ἀγαθόν, καὶ γογγύζεις; διατί; διότι σὲ πιέζει ἡ ἀνάγκη; Γνωρίζω, λέγει, ὅτι πολλοὶ συγγενεῖς σᾶς ἀναγκάζουν νὰ γογγύζετε. Διὰ τοῦτο ὑπενόησεν ὅταν εἶπε τό· «εἰς τὸ μέσον μιᾶς γενεᾶς ἀνθρώπων καὶ διεστραμμένων»· ἀλλὰ τοῦτο εἶναι τὸ θαυμαστόν, τὸ νὰ μὴ πάσχῃ κανεὶς τίποτε ἀπ' αὐτὰ καὶ ὅταν ἐρεθίζεται. Διότι πράγματι οἱ ἀστέρες λάμπουν εἰς τὴν νύκτα, φωτίζουν εἰς τὸ σκοτάδι καὶ δὲν βλάπτονται καθόλου εἰς τὸ ἰδικόν των κάλλος, ἀλλὰ καὶ λαμπρότεροι φαίνονται. Ὅταν ὅμως ὑπάρχῃ φῶς, δὲν φαίνονται τόσον πολύ. Ἔτσι καὶ σὺ ἀκτινοβολεῖς περισσότερον, ὅταν παραμένῃς δίκαιος εὑρισκόμενος ἀνάμεσα εἰς τοὺς πονηρούς. Τὸ θαυμαστὸν τοῦτο εἶναι, τὸ νὰ γίνετε ἄμεμπτοι. Διὰ νὰ μὴ λέγουν αὐτό, προλαβὼν αὐτὸς ὥρισεν αὐτό. Τί σημαίνει· «καὶ κρατεῖτε σταθερῶς τὸν λόγον τῆς ζωῆς»; Δηλαδή, πρόκειται νὰ ζήσετε, εἶσθε ἀπὸ τοὺς σωζομένους. Πρόσεχε πῶς ἀμέσως ὁρίζει τὰ ἔπαθλα· οἱ φωστῆρες, λέγει, κρατοῦν σταθερῶς τὸν λόγον τοῦ φωτός, σεῖς τὸν λόγον τῆς ζωῆς. Τί σημαίνει, «τὸν λόγον τῆς ζωῆς»; Ἔχοντες τὸ σπέρμα τῆς ζωῆς, δηλαδή, ἔχοντες τὰ ἐνέχυρα τῆς ζωῆς, ἔχοντες αὐτὴν τὴν ζωήν, δηλαδὴ ἔχοντες μέσα σας τὸ σπέρμα τῆς ζωῆς· αὐτὸ ὀνομάζει λόγον τῆς ζωῆς. Ἄρα λοιπὸν ὅλοι οἱ ἄλλοι εἶναι νεκροί· διότι τοῦτο ἀπέδειξε· καὶ εἶναι ἀλήθεια ὅτι καὶ οἱ ἄλλοι ὅλοι θὰ ἠμποροῦσαν νὰ εἶχαν τὸν λόγον τῆς ζωῆς.

«Διὰ νὰ εἶσθε τὸ καύχημά μου», λέγει. Καὶ ἐγώ, λέγει, μετέχω εἰς τὰ ἰδικά σας ἀγαθά. Εἶναι τόσον μεγάλη ἡ ἀ-

ὑμᾶς σώζειν μόνον, ἀλλὰ καὶ ἐμὲ λαμπρὸν ποιεῖν. Ποῖον καύχημα, ὦ μακάριε Παῦλε; Μαστίζῃ, ἐλαύνῃ, ὑβρίζῃ δι' ἡμᾶς. Διὰ τοῦτο φησίν, «Εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενόν», φησίν, «ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα»· ἀλλ' ἀεὶ ἔχω καυχᾶσθαι, φησίν, ὅτι οὐ μάτην ἔδραμον. «Ἀλλ' εἰ καὶ σπένδομαι». Οὐκ εἶπεν, ἀλλ' εἰ καὶ ἀποθνήσκω, ὥσπερ οὐδὲ Τιμοθέῳ γράφων· καὶ γὰρ καὶ ἐκεῖ τῷ αὐτῷ κέχρηται λόγῳ, λέγων «Ἐγὼ γὰρ ἤδη σπένδομαι»· καὶ παραμυθούμενος αὐτοὺς ἐπὶ τῇ οἰκείᾳ τελευτῇ, καὶ παιδεύων ἀσμένως φέρειν τὸν ὑπὲρ Χριστοῦ θάνατον. Ὥσπερ σπουδὴ καὶ θυσία, φησί, γίνομαι. Ὢ μακαρίας ψυχῆς, θυσίαν καλεῖ τὴν προσαγωγὴν αὐτῶν. Πολλῷ βέλτιον τοῦ βοῦς προσενεγκεῖν τὸ ψυχὴν προσενεγκεῖν. Ἂν τοίνυν πρὸς τῇ προσφορᾷ ταύτῃ καὶ ἐμαυτὸν ἐπιδῶ, φησίν, ὥσπερ σπουδὴν τὸν θάνατον τὸν ἐμόν, χαίρω. «Ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ», φησί, «χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ αὐτὸ δὲ καὶ ὑμεῖς χαίρετε, καὶ συγχαίρετέ μοι». Τί συγχαίρεις;

Ὁρᾷς ὅτι δείκνυσιν ὅτι δεῖ χαίρειν αὐτούς; Χαίρω μέν, ὅτι σπουδὴ γίνομαι· συγχαίρω δέ, ὅτι θυσίαν προσενεγκών. Τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετε, ὅτι προσηνέχθην. Συγχαρῆτέ μοι χαίροντι ἐφ' ἑαυτῷ. Οὐκ ἄρα δακρύων ἀξία ἡ τελευτὴ τῶν δικαίων, ἀλλὰ χαρᾶς. Εἰ αὐτοὶ χαίρουσι, συγχαίρειν αὐτοῖς δεῖ· καὶ γὰρ ἄτοπον, ἐκείνων χαιρόντων, κλαίειν ἡμᾶς. Ἀλλὰ τὴν συνήθειαν ἐπιζητοῦμεν, φησί. Σκῆψις ταῦτα, καὶ πρόφασις. Ὅρα γοῦν τί παραγγέλλει, «Συγχαίρετέ μοι καὶ χαίρετε». Συνήθειαν ἐπιζητεῖς; Εἰ μὲν ἔμελλες αὐτὸς ἐνταῦθα μένειν, εἰκότως λέγεις· εἰ δὲ μικρὸν ὕστερον καταλήψῃ τὸν ἀπελθόντα, ποίαν συνήθειαν ζητεῖς; Συνήθειαν γὰρ ἐπιζητεῖ τις, ὅταν δια-

17. Β' Τιμ. 4, 6
18. Φιλιπ. 2, 17 - 18

ρετή σας, ὥστε ὄχι μόνον νὰ σώζῃ σᾶς τοὺς ἰδίους, ἀλλὰ νὰ κάμνῃ καὶ ἐμὲ ἔνδοξον. Ποῖον καύχημα, μακάριε Παῦλε; Μαστιγώνεσαι, ἐκδιώκεσαι, ὑβρίζεσαι ἐξ αἰτίας μας. Διὰ τοῦτο λέγει· «Κατὰ τὴν ἡμέραν τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ», διότι, λέγει, «δὲν ἔτρεξα ἀνωφελῶς, οὔτε ἐκοπίασα εἰς μάτην», ἀλλὰ πάντοτε ἠμπορῶ νὰ καυχῶμαι, διότι δὲν ἔτρεξα εἰς μάτην. «Ἀλλὰ καὶ τὸ αἷμα μου ἀκόμη ἂν χύνω ὡς σπονδήν». Δὲν εἶπεν, ἀλλὰ καὶ ἂν ἀκόμη ἀποθνήσκω, ὅπως δὲν εἶπεν καὶ ὅταν ἔγραφε πρὸς τὸν Τιμόθεον· διότι πράγματι καὶ ἐκεῖ χρησιμοποιεῖ τὰ ἴδια λόγια, λέγων· «Διότι ἐγὼ τώρα χύνω τὸ αἷμα σου σπονδήν»[17]. Καὶ παρηγορεῖ αὐτοὺς διὰ τὸ ἰδικόν των τέλος καὶ τοὺς διδάσκει νὰ ὑπομένουν μὲ χαρὰν τὸν θάνατον ὑπὲρ τοῦ Χριστοῦ. Γίνομαι, λέγει, ὡσὰν σπονδὴ καὶ θυσία. Τί μακαρία ψυχή! Ἀποκαλεῖ θυσίαν τὴν προσέγγισιν αὐτῶν. Εἶναι πολὺ καλύτερον τὸ νὰ προσφέρῃ κανεὶς τὴν ψυχήν, παρὰ νὰ προσφέρῃ βόδια ὡς θυσίαν. Ἂν λοιπὸν ἀφιερώσω καὶ ἑαυτόν μου ,πλὴν τῆς προσφορᾶς αὐτῆς, ὡς σπονδὴν τὸν θάνατόν μου, χαίρω. «Διὰ τὴν θυσίαν καὶ λειτουργίαν», λέγει, «ποὺ προσφέρω εἰς τὸν Θεόν, χαίρω, καὶ χαίρω μαζὶ μὲ ὅλους σας. Ἀκριβῶς δὲ καὶ σεῖς χαίρετε τὸ ἴδιον, καὶ συγχαίρετέ με»[18]. Τί συγχαίρεις;

Βλέπεις πῶς ἀποδεικνύει ὅτι πρέπει νὰ χαίρουν αὐτοί; Χαίρω μέν, διότι γίνομαι σπονδή· συγχαίρω δέ, διότι ἐπρόσφερα θυσίαν. Ἀκριβῶς δὲ καὶ σεῖς τὸ ἴδιον χαίρετε καὶ συγχαίρετε, διότι προσεφέρθην θυσία. Νὰ μὲ συγχαρῆτε ποὺ χαίρω διὰ τὸν θάνατόν μου. Ἑπομένως ὁ θάνατος τῶν δικαίων δὲν εἶναι ἄξιος δακρύων, ἀλλὰ χαρᾶς. Ἐὰν αὐτοὶ χαίρουν, πρέπει νὰ χαίρωμεν μαζί των, διότι πράγματι εἶναι ἄτοπον, ὅταν ἐκεῖνοι χαίρουν, ἡμεῖς νὰ κλαίωμεν. Ἀλλ' ἐπιζητοῦμεν τὴν συνήθειαν λέγει. Αὐτὰ εἶναι πρόσχημα καὶ πρόφασις. Πρόσεχε λοιπὸν τί παραγγέλλει, «Συγχαίρετέ με καὶ χαίρετε». Ἐπιζητεῖς τὴν συνήθειαν; Ἐὰν μὲν ἐπρόκειτο νὰ μένῃς ἐδῶ, εὐλόγως λέγεις· ἐὰν ὅμως ὕστερον ἀπ' ὀλίγον θὰ φθάσῃς τὸν ἀποθανόντα, ποίαν συνήθειαν ζητεῖς; Ἐπιζητεῖ βέβαια κάποιος τὴν συνήθειαν, ὅταν

παντὸς ἢ τις διεσπασμένος· εἰ δὲ τὴν αὐτὴν ὁδόν σοι πορεύσεται, ποίαν συνήθειαν ἐπιζητεῖς; Τοὺς ἐν ἀποδημίαις ὄντας διὰ τί μὴ δακρύομεν; οὐχὶ μικρόν, καὶ εὐθέως μετὰ τὴν πρώτην καὶ δευτέραν ἡμέραν παυόμεθα; Εἰ συνήθειαν ἐπιζητεῖς τοσοῦτον κλαῦσον μόνον. Οὐδὲν πάσχω δεινόν, φησίν, ἀλλὰ καὶ χαίρω πρὸς τὸν Χριστὸν ἀπερχόμενος· καὶ οὐ χαίρετε; «Συγχάρητέ μοι».

Χαίρωμεν καὶ ἡμεῖς, ὅταν ἴδωμεν δίκαιον τελειωθέντα, μᾶλλον δὲ καὶ ὅταν τινὰ τῶν ἀπεγνωσμένων. Ὁ μὲν γὰρ ἄπεισι μισθὸν ἀπολαμβάνων τῶν πόνων, ὁ δὲ ἐνέκοψέ τι τῶν ἁμαρτημάτων αὐτοῦ. Ἀλλ' ἴσως ἄν, φησί, μετεβάλλετο ζῶν. Ἀλλ' οὐκ ἂν αὐτὸν ἔλαβεν ὁ Θεός, εἴγε μετεβάλλετο, ὁ πάντα ὑπὲρ σωτηρίας ἡμῶν οἰκονομῶν. Τίνος γὰρ ἕνεκεν αὐτὸν οὐκ εἴασε μέλλοντα εὐαρεστεῖν; εἰ τοὺς μὴ μεταβαλλομένους ἀφίησι, πολλῷ μᾶλλον τοὺς μεταβαλλομένους. Πάντοθεν οὖν ἡμῖν ὁ κοπετὸς ἐκκεκόφθω, πάντοθεν ὁ θρῆνος λυέσθω· ἐπὶ πᾶσιν εὐχαριστῶμεν τῷ Θεῷ, χωρὶς γογγυσμῶν πάντα πράττωμεν· εὐφραινώμεθα, εὐάριστοι αὐτῷ γινώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

συνεχῶς εἶναι διεσπασμένος· ἐὰν ὅμως βαδίζῃ τὸν ἴδιον δρόμον μαζί σου, ποίαν συνήθειαν ἐπιζητεῖ; Διατί νὰ μὴ κλαίωμεν τοὺς εὑρισκομένους εἰς ξένους τόπους; δὲν τοὺς κλαίομεν ὀλίγον καὶ ἀμέσως μετὰ τὴν πρώτην καὶ δευτέραν ἡμέραν παύομεν νὰ κλαίωμεν; Ἐὰν ἐπιζητῇς τὴν συνήθειαν, τόσον μόνον κλαῦσε. Δὲν πάσχω κανένα κακόν, λέγει, ἀλλὰ καὶ χαίρω ἀπερχόμενος πρὸς τὸν Χριστόν, καὶ σεῖς δὲν χαίρετε; «Νὰ χαρῆτε μαζί μου».

Ἂς χαίρωμεν καὶ ἡμεῖς, ὅταν ἰδοῦμεν δίκαιον νὰ ἀποθάνῃ, καὶ περισσότερον δὲ ὅταν ἰδοῦμεν κάποιον ἀπὸ τοὺς ἀπεγνωσμένους. Διότι ὁ μὲν πρῶτος θὰ ἀπέλθῃ ἀπολαμβάνων τὸν μισθὸν τῶν ἔργων του, ὁ δὲ δεύτερος διέκοψε κάποιο ἀπὸ τὰ ἁμαρτήματά του. Ἀλλ' ἴσως, θὰ εἰπῇ κανείς, θὰ μετέβαλε τρόπον ζωῆς ἂν ἐζοῦσεν. Ὁ Θεὸς ὅμως, ποὺ οἰκονομεῖ τὰ πάντα διὰ τὴν σωτηρίαν μας, δὲν θὰ ἐλάμβανεν αὐτόν, ἂν πράγματι θὰ μετέβαλε ζωήν. Διότι διὰ ποῖον λόγον δὲν θὰ ἐπέτρεπεν αὐτὸν νὰ τὸν εὐαρεστήσῃ; ἐὰν ἐπιτρέπῃ ἐκείνους ποὺ δὲν μεταβάλλουν ζωήν, πολὺ περισσότερον θὰ ἐπιτρέψῃ αὐτοὺς ποὺ μεταβάλλουν. Ἂς παύσωμεν λοιπὸν ἀπὸ παντοῦ τὸν κοπετόν, ἂς παύσῃ ἀπὸ παντοῦ ὁ θρῆνος. Ἂς εὐχαριστοῦμεν τὸν Θεὸν δι' ὅλα, ἂς πράττωμεν τὰ πάντα χωρὶς γογγυσμούς. Ἂς εὐφραινώμεθα, ἂς γίνωμεν εὐάρεστοι εἰς τὸν Θεόν, ὥστε νὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν δύναμιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ι΄

Φιλιπ. 2, 19 - 30

«Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. Οἱ πάντες γάρ· τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ».

Εἶπεν, ὅτι «Εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ»· εἶπεν, ὅτι «Εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν»· ἐστήριξεν αὐτοὺς διὰ τούτων. Ἴσως ἂν ὑπώπτευσαν τὰ πρότερα παραμυθίας ἕνεκεν εἰρῆσθαι. Τί οὖν; Τιμόθεον πέμπω πρὸς ὑμᾶς, φησί· καὶ γὰρ ἐπόθουν πάντα ἀκοῦσαι τὰ κατ᾽ αὐτόν. Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἵνα γνῶτε τὰ περὶ ἐμοῦ, ἀλλ᾽, ἵνα γνῶ τὰ ὑμέτερα; Τὰ μὲν γὰρ αὐτοῦ Ἐπαφρόδιτος πρὸ Τιμοθέου ἔμελλεν ἐπαγγέλλειν· διὸ προϊών φησιν, «Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδητον τὸν ἀδελφὸν πέμψαι πρὸς ὑμᾶς»· τὰ δὲ ὑμέτερα βούλομαι μαθεῖν. Πολὺν γὰρ εἰκὸς αὐτὸν πεποιηκέναι χρόνον παρὰ τῷ Παύλῳ διὰ τὴν ἀσθένειαν τὴν σωματικήν. Ὥστε βούλομαι, φησί, μαθεῖν τὰ καθ᾽ ὑμᾶς.

Ὅρα οὖν πῶς πάντα ἀνατίθησι τῷ Χριστῷ, καὶ τὴν ἀποστολὴν τοῦ Τιμοθέου, λέγων, «Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰη-

---

1. Φιλιπ. 2, 19 - 20
2. Φιλιπ. 1, 12 - 13
3. Φιλιπ. 2, 25

ΛΟΓΟΣ Ι΄
Φιλιπ. 2, 19 - 30

«Ἐλπίζω δὲ στηριζόμενος εἰς τὸν Κύριον Ἰησοῦν νὰ σᾶς στείλω γρήγορα τὸν Τιμόθεον, διὰ νὰ καλοκαρδίσω καὶ ἐγώ, ὅταν λάβω εἰδήσεις διὰ σᾶς. Διότι δὲν ἔχω κανένα ποὺ νὰ ἔχῃ τὰ ἴδια ἀκριβῶς αἰσθήματα μὲ ἐμέ, ὁ ὁποῖος εἰλικρινῶς θὰ φροντίσῃ διὰ τὰς ὑποθέσεις σας. Διότι ὅλοι ζητοῦν τὰ συμφέροντά των καὶ ὄχι ἐκεῖνα ποὺ θέλει ὁ Ἰησοῦς Χριστός»[1].

Εἶπεν ὅτι· «Ἐκεῖνα ποὺ μοῦ συνέβησαν, συνετέλεσαν εἰς τὴν πρόοδον διαδόσεως τοῦ Εὐαγγελίου, ὥστε τὰ δεσμά μου νὰ γίνουν φανερὰ εἰς ὅλους τοὺς πραιτωριανούς»[2]· εἶπεν ὅτι· «Καὶ τὸ αἷμα μου ἀκόμη ἂν χύνω ὡς σπονδὴν ἐπάνω εἰς τὴν θυσίαν καὶ λειτουργίαν τῆς πίστεώς σας»· μὲ αὐτὰ τοὺς ἐνίσχυσεν. Ἴσως θὰ ὑπέθεσαν ὅτι τὰ προηγούμενα ἔχουν λεχθῆ διὰ παρηγορίαν. Τί λοιπὸν συμβαίνει; Σᾶς στέλλω τὸν Τιμόθεον, λέγει, διότι πράγματι ἐποθοῦσαν νὰ ἀκούσουν ὅλα ποὺ συνέβησαν εἰς αὐτόν. Καὶ διὰ ποῖον λόγον δὲν εἶπε, διὰ νὰ γνωρίσετε τὰ ἰδικά μου νέα, ἀλλά, διὰ νὰ γνωρίσω τὰ ἰδικά σας; Διότι τὰ μὲν ἰδικά του νέα ἐπρόκειτο ὁ Ἐπαφρόδιτος νὰ ἀναγγείλῃ πρὶν ἀπὸ τὸν Τιμόθεον. Διὰ τοῦτο καθὼς προχωρεῖ λέγει, «Ἔκρινα δὲ ἀναγκαῖον νὰ σᾶς στείλω τὸν Ἐπαφρόδιτον τὸν ἀδελφόν μου»[3]· τὰ δὲ ἰδικά σας νέα ἐπιθυμῶ νὰ μάθω. Διότι εἶναι πιθανὸν ὅτι εἶχε μείνει πλησίον τοῦ Παύλου πολὺν χρόνον ἐξ αἰτίας τῆς σωματικῆς του ἀσθενείας. Ὥστε ἐπιθυμῶ, λέγει, νὰ μάθω τὰ ἰδικά σας νέα.

Πρόσεχε λοιπὸν πῶς ὅλα τὰ ἀναθέτει εἰς τὸν Χριστόν, ἀκόμη καὶ τὴν ἀποστολὴν τοῦ Τιμοθέου λέγων, «Ἐλπίζω

σοῦ», τουτέστι, θαρρῶ, ὅτι ἐξευμαρίσει μοι ὁ Θεὸς τοῦτο. «Ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν». Ὥσπερ ὑμᾶς, φησίν, ἀνεκτησάμην ταῦτα ἀκούσαντας, ἅπερ ηὔχεσθε περὶ ἐμοῦ, ὅτι τὸ εὐαγγέλιον ἐπέδωκεν, ὅτι κατῃσχύνθησαν ἐκεῖνοι, ὅτι δι' ὧν ἐνόμιζον βλάπτειν, διὰ τούτων εὔφραναν· οὕτω βούλομαι καὶ τὰ καθ' ὑμᾶς μαθεῖν, «ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν». Δεικνύει ἐνταῦθα, ὅτι ἐκείνους χαίρειν ἔδει ἐπὶ τοῖς δεσμοῖς, καὶ τούτοις κατακολουθεῖν· πολλὴν γὰρ ἔτικτον αὐτῷ τὴν ἡδονήν· τὸ γάρ, «ἵνα κἀγὼ εὐψυχῶ», τουτό ἐστιν, ὥσπερ ὑμεῖς. Βαβαί, πόσον εἶχε τῆς Μακεδονίας πόθον. Καὶ Θεσσαλονικεῦσι τὸ αὐτὸ μαρτυρεῖ, ὡς ὅταν λέγῃ, «Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας»· καὶ ἐνταῦθα, «Ἐλπίζω», φησί, «πέμψαι Τιμόθεον, ἵνα γνῶ τὰ περὶ ὑμῶν»· ὃ κηδεμονίας ἦν μεγίστης. Ὅτε γὰρ αὐτὸς οὐκ ἐδύνατο παραγενέσθαι, τοὺς μαθητὰς ἔπεμπε, μὴ καρτερῶν μηδὲ ὀλίγον χρόνον ἀγνοεῖν τὰ κατ' αὐτούς. Οὐ γὰρ δὴ τῷ πνεύματι πάντα ἐμάνθανε· καὶ τοῦτο δὲ εἰκότως ἐγίνετο. Εἰ γὰρ τοῦτο ἐπείσθησαν οἱ μαθηταί, ἀναίσχυντοι ἂν ἐγένοντο· νῦν δὲ προσδοκῶντες λανθάνειν, κἂν ἐπανωρθώσαντο. Καὶ τούτῳ αὐτοὺς μάλιστα ἐπέστρεψε, τῷ εἰπεῖν, «ἵνα κἀγὼ εὐψυχῶ», καὶ σπουδαιοτέρους αὐτοὺς ἐποίησεν, ὥστε μὴ ἐλθόντα Τιμόθεον ἄλλα τινὰ εὑρεῖν, καὶ ἀπαγγεῖλαι αὐτῷ. Φαίνεται δὲ καὶ αὐτὸς τούτῳ κεχρημένος τῷ τρόπῳ, καὶ ἀναβαλλόμενος αὐτοῦ τὴν παρουσίαν, ὥστε μεταβαλέσθαι Κορινθίους. Διὰ τοῦτο καὶ ἔγραψε· «Φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον». Οὐ γὰρ τούτῳ μόνον ἡ ἀγάπη δείκνυται, τῷ τὰ οἰκεῖα ἀπαγγέλλειν, ἀλλὰ καὶ τῷ τὰ ἐκείνων ζητεῖν μαθεῖν· μεριμνώσης γὰρ τοῦτο

4. Α' Θεσ. 2, 17
5. Β' Κορ. 1, 23.

δὲ εἰς τὸν Κύριον Ἰησοῦν», δηλαδή, ἔχω πεποίθησιν, ὅτι ὁ Θεὸς θὰ καταστήσῃ τοῦτο εὔκολον εἰς ἐμέ. «Διὰ νὰ καλοκαρδίσω καὶ ἐγώ, ὅταν γνωρίσω τὰ ἰδικά σας νέα». Ὅπως ἀκριβῶς, λέγει, σᾶς ἀνεκούφισα ὅταν ἠκούσατε αὐτά, ποὺ εὔχεσθε δι' ἐμέ, ὅτι τὸ εὐαγγέλιον προώδευσεν, ὅτι ἠτιμάσθησαν ἐκεῖνοι, ὅτι μὲ ἐκεῖνα ποὺ ἐνόμιζον ὅτι βλάπτουν, μὲ τοῦτα εὔφραναν· ἔτσι ἐπιθυμῶ καὶ τὰ ἰδικά σας νὰ μάθω «διὰ νὰ καλοκαρδίσω καὶ ἐγώ, ὅταν πληροφορηθῶ διὰ σᾶς». Λέγει ἐδῶ, ὅτι ἐκεῖνοι ἔπρεπε νὰ χαίρουν διὰ τὰ δεσμά του, καὶ νὰ ἐπιζητοῦν αὐτά, διότι ἐπέφερον πολλὴν εὐχαρίστησιν εἰς αὐτόν. Διότι τὸ «διὰ νὰ χαίρω καὶ ἐγώ», σημαίνει, ὅπως ἀκριβῶς χαίρετε σεῖς. Πώ, πώ! πόσον εἶχε τὸν πόθον τῆς Μακεδονίας! Καὶ εἰς τοὺς Θεσσαλονικεῖς τὸ αὐτὸ ἐπιβεβαιώνει, καθὼς ὅταν λέγῃ «Ἡμεῖς δὲ ποὺ ἐχωρίσθημεν ἀπὸ σᾶς καὶ ἐμείναμεν ὡς ὀρφανοὶ προσωρινῶς»[4]. Καὶ ἐδῶ λέγει «Ἐλπίζω νὰ στείλω τὸν Τιμόθεον, διὰ νὰ γνωρίσω τὰ ἰδικά σας νέα», ποὺ εἶναι δεῖγμα πολὺ μεγάλης φροντίδος. Διότι ὅταν ἐκεῖνος δὲν ἠμποροῦσε νὰ ἔλθῃ πρὸς αὐτούς, ἔστελλε τοὺς μαθητάς του, χωρὶς νὰ περιμένῃ οὔτε δι' ὀλίγον χρόνον νὰ ἀγνοῇ αὐτὰ ποὺ συνέβαινον εἰς αὐτούς. Διότι βεβαίως δὲν ἐπληροφορεῖτο τὰ πάντα μὲ τὸ πνεῦμα, καὶ τοῦτο δὲ ἐγίνετο εὐλόγως. Διότι ἐὰν τοῦτο ὑπήκουσαν οἱ μαθηταί, θὰ ἐγένοντο ἀναίσχυντοι. Τώρα δὲ ἐλπίζουν νὰ μένουν ἀπαρατήρητοι, καὶ ἂν ἀκόμη διωρθώθησαν. Καὶ μὲ τοῦτο ἐφρόντισεν αὐτοὺς πάρα πολύ, μὲ τὸ νὰ εἰπῇ, «διὰ νὰ χαίρω καὶ ἐγώ», καὶ τοὺς ἐθεώρησε σπουδαιοτέρους, ὥστε ὅταν ἔλθῃ ὁ Τιμόθεος νὰ μὴ εὕρῃ τίποτε ἄλλα, καὶ νὰ ἀναγγείλῃ εἰς αὐτόν. Φαίνεται δὲ καὶ ὁ ἴδιος νὰ χρησιμοποιῇ αὐτὸν τὸν τρόπον καὶ νὰ ἀναβάλλῃ τὴν παρουσίαν του, ὥστε νὰ μεταβάλῃ τοὺς Κορινθίους. Διὰ τοῦτο καὶ ἔγραφε· «Δὲν ἦλθον ἀκόμη εἰς τὴν Κόρινθον, ἐπειδὴ σᾶς λυποῦμαι»[5]. Διότι δὲν ἀποδεικνύεται ἡ ἀγάπη μόνον μὲ τοῦτο, δηλαδὴ μὲ τὸ νὰ ἀναγγέλλωμεν τὰ ἰδικά μας, ἀλλὰ καὶ μὲ τὸ νὰ ζητοῦμεν νὰ μάθωμεν τὰ νέα ἐκείνων· διότι τοῦτο εἶναι χαρακτηριστικὸν τῆς ψυ-

ψυχῆς καὶ πεφροντισμένης καὶ ἀεὶ ἐναγωνίου οὔσης. Ἄρα δὲ καὶ τιμᾷ αὐτούς, Τιμόθεον πέμπων.

Τί λέγεις; Τιμόθεον πέμπεις; τί δήποτε; Ναί, φησίν· «Οὐδένα γὰρ ἔχω ἰσόψυχον», τουτέστι, τῶν ὁμοίως μοι μεριμνώντων, «ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει», Οὐδένα οὖν οὐκ εἶχε τῶν μετ' αὐτοῦ; Οὐδένα ἰσόψυχον, τουτέστιν, ὁμοίως ἐμοὶ κηδόμενον ὑμῶν καὶ φροντίζοντα. Οὐκ ἄν τις εὐκόλως ἕλοιτο, φησί, ταύτης ἕνεκεν τῆς αἰτίας ὁδοιπορίαν τοσαύτην ποιήσασθαι. Ὁ φιλῶν ὑμᾶς μετ' ἐμοῦ, Τιμόθεός ἐστιν. Ἐνῆν μὲν γὰρ καὶ ἄλλους πέμψαι, ἀλλ' οὐδεὶς τοιοῦτός ἐστιν. Ἄρα τοῦτο ἰσοψύχου ἐστί, τὸ τοὺς μαθητευομένους αὐτῷ ὁμοίως φιλεῖν. «Ὅστις», φησί, «γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει» τουτέστι, πατρικῶς. «Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ»· τουτέστι, τὴν οἰκείαν ἀνάπαυσιν καὶ τὸ ἐν ἀσφαλείᾳ εἶναι. Τοῦτο καὶ Τιμοθέῳ γράφων λέγει. Τί δήποτε δὲ ἀποδύρεται ταῦτα; Παιδεύων ἡμᾶς τοὺς ἀκούοντας μὴ τοῖς αὐτοῖς περιπεσεῖν, παιδεύων τοὺς ἀκούοντας μὴ ζητεῖν ἄνεσιν. Ὁ γὰρ ἄνεσιν ζητῶν, οὐ ζητεῖ τὰ Χριστοῦ, ἀλλὰ τὰ ἑαυτοῦ. Δεῖ γὰρ παρασκευάσθαι πρὸς πάντα πόνον, πρὸς πᾶσαν ταλαιπωρίαν. «Τὴν δὲ δοκιμὴν αὐτοῦ», φησί, «γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον». Καὶ ὅτι οὐχ ἁπλῶς λέγω, ὑμεῖς, φησίν, αὐτοὶ ἐπίστασθε, «ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον».

Παρατίθεται ἐνταῦθα τὸν Τιμόθεον, εἰκότως, ὥστε πολλῆς ἀπολαῦσαι παρ' αὐτῶν τιμῆς. Τοῦτο καὶ πρὸς Κορινθίους ἐπιστέλλων ποιεῖ, λέγων, «Μή τις αὐτοῦ καταφρονήσῃ·

6. Φιλιπ. 2, 22.

χῆς ποὺ ἐνδιαφέρεται καὶ φροντίζει καὶ ἀγωνιᾷ πάντοτε. Συγχρόνως δὲ καὶ τιμᾷ αὐτούς, ἀποστέλλων τὸν Τιμόθεον.

Τί λέγεις; Τὸν Τιμόθεον στέλλεις; διατί λοιπόν; Ναί, λέγει· «Διότι δὲν ἔχω κανένα ποὺ νὰ ἔχῃ τὰ ἴδια μὲ ἐμὲ αἰσθήματα», δηλαδή, ποὺ νὰ φροντίζῃ ὁμοίως μὲ ἐμέ, «ὁ ὁποῖος εἰλικρινῶς θὰ φροντίσῃ διὰ τὰς ὑποθέσεις σας». Δὲν εἶχε λοιπὸν κανένα ἀπ' αὐτοὺς ποὺ ἦσαν μαζί του; Κανένα ὅμοιόν του, δηλαδή, νὰ μεριμνᾷ καὶ νὰ φροντίζῃ διὰ σᾶς ὁμοίως μὲ ἐμέ. Κανεὶς δὲν θὰ ἀνελάμβανεν εὔκολα, λέγει, νὰ πραγματοποιήσῃ τόσον μεγάλην ὁδοιπορίαν διὰ τὴν αἰτίαν αὐτήν. Ἐκεῖνος ποὺ σᾶς ἀγαπᾷ ὁμοίως μὲ ἐμὲ εἶναι ὁ Τιμόθεος. Βεβαίως ἦτο δυνατὸν καὶ ἄλλους νὰ στείλω, ἀλλὰ κανεὶς δὲν εἶναι ὅπως αὐτός. Συνεπῶς τοῦτο εἶναι χαρακτηριστικὸν γνώρισμα τοῦ ὁμοψύχου, τὸ νὰ ἀγαποῦν δηλαδὴ οἱ μαθηταί του ὁμοίως μὲ αὐτόν. «Ὁ ὁποῖος», λέγει, «θὰ φροντίσῃ εἰλικρινῶς διὰ τὰς ὑποθέσεις σας», δηλαδή, μὲ πατρικὴν στοργήν. «Διότι ὅλοι ζητοῦν τὰ συμφέροντά των καὶ ὄχι αὐτὰ ποὺ θέλει ὁ Ἰησοῦς Χριστός», δηλαδή, τὴν ἰδικήν των ἡσυχίαν καὶ νὰ εἶναι ἀσφαλεῖς. Τοῦτο λέγει καὶ ὅταν γράφῃ εἰς τὸν Τιμόθεον. Διατί λοιπὸν θρηνολογεῖ αὐτά; Διὰ νὰ διδάξῃ ἡμᾶς ποὺ ἀκούομεν, νὰ μὴ περιπέσωμεν εἰς τὰ ἴδια, διὰ νὰ διδάξῃ αὐτοὺς ποὺ ἀκούουν, νὰ μὴ ζητοῦν τὴν ἄνεσιν. Διότι ἐκεῖνος ποὺ ζητεῖ τὴν ἄνεσιν, δὲν ζητεῖ αὐτὰ ποὺ θέλει ὁ Χριστός, ἀλλὰ τὰ ἰδικά του συμφέροντα. Διότι πρέπει νὰ προετοιμαζώμεθα διὰ κάθε κόπον, διὰ κάθε ταλαιπωρίαν. «Τὴν δοκιμασμένην ὅμως ἀρετὴν τοῦ Τιμοθέου», λέγει, «τὴν γνωρίζετε, διότι ὡς τέκνον ποὺ συνεργάζεται μὲ τὸν πατέρα του, ἐδούλευσε μαζί μου εἰς τὴν διάδοσιν τοῦ εὐαγγελίου»[6]. Καὶ ὅτι δὲν λέγω ἁπλῶς, λέγει, σεῖς οἱ ἴδιοι γνωρίζετε καλῶς, «διότι ὡς τέκνον ποὺ συνεργάζεται μὲ τὸν πατέρα του, ἐδούλευσε μαζί μου εἰς τὴν διάδοσιν τοῦ εὐαγγελίου».

Ἀναφέρει ἐδῶ τὸν Τιμόθεον, εὐλόγως, ὥστε νὰ ἀπολαύσῃ ἀπ' αὐτοὺς πολλῆς τιμῆς. Τοῦτο κάμνει καὶ ὅταν τὸν στέλλῃ πρὸς τοὺς Κορινθίους, λέγων· «Κανεὶς ἂς μὴ τὸν

τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς καὶ ἐγώ»· οὐκ ἐκείνου κηδόμενος, ἀλλὰ τῶν δεχομένων αὐτόν, ὥστε πολὺν ἀπενέγκασθαι τὸν μισθόν. «Τοῦτον μὲν οὖν», φησίν, «ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμέ, ἐξ αὐτῆς». Τουτέστιν, ὅταν ἴδω ἐν τίνι ἕστηκα, καὶ ποῖον ἕξει τέλος τὰ κατ' ἐμέ. «Πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι πρὸς ὑμᾶς». Οὐ διὰ τοῦτο πέμπω αὐτόν, ὡς μὴ ἐλευσόμενος, ἀλλ' ἵνα εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν, ἵνα μηδὲ τὸν ἐν τῷ μεταξὺ χρόνον ὦ ἐν ἀγνοίᾳ. «Πέποιθα δὲ ἐν Κυρίῳ», φησί. Ὅρα πῶς πάντα ἐξαρτᾷ τοῦ Θεοῦ, οὐδὲν ἐξ οἰκείας φθέγγεται διανοίας. Τουτέστιν, ἂν ὁ Θεὸς βούληται.

«Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου». Καὶ τοῦτον πάλιν μετὰ ἐγκωμίων τῶν αὐτῶν, ὧν καὶ τὸν Τιμόθεον, ἀποστέλλει. Ἐκεῖνον γὰρ ἀπὸ δύο τούτων συνέστησεν, ὅτι τε αὐτοὺς ἀγαπᾷ, εἰπών, «Ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει», καὶ ὅτι ἐν τῷ εὐαγγελίῳ ηὐδοκίμησε· καὶ τοῦτον ἀπὸ τῶν αὐτῶν πάλιν διὰ τὴν αὐτὴν αἰτίαν, ἣν καὶ ἐκεῖνον, ἐπῄνεσε. Πῶς; Τὸ γὰρ εἰπεῖν ἀδελφὸν καὶ συνεργόν, καὶ μὴ μέχρι τούτου μόνον στῆναι, ἀλλὰ καὶ συστρατιώτην, δεικνύντος ἐστὶ τὴν πολλὴν αὐτοῦ κοινωνίαν τὴν ἐν τοῖς κινδύνοις, καὶ τὰ αὐτὰ αὐτῷ μαρτυροῦντος, ἅπερ καὶ ἑαυτῷ. Τὸ δέ, «συστρατιώτην», πλέον ἐστὶ τοῦ, «συνεργόν». Ἴσως γὰρ ἐν ψιλοῖς πράγμασι συνήργησεν, ἀλλ' ἐν πολέμῳ καὶ κινδύνοις οὐκέτι· τῷ δὲ εἰπεῖν, «συστρατιώτην», καὶ τοῦτο ἐδήλωσεν. «Ὑμῶν δέ», φησίν, «ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου πέμψω πρὸς ὑμᾶς». Τουτέστι, τὰ ὑμέτερα ὑμῖν χαρίζομαι· ἤτοι τὸν ὑμέτερον ὑμῖν πέμπομεν, ἢ τὸν ὑμᾶς διδάσκοντα. Πάλιν πολλὰ περὶ τῆς ἀγάπης αὐτοῦ προστίθησι, λέγων.

7. Α' Κορ. 16, 10
8. Φιλιπ. 2, 23.
9. Φιλιπ. 2, 24.
10. Φιλιπ. 2, 25.

περιφρονήσῃ, διότι ἐργάζεται καὶ αὐτὸς τὸ ἔργον τοῦ Κυρίου, ὅπως καὶ ἐγώ»[7], φροντίζων ὄχι δι' ἐκεῖνον, ἀλλὰ διὰ τοὺς δεχομένους αὐτόν, ὥστε νὰ λάβουν μεγάλον μισθόν. «Αὐτὸν λοιπόν», λέγει, «ἐλπίζω νὰ σᾶς στείλω, μόλις θὰ ἰδῶ τὴν ἔκβασιν τῆς ὑποθέσεώς μου, τὴν αὐτὴν ἡμέραν»[8]. Δηλαδή, ὅταν ἰδῶ εἰς ποῖον σημεῖον ἀνάγκης εὑρίσκομαι καὶ ποίαν ἔκβασιν θὰ ἔχῃ ἡ ὑπόθεσίς μου. «Ἔχω δὲ τὴν πεποίθησιν πρὸς τὸν Κύριον, ὅτι καὶ ἐγὼ ὁ ἴδιος θὰ ἔλθω γρήγορα πρὸς σᾶς»[9]. Δὲν στέλλω αὐτὸν διὰ τοῦτο, ὡσὰν νὰ ἐπρόκειτο νὰ μὴ ἔλθω, ἀλλὰ διὰ νὰ χαίρω, ὅταν γνωρίσω τὰ ἰδικά σας νέα, διὰ νὰ μὴ τὰ ἀγνοῶ οὔτε κατὰ τὸν χρόνον ποὺ θὰ μεσολαβήσῃ. «Ἔχω δὲ τὴν πεποίθησιν εἰς τὸν Κύριον», λέγει. Πρόσεχε πῶς τὰ πάντα στηρίζει εἰς τὸν Θεόν, τίποτε δὲν λέγει ἀπὸ τὴν ἰδικήν του διάνοιαν. Δηλαδή, ἂν ὁ Θεὸς θέλῃ.

Ἔκρινα δὲ ἀναγκαῖον τὸν Ἐπαφρόδιτον, τὸν ἀδελφόν μου ἐν Χριστῷ καὶ συνεργάτην καὶ συστρατιώτην μου». Καὶ αὐτὸν ἐξ ἄλλου ἀποστέλλει μὲ τὰ ἴδια ἐγκώμια, ὅπως καὶ τὸν Τιμόθεον. Ἐκεῖνον μὲν τὸν συνέστησεν ἀπὸ τὰ δύο αὐτά, ὅτι καὶ αὐτοὺς ἀγαπᾷ, ἀφοῦ εἶπεν, «Ὁ ὁποῖος εἰλικρινῶς θὰ φροντίσῃ διὰ τὰς ὑποθέσεις σας», καὶ ὅτι διεκρίθη εἰς τὴν διάδοσιν τοῦ εὐαγγελίου· τοῦτον δὲ ἐπήνεσεν ἀπὸ τὰ ἴδια πάλιν καὶ διὰ τὴν ἰδίαν αἰτίαν, διὰ τὴν ὁποίαν καὶ ἐκεῖνον. Πῶς; Διότι τὸ νὰ εἰπῇ αὐτὸν ἀδελφὸν καὶ συνεργάτην, καὶ νὰ μὴ περιορισθῇ μόνον εἰς αὐτό, ἀλλὰ νὰ προσθέσῃ καὶ συστρατιώτην, ἀποδεικνύει τὴν μεγάλην του συμμετοχὴν εἰς τοὺς κινδύνους, καὶ εἰς αὐτὸν μαρτυρεῖ τὰ ἴδια, ὅσα ἀκριβῶς καὶ εἰς τὸν ἑαυτόν του. Τὸ δὲ «συστρατιώτην», εἶναι ἀνώτερον ἀπὸ τό, «συνεργάτην». Διότι ἴσως συνήργησεν εἰς ἁπλᾶς περιπτώσεις, ἀλλ' ὄχι ἀκόμη εἰς τὸν πόλεμον καὶ τοὺς κινδύνους. Μὲ τὸ νὰ εἰπῇ ὅμως «συστρατιώτην», καὶ τοῦτο ἐδήλωσεν. «Ἀλλὰ καὶ τὸν ἰδικόν σας», λέγει, «ἀπεσταλμένον καὶ λειτουργὸν τῆς ἀνάγκης μας νὰ στείλω πρὸς σᾶς». Δηλαδή, σᾶς προσφέρω τὰ ἰδικά σας, ἤτοι σᾶς στέλλομεν τὸν ἰδικόν σας, παρὰ αὐτὸν ποὺ θὰ σᾶς διδάσκῃ. Πάλιν πολλὰ προσθέτει διὰ τὴν

«Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε ὅτι ἠσθένησε. Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ». Ἐνταῦθα δὲ καὶ ἕτερον κατασκευάζει, δηλῶν ὅτι καὶ αὐτὸς σφόδρα οἶδε, φησίν, ὅπως ἀγαπᾶται παρ' ὑμῶν. Οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ φιλεῖν. Ἐπίστασθε πῶς ἠσθένησε, φησί· καὶ ἤλγει, διότι ὑγιάνας οὐκ εἶδεν ὑμᾶς, καὶ τῆς λύπης ὑμᾶς ἀπήλλαξεν, ἣν εἴχετε διὰ τὴν ἀσθένειαν αὐτοῦ.

Ἐνταῦθα καὶ ἄλλο κατασκευάζει, ὅτι διὰ χρόνου πέμπει πρὸς αὐτούς, ἀλλ' οὐ διὰ ῥᾳθυμίαν, ἀλλὰ τὸν μὲν Τιμόθεον διὰ τὸ μηδένα ἔχειν κατεῖχεν· οὐκ εἶχε γάρ, φησίν, ἰσόψυχον· τὸν δὲ Ἐπαφρόδιτον διὰ τὴν ἀσθένειαν. Εἶτα δεικνύς, ὅτι μακρὰ αὕτη γέγονε, καὶ πολὺν χρόνον ἀνάλωσε, φησί· «καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου». Ὁρᾷς ὅσην ποιεῖται Παῦλος σπουδὴν ὑπὲρ τοῦ πάσης ῥᾳθυμίας καὶ ὀλιγωρίας πρόφασιν ἐκκόψαι ἐκ τῆς τῶν μαθητῶν διανοίας, καὶ μὴ ὑποπτευθῆναι, ὅτι καταφρονῶν αὐτῶν οὐκ ἦλθεν; Οὐδὲν γὰρ οὕτω τὸν μαθητὴν ἐπαγαγέσθαι δυνήσεται, ὡς τὸ πεπεῖσθαι, καὶ ὅτι φροντίζει αὐτοῦ ὁ προεστώς, καὶ ὅτι ἀδημονεῖ ὑπὲρ αὐτοῦ, ὅπερ ὑπερβαλλούσης ἀγάπης ἐστίν. «Ὅτι ἠκούσατε», φησίν, «ὅτι ἠσθένησε· καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου». Καὶ ὅτι οὐ προφασίζομαι, ἀκούσατε· «Ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησε». Τί λέγεις, ὦ αἱρετικέ; Ἐνταῦθα ἔλεόν φησι τοῦ Θεοῦ εἶναι, τὸ τὸν μέλλοντα ἀπιέναι κατέχειν καὶ ὑποστρέψαι πάλιν. Καὶ μὴν εἰ πονηρὸν ὁ κόσμος, οὐκ ἔλεος αὐτός ἐστι τὸ ἐν τῷ πονηρῷ ἀφιέναι.

Ἀλλὰ πρὸς μὲν τὸν αἱρετικὸν εὔκολον εἰπεῖν, πρὸς δὲ τὸν Χριστιανὸν τί ἐροῦμεν; Καὶ γὰρ αὐτὸς ἀμφισβητήσει ἴσως, καὶ ἐρεῖ, εἰς τὸ ἀναλῦσαι σὺν Χριστῷ πολλῷ μᾶλλον

---

11. Φιλιπ. 2, 26 - 27

ἀγάπην αὐτοῦ, λέγων˙ «Ἐπειδὴ ἐπεθυμοῦσε πάρα πολὺ ὅλους σας καὶ ἐστενοχωρεῖτο, διότι ἠκούσατε ὅτι ἠσθένησε. Καὶ πράγματι ἠσθένησε καὶ ἐπλησίασε νὰ ἀποθάνῃ. Ἀλλ' ὁ Θεὸς τὸν ἠλέησεν, ὄχι αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, διὰ νὰ μὴ δοκιμάσω λύπην ἐπάνω εἰς τὴν ἄλλην λύπην μου»[11].

Ἐδῶ δὲ ἀποδεικνύει καὶ ἄλλο, δηλῶν ὅτι καὶ αὐτὸς γνωρίζει καλῶς πῶς ἀγαπᾶται ἀπὸ σᾶς. Τοῦτο δὲν εἶναι μικρὸν εἰς τὴν ἀγάπην. Γνωρίζετε καλῶς πῶς ἠσθένησε, λέγει, καὶ ἐλυπεῖτο, διότι ἀφ' ὅτου ἔγινεν ὑγιὴς δὲν σᾶς εἶδε καὶ δὲν σᾶς ἀπήλλαξεν ἀπὸ τὴν λύπην, τὴν ὁποίαν εἴχατε διὰ τὴν ἀσθένειαν αὐτοῦ. Ἐδῶ καὶ ἄλλο ἀποδεικνύει, ὅτι στέλλει πρὸς αὐτοὺς ὕστερα ἀπὸ κάποιαν διακοπήν, ὄχι ὅμως ἀπὸ ὀκνηρίαν, ἀλλὰ τὸν μὲν Τιμόθεον ἐκρατοῦσε πλησίον του διότι δὲν εἶχε κανένα — διότι, λέγει δὲν εἶχε ὁμόψυχον —, τὸν δὲ Ἐπαφρόδιτον ἐξ αἰτίας τῆς ἀσθενείας του. Εἰς τὴν συνέχειαν ἀφοῦ ἔδειξεν, ὅτι ἡ ἀσθένεια εἶχε γίνει βαρεῖα καὶ διήρκεσε πολὺν χρόνον, λέγει «διότι πράγματι ἠσθένησε καὶ ἐπλησίασε νὰ ἀποθάνῃ». Βλέπεις πόσον προσέχει ὁ Παῦλος διὰ νὰ ἐκβάλῃ τελείως ἀπὸ τὴν διάνοιαν τῶν μαθητῶν τὴν πρόφασιν τῆς ὀκνηρίας καὶ ὀλιγωρίας καὶ διὰ νὰ μὴ ὑποψιασθοῦν ὅτι δὲν ἦλθεν, ἐπειδὴ τοὺς περιφρονεῖ; Τίποτε βέβαια δὲν θὰ ἠμπορέσῃ νὰ κερδίσῃ ἔτσι τὴν εὔνοιαν τοῦ μαθητοῦ, ὅσον τὸ νὰ ἔχῃ πεισθῇ, ὅτι ὁ προεστὼς καὶ φροντίζει δι' αὐτὸν καὶ ὅτι στενοχωρεῖται πολὺ δι' αὐτόν, πρᾶγμα τὸ ὁποῖον εἶναι δεῖγμα τῆς ὑπερβολικῆς ἀγάπης. «Διότι ἠκούσατε», λέγει, «ὅτι ἠσθένησε, καὶ πράγματι ἠσθένησε καὶ ἐπλησίαζε νὰ ἀποθάνῃ». Καὶ ὅτι δὲν προφασίζομαι, ἀκούσατε˙ «Ἀλλ' ὁ Θεὸς ἠλέησεν αὐτόν». Τί λέγεις, αἱρετικέ; Ἐδῶ λέγει ὅτι εἶναι εὐσπλαγχνία Θεοῦ, τὸ νὰ κατέχῃ πλησίον του αὐτὸν ποὺ ἐπρόκειτο νὰ ἀπέλθῃ καὶ νὰ ἐπιστρέψῃ πάλιν. Καὶ ἀληθῶς, ἐὰν ὁ κόσμος εἶναι πονηρός, δὲν εἶναι αὐτὴ εὐσπλαγχνία τὸ νὰ τὸν ἀφήσῃ εἰς τὸν πονηρὸν κόσμον.

Ἀλλὰ πρὸς μὲν τὸν αἱρετικὸν εἶναι εὔκολον νὰ ἀπαντήσωμεν, πρὸς τὸν χριστιανὸν ὅμως τί θὰ εἴπουμεν; Καὶ πράγματι αὐτὸς ἴσως θὰ ἀμφισβητήσῃ καὶ θὰ εἴπῃ, ἐὰν τὸ

κρεῖσσον, τίνος ἕνεκέν φησιν αὐτὸν ἐλεεῖσθαι; Ἐγὼ δὲ ἐρήσομαι, τίνος ἕνεκεν ὁ αὐτός φησιν ἀναγκαιότερον εἶναι τὸ ἐπιμεῖναι πρὸς ὑμᾶς; Ὥσπερ γὰρ αὐτῷ ἀναγκαῖον ἦν, οὕτω καὶ τούτῳ, μετὰ πλείονος πλούτου καὶ μείζονος παρρησίας μέλλοντι πρὸς τὸν Θεὸν ἀπιέναι. Ἐκεῖνο μὲν γὰρ κἂν μὴ νῦν ἐγένετο, ὕστερον ἔμελλε· τὸ δὲ κερδᾶναι ψυχὰς οὐκ ἔνι λοιπὸν ἀπελθόντας ἐκεῖ. Τὰ πολλὰ καὶ κατὰ τὴν κοινὴν συνήθειαν τῶν ἀκουόντων ὁ Παῦλος φθέγγεται, καὶ οὐ πανταχοῦ φιλοσοφεῖ· πρὸς γὰρ ἀνθρώπους κοσμικοὺς ὁ λόγος ἦν αὐτῷ, δεδοικότας ἔτι τὸν θάνατον. Εἶτα δείκνυσιν ἐν ὅσῳ λόγῳ ἐστὶν αὐτῷ ὁ Ἐπαφρόδιτος, καὶ ἀπὸ τούτου αἰδέσιμον αὐτὸν ποιῶν, εἴγε τὴν ἐκείνου σωτηρίαν οὕτω χρησίμην ἑαυτῷ φησιν εἶναι, ὡς ἐλεῆσθαι καὶ αὐτὸν δι᾽ ἐκείνου. Ἄλλως δέ, καὶ χωρὶς τούτου καλὸν ἡ παροῦσα ζωή· ἐπεὶ εἰ μὴ καλόν, διὰ τί ἐν τάξει τιμωρίας τίθησι τοὺς ἀώρους θανάτους; ὡς ὅταν λέγῃ, «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί». Ἡ μὲν γὰρ μέλλουσα ζωὴ οὐχὶ πονηροῦ κρείττων, ἐπεὶ οὐκ ἀγαθή, ἀλλὰ καλοῦ κρείττων. «Ἵνα μὴ λύπην», φησίν, «ἐπὶ λύπῃ σχῶ», τὴν ἀπὸ τῆς τελευτῆς ἐπὶ τῇ διὰ τὴν ἀρρωστίαν γενομένῃ αὐτῷ. Διὰ τούτων δείκνυσιν, ὅσου τιμᾶται τὸν Ἐπαφρόδιτον.

«Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν». Τί ἐστι, «σπουδαιοτέρως»; Τουτέστιν, ἀνυπερθέτως, χωρὶς μελλήσεως, μετὰ πολλοῦ τοῦ τάχους, πάντα ὑπερθέμενον κελεύσας ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τῆς ἀδημονίας ἀπαλλαγῆ. Οὐ γὰρ οὕτω τοὺς ποθουμένους ἀκούοντες ἐν ὑγείᾳ ὄντας χαίρομεν, ὡς ὅταν ἴδωμεν, καὶ μάλιστα, ὅταν παρ᾽ ἐλπίδας ἐκβῇ τὸ πρᾶ-

12. Α´ Κορ. 11, 30
13. Φιλιπ. 2, 28.

νὰ ἀποθάνῃ καὶ νὰ εἶναι μὲ τὸν Χριστὸν εἶναι κατὰ πολὺ ἀνώτερον, διὰ ποῖον λόγον λέγει, ὅτι ἐλεεῖται αὐτός; Ἐγὼ δὲ θὰ ἀπαντήσω, διὰ ποῖον λόγον αὐτὸς λέγει, ὅτι εἶναι ἀναγκαιότερον τὸ νὰ ἐξακολουθῇ νὰ μένῃ εἰς τὴν ζωὴν διὰ σᾶς; Διότι ὅπως ἀκριβῶς ἦτο ἀναγκαῖον εἰς αὐτόν, ἔτσι καὶ εἰς ἐκεῖνον, μὲ περισσότερον πλοῦτον καὶ μεγαλυτέραν παρρησίαν νὰ ἀπέρχεται πρὸς τὸν Θεόν. Ἐκεῖνο μὲν καὶ ἂν ἀκόμη δὲν ἐγένετο τώρα, ἀργότερα ἐπρόκειτο νὰ γίνῃ˙ δὲν εἶναι δυνατὸν ὅμως τὸ νὰ κερδίσωμεν ψυχὰς ἔπειτα, ὅταν ἀπέλθωμεν ἐκεῖ. Τὰ πάντα ὁμιλεῖ ὁ Παῦλος καὶ κατὰ τὴν κοινὴν ἀντίληψιν καὶ δὲν φιλοσοφεῖ παντοῦ, διότι ἀπηύθυνε τὸν λόγον του πρὸς ἀνθρώπους ἀνήκοντας εἰς τὸν κόσμον τοῦτον καὶ φοβουμένους ἀκόμη τὸν θάνατον. Ἔπειτα ἐπεξηγεῖ μὲ ὅσον λόγον εἶχεν εἰς αὐτὸν ὁ Ἐπαφρόδιτος, καὶ ἀπὸ τοῦτο κάμνει αὐτὸν σεβαστόν, ἂν πράγματι λέγῃ ὅτι ἡ σωτηρία ἐκείνου εἶναι τόσον χρήσιμος εἰς τὸν ἑαυτόν του, ὥστε νὰ ἐλεηθῇ καὶ αὐτὸς ἐξ αἰτίας ἐκείνου. Ἄλλωστε δέ, καὶ χωρὶς τοῦτο ἡ παροῦσα ζωὴ εἶναι καλόν˙ διότι ἂν δὲν εἶναι καλόν, διατί θεωρεῖ ὡς τιμωρίαν τοὺς προώρους θανάτους; καθ' ὅσον λέγει «Διὰ τοῦτο ὑπάρχουν μεταξύ σας πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, ἀρκετοὶ δὲ καὶ ἀποθνήσκουν»[12]. Διότι ἡ μὲν μέλλουσα ζωὴ δὲν εἶναι ἀνωτέρα ἀπὸ τὸ πονηρόν, ἐπειδὴ δὲν εἶναι ἀγαθή, ἀλλ' εἶναι ἀνωτέρα ἀπὸ τὸ καλόν. «Διὰ νὰ μὴ δοκιμάσω», λέγει, «λύπην ἐπάνω εἰς τὴν ἄλλην λύπην μου», δηλαδὴ τὴν λύπην ποὺ θὰ προέλθῃ ἀπὸ τὸν θάνατον ἐπάνω εἰς τὴν λύπην τὴν γενομένην εἰς αὐτὸν ἀπὸ τὴν ἀσθένειαν. Μὲ αὐτὰ ἀποδεικνύει πόσον τιμᾷ τὸν Ἐπαφρόδιτον.

«Ἔστειλα λοιπὸν αὐτὸν τὸ συντομώτερον πρὸς σᾶς»[13]. Τί σημαίνει τὸ «σπουδαιοτέρως»; Δηλαδή, ἀμέσως, χωρὶς ἀναβολήν, πολὺ γρήγορα, διέταξα αὐτὸν νὰ ἔλθῃ πρὸς σᾶς, ἀφοῦ ἀναβάλῃ τὰ πάντα, διὰ νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ἀδημονίαν του. Διότι δὲν χαίρομεν τόσον πολύ, ὅταν ἀκούωμεν ὅτι αὐτοὶ ποὺ ποθοῦμεν εἶναι ὑγιεῖς, ὅσον ὅταν τοὺς ἰδοῦμεν, καὶ πρὸ πάντων ὅταν ἡ κατάστασίς των βελτιωθῇ ἀνέλπιστα˙ πρᾶγμα ποὺ ἔχει γίνει εἰς τὴν περίπτωσιν τοῦ Ἐπα-

γμα· ὅπερ ἐπὶ Ἐπαφροδίτου γέγονε. «Σπουδαιοτέρως οὖν», φησίν, «ἔπεμψα αὐτόν, ἵνα ἰδόντες αὐτὸν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ». Πῶς ἀλυπότερος; Ὅτι ἐὰν ὑμεῖς χαίρητε, κἀγὼ χαίρω, καὶ οὗτος χαίρει ἐπὶ τοιαύτῃ ἡδονῇ, καὶ ἐγὼ ἀλυπότερος ἔσομαι. Καὶ οὐκ εἶπεν, ἄλυπος, ἀλλ' «ἀλυπότερος», δεικνὺς ὅτι οὐδέποτε ἡ ψυχὴ αὐτοῦ λύπης ἦν ἐκτός. Ὁ γὰρ λέγων, «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;», πότε λύπης ἐκτὸς ἦν; Τουτέστιν, ὅτι ταύτην ἀποτίθεμαι τὴν ἀθυμίαν. «Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς». Ἤτοι «ἐν Κυρίῳ», ὅ ἐστι, πνευματικῶς, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς· μᾶλλον δὲ τό, «ἐν Κυρίῳ», τοῦτό ἐστι, τοῦ Θεοῦ θέλοντος. Ἀξίως τῶν ἁγίων ὑποδέξασθε, ὥσπερ τοὺς ἁγίους προσῆκε, «μετὰ πάσης χαρᾶς». Ταῦτα πάντα ποιεῖ ὑπὲρ αὐτῶν ἐκείνων, οὐχ ὑπὲρ τῶν πεμπομένων. Μεῖζον γὰρ τὸ κέρδος τῷ ποιοῦντι, ἢ τῷ πάσχοντι εὖ. «Καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε». Τουτέστι, προσδέχεσθε αὐτὸν ἀξίως τῶν ἁγίων. «Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρὸς ἐμὲ λειτουργίας». Οὗτος κοινῇ παρὰ τῆς πόλεως ἦν ἀπεσταλμένος τῆς Φιλιππησίων, ὃς καὶ διακονῶν Παύλῳ καὶ ἴσως τι ἀποκομίζων αὐτῷ ἐληλύθει.

Ὅτι γὰρ καὶ χρήματα ἐκόμισε, δείκνυσι πρὸς τῷ τέλει λέγων· «Δεξάμενος γὰρ παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν». Εἰκὸς οὖν αὐτὸν ἐπιστάντα τῇ πόλει Ρωμαίων, ἐν πολλῷ τὸν Παῦλον κινδύνῳ καταλαβεῖν καὶ σφοδρῷ, ὡς μηδὲ τοὺς πλησιάζοντας αὐτῷ μετὰ ἀσφαλείας δύνασθαι τοῦτο ποιεῖν, ἀλλὰ καὶ αὐτοὺς ἐπισφαλῶς προσιέναι· ὅπερ εἴωθε γίνε-

---

14. Β' Κορ. 11, 29
15. Φιλιπ. 2, 29
16. Φιλιπ. 2, 30
17. Φιλιπ. 4, 18

φροδίτου. «Έστειλα λοιπὸν αὐτόν», λέγει, «τὸ συντομώτερον πρὸς σᾶς, διὰ νὰ ἰδῆτε αὐτὸν καὶ νὰ χαρῆτε, καὶ ἐγὼ νὰ εἶμαι ὀλιγώτερον λυπημένος». Πῶς θὰ εἶμαι ὀλιγώτερον λυπημένος; Διότι ἂν σεῖς χαίρετε, καὶ ἐγὼ χαίρω, καὶ αὐτὸς χαίρει διὰ τὴν τόσον μεγάλην εὐχαρίστησιν, καὶ ἐγὼ θὰ εἶμαι ὀλιγώτερον λυπημένος. Καὶ δὲν εἶπε, χωρὶς λύπην, ἀλλ' «ὀλιγώτερον λυπημένος», δεικνύων ὅτι ποτὲ ἡ ψυχή του δὲν ἦτο χωρὶς λύπην. Διότι ἐκεῖνος ποὺ λέγει· «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγὼ μαζί του; ποῖος σκανδαλίζεται καὶ δὲν καίομαι καὶ ἐγὼ εἰς τὴν κάμινον τῆς θλίψεως;»[14]· πότε ἦτο χωρὶς λύπην; Δηλαδή, ὅτι ἀποβάλλω αὐτὴν τὴν δυσφορίαν. «Δεχθῆτε λοιπὸν αὐτὸν μὲ θερμὴν ἀγάπην ἐν Κυρίῳ καὶ μὲ κάθε χαράν»[15]. Δηλαδή, «ἐν Κυρίῳ», ποὺ σημαίνει, πνευματικῶς· ἤτοι μὲ πολὺ ἐνδιαφέρον· μᾶλλον δὲ τὸ «ἐν Κυρίῳ» τοῦτο σημαίνει, ὅπως ὁ Θεὸς θέλει. Νὰ τὸν ὑποδεχθῆτε ὅπως ἀξίζει εἰς τοὺς ἁγίους, ὅπως ἀκριβῶς ἁρμόζει εἰς τοὺς ἁγίους, «μὲ κάθε χαράν». Ὅλα αὐτὰ τὰ φροντίζει διὰ τὸ καλὸν ἐκείνων τῶν ἰδίων, καὶ ὄχι δι' αὐτοὺς ποὺ στέλλει. Διότι εἶναι μεγαλύτερον τὸ κέρδος εἰς ἐκεῖνον ποὺ εὐεργετεῖ παρὰ εἰς ἐκεῖνον ποὺ εὐεργετεῖται. «Γενικῶς δὲ τέτοιους ἀνθρώπους νὰ τοὺς τιμᾶτε». Δηλαδή, ὑποδεχθῆτε αὐτὸν ὅπως ἀξίζει εἰς ἁγίους. «Διότι διὰ τὸ ἔργον τοῦ Χριστοῦ ἔφθασεν εἰς τὰ πρόθυρα τοῦ θανάτου, ἐκθέσας εἰς κίνδυνον τὴν ζωήν του, διὰ νὰ ἀναπληρώσῃ ὅ,τι σεῖς δὲν ἐπράξατε, νὰ μὲ ὑπηρετήσῃ ὡς ἀντιπρόσωπός σας»[16]. Αὐτὸς ἦτο κοινὸς ἀπεσταλμένος τῶν Φιλιππησίων, εἶχεν ἔλθει μὲ σκοπὸν νὰ ὑπηρετῇ τὸν Παῦλον καὶ ἴσως νὰ μεταφέρῃ κάτι εἰς αὐτόν.

Ὅτι βεβαίως ἔφερε καὶ χρήματα, τὸ ἀποκαλύπτει πρὸς τὸ τέλος τῆς ἐπιστολῆς λέγων· «Ἀφοῦ ἐδέχθην ἀπὸ τὸν Ἐπαφρόδιτον αὐτὰ ποὺ ἐστάλησαν ἀπὸ σᾶς»[17]. Πιθανὸν λοιπὸν ὅταν αὐτὸς ἔφθασεν εἰς τὴν Ρώμην, νὰ ηὗρε τὸν Παῦλον εἰς μέγαν καὶ ὑπερβολικὸν κίνδυνον, ὥστε οὔτε οἱ πλησιάζοντες αὐτὸν νὰ ἠμποροῦν νὰ κάνουν τοῦτο μὲ ἀσφάλειαν, ἀλλὰ καὶ αὐτοὶ νὰ προσέρχωνται ἐπισφαλῶς· πρᾶγμα ποὺ συνηθίζεται νὰ γίνεται πρὸ πάντων εἰς τοὺς

σθαι μάλιστα ἐν τοῖς κινδύνοις τοῖς μεγάλοις, καὶ ταῖς ὀργαῖς τῶν βασιλέων ταῖς ὑπερβαλλούσαις. Ὅταν γάρ τις βασιλεῖ προσκεκρουκὼς εἰς δεσμωτήριον ἐμβληθῇ, καὶ ἐν πολλῇ γένηται φυλακῇ, τότε καὶ τοῖς οἰκέταις ἡ πρόσοδος ἀποτετείχισται, ὅπερ εἰκὸς τὸν Παῦλον τότε πάσχειν· τὸν δέ, Ἐπαφρόδιτον ἄνδρα γενναῖον ὄντα, παντὸς καταφρονῆσαι κινδύνου, ὥστε προσελθεῖν καὶ ὑπηρετήσασθαι, καὶ πάντα πρᾶξαι, ἅπερ ἐχρῆν. Δύο τοίνυν τίθησιν, ἀφ᾽ ὧν ποιεῖ αὐτὸν αἰδέσιμον· ἓν μέν, ὅτι μέχρι θανάτου ἐκινδύνευσε, φησί, δι᾽ ἐμέ· δεύτερον δέ, ὅτι τὸ πρόσωπον τῆς πόλεως περιθέμενος ταῦτα ἔπασχεν, ὡς ἐν τῷ κινδύνῳ ἐκείνῳ τοῖς πέμψασι λογιεῖσθαι τὸν μισθόν, ὡς ἂν εἰ ἡ πόλις πρεσβευτὴν ἔπεμψεν. Ὥστε τὸ μετὰ θεραπείας δέξασθαι, καὶ ἀποδέξασθαι ὑπὲρ τῶν γεγενημένων, μᾶλλόν ἐστι κοινωνῆσαι τοῖς τετολμημένοις. Καὶ οὐκ εἶπε, δι᾽ ἐμέ, ἀλλ᾽ ἀξιοπιστότερον αὐτὸ ποιεῖ λέγων, «ὅτι διὰ τὸ ἔργον τοῦ Θεοῦ». Οὐδὲ γὰρ δι᾽ ἐμὲ ἐποίει, ἀλλὰ διὰ τὸν Θεὸν ἤγγισε μέχρι θανάτου.

Τί γάρ, εἰ μὴ ἀπέθανε, τοῦ Θεοῦ οἰκονομήσαντος; ἀλλ᾽ αὐτὸς παρεβουλεύσατο, καὶ ἐξέδωκεν ἑαυτόν, ὡς κἂν ὁτιοῦν δέῃ παθεῖν, οὐκ ἀποστησόμενος τῆς πρός με θεραπείας. Εἰ δὲ ὑπὲρ τοῦ Παύλου θεραπεῦσαι εἰς θάνατον ἑαυτὸν ἐξέδωκε, πολλῷ μᾶλλον ὑπὲρ τοῦ κηρύγματος τοῦτο ἂν ἔπαθε· μᾶλλον δὲ καὶ τοῦτο ὑπὲρ τοῦ κηρύγματος ἦν, τὸ ὑπὲρ ἐκείνου ἀποθανεῖν. Οὐ γὰρ μόνον ὑπὲρ τοῦ μὴ θῦσαι μαρτυρίου στέφανον ἔστιν ἀναδήσασθαι, ἀλλὰ καὶ αἱ τοιαῦται προφάσεις μαρτύριον ποιοῦσι· καὶ εἰ δεῖ τι θαυμαστὸν εἰπεῖν, πολλῷ μᾶλλον αἱ τοιαῦται, ἢ ἐκεῖναι. Ὁ γὰρ ὑπὲρ τοῦ ἐλάττονος κατατολμῶν τοῦ θανάτου, πολλῷ μᾶλλον ὑπὲρ

μεγάλους κινδύνους καὶ εἰς τὴν ὑπερβολικὴν ὀργὴν τῶν βασιλέων. Ὅταν βεβαίως κάποιος ριφθῇ εἰς τὴν φυλακήν, ἐπειδὴ ἀντιμάχεται τὸν βασιλέα, καὶ τὸν φυλάσσουν πολλοὶ φύλακες, τότε καὶ εἰς τοὺς ὑπηρέτας ἡ προσέλευσις ἔχει ἀπαγορευθῇ, πρᾶγμα ποὺ πιθανὸν νὰ ἔπασχεν ὁ Παῦλος τότε· ὁ δὲ Ἐπαφρόδιτος, ἄνδρας γενναῖος ὤν, περιφρονήσας κάθε κίνδυνον, προσῆλθε διὰ νὰ τὸν ὑπηρετήσῃ καὶ νὰ πράξῃ ὅλα, ὅσα βεβαίως ἦσαν ἀναγκαῖα. Δύο λοιπὸν σημειώνει, ἀπὸ τὰ ὁποῖα κάμνει αὐτὸν σεβαστόν· πρῶτον μέν, ὅτι ἐκινδύνευσε μέχρι θανάτου, λέγει, δι' ἐμέ, καὶ δεύτερον, ὅτι γενόμενος ἀντιπρόσωπος τῆς πόλεως ἔπασχεν αὐτά, διὰ νὰ ὑπολογισθῇ κατὰ τὸν κίνδυνον ἐκεῖνον ὁ μισθὸς εἰς αὐτοὺς ποὺ τὸν ἔστειλαν, ὡς ἐὰν ἡ πόλις ἔστειλε πρεσβευτήν. Ὥστε τὸ μὲ φροντίδα νὰ ὑπο δεχθῆτε αὐτὸν καὶ νὰ τὸν δεχθῆτε χάριν αὐτῶν ποὺ ἔχουν γίνει, μᾶλλον σημαίνει νὰ γίνετε μέτοχοι εἰς αὐτὰ ποὺ ἔχει τολμήσει. Καὶ δὲν εἶπε, δι' ἐμέ, ἀλλὰ κάμνει αὐτὸ περισσότερον ἀξιόπιστον λέγων· «διότι διὰ τὸ ἔργον τοῦ Θεοῦ». Διότι δὲν ἔπραττε δι' ἐμέ, ἀλλὰ διὰ τὸν Θεὸν ἐπλησίασε μέχρι θανάτου.

Τί λοιπόν, ἂν δὲν ἀπέθανεν, ἀφοῦ ὁ Θεὸς ἐφρόντισε τοῦτο; ἀλλ' αὐτὸς ἐξέθεσεν εἰς κίνδυνον τὴν ζωήν του καὶ παρέδωσε τὸν ἑαυτόν του, ὥστε καὶ ἂν ἀκόμη εἶναι ἀνάγκη νὰ πάθῃ ὅ,τιδήποτε, δὲν θὰ παραιτηθῇ ἀπὸ τὴν πρὸς ἐμὲ περιποίησιν. Ἐὰν δὲ παρέδωσε τὸν ἑαυτόν του εἰς θάνατον προκειμένου νὰ ὑπηρετήσῃ τὸν Παῦλον, πολὺ περισσότερον θὰ ἠμποροῦσε νὰ πάθῃ τοῦτο διὰ τὸ κήρυγμα τοῦ εὐαγγελίου· μᾶλλον δὲ καὶ τοῦτο ἦτο διὰ τὸ κήρυγμα, τὸ νὰ ἀποθάνῃ δι' ἐκεῖνον. Διότι ὄχι μόνον εἶναι δυνατὸν νὰ λάβῃ κανεὶς τὸν στέφανον τοῦ μαρτυρίου ἐξ αἰτίας τοῦ ὅτι δὲν προσέφερε θυσίας εἰς τὰ εἴδωλα, ἀλλὰ καὶ αἱ προφάσεις αὐταὶ προκαλοῦν τὸ μαρτύριον· καὶ ἐὰν πρέπει νὰ εἰποῦμεν κάτι θαυμαστόν, πολὺ περισσότερον προκαλοῦν τὸ μαρτύριον αἱ προφάσεις αὐταί, παρὰ ἐκεῖναι. Ἐκεῖνος βέβαια ποὺ ριψοκινδυνεύει μὲ θάνατον διὰ τὸ μικρότερον, πολὺ περισσότερον θὰ ριψοκινδυνεύῃ διὰ τὸ μεγαλύτερον.

τοῦ μείζονος. Ὥστε καὶ ἡμεῖς, ὅταν ἴδωμεν ἁγίους ἐν κινδύνοις, παραβουλευώμεθα. Οὐ γὰρ ἔνι μὴ τολμῶντα, γενναῖόν τι πρᾶξαί ποτε, ἀλλὰ ἀνάγκη τὸν τῆς ἐνταῦθα ἀσφαλείας προνοούμενον ἐκπεσεῖν τῆς μελλούσης. «Ἵνα ἀναπληρώσῃ», φησί, «τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας». Τί ἐστι τοῦτο; Οὐ παρῆν ἡ πόλις, ἀλλ' ἐλειτούργησέ μοι δι' ἐκείνου πᾶσαν λειτουργίαν τῷ ἐκεῖνον πέμψαι. Τὸ οὖν ὑστέρημα τῆς ὑμετέρας λειτουργίας αὐτὸς ἀνεπλήρωσεν, ὥστε καὶ κατὰ τοῦτο δίκαιος ἂν εἴη πολλῆς ἀπολαῦσαι τιμῆς, ὅτι ὅπερ ἐχρῆν πάντας ποιῆσαι, τοῦτο ἔπραξεν αὐτὸς ὑπὲρ ὑμῶν. Καὶ δείκνυσι καὶ πρώτην οὖσαν λειτουργίαν παρὰ τῶν ἐν ἀσφαλείᾳ τοῖς κινδυνεύουσι. Τὸ γὰρ ὑστέρημα οὕτως εἴρηται καὶ τὸ τῆς λειτουργίας. Ὁρᾷς φρόνημα ἀποστολικόν; Τοῦτο οὐκ ἐξ ἀπονοίας γίνεται, ἀλλὰ ἀπὸ πολλῆς κηδεμονίας. Ἵνα γὰρ μὴ ἐπαίρωνται, ἀλλὰ μετριάζωσι, μηδὲ μέγα τι παρεσχηκέναι νομίζωσιν, ἀλλὰ ταπεινῶνται, λειτουργίαν τὸ πρᾶγμα καλεῖ καὶ ὑστέρημα.

Καὶ γὰρ ὀφείλεται τοῖς ἁγίοις παρ' ἡμῶν, καὶ οὐδὲν αὐτοῖς χαριζόμεθα. Ὥσπερ γὰρ τοῖς ἐν στρατοπέδῳ ἑστῶσι καὶ πολεμοῦσι παρὰ τῶν ἐν εἰρήνῃ ὄντων καὶ μὴ πολεμούντων ὀφείλεται τὰ τελέσματα· ὑπὲρ γὰρ ἐκείνων ἑστήκασιν οὗτοι· οὕτω καὶ ἐνταῦθα. Εἰ μὴ γὰρ ἐδίδασκεν ὁ Παῦλος, τί ἂν αὐτὸν τότε ἐνέβαλεν εἰς δεσμωτήριον; Ὥστε λειτουργεῖν χρὴ τοῖς ἁγίοις. Πῶς γὰρ οὐκ ἄτοπον τῷ μὲν στρατευομένῳ βασιλεῖ τῷ ἐπιγείῳ πάντα εἰσφέρειν, καὶ ἐνδύματα καὶ τροφάς, οὐ κατὰ τὴν χρείαν μόνον, ἀλλὰ καὶ κατὰ τὴν περιουσίαν, τῷ δὲ στρατευομένῳ βασιλεῖ τῷ ἐπουρανίῳ,

Ὥστε καὶ ἡμεῖς, ὅταν ἰδοῦμεν τοὺς ἁγίους νὰ εὑρίσκωνται εἰς κινδύνους, ἂς ἐκθέτωμεν εἰς κίνδυνον τὴν ζωήν μας. Δὲν εἶναι λοιπὸν δυνατόν, ἐκεῖνος ποὺ δὲν τολμᾷ νὰ πράξῃ κάποτε κάτι τὸ σημαντικόν, ἀλλ' εἶναι ἀναπόφευκτον, ἐκεῖνος, ποὺ φροντίζει διὰ τὴν ἀσφάλειαν τῆς παρούσης ζωῆς, νὰ ἐκπέσῃ ἀπὸ τὴν μέλλουσαν. «Διὰ νὰ ἀναπληρώσῃ», λέγει, «ὅ,τι σεῖς δὲν ἐπράξατε, νὰ μὲ ὑπηρετήσῃ ὡς ἀντιπρόσωπός σας». Τί σημαίνει τοῦτο; Δὲν παρευρίσκετο ἡ πόλις, ἀλλὰ μὲ ὑπηρέτησε μὲ ἐκεῖνον καὶ ἐξεπλήρωσε κάθε ὑπηρεσίαν μὲ τὸ νὰ στείλῃ ἐκεῖνον. Τὸ ὑστέρημα λοιπὸν τῆς ἰδικῆς σας ὑπηρεσίας ἀνεπλήρωσεν ὁ Ἐπαφρόδιτος, ὥστε καὶ κατὰ τοῦτο θὰ ἦτο δίκαιον νὰ ἀπολαύσῃ πολλὴν τιμήν, διότι ἐκεῖνο ποὺ ἔπρεπεν ὅλοι σας νὰ πράξετε, τοῦτο ἔπραξεν αὐτὸς μόνος διὰ λογαριασμόν σας. Καὶ ὑποδεικνύει ποία νὰ εἶναι ἡ πρώτη ὑπηρεσία ἀπὸ τοὺς εὑρισκομένους ἐν ἀσφαλείᾳ πρὸς τοὺς κινδυνεύοντας. Διότι τὸ ὑστέρημα, κατὰ τὴν ἔννοιαν αὐτὴν ἔχει λεχθῆ, ὅπως καὶ ἡ λειτουργία. Βλέπεις τὸ ἀποστολικὸν φρόνημα; Τοῦτο δὲν γίνεται ἀπὸ ἀλαζονείαν, ἀλλ' ἐκ τῆς πολλῆς φροντίδος. Διότι διὰ νὰ μὴ ὑπερηφανεύωνται, ἀλλὰ νὰ εἶναι μετριόφρονες, οὔτε νὰ νομίζουν ὅτι ἔχουν προσφέρει κάτι τὸ σπουδαῖον, ἀλλὰ νὰ ταπεινώνωνται, ἀποκαλεῖ τοῦτο ὑπηρεσίαν καὶ ὑστέρημα.

Καὶ εἶναι ἀλήθεια ὅτι εἴμεθα ὀφειλέται εἰς τοὺς ἁγίους, καὶ τίποτε δὲν χαρίζομεν εἰς αὐτούς. Ὅπως βέβαια συμβαίνει εἰς ἐκείνους, ποὺ εὑρίσκονται εἰς τὸ στρατόπεδον καὶ πολεμοῦν, ὀφείλονται αἱ δαπάναι ἀπὸ τοὺς ζῶντας ἐν εἰρήνῃ καὶ ποὺ δὲν πολεμοῦν· διότι οὗτοι εἶναι παρατεταγμένοι πρὸς ὑπεράσπισιν ἐκείνων· ἔτσι συμβαίνει καὶ ἐδῶ. Διότι ἐὰν ὁ Παῦλος δὲν ἐδίδασκε, ποῖος τότε θὰ εἶχε βάλει αὐτὸν εἰς τὴν φυλακήν; Ὥστε πρέπει νὰ ὑπηρετοῦμεν τοὺς ἁγίους. Πῶς λοιπὸν δὲν εἶναι ἄτοπον, νὰ συνεισφέρωμεν εἰς τὸν στρατευόμενον ἐπίγειον βασιλέα τὰ πάντα, καὶ ἐνδύματα καὶ τροφάς, ὄχι μόνον ὅσα εἶναι ἀναγκαῖα, ἀλλὰ καὶ εἰς ἀφθονίαν, εἰς τὸν στρατευόμενον ὅμως ἐπουράνιον βασιλέα, ὁ ὁποῖος μάλιστα παρατάσσεται ἐναντίον κατὰ

καὶ παρατατομένῳ πρὸς πολλῷ χαλεπωτέρους· «Ἡ πάλη» γάρ, φησίν, «οὐ πρὸς αἷμα καὶ σάρκα»· μηδὲ τὴν ἀναγκαίαν χρείαν χορηγεῖν; Πόσης ἀγνωμοσύνης, πόσης ταῦτα ἀχαριστίας, πόσης αἰσχροκερδείας; Ἀλλ', ὡς ἔοικε, πλέον ὁ τῶν ἀνθρώπων ἰσχύει φόβος παρ' ἡμῖν τῆς γεέννης καὶ τῶν μελλουσῶν κολάσεων. Διὰ δὴ τοῦτο πάντα ἀνατέτραπται, ὅτι τὰ μὲν πολιτικὰ πράγματα μετὰ πολλῆς τῆς ἐντρεχείας καθ' ἑκάστην ἡμέραν ἀνύεται, καὶ ἐλλειφθῆναι οὐκ ἔνι· τῶν δὲ πνευματικῶν οὐδεὶς οὐδαμοῦ λόγος· ἀλλὰ τὰ μὲν μετ' ἀνάγκης ἀπαιτούμενα καὶ βασάνων, καὶ ὡς παρὰ δούλων καὶ ἀκόντων, κατατίθεται μετὰ πολλῆς τῆς εὐγνωμοσύνης· τὰ δὲ παρὰ ἑκόντων, καὶ ὡς παρὰ ἐλευθέρων, πάλιν ἐλλιμπάνεται. Οὐ κατὰ πάντων λέγω, ἀλλὰ κατὰ τῶν τὰ τελέσματα ταῦτα ἐγκαταλιμπανόντων. Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς ἀνάγκῃ ταῦτα ποιεῖν; Ἀλλ' οὐ βούλεται· ὑμῶν γὰρ φείδεται μᾶλλον, ἢ τῶν τρεφομένων. Διὰ τοῦτο ὑμᾶς οὐκ ἀνάγκῃ βούλεται κατατιθέναι, ἐπειδὴ οὐκ ἔστι μισθός.

Καὶ ὅμως πολλοὶ τῶν ἐνταῦθα, τῶν Ἰουδαίων εἰσὶ ταπεινότεροι. Ἐννόησον ὅσα Ἰουδαῖοι ἐδίδοσαν, δεκάτας, ἀπαρχάς, πάλιν δεκάτας, καὶ πάλιν ἄλλας δεκάτας, καὶ πάλιν ἑτέρας τρισκαιδεκάτας, καὶ τὸ σίκλον· καὶ οὐδεὶς ἔλεγεν, ὅτι πολλὰ κατεσθίουσιν. Ὅσῳ ἂν πλείονα λάβωσι, τοσούτῳ καὶ πλείων ὁ μισθός. Οὐκ ἔλεγον, πολλὰ λαμβάνουσι, γαστρίζονται, ἃ νῦν ἀκούω λεγόντων τινῶν. Καὶ οἱ μὲν οἰκοδομοῦντες οἰκίας, καὶ ἀγροὺς ὠνούμενοι, οὐδὲν ἡγοῦνται ἔχειν· ἂν δέ τις τῶν ἱερέων λαμπρότερον ἱμάτιον περιβάληται, ἢ τῆς ἀναγκαίας εὐπορήσῃ τροφῆς, ἢ τὸν διακονούμενον ἔχῃ, ἵνα μὴ ἀναγκάζηται αὐτὸς ἀσχημονεῖν, πλοῦτον τὸ πρᾶγμα τίθενται. Ὄντως πλουτοῦμεν

---

18. Ἐφ. 6, 13

19. Διὰ τὰ διάφορα δέκατα τῶν γεωργικῶν, κτηνοτροφικῶν κλπ. προϊόντων, ποὺ ἔδιδον οἱ Ἰουδαῖοι εἰς τὸν Ναὸν διὰ τοὺς ἱερεῖς· βλέπε Λευϊτ. 27, 30-32 καὶ Δευτ. 14, 22-29.

Αἱ ἀπαρχαὶ ἦσαν οἱ πρῶτοι καρποὶ τῆς γῆς, οἱ ὁποῖοι προσεφέροντο ὡς θυσία εἰς τὸν Θεόν, ἐνῷ τὸ σίκλον ἦτο χρηματικὴ εἰσφορὰ (τὸ δίδραχμον) ὑπὲρ τοῦ Ναοῦ (Ἐξ. 30, 13).

πολὺ δυσκολωτέρων ἐχθρῶν˙ «διότι ὁ πόλεμος, λέγει, δὲν εἶναι πρὸς αἷμα καὶ σάρκα»[18]˙ νὰ μὴ χορηγοῦμεν οὔτε τὴν ἀναγκαίαν βοήθειαν; Πόσην ἀγνωμοσύνην, πόσην ἀχαριστίαν, πόσην αἰσχροκέρδειαν ἀποδεικνύει τοῦτο; Ἀλλ' ὅπως φαίνεται, ἰσχύει εἰς ἡμᾶς ὁ ἀνθρώπινος φόβος περισσότερον ἀπὸ τὴν γέενναν καὶ τὰς τιμωρίας τῆς μελλούσης ζωῆς. Διὰ τοῦτο βεβαίως τὰ πάντα ἔχουν ἀνατραπῆ, διότι τὰ μὲν πολιτικὰ πράγματα μὲ πολλὴν δεξιότητα αὐξάνονται καθημερινῶς, καὶ δὲν εἶναι δυνατόν, νὰ γίνουν ὑποδεέστερα, διὰ δὲ τὰ πνευματικὰ κανεὶς λόγος δὲν γίνεται πουθενά. Ἀλλὰ τὰ μὲν πολιτικὰ ποὺ ἀπαιτοῦνται νὰ γίνουν ἀναγκαστικὰ καὶ μὲ κόπους βασανιστικούς, καὶ ὡς γινόμενα ἀπὸ δούλους καὶ ἀνθρώπους χωρὶς θέλησιν, ἐγκαταλείπονται μὲ πολλὴν εὐγνωμοσύνην˙ τὰ δὲ πνευματικὰ γινόμενα ἀπὸ ἀνθρώπους μὲ θέλησιν, καθὼς καὶ ἀπὸ ἐλευθέρους, πάλιν ἐγκαταλείπονται. Δὲν λέγω ἐναντίον ὅλων, ἀλλ' ἐναντίον αὐτῶν ποὺ ἐγκαταλείπουν τὰς δαπάνας αὐτάς. Μήπως λοιπὸν δὲν ἠμποροῦσε ὁ Θεὸς νὰ κάμνῃ αὐτὰ ἀναγκαστικῶς; Ἀλλὰ δὲν θέλει, διότι σᾶς εὐσπλαγχνίζεται περισσότερον παρὰ τὰ τρεφόμενα. Διὰ τοῦτο δὲν θέλει νὰ σᾶς ἐγκαταλείψῃ ἀναγκαστικῶς, ἐπειδὴ δὲν ὑπάρχει μισθός.

Καὶ ὅμως πολλοὶ ἀπὸ τοὺς παρισταμένους ἐδῶ, εἶναι ταπεινότεροι ἀπὸ τοὺς Ἰουδαίους. Σκέψου πόσα ἔδιδαν οἱ Ἰουδαῖοι, δεκάτας, ἀπαρχάς, πάλιν δεκάτας καὶ πάλιν ἄλλας δεκάτας, καὶ πάλιν ἄλλας ἀνὰ τριετίαν δεκάτας καὶ τὸ σίκλον[19]˙ καὶ κανεὶς δὲν ἔλεγεν ὅτι πολλὰ κατατρώγουν. Ὅσον περισσότερα θὰ λάβουν, τόσον περισσότερος θὰ εἶναι καὶ ὁ μισθός. Δὲν ἔλεγαν˙ πολλὰ λαμβάνουν, τρώγουν ὑπερβολικά, τὰ ὁποῖα ἀκούω τώρα νὰ λέγουν μερικοί. Καὶ αὐτοὶ μὲν ποὺ κτίζουν οἰκίας καὶ ἀγοράζουν ἀγρούς, νομίζουν ὅτι δὲν ἔχουν τίποτε. Ἂν ὅμως φορέσῃ κάποιος ἱερεὺς λαμπρότερον ἱμάτιον ἢ ἔχῃ εἰς ἀφθονίαν τὴν ἀπαραίτητον τροφήν, ἢ ἔχῃ ὑπηρέτην, διὰ νὰ μὴ ἀναγκάζεται νὰ ἀσχημονῇ ὁ ἴδιος, ὑπολογίζουν τὸ πρᾶγμα ὡς πλοῦτον. Πράγματι εἴμεθα πλούσιοι καὶ εἰς αὐτά, καὶ τὸ ἀναγνωρί-

καὶ ἐν τούτοις, καὶ ἄκοντες ὁμολογοῦσιν. Ἡμεῖς μὲν γὰρ κἂν μικρὰ ἔχωμεν, πλουτοῦμεν· ἐκεῖνοι δὲ κἂν πάντα περιβάλωνται, πένονται. Μέχρι τίνος ἀνοηταίνομεν; οὐκ ἀρκεῖ τὸ μηδὲν ποιεῖν εἰς κόλασιν ἡμῖν ἀλλὰ χρὴ καὶ τὴν ἀπὸ τῆς κακηγορίας προστιθέναι ζημίαν; Εἰ μὲν γὰρ αὐτὸς ἔδωκας αὐτῷ, ἅπερ κέκτηται, τὸν μισθὸν ἀπώλεσας, ὑπὲρ ὧν ἔδωκας ἐγκαλῶν· ὅλως δὲ εἰ σὺ ἔδωκας, τί ἐγκαλεῖς; Πρότερον μὲν οὖν αὐτῷ πενίαν ἐμαρτύρεις, λέγων ἅπερ ἔχει δεδωκέναι αὐτός· τί τοίνυν ἐγκαλεῖς; Οὐκ ἐχρῆν δοῦναι, εἴγε ἔμελλες ἐγκαλεῖν. Ἀλλ' ἑτέρου δόντος ταῦτα λέγεις; Χαλεπώτερον τὸ πρᾶγμα, ὅτι οὐδὲ διδοὺς ἐγκαλεῖς ὑπὲρ ὧν ἕτερος εὖ ποιεῖ. Πόσον οἴει τοὺς ταῦτα ἀκούοντας μισθὸν ἔχειν; διὰ γὰρ τὸν Θεὸν ταῦτα πάσχουσι. Πῶς καὶ διὰ τί; Ἐξῆν, εἴγε ἐβούλοντο, καπηλικὸν ἀναδέξασθαι βίον, εἰ καὶ μὴ ἀπὸ προγόνων εἶχον. Καὶ γὰρ ἀκούω καὶ ταῦτα πολλῶν λεγόντων, ὅταν εἴπωμεν, ὅτι ὁ δεῖνα πένεται· εἰ γὰρ ἐβούλετο, φησίν, ἠδύνατο πλουτεῖν· εἶτα ὑβριστικῶς, ὁ πρόγονος αὐτοῦ, καὶ ὁ πάππος αὐτοῦ, καὶ ὁ δεῖνα, τοιόσδε ἦν· νῦν δὲ τοιαύτην ἐσθῆτα περιβέβληται. Ἀλλὰ τί, εἰπέ μοι; γυμνὸν ἐχρῆν περιϊέναι;

Σὺ μὲν οὖν ὑπὲρ τούτων ἀκριβολογῇ· ὅρα δὲ μὴ κατὰ σαυτοῦ ταῦτα λέγῃς. Ἀλλ' ἄκουε τῆς παραινέσεως τοῦ Χριστοῦ τῆς λεγούσης, «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε». Ἀλλ' ἐξῆν, εἴγε ἐβούλετο, καπηλικὸν καὶ ἐμπορικὸν βίον ζῆν, καὶ πάντως οὐκ ἂν ἠπόρησεν· ἀλλ' οὐκ ἠθέλησε. Τί οὖν, φησίν, ἐνταῦθα κερδαίνει; Τί κερδαίνει, εἰπέ μοι; συρικὰ ἱμάτια περίκειται; πλῆθος ἀκολούθων ἔχων σοβεῖ κατὰ τὴν ἀγοράν; ἐπὶ ἵππου φέρεται; οἰκίας οἰκοδομεῖ, ἔχων

20. Ματθ. 7, 1

ζουν χωρὶς τὴν θέλησίν των. Διότι ἡμεῖς μὲν καὶ ἂν ἀκόμη ἔχωμεν ὀλίγα, εἴμεθα πλούσιοι· ἐκεῖνοι ὅμως καὶ ἂν ἀκόμη ἔχουν εἰς τὴν διάθεσίν των τὰ πάντα, ζοῦν μὲ στερήσεις. Μέχρι ποίου σημείου φθάνει ἡ ἀνοησία μας; δὲν ἀρκεῖ ποὺ δὲν κάνει τίποτε διὰ νὰ μᾶς τιμωρήσῃ, ἀλλὰ πρέπει νὰ προσθέσωμεν καὶ τὴν τιμωρίαν ἀπὸ τὴν κακολογίαν μας; Διότι ἐὰν μὲν ἔδωσες σὺ ὁ ἴδιος εἰς αὐτὸν ἐκεῖνα, ποὺ ἔχει εἰς τὴν κυριότητά του, ἀπώλεσες τὸν μισθόν, δι᾽ ἐκεῖνα ποὺ ἔδωσες, ἐπειδὴ κατηγορεῖς· ἑπομένως ἀφοῦ σὺ ἔδωσες, διατί κατηγορεῖς; Προηγουμένως βέβαια ἐβεβαίωνες ὅτι πράγματι εἶναι πτωχὸς αὐτός, λέγων ἐκεῖνα ποὺ ἠμπορεῖ νὰ δώσῃ· διατί λοιπὸν κατηγορεῖς; Δὲν ἔπρεπε νὰ δώσῃς, ἂν πράγματι εἶχες σκοπὸν νὰ κατηγορῇς. Ἀλλ᾽ ἐνῷ ἔδωσεν ἄλλος λέγεις αὐτά; Τὸ ζήτημα εἶναι χειρότερον, διότι χωρὶς νὰ δίδῃς κατηγορεῖς δι᾽ ἐκεῖνα ποὺ ὁ ἄλλος εὐεργετεῖ. Πόσον μισθὸν νομίζεις ὅτι ἔχουν οἱ ἀκούοντες αὐτά; διότι διὰ τὸν Θεὸν πάσχουν αὐτά. Πῶς καὶ διατί; Ἦτο δυνατόν, ἂν πράγματι ἤθελον, νὰ ἀποδεχθοῦν τὸν βίον τοῦ καπήλου, ἂν καὶ δὲν τὸν εἶχαν ἀπὸ τοὺς προγόνους των. Διότι ἀληθῶς ἀκούω καὶ αὐτὰ νὰ λέγουν πολλοὶ μὲ ἀναισχυντίαν, ὅταν λέγωμεν, ὅτι ὁ τάδε ζῇ μὲ στερήσεις· ἐὰν βεβαίως ἤθελε, λέγει, ἠμποροῦσε νὰ γίνῃ πλούσιος· ἔπειτα λέγομεν ὑβριστικῶς, ὁ πρόγονος αὐτοῦ, καὶ ὁ πάππος αὐτοῦ, καὶ ὁ τάδε ἦτο τέτοιος· τώρα ὅμως φορεῖ τέτοιο ἔνδυμα. Ἀλλὰ διατί; ἀπάντησέ μου· γυμνὸς ἔπρεπε νὰ περιφέρεται;

Σὺ μὲν λοιπὸν εἶσαι ἀκριβὴς εἰς τοὺς λόγους σου δι᾽ αὐτούς· πρόσεχε ὅμως μήπως λέγῃς αὐτὰ ἐναντίον σου. Ἀλλ᾽ ἄκουε τὴν παραίνεσιν τοῦ Χριστοῦ, ποὺ λέγει, «Μὴ κατακρίνετε τοὺς ἄλλους, διὰ νὰ μὴ κατακριθῆτε ἀπὸ τὸν Θεόν»[20]. Ἦτο ὅμως δυνατόν, ἂν βεβαίως ἤθελε, νὰ ζῇ τὸν βίον τοῦ καπήλου καὶ τοῦ ἐμπόρου, καὶ ὁπωσδήποτε δὲν θὰ εἶχεν ἀμφιβολίαν, ἀλλὰ δὲν ἠθέλησε. Τί λοιπόν, λέγει, κερδίζει ἐδῶ; Εἰπέ μου, τί κερδίζει; φορεῖ μεταξωτὰ ἐνδύματα; συχνάζει εἰς τὴν ἀγορὰν μὲ πολλοὺς ἀκολούθους; περιφέρεται ἔφιππος; κτίζει οἰκίας, διὰ νὰ ἔχῃ νὰ διαμένῃ

ὅπου παραμείνῃ; Ἂν ταῦτα ποιῇ, καὶ ἐγὼ κατηγορῶ, καὶ οὐ φείδομαι, ἀλλ' ἀνάξιον αὐτὸν εἶναι τῆς ἱερωσύνης φημί. Πῶς γὰρ ἑτέροις δυνήσεται παραινεῖν μὴ περὶ τὰ περιττὰ ταῦτα ἐσχολακέναι, αὐτὸς ἑαυτῷ παραινέσαι μὴ δυνάμενος; Εἰ δὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, διὰ τοῦτο ἀδικεῖ; Ἀλλὰ περιϊέναι ἐχρῆν αὐτόν, καὶ προσαιτεῖν; καὶ οὐκ ἂν σὺ κατῃσχύνθης, εἰπέ μοι, ὁ μαθητής; Ἀλλ' ὁ μὲν πατὴρ ὁ σαρκικὸς ἂν τοῦτο ποιῇ, αἰσχύνην τὸ πρᾶγμα ἡγῇ· ἂν δὲ ὁ πνευματικὸς ἀναγκάζηται τοῦτο ποιεῖν, οὐκ ἐγκαλύψῃ, οὐδὲ ἡγῇ καταδύεσθαι; «Ἀδοξία», φησί, «πατρός, ὄνειδος τέκνων». Ἀλλὰ τί; τῷ λιμῷ φθείρεσθαι ἔδει; Ἀλλ' οὐδὲ τοῦτο εὐσεβοῦς· οὐ γὰρ βούλεται ὁ Θεός.

Ἀλλὰ τί εὐθέως φιλοσοφοῦσι; Γέγραπται, φησί, «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ ῥάβδον»· οὗτοι δὲ καὶ τρία καὶ τέσσαρα ἱμάτια ἔχουσι, καὶ κλίνας ἐστρωμένας. Ἐπῆλθέ μοι στενάξαι πικρὸν νῦν· εἰ δέ με μὴ ἔδει ἀσχημονεῖν, κἂν ἐδάκρυσα. Τί δήποτε; Ὅτι περὶ μὲν τὰ τῶν ἄλλων κάρφη οὕτως ἐσμὲν ἀκριβεῖς ἐξετασταί, τὰς δὲ δοκοὺς ἔχοντες ἐν τοῖς ὀφθαλμοῖς οὐδὲ αἰσθανόμεθα. Εἰπέ μοι, διὰ τί γὰρ σαυτῷ τοῦτο μὴ λέγεις; Ὅτι τοῖς διδασκάλοις προστέτακται μόνον, φησίν. Ὅταν οὖν ὁ Παῦλος λέγῃ, «Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα», πρὸς τοὺς διδασκάλους φησὶ μόνους; Οὐδαμῶς, ἀλλὰ πρὸς πάντας ἀνθρώπους. Καὶ δῆλον ἄνωθεν. Τί γάρ φησιν; «Ἔστι γὰρ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα»· εἶτα εὐθέως ἐπήγαγεν· «Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

21. Σοφ. Σειρ. 3, 2
22. Ματθ. 10, 9
23. Α' Τιμ. 6, 8
24. Α' Τιμ. 6, 6-7

παντοῦ; Ἂν κάμνῃ αὐτά, καὶ ἐγὼ τὸν κατηγορῶ καὶ δὲν τὸν συμπονῶ, ἀλλὰ θεωρῶ αὐτὸν ἀνάξιον διὰ τὴν ἱερωσύνην. Διότι πῶς θὰ ἠμπορέσῃ νὰ δίδῃ παραινέσεις εἰς τοὺς ἄλλους νὰ μὴ ἀφοσιώνωνται εἰς τὰ περιττὰ αὐτὰ πράγματα, ἐκεῖνος ποὺ δὲν ἠμπορεῖ νὰ δώσῃ εἰς τὸν ἑαυτόν του; Ἐὰν δὲ ἔχῃ ἀφθονίαν τῆς ἀναγκαίας τροφῆς, διὰ τοῦτο ἀδικεῖ; Μήπως ἔπρεπε νὰ περιφέρεται αὐτὸς καὶ νὰ ἀπαιτῇ; καὶ δὲν θὰ εἶχες καταισχυνθῆ, εἰπέ μου, σὺ ὁ μαθητής; Ἀλλ' ὁ μὲν φυσικὸς πατέρας ἂν κάμνῃ αὐτό, τὸ νομίζει ὅτι εἶναι ἐντροπή· ἂν δὲ ὁ πνευματικὸς ἀναγκάζεται νὰ κάμνῃ τοῦτο, δὲν θὰ αἰσθανθῇ ἐντροπήν, καὶ δὲν θὰ νομίζῃ ὅτι ὑποβιβάζεται; «Ἡ κακὴ φήμη τοῦ «πατρός», λέγει, «εἶναι ἐντροπὴ τῶν τέκνων»[21]. Ἀλλὰ τί; ἔπρεπε νὰ καταστρέφεται ἀπὸ τὴν πεῖναν; Τοῦτο ὅμως δὲν ἁρμόζει εἰς τὸν εὐσεβῆ· οὔτε βέβαια καὶ ὁ Θεὸς τὸ ἐπιθυμεῖ.

Ἀλλὰ τί φιλοσοφοῦν ἀμέσως; Εἶναι γραμμένον, λέγει, «Μὴ ἀποκτήσετε χρυσᾶ, οὔτε ἀργυρᾶ, οὔτε χαλκᾶ νομίσματα, τὰ ὁποῖα φυλάσσετε εἰς τὰς ζώνας σας, οὔτε δύο χιτῶνας, οὔτε καὶ ῥίβδον»[22]. Αὐτοὶ ὅμως ἔχουν καὶ τρία καὶ τέσσερα ἱμάτια, καὶ κρεββάτια ἐστρωμένα. Μοῦ ἦλθε νὰ ἀναστενάξω τώρα μὲ πικρίαν, ἐὰν δὲν ἔπρεπε νὰ ἀσχημονῶ, ἂν καὶ ἐδάκρυσα. Διατί λοιπόν; Διότι διὰ μὲν τὰ καρφία τῶν ἄλλων ἔτσι εἴμεθα ἀκριβεῖς ἐξετασταί, τὰ δοκάρια ὅμως ποὺ ἔχομεν μέσα εἰς τὰ μάτια μας οὔτε τὰ αἰσθανόμεθα. Εἰπέ μου, διατί λοιπὸν δὲν λέγεις αὐτὸ εἰς τὸν ἑαυτόν σου; Διότι αὐτὰ ὁρίζονται μόνον διὰ τοὺς διδασκάλους, θὰ εἰπῇ κάποιος. Ὅταν λοιπὸν ὁ Παῦλος λέγῃ· «Ὅταν ἔχωμεν διατροφὰς καὶ σκεπάσματα, θὰ εἶναι αὐτὰ ἀρκετὰ δι' ἡμᾶς»[23], ἀπευθύνεται μόνον πρὸς τοὺς διδασκάλους; Καθόλου, ἀλλὰ πρὸς ὅλους τοὺς ἀνθρώπους. Τοῦτο γίνεται φανερὸν ἀπὸ τὰ ἀμέσως προηγούμενα. Τί λοιπὸν λέγει; «Ἀληθῶς ἡ εὐσέβεια εἶναι πηγὴ μεγάλου πλουτισμοῦ, ὅταν συνοδεύεται ἀπὸ ὀλιγάρκειαν. Διότι τίποτε δὲν ἐφέραμεν εἰς τὸν κόσμον αὐτὸν καὶ εἶναι φανερὸν ὅτι δὲν ἠμποροῦμεν νὰ ἐξαγάγωμεν τίποτε»[24]· Ἔπειτα ἀμέσως προσέθεσεν· «Ὅταν ἔχωμεν δὲ διατροφὰς καὶ σκεπάσμα-

Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς». Εἶδες ὅτι πρὸς πάντας ὁ λόγος εἴρηται;

Τί δέ, ὅταν λέγῃ πάλιν, «Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας», οὐχὶ πᾶσιν ἁπλῶς διαλέγεται; Τί δέ, ὅταν λέγῃ, «Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα καταργήσει»; Τί δέ, ὅταν λέγῃ, «Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε», περὶ χήρας διαλεγόμενος; μὴ καὶ ἡ χήρα διδάσκαλός ἐστιν; οὐχὶ αὐτὸς εἶπεν, ὅτι «Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός»; Εἰ δὲ χήρα, ἔνθα καὶ ἡ ἡλικία γηραλέα· τὸ γὰρ γῆρας πολλῆς δεῖται θεραπείας· καὶ αὐτὴ ἡ φύσις· τὸ γὰρ τῶν γυναικῶν γένος πλείονος δεῖται ἀναπαύσεως, ἅτε ἀσθενὲς ὄν· εἰ τοίνυν, ἔνθα καὶ ἡ ἡλικία καὶ ἡ φύσις, οὐκ ἐφίεται αὐτῇ σπαταλᾶν, ἀλλὰ καὶ τεθνηκέναι αὐτήν φησιν· οὐ γὰρ ἁπλῶς εἶπε μὴ σπαταλᾶν, ἀλλ', «ἡ σπαταλῶσα ζῶσα τέθνηκε», καὶ ἐξέκοψεν αὐτήν· ἡ γὰρ τεθνηκυῖα ἐκκέκοπται· ποίαν ἕξει συγγνώμην ἄνθρωπος ταῦτα ποιῶν, ἐφ' οἷς ἡ γυνὴ ἡ γεγηρακυῖα κολάζεται; Ἀλλὰ ταῦτα οὐδεὶς οὐδὲ εἰς ἔννοιαν λαμβάνει, ταῦτα οὐδεὶς ἐξετάζει. Ἐγὼ δὲ ταῦτα εἰπεῖν ἠναγκάσθην, οὐχὶ τοὺς ἱερέας ἀπαλλάξαι ἐγκλημάτων βουλόμενος, ἀλλ' ὑμῶν φειδόμενος. Ἐκεῖνοι μὲν οὖν, ἂν μὲν προσηκόντως καὶ δικαίως ταῦτα ἀκούωσιν, ἅτε ὡς χρηματιζόμενοι, οὐδὲν παρ' ὑμῶν βλάπτονται· ἀλλ' ἄν τε εἴπητε, ἄν τε μὴ εἴπητε, λόγον τῷ δικαστῇ διδόασιν ἐκεῖ· ὥστε οὐδὲν αὐτοὺς τὰ ὑμέτερα βλάπτει ῥήματα. Ἂν δὲ καὶ ψευδῆ ᾖ τὰ παρ' ὑμῶν λεγόμενα, ἐ-

---

25. Α' Τιμ. 6, 8 - 9.
26. Ρωμ. 13, 14
27. Α' Κορ. 6, 13
28. Α' Τιμ. 5, 6
29. Α' Τιμ. 2, 12

τα, θὰ εἶναι αὐτὰ ἀρκετὰ δι' ἡμᾶς. Ἐκεῖνοι ὅμως ποὺ θέλουν νὰ γίνουν πλούσιοι, πίπτουν μέσα εἰς πειρασμὸν καὶ παγίδα καὶ εἰς ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ ἐπιβλαβεῖς»[25]. Εἶδες πῶς ὁ λόγος ἀπευθύνεται πρὸς ὅλους;

Τί δέ, ὅταν λέγῃ πάλιν, «Μὴ φροντίζετε διὰ τὴν σάρκα πῶς νὰ ἱκανοποιῆτε τὰς ἐπιθυμίας της»[25], δὲν ὁμιλεῖ γενικῶς πρὸς ὅλους; Ἐπίσης τί ἐννοεῖ, ὅταν λέγῃ, «Τὰ φαγητὰ ἔχουν γίνει διὰ τὴν κοιλίαν καὶ ἡ κοιλία διὰ τὰ φαγητά. Ὁ Θεὸς δὲ θὰ καταργήσῃ εἰς τὴν μέλλουσαν ζωὴν καὶ αὐτὴν καὶ ἐκεῖνα»;[27]. Καὶ τί, ὅταν λέγῃ, «Αὐτὴ ὅμως ποὺ σπαταλᾷ, ἂν καὶ φαίνεται ζωντανή, ἔχει ἀποθάνει πνευματικῶς»[28], ὁμιλῶν διὰ τὴν χήραν; μήπως καὶ ἡ χήρα εἶναι διδάσκαλος; δὲν εἶπεν αὐτός, ὅτι «Δὲν ἐπιτρέπω εἰς τὴν γυναῖκα νὰ διδάσκῃ, οὔτε νὰ ἐξουσιάζῃ τὸν ἄνδρα της»[29]; Εἰς τὴν περίπτωσιν τῆς χήρας, ὅπου καὶ ἡ μεγάλη ἡλικία εἶναι ἐμπόδιον· διότι τὰ γηρατεῖα ἔχουν ἀνάγκην ἀπὸ πολλὴν περιποίησιν· καὶ αὐτὴ ἡ φύσις· διότι τὸ γένος τῶν γυναικῶν ἔχει ἀνάγκην ἀπὸ περισσοτέραν ἀνάπαυσιν, ἐπειδὴ εἶναι ἀσθενές· ἐὰν λοιπόν, ὅπου καὶ ἡ ἡλικία καὶ ἡ φύσις, δὲν ἐπιτρέπει εἰς αὐτὴν νὰ σπαταλᾶ, ἀλλὰ καὶ λέγει ὅτι ἔχει ἀποθάνει αὐτὴ πνευματικῶς. Διότι δὲν εἶπεν ἁπλῶς νὰ μὴ σπαταλᾷ, ἀλλ' «ἐκείνη ποὺ σπαταλᾷ ἂν καὶ εἶναι ζωντανὴ ἔχει ἀποθάνει πνευματικῶς», καὶ ἀπέκοψεν αὐτήν, διότι αὐτὴ ποὺ ἔχει ἀποθάνει πνευματικῶς, ἔχει ἀποκοπῆ ἀπὸ τὴν σωτηρίαν. Ποίαν συγγνώμην θὰ ἔχῃ ὁ ἄνθρωπος ἂν κάμνῃ αὐτά, ἐξ αἰτίας τῶν ὁποίων τιμωρεῖται ἡ ἡλικιωμένη γυναῖκα; Ἀλλὰ κανεὶς δὲν τὰ σκέπτεται αὐτά, κανεὶς δὲν τὰ ἐξετάζει. Ἐγὼ ὅμως ἠναγκάσθην νὰ εἰπῶ αὐτά, ὄχι ἐπειδὴ θέλω νὰ ἀπαλλάξω τοὺς ἱερεῖς ἀπὸ τὰς κατηγορίας, ἀλλ' ἐπειδὴ σᾶς λυποῦμαι. Ἐκεῖνοι λοιπόν, ἐὰν ἀκούσουν αὐτὰ προσηκόντως καὶ δικαίως, ἐπειδὴ κερδίζουν χρήματα, δὲν βλάπτονται καθόλου ἀπὸ σᾶς· ἀλλ' εἴτε εἰπῆτε, εἴτε δὲν εἰπῆτε, δίδουν λόγον εἰς τὸν δικαστὴν ἐκεῖ. Ὥστε οἱ ἰδικοί σας λόγοι δὲν βλάπτουν καθόλου αὐτούς. Ἂν δὲ εἶναι καὶ ψευδῆ τὰ λεγόμενά σας, ἐκεῖνοι μὲν λοι-

κεῖνοι μὲν οὖν ἐκέρδανον συκοφαντούμενοι εἰκῇ, ὑμεῖς δὲ ἑαυτοὺς ἐντεῦθεν βλάπτετε.

Ἐπὶ δὲ ὑμῶν οὐχ οὕτως ἐστίν· ἀλλ' ἄν τε ἀληθῆ ᾖ, ἄν τε ψευδῆ τὰ κατ' αὐτῶν, λέγοντες αὐτοὺς κακῶς, βλάπτεσθε. Τί δήποτε; Ἄν τε γὰρ ἀληθῆ ᾖ, καὶ οὕτω βλάπτεσθε, κρίνοντες τοὺς διδασκάλους, καὶ τὴν τάξιν ἀνατρέποντες· εἰ γὰρ ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον διδάσκαλον· ἂν δὲ ψευδῆ, ἀφόρητος ἡ κόλασις καὶ ἡ τιμωρία· παντὸς γὰρ ῥήματος ἀργοῦ δώσετε λόγον. Ὥστε ὑμῶν ἕνεκεν πάντα ποιοῦμεν καὶ κάμνομεν. Ὅπερ δὲ ἔφην, οὐδεὶς ταῦτα ἐξετάζει, οὐδεὶς ταῦτα πολυπραγμονεῖ, οὐδεὶς λέγει πρὸς ἑαυτὸν τούτων οὐδέν. Βούλεσθε καὶ ἕτερα προσθῶ; «Ἐὰν μή τις ἀποτάξηται», φησὶν ὁ Χριστός, «πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος». Τί δέ, ὅταν λέγῃ, «Δύσκολον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; τί δὲ ὅταν λέγῃ, «Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν»; Οὐδεὶς τοῦτο ἐξετάζει, οὐδεὶς ἐννοεῖ, οὐδεὶς πρὸς ἑαυτὸν διαλέγεται· ἀλλ' ἐν τοῖς ἑτέρων σφοδροὶ κάθηνται πάντες ἐξετασταί. Ἀλλὰ τοῦτο μέν ἐστι κοινωνοὺς ποιῆσαι τῶν ἐγκλημάτων Ἵνα δὲ καὶ αὐτῶν ὧν φατε τοὺς ἱερεῖς ὑπευθύνους εἶναι, ἀπαλλάξω δι' ὑμᾶς, ἀκούσατε· τὰ γὰρ περὶ τούτων πεπεῖσθαι, ὡς παραβαινόντων τὸν νόμον τοῦ Θεοῦ, πολλὴ πρὸς τὸ κακόν ἐστι ῥοπή.

Φέρε οὖν κἀκεῖνα ἐξετάσωμεν. Εἶπεν ὁ Χριστός, «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μὴ ζώνην, μὴ ῥάβδον». Τί οὖν, εἰπέ μοι; Πέτρος παρὰ τὸ πρόσταγμα ἐποίει; πῶς γὰρ οὔ, ὁ καὶ ζώνην ἔχων καὶ ἱμάτιον καὶ ὑποδήματα; Ἄκουε γὰρ τοῦ ἀγγέλου λέγοντος πρὸς αὐτόν, «Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου»· καίτοι οὐ τοσαύτη χρεία τῶν ὑποδημάτων ἦν·

30. Λουκᾶ 14,33
31. Ματθ. 19, 23
32. Λουκᾶ 6, 24
33. Ματθ. 10, 9.
34. Πράξ. 12, 8

πὸν ἐκέρδισαν, ἐπειδὴ συκοφαντοῦνται χωρὶς λόγον, σεῖς δὲ βλάπτετε τοὺς ἑαυτούς σας ἀπὸ τοῦτο.

Ὅσον ὅμως ἀφορᾷ εἰς σᾶς, δὲν συμβαίνει ἔτσι· ἀλλ' εἴτε εἶναι ἀληθῆ, εἴτε εἶναι ψευδῆ τὰ ἐναντίον αὐτῶν λεγόμενα, ἐπειδὴ κακολογεῖτε αὐτούς, βλάπτεσθε. Διατί λοιπόν; Διότι καὶ ἂν εἶναι ἀληθῆ, καὶ ἔτσι βλάπτεσθε, ἐπειδὴ κρίνετε τοὺς διδασκάλους καὶ ἀνατρέπετε τὴν τάξιν· διότι ἐὰν δὲν πρέπει νὰ κρίνωμεν ἀδελφόν, πολὺ περισσότερον δὲν πρέπει διδάσκαλον. Ἂν ὅμως εἶναι ψευδῆ, θὰ εἶναι ἀφόρητος ἡ κόλασις καὶ ἡ τιμωρία, διότι θὰ ἀπολογηθῆτε διὰ κάθε ἀργὸν λόγον σας. Ὥστε διὰ σᾶς ἐνεργοῦμεν τὰ πάντα καὶ κουραζόμεθα. Ἐκεῖνο δὲ ποὺ εἶπα, κανεὶς δὲν ἐξετάζει αὐτά, κανεὶς δὲν τὰ ἐρευνᾷ, κανεὶς δὲν λέγει πρὸς τὸν ἑαυτόν του τίποτε ἀπ' αὐτά. Θέλετε νὰ προσθέσω καὶ ἄλλα; «Ἐὰν κανεὶς δὲν θὰ ἀρνηθῇ ὅλα τὰ ὑπάρχοντά του, δὲν εἶναι ἄξιος μαθητής μου», λέγει ὁ Χριστός[30]. Καὶ τί ἐννοεῖ ὅταν λέγῃ· «Εἶναι δύσκολον νὰ εἰσέλθῃ ὁ πλούσιος εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν»[31]; Καὶ τί ὅταν λέγῃ· «Ἀλλοίμονον εἰς σᾶς τοὺς πλουσίους, διότι ἔχετε ἤδη λάβει τὴν παρηγορίαν σας ἀπὸ τὸν πλοῦτον»[32]; Κανεὶς δὲν ἐξετάζει τοῦτο, κανεὶς δὲν τὸ ἐννοεῖ, κανεὶς δὲν συνομιλεῖ μὲ τὸν ἑαυτόν του, ἀλλ' ὅλοι γίνονται αὐστηροὶ ἐξετασταὶ διὰ τὰς ὑποθέσεις τῶν ἄλλων. Ἀλλὰ τοῦτο εἶναι δυνατὸν νὰ καταστήσῃ αὐτοὺς συνενόχους εἰς τὰς κατηγορίας. Καὶ διὰ νὰ σᾶς ἀπαλλάξω ἀπ' αὐτά, διὰ τὰ ὁποῖα λέγετε ὅτι οἱ ἱερεῖς εἶναι ὑπεύθυνοι, ἀκούσατε· διότι τὸ νὰ εἶναι κανεὶς πεπεισμένος δι' αὐτούς, ὅτι παραβαίνουν τὸν νόμον τοῦ Θεοῦ, εἶναι μεγάλη ῥοπὴ πρὸς τὸ κακόν.

Ἐμπρὸς λοιπὸν ἂς ἐξετάσωμεν καὶ ἐκεῖνα. Εἶπεν ὁ Χριστός· «Μὴ ἀποκτήσετε χρυσᾶ, οὔτε ἀργυρᾶ νομίσματα, οὔτε δύο χιτῶνας, οὔτε ὑποδήματα, οὔτε ζώνην καὶ ῥάβδον»[33]. Τί λοιπὸν συμβαίνει; εἰπέ μου. Ὁ Πέτρος ἔπραττεν ἀντιθέτως πρὸς τὴν ἐντολήν; διότι πῶς ὄχι, αὐτὸς ποὺ εἶχε καὶ ζώνην καὶ ἱμάτιον καὶ ὑπαδήματα; Διότι ἄκουε τὸν ἄγγελον, ποὺ λέγει πρὸς αὐτόν· «Ζῶσε τὸ ἱμάτιόν σου καὶ δέσε τὰ σανδάλιά σου»[34], ἂν καὶ δὲν ὑπῆρχε τόσον μεγάλη

ἔνεστι γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ἀνυπόδετον εἶναι, ἡ δὲ πολλὴ χρεία ἐν τῷ χειμῶνί ἐστιν· ἀλλ' ὅμως εἶχε. Τί δὲ ὁ Παῦλος, ὅταν λέγῃ Τιμοθέῳ γράφων, «Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν»· εἶτα παραγγέλλει καὶ λέγει· «Τὸν φελώνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας»; Ἰδοὺ φελώνην εἶπε· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὅτι καὶ ἕτερον οὐκ εἶχεν, ὃν ἐφόρει. Εἰ μὲν γὰρ μηδὲ ὅλως ἐφόρει, περιττῶς ἐκέλευε τοῦτον ἀπενεχθῆναι· εἰ δὲ οὐκ ἐνῆν μὴ φορεῖν, δῆλον ὅτι ἕτερον εἶχε. Τί δέ, ὅτι διετίαν ὅλην ἐν οἰκείῳ μισθώματι ἔμενεν; ἆρα παρήκουσε τοῦ Χριστοῦ τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ λέγων, «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός»; περὶ οὗ ὁ Χριστὸς ἐμαρτύρησε λέγων, ὅτι «Σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος»;

Ἔδει ταύτην ἀφεῖναι τὴν ἀμφιβολίαν παρ' ὑμῖν, καὶ μηδεμίαν ἐπαγαγεῖν τῷ ζητήματι λύσιν, ἀλλὰ ταύτην ὑμᾶς δίκην εἰσπράξασθαι τῆς περὶ τὰς γραφὰς ὀλιγωρίας· πάντα γὰρ ταῦτα ἐκ τούτου γίνεται. Διὰ τοῦτο καὶ ἐν τοῖς ἑτέρων ἁμαρτήμασίν ἐσμεν πικροὶ ἐξετασταί, καὶ τῶν ἡμετέρων οὐδένα λόγον ποιούμεθα, ὅτι τὰς γραφὰς οὐκ ἴσμεν, ὅτι τοὺς θείους οὐ παιδευόμεθα νόμους. Ἔδει μὲν οὖν ταύτην ὑμᾶς εἰσπράξασθαι τὴν δίκην· ἀλλὰ τί πάθω; Πολλὰ καὶ πέρα τοῦ δέοντος οἱ πατέρες χαρίζονται τοῖς παισί τῶν σπλάγχνων αὐτοῖς διαθερμαινομένων τῶν πατρικῶν· κἂν ἴδωσι τὸ παιδίον κατηφῆσαν, τηκόμενον, καὶ αὐτοὶ μᾶλλον ἐκείνου δάκνονται, καὶ οὐ παύονται, ἕως ἂν τῆς ἀθυμίας τὴν ὑπόθεσιν ἀνέλωσι. Πλὴν κἂν τοῦτο γενέσθω, κἂν κατηφήσατε ἐπὶ τῷ μὴ λαβεῖν, ἵνα λάβητε καλῶς. Τί οὖν ἐστιν; Οὐκ ἠναντιώθησαν, μὴ γένοιτο, ἀλλὰ καὶ

35. Β΄ Τιμ. 4, 21. 13.
36. Γαλ. 2, 20
37. Πράξ. 9, 15

ἀνάγκη διὰ τὰ ὑποδήματα· διότι ἦτο δυνατὸν κατὰ τὴν ἐποχὴν ἐκείνην καὶ ἀνυπόδητος νὰ εἶναι κανείς, ἡ δὲ μεγάλη ἀνάγκη ἦτο κατὰ τὸν χειμῶνα· ἀλλ' ὅμως εἶχε. Τί δὲ ἐννοεῖ ὁ Παῦλος, ὅταν λέγῃ εἰς τὸν Τιμόθεον γράφων, «Φρόντισε νὰ ἔλθῃς πρὶν ἀπὸ τὸν χειμῶνα», ἔπειτα παραγγέλλει καὶ λέγει, «Τὸ βαρὺ ἐπανωφόριον, ποὺ ἄφησα εἰς τὴν Τριάδα εἰς τὸ σπίτι τοῦ Κάρπου, ὅταν ἔλθῃς φέρε, καθὼς καὶ τὰ βιβλία, πρὸ παντὸς δὲ τὰς μεμβράνας»[36]; Ἰδοὺ ἐπανωφόριον εἶπε καὶ θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ὅτι δὲν εἶχε καὶ δεύτερον, τὸ ὁποῖον ἐφοροῦσε. Διότι ἐὰν μὲν δὲν ἐφοροῦσε καθόλου, ἀνωφελῶς παρήγγειλεν αὐτὸν νὰ τὸ φέρῃ μαζί του· ἐὰν ὅμως ἠμποροῦσε νὰ φορῇ, εἶναι προφανὲς ὅτι εἶχε καὶ ἄλλο. Ἀλλὰ τί θὰ εἰποῦμεν, ἐπειδὴ ἔμενεν ἐπὶ δύο ὁλόκληρα ἔτη εἰς ἰδιαίτερον σπίτι, ποὺ εἶχεν ἐνοικιάσει; ἄρα τὴν ἐντολὴν τοῦ Χριστοῦ παρήκουσε τὸ ὄργανον τῆς ἐκλογῆς, ποὺ λέγει· «Δὲν ζῶ δὲ πλέον ἐγώ, ἀλλὰ ζῇ μέσα μου ὁ Χριστός»[35]; περὶ τοῦ ὁποίου ὁ Χριστὸς ἐβεβαίωσε λέγων, ὅτι «αὐτὸς εἶναι ὄργανον τῆς ἐκλογῆς μου»[37];

Ἔπρεπε νὰ ἀφήσῃ αὐτὴν τὴν ἀμφιβολίαν εἰς σᾶς καὶ νὰ μὴ ἐπιφέρῃ καμμίαν ἐξήγησιν εἰς τὸ ζήτημα, ἀλλὰ νὰ τιμωρηθῆτε σκληρὰ διὰ τὴν ὀλιγωρίαν σας περὶ τὰς Γραφάς· διότι ὅλα αὐτὰ προέρχονται ἀπ' αὐτήν. Διὰ τοῦτο καὶ εἰς τὰ σφάλματα τῶν ἄλλων εἴμεθα αὐστηροὶ ἐξετασταί, καὶ διὰ τὰ ἰδικά μας δὲν ὁμιλοῦμεν καθόλου, διότι δὲν γνωρίζομεν τὰς Γραφὰς καὶ δὲν διδασκόμεθα τοὺς νόμους τοῦ Θεοῦ. Ἔπρεπε λοιπὸν νὰ τιμωρηθῆτε ἔτσι· ἀλλὰ τί νὰ γίνω; Οἱ πατέρες χαρίζουν πολλὰ καὶ περισσότερα ἀπὸ τὰ ἀναγκαῖα εἰς τὰ παιδιά των, ἐπειδὴ αὐτὰ θερμαίνουν τὴν πατρικὴν καρδίαν· καὶ ἂν ἰδοῦν τὸ παιδὶ σκυθρωπόν, καχεκτικόν, θλίβονται καὶ αὐτὰ περισσότερον ἀπ' ἐκεῖνο καὶ δὲν ἡσυχάζουν ἕως ὅτου θὰ διαλύσουν τὴν αἰτίαν τῆς στενοχωρίας του. Ἀλλ' ἔστω καὶ ἂν ἀκόμη ἔγινεν αὐτό, καὶ ἂν ἀκόμη ἐστενοχωρήθητε ἐπειδὴ δὲν ἐλάβατε, διὰ νὰ λάβετε καλῶς. Τί λοιπὸν ἠμποροῦμεν νὰ εἰποῦμεν; Δὲν ἠναντιώθησαν, μὴ γένοιτο, ἀλλὰ καὶ ἠκολούθησαν πάρα πολὺ τὰ

σφόδρα ἠκολούθησαν τοῖς ἐπιτάγμασι τοῦ Χριστοῦ. Τὰ γὰρ ἐπιτάγματα ἐκεῖνα πρόσκαιρα ἦν, καὶ οὐ διαπαντός. Καὶ τοῦτο οὐ στοχαζόμενος λέγω, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν. Πῶς; Φησὶν ὁ Λουκᾶς εἰρηκέναι τὸν Χριστὸν τοῖς μαθηταῖς, «Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ζώνης καὶ ὑποδημάτων, μή τι ὑστέρησεν ὑμῖν; Λέγουσιν αὐτῷ, οὔ. Οὐκοῦν λοιπὸν κτήσασθε».

Ἀλλὰ τί ἔδει, εἰπέ μοι; ἕνα χιτῶνα ἔχειν; Τί οὖν; εἰ πλίνεσθαι τοῦτον ἔδει, γυμνὸν ἐχρῆν οἴκοι καθῆσθαι; ἢ γυμνὸν περιϊέναι καὶ ἀσχημονεῖν, χρείας καλούσης; Ἐννησον οἷον ἦν Παῦλον τὸν ἐπὶ τοσούτοις κατορθώμασι περιϊόντα τὴν οἰκουμένην διὰ ἱματίου ἔνδειαν οἴκοι καθῆσθαι, καὶ τηλικούτοις πράγμασιν ἐμποδίζειν. Τί δέ, εἰ κρυμὸς ἐπετέθη σφοδρός, καὶ κατέβρεξεν, ἢ καὶ ἐπάγωσε, πῶς ξηραίνεσθαι ἐνῆν; πάλιν γυμνὸν ἐχρῆν καθῆσθαι; τί δέ, εἰ ψῦχος κατέτεινε τὸ σῶμα, τήκεσθαι ἔδει, καὶ μὴ φθέγγεσθαι; Ὅτι γὰρ οὐκ ἀδαμάντινα σώματα αὐτοῖς κατεσκεύαστο, ἄκουσον τί φησι περὶ Τιμοθέου· «Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας»· καὶ πάλιν περὶ ἑτέρου, «Ἀναγκαῖον ἡγησάμην ἀποστεῖλαι ὑμῖν τὸν ὑμῶν ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου. Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ». Ὥστε ἁλώσιμοι πᾶσιν ἦσαν τοῖς πάθεσι. Τί οὖν; ἀπόλλυσθε ἐχρῆν; Οὐδαμῶς. Τίνος οὖν ἕνεκεν τότε τοῦτο ἐπέταξε; Τὴν δύναμιν αὐτοῦ θέλων δεῖξαι, ὅτι καὶ μετὰ ταῦτα ἐδύνατο οὕτω ποιῆσαι, ἀλλ' οὐκ ἐποίησε. Τίνος οὖν ἕνεκεν οὐκ ἐποίησε; Πολλῷ τῶν Ἰσραηλιτῶν ἦσαν οὗτοι θαυμασιώτεροι, ὧν τὰ ὑποδήματα οὐ κατετρίβετο, οὐδὲ τὰ ἱμάτια, καὶ ταῦτα ἐκείνην τὴν ἔρημον διοδευόντων, ἔνθα θερμοτέρα ἐπιπίπτουσα ἡ ἀκτὶς ἡ ἡλιακὴ καὶ λίθους αὐτοὺς καταφρύγειν δύναται.

38. Λουκᾶ 22, 35. 36
39. Α΄ Τιμ. 5, 23
40. Φιλιπ. 2, 25 - 27

παραγγέλματα τοῦ Χριστοῦ. Διότι τὰ παραγγέλματα ἐκεῖνα ἦσαν πρόσκαιρα καὶ ὄχι αἰώνια. Καὶ τοῦτο δὲν τὸ λέγω, καθ' ὑπόθεσιν, ἀλλὰ τὸ λαμβάνω ἀπὸ τὰς θείας Γραφάς. Πῶς; Λέγει ὁ Λουκᾶς ὅτι ὁ Χριστὸς ἔχει εἰπεῖ πρὸς τοὺς μαθητάς του· «Ὅταν σᾶς ἔστειλα χωρὶς βαλλάντιον καὶ σάκκον ταξειδιωτικὸν καὶ ζώνην καὶ ὑποδήματα, μήπως ἐστερήθητε τίποτε; Λέγουν εἰς αὐτόν, ὄχι. Λοιπὸν εἰς τὸ ἑξῆς νὰ ἀποκτήσετε»[38].

Ἀλλὰ τί ἔπρεπε; εἰπέ μου· νὰ ἔχῃ ἕνα χιτῶνα; Τί λοιπόν; ἐὰν ἦτο ἀνάγκη νὰ πλυθῇ αὐτός, ἔπρεπε νὰ καθήσῃ εἰς τὸ σπίτι του γυμνός; ἢ νὰ περιφέρεται γυμνὸς καὶ νὰ ἀσχημονῇ, ἐπειδὴ τὸ ἐκαλοῦσε ἡ ἀνάγκη; Σκέψου τί ἐσήμαινε νὰ καθήσῃ εἰς τὸ σπίτι του γυμνὸς διὰ τὴν ἔλλειψιν ἱματίου καὶ νὰ γίνωνται τέτοια πράγματα ἐμπόδιον εἰς τὸν Παῦλον, ὁ ὁποῖος μὲ τόσον μεγάλα κατορθώματα περιέρχεται τὴν οἰκουμένην. Καὶ τί, ἐὰν ἔπεσε μεγάλο παγετὸς καὶ ἔβρεξεν ἢ καὶ ἐπάγωσε, πῶς ἦτο δυνατὸν νὰ ἐστέγνωνε; πάλιν ἔπρεπε νὰ καθήσῃ γυμνός; καὶ τί, ἐὰν τὸ ψῦχος ἐβασάνιζε τὸ σῶμα, ἔπρεπε νὰ πεθάνῃ καὶ νὰ μὴ προφέρῃ λέξιν; Ὅτι βεβαίως δὲν ἔχουν δημιουργηθῆ τὰ σώματά των ἀδαμάντινα, ἄκουσε τί λέγει διὰ τὸν Τιμόθεον· «Χρησιμοποίει ὀλίγον οἶνον διὰ τὸ στομάχι σου καὶ τὰς συχνὰς ἀσθενείας σου»[39]· καὶ πάλιν δι' ἄλλον λέγει· «Ἔκρινα ἀναγκαῖον νὰ σᾶς ἀποστείλω τὸν ἰδικόν σας ἀπεσταλμένον καὶ λειτουργὸν τῆς ἀνάγκης μου. Καὶ ἀληθῶς ἠσθένησε καὶ ἐπλησίασε νὰ ἀποθάνῃ, ἀλλ' ὁ Θεὸς ἠλέησεν αὐτόν, ὄχι αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμέ»[40]. Συνεπῶς ἦσαν εὐάλωτοι εἰς ὅλα τὰ πάθη. Τί λοιπὸν ἔπρεπε νὰ γίνῃ; Ἔπρεπε νὰ χαθοῦν; Καθόλου. Διὰ ποῖον λοιπὸν λόγον διέταξε τότε αὐτό; Ἐπειδὴ ἤθελε νὰ δείξῃ τὴν δύναμίν του, ὅτι καὶ ὕστερα ἀπ' αὐτὰ ἠμποροῦσε νὰ πράξῃ ἔτσι, ἀλλὰ δὲν ἔπραξε. Διὰ ποῖον λοιπὸν λόγον δὲν ἔπραξες; Αὐτοὶ ἦσαν κατὰ πολὺ θαυμαστότεροι ἀπὸ τοὺς Ἰσραηλίτας, τῶν ὁποίων τὰ ὑποδήματα δὲν ἐτρίβοντο, οὔτε καὶ τὰ ἱμάτια, καὶ αὐτὰ συνέβαινον ὅταν ἐβάδιζον ἐκείνην τὴν ἔρημον, ὅπου ἡ ἀκτὶς τοῦ ἡλίου πίπτει θερμοτέρα καὶ ἠμπορεῖ νὰ

Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε; Διὰ σέ. Ἐπειδὴ γὰρ οὐκ ἔμελλες ὑγιαίνειν, ἀλλὰ τραυματίζεσθαι, τῶν φαρμάκων σοι τὴν ὑπόθεσιν παρέσχε· καὶ τοῦτο δῆλον ἐκεῖθεν. Οὐκ ἠδύνατο αὐτὸς θρέψαι; ὁ σοὶ τῷ προσκεκρουκότι διδούς, οὐ πολλῷ μᾶλλον Παύλῳ ἂν ἔδωκεν; ὁ τοῖς Ἰσραηλίταις διδοὺς τοῖς γογγυσταῖς, τοῖς πόρνοις, τοῖς εἰδωλολάτραις, οὐ πολλῷ μᾶλλον ἂν Πέτρῳ τῷ ἀναλίσκοντι ἅπαντα δι' αὐτὸν ἀφῆκεν; ὁ μιαροὺς ἀφεὶς ἔχειν ἄνδρας, οὐ πολλῷ μᾶλλον ἂν Ἰωάννῃ ἐχαρίσατο, τῷ καὶ τὸν πατέρα δι' αὐτὸν καταλείποντι; Ἀλλ' οὐκ ἠθέλησεν· ἀλλὰ διὰ σοῦ αὐτοὺς τρέφει, ἵνα σὺ ἁγιασθῇς.

Καὶ θέα μοι τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας. Εἵλετο τοὺς αὐτοῦ μαθητὰς ἐλαττωθῆναι, ἵνα σὺ μικρὸν ἀναπνεύσῃς. Εἰ γὰρ ἐποίησεν αὐτοὺς ἀνενδεεῖς, πολλῷ θαυμαστότεροι ἂν ἦσαν, πολλῷ ἐπιδοξότεροι· ἀλλὰ σοῦ ἡ σωτηρία ἐξεκέκοπτο. Οὐχ εἵλετο τοίνυν ἐκείνους γενέσθαι θαυμαστούς, ἵνα σὺ σωθῇς, ἀλλ' ἐλαττοῦσθαι μᾶλλον· καὶ ἐλαττωθῆναι ἐκείνους συνεχώρησεν, ἵνα σὺ δυνηθῇς σωθῆναι. Οὐ γὰρ ὁμοίως αἰδέσιμός ἐστι διδάσκαλος λαμβάνων, ἀλλ' ἐκεῖνος μάλιστα τιμᾶται ὁ μὴ λαμβάνων· ἀλλ' ὁ μαθητὴς οὐκ ὠφελεῖται, ἀλλὰ τὸν καρπὸν ἐγκόπτεται. Ὁρᾷς τὴν σοφίαν τοῦ φιλανθρώπου Θεοῦ; Ὥσπερ γὰρ αὐτὸς οὐχὶ τὴν ἰδίαν δόξαν ἐζήτησεν, οὐδὲ τὰ ἑαυτοῦ ἐσκόπησεν, ἀλλὰ ἐν δόξῃ ὢν εἵλετο ἀτιμασθῆναι διὰ σέ, οὕτω καὶ ἐπὶ τῶν διδασκάλων· δυναμένους αὐτοὺς εἶναι αἰδεσίμους, εἵλετο εἶναι εὐκαταφρονήτους διὰ σέ, ἵνα σὺ ἔχῃς κερδαίνειν, ἵνα σὺ ἔχῃς πλουτεῖν. Ἵνα εὐπορῇς ἐν τοῖς πνευματικοῖς, διὰ τοῦτο ἐκεῖνος ἀπορεῖ ἐν τοῖς βιωτικοῖς. Εἰ τοίνυν ἐδύνατο ποιῆσαι αὐτοὺς ἀνενδεεῖς, ἔδειξεν ὅτι διὰ σὲ ἀφίησιν αὐτοὺς ἐν ἐνδείᾳ εἶναι.

κατακαίη καὶ αὐτοὺς τοὺς λίθους. Διὰ ποῖον λοιπὸν λόγον ἔπραξεν αὐτό; Διὰ σέ. Ἐπειδὴ βεβαίως δὲν ἐπρόκειτο νὰ ὑγιαίνῃς, ἀλλὰ νὰ τραυματίζεσαι, ἔδωσεν εἰς σὲ τὴν ὑπόδειξιν τῶν φαρμάκων. Δὲν ἠμποροῦσε αὐτὸς νὰ τοὺς θρέψῃ; αὐτὸς ὁ ὁποῖος δίδει εἰς σέ, ποὺ τὸν ἀντιμάχεσαι, δὲν θὰ ἔδιδε πολὺ περισσότερον εἰς τὸν Παῦλον; αὐτὸς ποὺ δίδει εἰς τοὺς μεμψιμοίρους Ἰσραηλίτας, εἰς τοὺς πόρνους, εἰς τοὺς εἰδωλολάτρας, πολὺ περισσότερον δὲν θὰ εἶχε παραχωρήσει εἰς τὸν Πέτρον ποὺ ἀναλίσκει τὰ πάντα δι' αὐτόν; αὐτὸς ποὺ ἐπιτρέπει νὰ ἔχουν οἱ μιαροὶ ἄνδρες, πολὺ περισσότερον δὲν θὰ εἶχε χαρίσει εἰς τὸν Ἰωάννην, ὁ ὁποῖος ἐγκατέλειψε καὶ τὸν πατέρα του δι' αὐτόν; Ἀλλὰ δὲν ἠθέλησεν· ἀλλὰ τρέφει αὐτοὺς χρησιμοποιῶν σὲ διὰ νὰ ἁγιασθῇς σύ.

Καὶ πρόσεχε τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας. Ἐπροτίμησε νὰ ἐλαττωθοῦν οἱ ἰδικοί του μαθηταί, διὰ νὰ ἀναπνεύσῃς σὺ ὀλίγον. Διότι ἐὰν ἔκαμεν αὐτοὺς ἀνενδεεῖς, θὰ ἦσαν πολὺ θαυμαστότεροι, πολὺ ἐνδοξότεροι, ἀλλὰ θὰ εἶχεν ἀποκοπῆ ἡ σωτηρία σου. Δὲν ἐπροτίμησε λοιπὸν νὰ γίνουν ἐκεῖνοι θαυμαστοί, διὰ νὰ σωθῇς σύ, ἀλλὰ μᾶλλον νὰ ἐλαττωθῇς· καὶ ἐπέτρεψε νὰ ἐλαττωθοῦν ἐκεῖνοι, διὰ νὰ ἠμπορέσῃς σὺ νὰ σωθῇς. Διότι δὲν εἶναι σεβαστὸς ὁμοίως ὁ διδάσκαλος ποὺ λαμβάνει, ἀλλὰ τιμᾶται πάρα πολὺ ἐκεῖνος ποὺ δὲν λαμβάνει. Ὁ μαθητὴς ὅμως δὲν ὠφελεῖται, ἀλλὰ ζημιώνεται ὡς πρὸς τὸν μισθόν. Βλέπεις τὴν σοφίαν τοῦ φιλανθρώπου Θεοῦ; Διότι ὅπως ἀκριβῶς αὐτὸς δὲν ἐζήτησε τὴν ἰδικήν του δόξαν, οὔτε ἀνεζήτησε τὰ ἰδικά του, ἀλλ' ἐνῷ ἦτο δοξασμένος ἐπροτίμησε νὰ ἀτιμασθῇ διὰ σέ· ἔτσι συμβαίνει καὶ εἰς τὴν περίπτωσιν τῶν διδασκάλων. Ἐνῷ ἠμποροῦσαν νὰ εἶναι αὐτοὶ σεβαστοί, ἐπροτίμησε νὰ εἶναι εὐκαταφρόνητοι διὰ σέ, διὰ νὰ ἠμπορῇς σὺ νὰ πλουτίζῃς. Προκειμένου νὰ ἔχῃς ἄφθονα τὰ πνευματικὰ ἀγαθά, ἐκεῖνος στερεῖται τὰ ὑλικά. Ἐὰν λοιπὸν ἠμποροῦσε νὰ καταστήσῃ αὐτοὺς ἀνενδεεῖς, ἀπέδειξεν ὅτι πρὸς χάριν σου ἀφήνει αὐτοὺς νὰ εἶναι ἐνδεεῖς.

Ταῦτα οὖν εἰδότες, μὴ πρὸς κατηγορίας, ἀλλὰ πρὸς εὐποιΐας τραπῶμεν· μὴ τὰ ἑτέρων κακὰ περιεργαζώμεθα, ἀλλὰ τὰ ἡμέτερα αὐτῶν ἀναλογιζώμεθα· τὰ ἑτέρων κατορθώματα λογιζώμεθα, τὰ δὲ ἡμέτερα ἁμαρτήματα ἐννοῶμεν· καὶ οὕτως εὐαρεστήσομεν τῷ Θεῷ. Ὁ μὲν γὰρ τὰ ἑτέρων ἁμαρτήματα ὁρῶν, καὶ τὰ αὐτοῦ κατορθώματα, διπλῇ βλάπτεται· ἀπό τε γὰρ τούτων εἰς ἀπόνοιαν αἴρεται, ἀπό τε ἐκείνων εἰς ῥᾳθυμίαν ἐμπίπτει. Ὅταν γὰρ ἐννοήσῃ, ὅτι ὁ δεῖνα ἥμαρτεν, εὐκόλως ἁμαρτήσει καὶ αὐτός· ὅταν ἐννοήσῃ, ὅτι αὐτὸς κατώρθωσεν, εὐκόλως ἀπονοεῖται. Ὁ δὲ τὰ μὲν αὐτοῦ κατορθώματα λήθῃ παραδιδούς, τὰ δὲ ἁμαρτήματα βλέπων μόνα, καὶ τὰ ἑτέρων ἁμαρτήματα μὴ περιεργαζόμενος, ἀλλὰ τὰ κατορθώματα, πολλὰ κερδανεῖ. Πῶς; Ὅταν ἴδῃ, ὅτι ὁ δεῖνα κατώρθωσε, πρὸς τὸν ἴσον αἴρεται ζῆλον· ὅταν ἴδῃ, ὅτι αὐτὸς ἥμαρτε, ταπεινοφρονήσει καὶ μετριάσει. Ἂν οὕτω ποιῶμεν, καὶ οὕτω τὰ καθ᾽ ἑαυτοὺς οἰκονομῶμεν, δυνησόμεθα τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς μὴ τραποῦμεν πρὸς τὰς κατηγορίας, ἀλλὰ πρὸς ἀγαθοεργίας. Νὰ μὴ ἐξετάζωμεν μὲ προσοχὴν τὰ κακὰ τῶν ἄλλων, ἀλλὰ τὰ ἰδικά μας. Νὰ σκεπτώμεθα τὰ κατορθώματα τῶν ἄλλων, τὰ δὲ ἰδικά μας ἁμαρτήματα νὰ ἐνθυμούμεθα˙ καὶ ἔτσι θὰ γίνωμεν εὐάρεστοι εἰς τὸν Θεόν. Διότι ἐκεῖνος μέν, ποὺ βλέπει τὰ ἁμαρτήματα τῶν ἄλλων καὶ τὰ ἰδικά του κατορθώματα, βλάπτεται διπλᾶ˙ διότι καὶ ἀπὸ αὐτὰ ὁδηγεῖται εἰς τὴν ἀπόνοιαν καὶ ἀπὸ ἐκεῖνα περιπίπτει εἰς ραθυμίαν. Διότι ὅταν ἐννοήσῃ ὅτι αὐτὸς κατώρθωσεν κάτι, εὔκολα καταλήγει εἰς ἀπόνοιαν. Ἐκεῖνος ὅμως ποὺ παραδίδει μὲν εἰς τὴν λήθην τὰ ἰδικά του κατορθώματα, καὶ βλέπει ὅμως τὰ ἁμαρτήματα μόνον, καὶ δὲν ἐξετάζει μὲ προσοχὴν τὰ ἁμαρτήματα τῶν ἄλλων, ἀλλὰ τὰ κατορθώματα, θὰ κερδίσῃ πολλά. Πῶς, Ὅταν ἰδῇ, ὅτι ὁ τάδε κατώρθωσεν, ὁδηγεῖται πρὸς τὸν ἴσον ζῆλον˙ ὅταν ἰδῇ, ὅτι αὐτὸς ἡμάρτησε, θὰ γίνῃ ταπεινόφρων καὶ μετριόφρων. Ἂν ἐνεργοῦμεν κατ' αὐτὸν τὸν τρόπον καὶ διευθετοῦμεν ἔτσι τὰ ἰδικά μας, θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τὰ ἀγαθά, ποὺ εἶναι ὑπεσχημένα εἰς ἡμᾶς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα, δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΑ΄
Φιλιπ. 3, 1-6

«Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ. Τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ Πνεύματι Θεοῦ λατρεύοντες καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες».

Αἱ ἀθυμίαι καὶ αἱ φροντίδες, ὅταν πέρα τοῦ μέτρου τὴν ψυχὴν κατατείνωσι, τῆς οἰκείας αὐτὴν ἀποστεροῦσιν ἰσχύος. Διὰ τοῦτο καὶ ὁ Παῦλος τοὺς Φιλιππησίους ἐν πολλῇ ὄντας ἀθυμίᾳ ἀνίησιν. Ἦσαν δὲ ἐν ἀθυμίᾳ διὰ τὸ μὴ γινώσκειν πῶς τὰ κατὰ Παῦλον· ἦσαν ἐν ἀθυμίᾳ διὰ τὸ νομίζειν αὐτὸν ἤδη τετελευτηκέναι, διὰ τὸ κήρυγμα, διὰ Ἐπαφρόδιτον. Ὑπὲρ δὴ τούτων ἁπάντων πληροφορῶν αὐτοὺς ἐπάγει· «Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε». Οὐκ ἔχετε, φησί, λοιπὸν ἀθυμίας ὑπόθεσιν· ἔχετε Ἐπαφρόδιτον, δι' ὃν ἠλγεῖτε· ἔχετε Τιμόθεον, ἔρχομαι κἀγώ, τὸ εὐαγγέλιον ἐπιδίδωσι. Τί ὑμῖν λείπει λοιπόν; Χαίρετε. Γαλάτας μὲν οὖν τέκνα καλεῖ, τούτοις δὲ ἀδελφούς. Ὅταν μὲν γὰρ ἢ διορθοῦσθαί τι βούληται, ἢ φιλοστοργίαν ἐνδείξασθαι, τέκνα καλεῖ· ὅταν δὲ μετὰ πλείονος τιμῆς διαλέγηται, ἀδελφούς. «Τὸ λοιπόν, ἀδελφοί μου», φησί, «χαίρετε ἐν Κυρίῳ».

1. Φιλιπ. 3, 1-3

ΛΟΓΟΣ ΙΑ΄
Φιλιπ. 3, 1 - 6

Εἰς τὸ μέλλον, ἀδελφοί μου, χαίρετε τὴν χαρὰν ποὺ δίδει ὁ Κύριος. Τὸ νὰ σᾶς γράφω τὰ ἴδια, εἰς ἐμὲ μὲν δὲν προκαλεῖ ὀκνηρίαν, εἰς σᾶς δὲ εἶναι ἀσφαλές. Προσέχετε τοὺς ψευδοδιδασκάλους, προσέχετε τοὺς κακοὺς ἐργάτας, προσέχετε τοὺς διδάσκοντας τὴν κατανομὴν τῆς σαρκός. Διότι ἡ ἀληθινὴ περιτομὴ εἴμεθα ἡμεῖς, οἱ λατρεύοντες ἐν Πνεύματι Θεοῦ καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ καὶ δὲν στηρίζομεν τὴν πεποίθησίν μας εἰς τὴν σάρκα»[1].

Αἱ στενοχωρίαι καὶ αἱ φροντίδες, ὅταν βασανίζουν ὑπερβολικὰ τὴν ψυχήν, ἀφαιροῦν ἀπ' αὐτὴν τὴν ἰδικήν της δύναμιν. Διὰ τοῦτο καὶ ὁ Παῦλος παρηγορεῖ τοὺς Φιλιππησίους, ποὺ εἶχαν μεγάλην στενοχωρίαν. Ἐστενοχωροῦντο δὲ διότι δὲν ἐγνώριζον πῶς ἦσαν τὰ πράγματα διὰ τὸν Παῦλον· ἐστενοχωροῦντο διὰ τὸ κήρυγμα, διὰ τὸν Ἐπαφρόδιτον. Ἀφοῦ τοὺς πληροφορῇ δι' ὅλα αὐτά, προσθέτει· «Εἰς τὸ μέλλον, ἀδελφοί μου, χαίρετε». Δὲν ἔχετε, λέγει, εἰς τὸ μέλλον πρόφασιν στενοχωρίας· ἔχετε τὸν Ἐπαφρόδιτον, διὰ τὸν ὁποῖον ἐστενοχωρεῖσθε· ἔχετε τὸν Τιμόθεον, ἔρχομαι καὶ ἐγώ, τὸ κήρυγμα τοῦ Εὐαγγελίου προκόπτει. Τί σᾶς λείπει λοιπόν; Νὰ χαίρετε. Τοὺς Γαλάτας προσφωνεῖ τέκνα, αὐτοὺς ὅμως ἀδελφούς. Διότι ὅταν μὲν ἢ θέλῃ νὰ διορθώσῃ κάτι ἢ νὰ ἐπιδείξῃ φιλοστοργίαν, προσφωνεῖ τέκνα· ὅταν δὲ ὁμιλῇ μὲ περισσότερον σεβασμόν, προσφωνεῖ ἀδελφούς. «Εἰς τὸ μέλλον, ἀδελφοί μου», λέγει, «χαίρετε τὴν χαρὰν ποὺ δίδει ὁ Κύριος». Καλῶς εἶπε, «τὴν χαρὰν ποὺ δίδει ὁ Κύριος», ὄχι τὴν χαρὰν τοῦ κό-

Καλῶς εἶπεν, «ἐν Κυρίῳ», οὐ κατὰ τὸν κόσμον· οὐκ ἔστι γὰρ χαρῆναι τοῦτο. Αἱ θλίψεις αὗται, φησίν, αἱ κατὰ Χριστόν, ἔχουσι χαράν. «Τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. Βλέπετε τοὺς κύνας».

Ὁρᾷς πῶς οὐκ ἐν ἀρχῇ τὴν παραίνεσιν εἰσάγει, ἀλλ' ὅτε αὐτοὺς πολλὰ ἐπήνεσεν, ὅτε ἐθαύμασε, τότε τοῦτο ποιεῖ, καὶ πάλιν ἐπαινεῖ. Δοκεῖ γὰρ οὗτος φορτικώτερος εἶναι ὁ λόγος· ὅθεν αὐτὸν πάντοθεν συσκιάζει. Τίνας δέ φησι κύνας; Ἐνταῦθα ἦσάν τινες, οὓς ἐν πάσαις ταῖς ἐπιστολαῖς αἰνίττεται, Ἰουδαῖοι μιαροὶ καὶ κατάπτυστοι, αἰσχροκερδεῖς καὶ φίλαρχοι, οἳ βουλόμενοι τῶν πιστῶν πολλοὺς παρασπάσαι, ἐκήρυττον καὶ τὸν Χριστιανισμόν, καὶ τὸν Ἰουδαϊσμόν, παραφθείροντες τὸ εὐαγγέλιον. Ἐπεὶ οὖν ἦσαν δυσδιάγνωστοι, διὰ τοῦτό φησι, «Βλέπετε τοὺς κύνας». Οὐκέτι τέκνα Ἰουδαῖοι. Ποτὲ οἱ ἐθνικοὶ τοῦτο ἐκαλοῦντο, νῦν δὲ ἐκεῖνοι. Διὰ τί; Ὅτι ὥσπερ οἱ ἐθνικοὶ καὶ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ ἀλλότριοι ἦσαν, οὕτω καὶ οὗτοι γεγόνασι νῦν· καὶ τὸ ἀναιδὲς αὐτῶν καὶ τὸ ἰταμὸν παρίστησι, καὶ τὴν πολλὴν πρὸς τέκνα διάστασιν. Ὅτι γὰρ οἱ ἐθνικοί ποτε κύνες ἐκαλοῦντο, ἄκουσον τῆς Χαναναίας τί φησι· «Καί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν». Ἵνα δὲ μηδὲ τοῦτο ἔχωσιν, ἐπειδὴ καὶ κύνες εἰσὶν ἐπιτραπέζιοι, ἐπάγει, ὅθεν αὐτοὺς καὶ ἀλλοτριοῖ, λέγων, «Βλέπετε τοὺς κακοὺς ἐργάτας». Θαυμασίως εἶπε, «Βλέπετε τοὺς κακοὺς ἐργάτας»· ἐργάζονται μέν, φησίν, ἀλλ' ἐπὶ κακῷ, καὶ ἀργίας πολλῷ χεῖρον ἔργον, ἀνασπῶντες τὰ καλῶς κείμενα. «Βλέπετε», φησί, «τὴν κατατομήν». Σεμνὸν ἦν παρὰ Ἰουδαίοις τὸ τῆς περιτομῆς, ὅπου γε καὶ ὁ νόμος αὐτῇ ὑπεξίστατο, καὶ τὸ Σάβ-

---

2. Ματθ. 15, 27

σμου· διότι δὲν εἶναι δυνατὸν νὰ χαροῦν τοῦτο. Αἱ θλίψεις αὐταί, λέγει, ποὺ γίνονται σύμφωνα πρὸς τὸ θέλημα τοῦ Χριστοῦ, ἔχουν χαράν. «Τὸ νὰ σᾶς γράφω τὰ ἴδια, εἰς ἐμὲ μὲν δὲν προκαλεῖ ὀκνηρίαν, εἰς σᾶς δὲ ἀσφάλειαν. Προσέχετε τοὺς ψευδοδιδασκάλους».

Βλέπεις πῶς δὲν θέτει εἰς τὴν ἀρχὴν τὴν παραίνεσιν, ἀλλ' ὅταν ἐπήνεσεν αὐτοὺς πολύ, ὅταν ἐθαύμασεν αὐτούς, τότε κάμνει τοῦτο, καὶ πάλιν τοὺς ἐπαινεῖ. Θεωρεῖ βέβαια ὅτι αὐτὸς ὁ λόγος εἶναι περισσότερον ἐνοχλητικός, δι' αὐτὸ ἀπὸ παντοῦ τὸν συσκοτίζει. Ποίους δὲ ὀνομάζει ψευδοδιδασκάλους; Ἐδῶ ἦσαν μερικοί, τοὺς ὁποίους ὑπαινίσσεται εἰς ὅλας τὰς ἐπιστολάς του, Ἰουδαῖοι μιαροὶ καὶ βδελυροί, αἰσχροκερδεῖς καὶ φίλαρχοι, οἱ ὁποῖοι, θέλοντες νὰ παρασύρουν πολλοὺς πιστούς, ἐκήρυττον καὶ τὸν Χριστιανισμὸν καὶ τὸν Ἰουδαϊσμόν, παραφθείροντες τὸ κήρυγμα τοῦ Εὐαγγελίου. Ἐπειδὴ βεβαίως ἀνεγνωρίζοντο δύσκολα αὐτοί, διὰ τοῦτο λέγει· «Προσέχετε τοὺς ψευδοδιδασκάλους». Δὲν καλεῖ πλέον αὐτούς, τέκνα Ἰουδαῖοι. Ἄλλοτε οἱ ἐθνικοὶ ἐκαλοῦντο ἔτσι, τώρα δὲ ἐκεῖνοι. Διατί; Διότι ὅπως ἀκριβῶς οἱ ἐθνικοὶ ἦσαν ξένοι καὶ διὰ τὸν Θεὸν καὶ διὰ τὸν Χριστόν, ἔτσι ἔχουν γίνει καὶ αὐτοὶ τώρα· καὶ ἀπ' αὐτὸ ἀποδεικνύει τὴν ἀναισχυντίαν καὶ τὴν θρασύτητα αὐτῶν, καὶ τὴν μεγάλην ἀντίθεσιν πρὸς τὰ τέκνα. Ὅτι βεβαίως οἱ ἐθνικοὶ ἐκαλοῦντο ἐνίοτε κύνες, ἄκουσε τί λέγει ἡ Χαναναία· «Ναί, Κύριε, διότι καὶ τὰ κυνάρια τρώγουν ἀπὸ τὰ ψίχουλα, ποὺ πίπτουν ἀπὸ τὸ τραπέζι τῶν κυρίων των»[2]. Διὰ νὰ μὴ ἔχουν δὲ οὔτε αὐτό, ἐπειδὴ ὑπάρχουν καὶ κύνες ποὺ παρακάθονται εἰς τὸ τραπέζι, πρᾶγμα ποὺ ἀποξενώνει αὐτούς, λέγων· «Προσέχετε τοὺς κακοὺς ἐργάτας·» ἐργάζονται μέν, λέγει, ἀλλὰ μὲ σκοπὸν τὸ κακόν, καὶ ἔργον πολὺ χειρότερον ἀπὸ τὴν ἀργίαν, καταστρέφοντες τὰ καλῶς ἔχοντα. «Προσέχετε», λέγει, «τοὺς διδάσκοντας τὴν κατανομὴν τῆς σαρκός». Τὸ ἔθιμον τῆς περιτομῆς ἦτο σεβαστὸν εἰς τοὺς Ἰουδαίους, ὅπου βεβαίως καὶ ὁ Μωσαϊκὸς νόμος ὑπεχώρει εἰς αὐτήν, καὶ ἡ ἡμέρα τοῦ Σαββάτου ἦτο εὐτελεστέρα τῆς περιτομῆς. Διότι

βατον ἦν εὐτελέστερον τῆς περιτομῆς. Ἵνα μὲν γὰρ περιτομὴ γένηται, ἐλύετο Σάββατον· ἵνα δὲ Σάββατον φυλαχθῇ, οὐδέποτε ἐλύετο περιτομή.

Καὶ θέα μοι τοῦ Θεοῦ οἰκονομίαν. Αὕτη ἡ τοῦ Σαββάτου αἰδεσιμωτέρα, εὑρίσκεται ἔν τισι χρόνοις μὴ παραληφθεῖσα. Ὅταν οὖν αὐτὴ λύηται, πολλῷ μᾶλλον τὸ Σάββατον. Διὰ τοῦτο τὸ ὄνομα αὐτῆς ὁ Παῦλος κατατέμνει, καί φησι· «Βλέπετε τὴν κατατομήν». Καὶ οὐκ εἶπεν ὅτι κακὸν ἡ περιτομή, περιττὸν ἡ περιτομή, ἵνα μὴ πλήξῃ τοὺς ἄνδρας, ἀλλὰ σοφώτερον αὐτὸ οἰκονομεῖ, τοῦ μὲν πράγματος ἀπάγων, τῷ δὲ ῥήματι χαριζόμενος, μᾶλλον δὲ καὶ τῷ πράγματι σπουδαιότερον. Ἀλλ' οὐκ ἐπὶ Γαλατῶν οὕτως. Ἐπειδὴ γὰρ πολλὴ νόσος ἦν ἐκεῖ, γυμνῇ τῇ κεφαλῇ λοιπὸν μετὰ πολλῆς τῆς αὐθεντίας ἐπάγει τὴν τομήν· ἐνταῦθα δέ, ἐπειδὴ οὐδὲν τοιοῦτον εἰργάσαντο, αὐτοῖς χαρίζεται τὴν ἀπὸ τῆς προσηγορίας ἡδονήν· κἀκείνους ἐκβάλλει, καί φησι· «Βλέπετε τὴν κατατομήν. Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή». Πῶς; «Οἱ Πνεύματι Θεοῦ λατρεύοντες καὶ οὐκ ἐν σαρκὶ πεποιθότες». Οὐκ εἶπεν, ὅτι δοκιμάζομεν ἐκείνην τὴν περιτομήν, καὶ ταύτην, τίς ἐστιν ἀμείνων, ἀλλ' οὐδὲ τοῦ ὀνόματος αὐτῇ μετέδωκεν· ἀλλὰ τί φησιν; Ἡ περιτομὴ ἐκείνη κατατομή ἐστι. Διὰ τί; Οὐδὲν γὰρ ἄλλο ποιοῦσιν, ἢ τὴν σάρκα κατατέμνουσιν. Ὅταν γὰρ μὴ ᾖ νόμιμον τὸ γινόμενον, οὐδὲν ἄλλο ἢ σαρκὸς τομή ἐστι καὶ κατατομή. Ἢ διὰ τοῦτο, ἢ ὅτι τὴν ἐκκλησίαν ἐπειρῶντο διατέμνειν. Καὶ κατατομὴν δὲ λέγομεν ἐπὶ τῶν εἰκῇ καὶ ἁπλῶς καὶ ἄνευ τέχνης τοῦτο ποιούντων. Εἰ γὰρ δεῖ περιτομὴν ζητῆσαι, φησί, παρ' ἡμῖν ταύτην ἂν εὑρήσετε.

«Οἱ πνεύματι Θεοῦ λατρεύοντες»· τουτέστιν, οἱ πνευματικῶς λατρεύοντες. Εἰπὲ γάρ μοι, τί βέλτιον, ψυχὴ ἢ

διὰ νὰ γίνῃ μὲν ἡ περιτομή, κατηργεῖτο ἡ ἀργία τοῦ Σαββάτου· προκειμένου δὲ νὰ φυλαχθῇ ἡ ἀργία τοῦ Σαββάτου, ποτὲ δὲν κατηργεῖτο ἡ περιτομή.

Καὶ πρόσεχε τὴν οἰκονομίαν τοῦ Θεοῦ. Αὐτὴ ποὺ εἶναι περισσότερον σεβαστὴ ἀπὸ τὴν ἀργίαν τοῦ Σαββάτου, φαίνεται νὰ μὴ γίνεται ἀποδεκτὴ εἰς ὡρισμένην ἐποχήν. Ὅταν λοιπὸν καταργῆται αὐτή, πολὺ περισσότερον ἡ ἀργία τοῦ Σαββάτου. Διὰ τοῦτο ὁ Παῦλος κατατέμνει τὸ ὄνομά της, καὶ λέγει· «Προσέχετε τὴν κατατομὴν τῆς σαρκός». Καὶ δὲν εἶπεν, ὅτι ἡ περιτομὴ εἶναι κακόν, περιττὸν νὰ γίνεται, διὰ νὰ μὴ τραυματίσῃ τοὺς ἄνδρας, ἀλλ' οἰκονομεῖ τοῦτο σοφώτερον, ἐνῷ ἀπὸ μὲν τὸ πρᾶγμα ἀπομακρύνει αὐτούς, εἰς τὸν λόγον δὲ χαρίζεται, μᾶλλον δὲ καὶ εἰς τὸ πρᾶγμα σπουδαιότερον. Δὲν συνέβη ὅμως ἔτσι εἰς τὴν περίπτωσιν τῶν Γαλατῶν. Ἐπειδὴ βέβαια ἦτο μεγάλη ἡ ἀσθένεια ἐκεῖ, μὲ γυμνὴν τὴν κεφαλὴν εἰς τὸ ἑξῆς ἐπιφέρει τὴν τομὴν μὲ πολλὴν αὐθεντίαν. Ἐδῶ ὅμως, ἐπειδὴ δὲν διέπραξαν τίποτε τὸ παρόμοιον, ἐπιτρέπει εἰς αὐτοὺς τὴν προερχομένην ἀπὸ τὴν προσφώνησιν εὐχαρίστησιν. Καὶ ἐκείνους ἀντικρούει καὶ λέγει· «Προσέχετε τοὺς διδάσκοντας τὴν κατατομήν. Διότι ἡμεῖς εἴμεθα ἡ ἀληθινὴ περιτομή». Πῶς; «Οἱ λατρεύοντες ἐν Πνεύματι Θεοῦ καὶ μὴ στηρίζοντες τὴν πεποίθησίν μας εἰς τὴν σάρκα». Δὲν εἶπεν, ὅτι δοκιμάζομεν καὶ αὐτὴν καὶ ἐκείνην τὴν περιτομήν, ποία εἶναι καλυτέρα, ἀλλ' οὔτε τὸ ὄνομα ἔδωσεν εἰς αὐτήν. Ἀλλὰ τί εἶπεν; Ἡ περιτομὴ ἐκείνη εἶναι κατατομή. Διατί; Διότι δὲν κάμνουν τίποτε ἄλλο, παρὰ κατατέμνουν τὴν σάρκα. Διότι ὅταν αὐτὸ ποὺ γίνεται δὲν εἶναι νόμιμον, τίποτε ἄλλο δὲν εἶναι παρὰ τομὴ τῆς σαρκὸς καὶ κατατομή. Ἢ διὰ τοῦτο, ἢ διότι ἐπροσπαθοῦσαν νὰ διασπάσουν τὴν Ἐκκλησίαν. Καὶ λέγομεν τὴν κατατομὴν δι' ἐκείνους ποὺ κάμνουν τοῦτο χωρὶς λόγον καὶ ἁπλῶς καὶ χωρὶς τέχνην. Διότι ἐὰν πρέπει νὰ ζητήσετε τὴν ἀληθινὴν περιτομήν, λέγει, θὰ ἠμπορέσετε νὰ τὴν εὕρῃτε εἰς ἡμᾶς.

«Οἱ λατρεύοντες, φωτιζόμενοι ἀπὸ τὸ πνεῦμα τοῦ Θεοῦ», δηλαδή, οἱ λατρεύοντες πνευματικῶς. Διότι, εἰπέ

σῶμα; Δῆλον ὅτι ψυχή. Οὐκοῦν καὶ ἡ περιτομὴ ἐκείνῳ βελτίων, μᾶλλον δὲ οὐκέτι βελτίων, ἀλλ' αὕτη μόνη ἐστὶ περιτομή. Ἕως μὲν γὰρ ὁ τύπος εἱστήκει, εἰκότως κατὰ σύγκρισιν προήγετο· «Περιτεμεῖσθε γάρ», φησί, «τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν». Οὕτω καὶ ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ ἀναιρεῖ αὐτήν, λέγων· «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν Πνεύματι, οὐ γράμματι». Λοιπὸν δὲ καὶ τοῦ ὀνόματος αὐτὴν ἀποστερεῖ, οὐδέ ἐστι περιτομή, φησί. Καὶ γὰρ ὁ τύπος, ἕως ἂν μέλλῃ ἡ ἀλήθεια, καλεῖται τοῦτο· ἐπειδὰν δὲ ἔλθῃ ἡ ἀλήθεια, οὐκέτι καλεῖται. Οἷον ἐπὶ σκιαγραφίας· ὑπέγραψέ τις βασιλέα σκιαγραφῶν· ἕως ἂν οὐκ ἐπάγῃ τὰ ἄνθη, λέγομεν, ἰδοὺ ὁ βασιλεύς· ἐπειδὰν δὲ ἐπέλθῃ, κέκρυπται τῇ ἀληθείᾳ ὁ τύπος καὶ οὐ φαίνεται. Καὶ οὐκ εἶπεν, ἐν ἡμῖν γάρ ἐστιν ἡ περιτομή, ἀλλ', «ἡμεῖς ἐσμεν»· εἰκότως· Τοῦτο γάρ ἐστιν ἄνθρωπος, ἡ περιτομὴ ἡ ἐνάρετος· τουτέστιν ἀληθῶς ἄνθρωπος. Καὶ οὐκ εἶπεν, ἐν ἐκείνοις γάρ ἐστιν ἡ κατατομή· αὐτοὶ γὰρ λοιπόν εἰσιν ἐν ἀπωλείᾳ καὶ κακίᾳ.

Ἀλλ' οὐκέτι, φησίν, ἐν σώματι γίνεται ἡ περιτομή, ἀλλ' ἐν καρδίᾳ. «Καὶ οὐκ ἐν σαρκί», φησί, «πεποιθότες, καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί». Τί λέγει ἐνταῦθα «πεποίθησιν», καί, «ἐν σαρκί»; Καύχησιν, παρρησίαν, σεμνολόγημα· καὶ καλῶς τοῦτο προσέθηκεν. Εἰ μὲν γὰρ ἐξ ἐθνῶν ὢν κατηγόρει τῆς περιτομῆς, οὐ τῆς περιτομῆς δέ, ἀλλὰ τῶν ἀκαίρως αὐτὴν μεταχειριζόντων, ἔδοξεν ἄν, ὡς ἀπεστε-

3. Δευτ. 10, 16
4. Ρωμ. 2, 28 - 29
5. Φιλιπ. 3, 3 - 4

μου, τί εἶναι καλύτερον, ἡ ψυχὴ ἢ τὸ σῶμα; Εἶναι φανερὸν ὅτι ἡ ψυχή. Λοιπὸν καὶ ἡ περιτομὴ ἐκείνη εἶναι καλυτέρα, μᾶλλον δὲ ὄχι πλέον καλυτέρα, ἀλλ' αὐτὴ μόνη εἶναι περιτομή. Ἕως ὅτου βέβαια ἴσχυεν ὁ τύπος, εὐλόγως ὑπερεῖχεν ὡς πρὸς τὴν σύγκρισιν· «Περιτάμητε λοιπόν», λέγει, «τὴν ἀκροβυστίαν τῆς καρδίας σας»[3]. Ἔτσι καὶ εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολήν του ὁ Παῦλος ἀναιρεῖ αὐτήν, λέγων· «Διότι πραγματικὸς Ἰουδαῖος δὲν εἶναι ἐκεῖνος ποὺ ἐξωτερικῶς φαίνεται ὡς Ἰουδαῖος, οὔτε ἡ περιτομή, ποὺ εἶναι φανερὰ μόνον εἰς τὴν σάρκα, εἶναι πραγματικὴ περιτομή. Ἀλλὰ πραγματικὸς Ἰουδαῖος εἶναι ὁ ἀφωσιωμένος ἐσωτερικὰ εἰς τὸν Θεόν, καὶ πραγματικὴ περιτομὴ εἶναι ἡ περιτομὴ τῆς καρδίας, ποὺ γίνεται μὲ τὴν χάριν τοῦ ἁγίου Πνεύματος καὶ ὄχι μὲ τὸ γράμμα τοῦ Νόμου»[4]. Λοιπὸν τῆς ἀφαιρεῖ καὶ τὸ ὄνομα, οὔτε εἶναι περιτομή, λέγει. Καὶ πράγματι ὁ τύπος, ἕως ὅτου θὰ ἔλθῃ ἡ ἀλήθεια, ἔχει αὐτὸ τὸ ὄνομα, ὅταν ὅμως ἔλθῃ ἡ ἀλήθεια, δὲν καλεῖται πλέον. Ὅπως συμβαίνει εἰς τὴν σκιτσογραφίαν· ἐσχεδίασε κάποιος τὸ σκίτσον τοῦ βασιλέως· μέχρις ὅτου δὲν θὰ προσθέσῃ τὰ χρώματα, λέγομεν: ἰδοὺ ὁ βασιλεύς· ὅταν ὅμως τὰ προσθέσῃ, ὁ τύπος κρύπτεται εἰς τὴν ἀλήθειαν καὶ δὲν φαίνεται. Καὶ δὲν εἶπεν, εἰς ἡμᾶς ὑπάρχει ἡ πραγματικὴ περιτομή, ἀλλ' «ἡμεῖς εἴμεθα»· εὐλόγως. Διότι αὐτὸ σημαίνει ἄνθρωπος, ἡ ἐνάρετος περιτομή· αὐτὸ εἶναι πράγματι ἄνθρωπος. Καὶ δὲν εἶπεν, εἰς ἐκείνους βέβαια ὑπάρχει ἡ κατατομή, διότι αὐτοὶ πλέον εὑρίσκονται εἰς τὴν ἀπώλειαν καὶ ζοῦν εἰς τὴν κακίαν.

Ἀλλὰ δὲν λέγει πλέον, ὅτι ἡ περιτομὴ γίνεται εἰς τὸ σῶμα, ἀλλ' εἰς τὴν καρδίαν. «Καὶ δὲν στηρίζομεν», λέγει, «τὴν πεποίθησιν εἰς τὴν σάρκα, ἂν καὶ ἐγὼ ἔχω πεποίθησιν καὶ εἰς τὴν σάρκα»[5]. Τί ἐννοεῖ ἐδῶ «πεποίθησιν», καὶ «ἐν σαρκί»; Τὸ καύχημα, τὴν παρρησίαν, τὸ σέμνωμα. Καὶ καλῶς προσέθεσε τοῦτο. Διότι ἐὰν μέν, ἐνῷ ἦτο ἀπὸ τοὺς χριστιανοὺς ποὺ προήρχοντο ἀπὸ τοὺς ἐθνικούς, ἐκατηγοροῦσε τὴν περιτομήν, ὄχι μόνον τὴν περιτομήν, ἀλλ' αὐτοὺς ποὺ τὴν μεταχειρίζονται ἀκαίρως, θὰ ἐφαίνετο ὅτι,

ρημένος τῆς τοῦ Ἰουδαϊσμοῦ εὐγενείας, καταιρέχειν αὐτῆς, ὡς οὐκ εἰδὼς τὰ σεμνά, οὐδὲ μετεσχηκὼς αὐτῶν· νῦν δὲ ὁ μετασχὼν καὶ κατηγορῶν, οὐ διὰ τοῦτο κατηγορήσει, ὡς οὐ μετασχών, ἀλλ' ὡς κατεγνωκώς, οὐ δι' ἄγνοιαν, ἀλλὰ δι' ἐπίγνωσιν μάλιστα. Ὅρα οὖν τί φησι καὶ ἐν τῇ πρὸς Γαλάτας, ἐμπεσὼν εἰς ἀνάγκην τοῦ μεγάλα περὶ ἑαυτοῦ εἰπεῖν, πῶς καὶ οὕτω τὴν ταπεινοφροσύνην ἐνδείκνυται. «Ἠκούσατε γάρ», φησί, «τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ»· καὶ πάλιν ἐνταῦθα, «Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον»· καὶ εὐθέως ἐπήγαγεν· «Ἑβραίους ἐξ Ἑβραίων». Ἀλλ', «εἴ τις ἄλλος», φησί, δεικνὺς τὴν ἀνάγκην, δεικνὺς ὅτι δι' ἐκείνους ἔλεγεν. Εἰ πεποίθατε, φησί, κἀγὼ λέγω, ἐπεὶ σιωπῶ. Καὶ τὸ ἀνεπαχθὲς τῶν ἐλέγχων, τὸ μὴ ὀνομαστὶ τοῦτο ποιεῖν, τοῦτο κἀκείνοις ἐδίδου ἀναδραμεῖν.

Εἴ τις δοκεῖ πεποιθέναι». Καὶ καλῶς εἶπε, «δοκεῖ», ἢ ὡς οὐκ ἐχόντων τοσαύτην πεποίθησιν, ἢ ὡς τῆς πεποιθήσεως ἐκείνης οὐκ ὄντως πεποιθήσεως οὔσης· πάντα γὰρ ἀνάγκης ἦν, οὐ προαιρέσεως. «Περιτομὴ ὀκταήμερος». Καὶ πρῶτον τίθησιν ὃ μάλιστα ηὖχουν, τὸ τῆς περιτομῆς. «Ἐκ γένους Ἰσραήλ». Τὰ ἀμφότερα ἔδειξεν, ὅτι οὐ προσήλυτος, οὔτε ἐκ προσηλύτων. Ἀπὸ μὲν γὰρ τοῦ ὀκταήμερος περιτμηθῆναι, οὐχὶ προσήλυτος· ἀπὸ δὲ τοῦ, «ἐκ γένους Ἰσραήλ», οὐδὲ προσηλύτων γονέων. Ἀλλ' ἵνα μὴ νομίσῃς, ὅτι «ἐκ γένους Ἰσραήλ», ἐκ τῶν δέκα φυλῶν, φησί, «Φυλῆς Βενιαμίν»· ὥστε τοῦ δοκιμωτέρου μέρους· τὰ γὰρ τῶν

6. Γαλ. 1, 13
7. Φιλιπ. 3, 5

ἐπειδὴ δὲν εἶχε τὴν εὐγενῆ καταγωγὴν τοῦ Ἰουδαϊσμοῦ, ὀνειδίζει αὐτήν, ἐπειδὴ δὲν γνωρίζει τὰ σεμνά, οὔτε ἔχει μετάσχει εἰς αὐτά· τώρα ὅμως ποὺ μετέσχε καὶ κατηγορεῖ, δὲν θὰ κατηγορήσῃ διὰ τοῦτο, ἐπειδὴ δὲν μετέσχεν, ἀλλ' ἐπειδὴ ἔχει γνωρίσει καλῶς, ὄχι ἐξ αἰτίας τῆς ἀγνοίας, ἀλλὰ πρὸ πάντων ἐξ αἰτίας τῆς καλῆς γνώσεως. Πρόσεχε λοιπὸν τί λέγει καὶ εἰς τὴν πρὸς Γαλάτας ἐπιστολήν του, ἐλθὼν εἰς τὴν ἀνάγκην διὰ νὰ εἰπῇ μεγάλα διὰ τὸν ἑαυτόν του, πῶς καὶ ἔτσι ἐπιδεικνύει τὴν ταπεινοφροσύνην· «Διότι ἠκούσατε», λέγει, «τὴν διαγωγὴν ποὺ ἔδειξα κάποτε, ὅταν ἠκολούθουν τὰ ἔθιμα τοῦ Ἰουδαϊσμοῦ»[6]. Καὶ πάλιν ἐδῶ λέγει. «Ἐὰν κανεὶς ἄλλος νομίζῃ, ὅτι ἠμπορεῖ νὰ ἔχῃ πεποίθησιν εἰς τὴν σάρκα, ἐγὼ περισσότερον»· καὶ ἀμέσως προσέθεσεν· «Εἶμαι Ἑβραῖος ἀπὸ γονεῖς Ἑβραίους». Ἀλλ' «ἐὰν κανεὶς ἄλλος», λέγει, δεικνύων τὴν ἀνάγκην, δεικνύων ὅτι ἔλεγε δι' ἐκείνους. Ἐὰν ἔχετε πεποίθησιν, λέγει· καὶ ἐγὼ λέγω, ἐπειδὴ σιωπῶ. Καὶ πρόσεξε τὸν μὴ ὀχληρὸν ἔλεγχον, τὸ νὰ μὴ κάνῃ δηλαδὴ τοῦτο ὀνομαστικῶς, ἔδιδε καὶ εἰς ἐκείνους εὐκαιρίαν νὰ ἀνατρέξουν.

«Ἐὰν κανεὶς ἄλλος νομίζῃ, ὅτι ἠμπορεῖ νὰ ἔχῃ πεποίθησιν». Καὶ καλῶς εἶπε «ἐὰν νομίζῃ», ἢ ἐπειδὴ δὲν εἶχον τόσον μεγάλην πεποίθησιν, ἢ ἐπειδὴ ἡ πεποίθησις ἐκείνη δὲν ἦτο πράγματι πεποίθησις· καθόσον τὰ πάντα ἐγίνοντο ἀπὸ ἀνάγκην καὶ ὄχι ἀπὸ προαίρεσιν. «Περιετμήθην ὀκτὼ ἡμέρας μετὰ τὴν γέννησίν μου»[7]. Καὶ πρῶτον θέτει ἐκεῖνο διὰ τὸ ὁποῖον ἐκαυχᾶτο ὑπερβολικά, δηλαδὴ τὴν περιτομήν. «Κατάγομαι ἀπὸ τὸ γένος τοῦ Ἰσραήλ». Καὶ τὰ δύο ἀπέδειξαν, ὅτι δὲν εἶναι προσήλυτος, οὔτε κατάγεται ἀπὸ γονεῖς προσηλύτους. Διότι ἀπὸ μὲν τὸ ὅτι περιετμήθη ὀκτὼ ἡμέρας μετὰ τὴν γέννησίν του, ἀπέδειξεν ὅτι δὲν εἶναι προσήλυτος· ἀπὸ δὲ τὸ ὅτι «κατάγεται ἀπὸ τὸ γένος τοῦ Ἰσραήλ», ἀπέδειξεν ὅτι οὔτε οἱ γονεῖς του ἦσαν προσήλυτοι. Ἀλλὰ διὰ νὰ μὴ νομίσῃς, ὅτι «κατάγομαι ἀπὸ τὸ γένος τοῦ Ἰσραήλ», δηλαδὴ ἀπὸ τὰς δέκα φυλάς, λέγει· «ἀπὸ τὴν φυλὴν τοῦ Βενιαμίν». Ὥστε κατάγεται ἀπὸ τὸ ἀξιολογώτερον τμῆμα, διότι τὰ μέλη τῶν ἱερέων εἰς τὸν

ἱερέων ἐν τῷ κλήρῳ ταύτης ἦν τῆς φυλῆς. «Ἑβραῖος ἐξ Ἑβραίων»· ὅτι οὐχὶ προσήλυτος, ἀλλ' ἄνωθεν τῶν εὐδοκίμων Ἰουδαίων. Ἐνῆν μὲν γὰρ εἶναι τοῦ Ἰσραήλ, ἀλλ' οὐχ Ἑβραῖον ἐξ Ἑβραίων. Πολλοὶ γὰρ καὶ διέφθειρον ἤδη τὸ πρᾶγμα, καὶ τῆς γλώσσης ἦσαν ἀμύητοι, ἑτέροις κυκλούμενοι ἔθνεσιν. Ἢ τοῦτο οὖν, ἢ τὴν πολλὴν εὐγένειαν δείκνυσιν. «Κατὰ νόμον Φαρισαῖος». Ἔρχεται λοιπὸν εἰς τὰ τῆς αὐτοῦ προαιρέσεως· ἐκεῖνα γὰρ πάντα ἀπροαίρετα· καὶ γὰρ τὸ περιτμηθῆναι οὐκ αὐτοῦ, καὶ τό, «ἐκ γένους Ἰσραήλ», καὶ τὸ «ἐκ φυλῆς Βενιαμίν»· ὥστε καὶ ἐκ τούτων πλεονεκτεῖν, εἰ καὶ τὰ μάλιστα ἐκοινώνουν αὐτῷ πολλοί. Ποῦ οὖν τὸ μᾶλλον; Μάλιστα μὲν καὶ ἐν τούτῳ τῷ μὴ προσήλυτον εἶναι· τὸ γὰρ ἐκ τῆς δοκιμωτάτης φυλῆς καὶ αἱρέσεως, τὸ ἄνωθεν ἐκ προγόνων, οὐ πολλοὶ εἶχον· ἀλλ' ἔρχεται εἰς τὰ τῆς προαιρέσεως, ὅπου τὸ μᾶλλόν ἐστι.

«Κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν». Ἀλλ' οὐκ ἀρκεῖ τοῦτο· ἔστι γὰρ καὶ Φαρισαῖον εἶναι, καὶ μὴ σφόδρα ζηλωτήν· ἀλλὰ καὶ τοῦτο προστίθησιν. Ἰδοὺ τὸ μᾶλλον. «Κατὰ δικαιοσύνην». Ἀλλ' ἔστι ριψοκίνδυνον εἶναι, ἢ φιλαρχίας ἕνεκεν τοῦτο ποιεῖν, ἀλλ' οὐ τῷ νόμῳ ζηλοῦντα, ὅπερ ἐποίουν οἱ ἀρχιερεῖς. Ἀλλ' οὐδὲ τοῦτο, ἀλλὰ καί, «κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος». Εἰ τοίνυν καὶ εὐγενείας ἕνεκεν, καὶ προθυμίας, καὶ τρόπου, καὶ βίου πάντων ἐκράτουν, τίνος ἕνεκεν τὰ σεμνὰ ἐκεῖνα εἴασα, φησίν, ἀλλ' ἢ διὰ τὸ μείζονα εὑρεῖν τὰ τοῦ

8. Φιλιπ. 3, 6

κλῆρον προήρχοντο ἀπὸ τὴν φυλὴν αὐτήν. «Εἶμαι Ἑβραῖος ἀπὸ Ἑβραίους», διότι δὲν ἦτο προσήλυτος, ἀλλ' ἀνέκαθεν εἷλκε τὴν καταγωγήν του ἀπὸ τοὺς ἐνδόξους Ἰουδαίους. Διότι ἦτο δυνατὸν μὲν νὰ εἶναι Ἰσραηλίτης, ἀλλ' ὄχι Ἑβραῖος ἀπὸ Ἑβραίους. Διότι πολλοὶ καὶ διέφθειρον ἤδη τὸ πρᾶγμα, καὶ ἦσαν ἀμύητοι τῆς γλώσσης, περικυκλωμένοι ἀπὸ ἄλλα ἔθνη. Ἢ τοῦτο λοιπὸν συμβαίνει, ἢ ἀποδεικνύει τὴν σπουδαίαν του εὐγενῆ καταγωγήν. «Ὡς πρὸς τὸν νόμον δὲ ἤμην Φαρισαῖος». Ἔρχεται λοιπὸν εἰς αὐτὰ ποὺ ἔπραττε κατὰ τὴν προαίρεσίν του. Διότι ὅλα ἐκεῖνα ἔγιναν χωρὶς τὴν προαίρεσίν του, δηλαδὴ καὶ τὸ ὅτι περιετμήθη δὲν ἐξηρτᾶτο ἀπ' αὐτόν, καὶ τὸ «κατάγομαι ἀπὸ τὸ γένος τοῦ Ἰσραήλ», καθὼς καὶ τὸ «ἀπὸ τὴν φυλὴν Βενιαμίν». Ἑπομένως καὶ ἀπ' αὐτὰ πλεονεκτεῖ, ἂν καὶ πολλοὶ εἶχαν σχέσεις μαζί του εἰς τὸν μέγιστον βαθμόν. Ποῦ λοιπὸν εἶναι τὸ περισσότερον; Κατ' ἐξοχὴν μὲν καὶ εἰς τοῦτο, τὸ ὅτι δὲν εἶναι προσήλυτος, διότι δὲν εἶχαν πολλοὶ τὴν καταγωγὴν ἀπὸ ἐνδοξοτάτην φυλὴν καὶ αἵρεσιν, καὶ δὲν εἷλκον αὐτὴν ἀνέκαθεν ἀπὸ ἐνδόξους προγόνους. Ἔρχεται ὅμως εἰς ἐκεῖνα ποὺ ἔπραττε κατὰ τὴν προαίρεσίν του, ποὺ εἶναι τὸ σπουδαιότερον.

«Ὡς πρὸς τὸν νόμον ἤμην Φαρισαῖος, ἀπὸ πραγματικὸν ζῆλον κατεδίωκον τὴν Ἐκκλησίαν»[8]. Ἀλλὰ δὲν εἶναι ἀρκετὸν τοῦτο, διότι εἶναι δυνατὸν νὰ ὑπάρχῃ καὶ Φαρισαῖος καὶ νὰ μὴ εἶναι πάρα πολὺ ζηλωτής. Ἀλλὰ καὶ τοῦτο προσθέτει. Ἰδοὺ τὸ περισσότερον. «Ὅσον ἀφορᾷ εἰς τὴν δικαιοσύνην». Ὅμως εἶναι δυνατὸν νὰ εἶναι ριψοκίνδυνον τοῦτο ἢ νὰ τὸ κάμνῃ ἐξ αἰτίας τῆς φιλαρχίας, ἀλλ' ὄχι ἐπειδὴ ἦτο ζηλωτὴς ὡς πρὸς τὸν νόμον, ὅπως βεβαίως ἔπραττον οἱ ἀρχιερεῖς. Ὅμως οὔτε τοῦτο συμβαίνει, ἀλλὰ καὶ «ὅσον ἀφορᾷ εἰς τὴν δικαιοσύνην, ποὺ προήρχετο ἀπὸ τὴν πιστὴν τήρησιν τοῦ νόμου, ὑπῆρξα ἄμεμπτος». Ἐὰν λοιπὸν καὶ ἐξ αἰτίας τῆς εὐγενοῦς καταγωγῆς καὶ τῆς προθυμίας καὶ τοῦ τρόπου καὶ τοῦ βίου ἤμην ἀνώτερος ἀπὸ ὅλους, διὰ ποῖον λόγον ἄφησα τὰ σπουδαῖα ἐκεῖνα, λέγει, παρὰ διὰ νὰ εὕρω περισσότερον ἐκεῖνα ποὺ ἀρέσουν εἰς

Χριστοῦ, καὶ πολλῷ μείζονα; Διὸ ἐπήγαγεν· «Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν».

Παῦλος μὲν πολιτείαν τοσαύτην, οὕτως ἠκριβωμένην, ἐκ πρώτης ἡλικίας ἀρξαμένην, τοσαύτην εὐγένειαν, τοσούτους κινδύνους, τοσαύτας ἐπιβουλάς, πόνους, σπουδὴν ἔρριψε, καὶ ζημίαν ἡγήσατο, πρότερον ὄντα κέρδη, ἵνα Χριστὸν κερδήσῃ· ἡμεῖς δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν, ἵνα Χριστὸν κερδήσωμεν, ἀλλ' αἱρούμεθα μᾶλλον ἐκπεσεῖν τῆς μελλούσης ζωῆς, ἢ τῶν παρόντων πραγμάτων· καίτοιγε οὐδὲν ἄλλο τοῦτό ἐστιν, ἢ ζημία. Εἰπὲ γάρ μοι, καθ' ἕκαστον ἐξετάσωμεν τῶν τοῦ πλούτου πραγμάτων, εἰ μὴ ζημία τίς ἐστι, πόνον μὲν ἔχουσα, κέρδος δὲ οὐδέν. Τί γάρ, εἰπέ μοι, τὸ ὄφελος ἀπὸ τῶν πολλῶν ἱματίων καὶ πολυτελῶν; τί καρπούμεθα κέρδος, ὅταν αὐτὰ ὦμεν περικείμενοι; Οὐδέν, ἀλλ' ἢ ζημιούμεθα μόνον. Πῶς; Ὅτι καὶ ὁ πένης εὐτελὲς καὶ ἐκτετριμμένον φορῶν, ἐν τῷ θάλπει οὐδέν σου χεῖρον φέρει τὸ καῦμα· μᾶλλον δὲ ἐκεῖνος εὐκολώτερον· τὰ γὰρ ἐκτετριμμένα τῶν ἱματίων καὶ μόνα περικείμενα, μᾶλλον ἀνίησι τὸ σῶμα αὐτῶν· τὰ δὲ νεοκατασκεύαστα, κἂν ἀράχνης ᾖ λεπτότερα, οὐχ ὁμοίως. Καὶ σὺ μὲν διὰ τὸν τῦφον τὸν περιττὸν καὶ χιτωνίσκους δύο, καὶ τρεῖς πολλάκις, καὶ χλανίδα καὶ ζώνην καὶ ἀναξυρίδας ἔχεις· ἐκείνῳ δὲ οὐδεὶς ἐγκαλεῖ ἕνα περικειμένῳ χιτωνίσκον μόνον· ὥστε εὐκολώτερον φέρει. Ἀπὸ τούτου τοὺς μὲν πλουτοῦντας ὁρῶμεν ἱδροῦντας, τοὺς δὲ πένητας οὐδὲν τούτων πάσχοντας. Ὅταν οὖν αὐτῷ τὴν αὐτήν, ἢ καὶ κρείττονα παρέχηται χρείαν τὰ εὐτελῆ ἱμάτια καὶ τοῦ μηδενὸς πωλούμενα, ἐκεῖνα δὲ τὰ πολὺ καταβάλλειν ἀναγκάζοντα χρυσίον τὸ αὐτὸ ποιῇ, οὐχὶ ζημία τὸ πολύ, καὶ περιττόν; Οὐδὲν γὰρ πλέον εἰσήνεγκε κατὰ τὸν τῆς χρείας

---

9. Φιλιπ. 3, 7

τὸν Χριστὸν καὶ εἶναι πολὺ μεγαλύτερα; Διὰ τοῦτο προσέθεσεν· «Ἀλλ' ἐκεῖνα, ποὺ ἦσαν τότε εἰς ἐμὲ κέρδη, αὐτὰ ἔχω θεωρήσει ζημίαν προκειμένου νὰ ἀρέσω εἰς τὸν Χριστόν»[9].

Ὁ Παῦλος μὲν προθύμως ἐγκατέλειψεν αὐτὸν τὸν τρόπον ζωῆς, τὸν τόσον τέλειον, ποὺ ἤρχισεν ἀπὸ τὴν πρώτην του ἡλικίαν, τὴν τόσον εὐγενῆ καταγωγήν, τοὺς τόσους κινδύνους, τὰς τόσας σκευωρίας καὶ κακουχίας, καὶ ἐθεώρησεν αὐτὰ ζημίαν, ἐνῷ προηγουμένως ἦσαν κέρδη, διὰ νὰ κερδίσῃ τὸν Χριστόν· ἡμεῖς ὅμως δὲν περιφρονοῦμεν οὔτε τὰ χρήματα διὰ νὰ κερδίσωμεν τὸν Χριστόν, ἀλλὰ προτιμοῦμεν νὰ ἐκπέσωμεν ἀπὸ τὴν μέλλουσαν ζωήν, παρὰ ἀπὸ τὰ πράγματα τῆς παρούσης. Διότι, εἰπέ μου, ἐὰν ἐξετάσωμεν ἰδιαιτέρως τὰ πράγματα τοῦ πλούτου, ἐὰν δὲν εἶναι ζημία, ἔχουν ὅμως μεγάλην στενοχωρίαν καὶ κέρδος κανένα. Διότι, εἰπέ μου, ποῖον εἶναι τὸ ὄφελος ἀπὸ τὰ πολλὰ καὶ τὰ πολυτελῆ ἱμάτια; ποῖον κέρδος ἀπολαμβάνομεν, ὅταν ἐνδυώμεθα αὐτά; Κανένα, παρὰ ζημιούμεθα μόνον. Πῶς; Διότι καὶ ὁ πτωχός, ὅταν ἐνδύεται εὐτελὲς καὶ τετριμμένον ἱμάτιον, δὲν ὑποφέρει τὸν καύσωνα εἰς τὴν ὑπερβολικὴν θερμοκρασίαν καθόλου περισσότερον ἀπὸ σέ, μᾶλλον δὲ ἐκεῖνος ὑποφέρει εὐκολώτερον. Ἐπειδὴ τὰ τετρημμένα ἱμάτια μᾶλλον ἀνακουφίζουν τὸ σῶμα, καὶ ὅταν φοροῦν μόνον αὐτά· δὲν συμβαίνει ὅμως τὸ αὐτὸ μὲ τὰ καινουργῆ καὶ ἂν ἀκόμη εἶναι λεπτότερα ἀπὸ τὴν ἀράχνην. Καὶ σὺ μὲν ἐξ αἰτίας τῆς ὑπερβολικῆς σου ἀλαζονείας ἔχεις καὶ δύο μικροὺς χιτῶνας, καὶ πολλάκις τρεῖς καὶ ἐπανωφόριον καὶ ζώνην καὶ περισκελίδας· κανεὶς ὅμως δὲν κατηγορεῖ ἐκεῖνον ποὺ φορεῖ ἕνα μόνον μικρὸν χιτῶνα καὶ συνεπῶς εὐκολώτερον τὰ φέρει. Ἐξ αἰτίας τούτου βλέπομεν τοὺς μὲν πλουσίους νὰ ἱδρώνουν, τοὺς δὲ πτωχοὺς νὰ μὴ πάσχουν τίποτε ἀπ' αὐτά. Ὅταν λοιπὸν εἰς αὐτὸν παρέχουν τὴν ἰδίαν ἢ καὶ καλυτέραν χρῆσιν τὰ εὐτελῆ καὶ τὰ μηδαμινὰ εἰς ἀξίαν ἱμάτια, ἐκεῖνα δέ, ποὺ τὸν ἀναγκάζουν νὰ πληρώσῃ πολλὰ χρήματα, παρέχουν τὴν αὐτὴν χρῆσιν, δὲν εἶναι ζημία τὸ πολὺ καὶ τὸ περιττόν; Διότι τίποτε πε-

λόγον καὶ τῆς διακονίας, ἀλλὰ πλέον χρυσίον κεκένωταί σοι· καὶ τὴν αὐτὴν χρείαν καὶ ὑπηρεσίαν σὺ μὲν ὁ πλουτῶν ἠγόρασας χρυσίνων ἑκατόν, ἢ πλειόνων, ὁ δὲ πένης ἀργυρίου ὀλίγου.

Εἶδες τὴν ζημίαν; Ἀλλ' ὁ τῦφος οὐκ ἀφίησιν ἰδεῖν. Βούλει καὶ ἐπὶ τῶν χρυσίων, ὧν καὶ τοῖς ἵπποις καὶ τοῖς γυναιξὶ περιτιθέασι, τοῦτον ἐξετάσωμεν τὸν λόγον; Μετὰ γὰρ τῶν ἄλλων καὶ ἀνοήτους ποιεῖ τὸ πλουτεῖν. Τῆς αὐτῆς τιμῆς τάς τε γυναῖκας ἀξιοῦσι καὶ τοὺς ἵππους, καὶ εἰς καλλωπισμὸς ἀμφοτέρων· καὶ ἀπὸ τῶν αὐτῶν βούλονται φαίνεσθαι λαμπρότεραι, ἀφ' ὧν καὶ τὰ ζεύγη, ἀφ' ὧν καὶ τὰ δέρματα τῶν παραπετασμάτων, ἔνθα φέρονται. Εἰπε, τί τὸ κέρδος, ἡμίονον ἢ ἵππον τῷ χρυσῷ κατακοσμεῖσθαι; ἡ δὲ γυνὴ τοσοῦτον ὄγκον χρυσίου περικειμένη καὶ λίθων, τί τὸ πλέον ἔχει; Ἀλλ' οὐκ ἐκτρίβεται τὰ χρυσία, φησί. Μάλιστα μὲν καὶ τοῦτό φασιν, ὅτι ἐν βαλανείοις καὶ πολλαχοῦ καὶ λίθοι καὶ χρυσία πολὺ τῆς τιμῆς ἀποτίθεται· πλὴν ἀλλ' ἔστω τοῦτο, καὶ μηδὲν βλαπτέσθω· τί τὸ κέρδος, εἰπέ μοι; τί δέ, ὅταν ἐκπέσῃ καὶ ἀπόληται, οὐχὶ ζημία; τί δέ, ὅταν φθόνον ἐπισπάσηται καὶ ἐπιβουλήν, οὐχὶ ζημία; Ὅταν γὰρ ὠφελῇ μὲν μηδὲν τὴν περικειμένην, ἐκκαίῃ δὲ τοὺς τῶν φθονερῶν ὀφθαλμούς, καὶ τοὺς λῃστὰς διεγείρῃ μᾶλλον, οὐχὶ ζημία γίνεται;

Τί δέ, εἰπέ μοι, ὅταν ἐξὸν τῷ ἀνδρὶ χρήσασθαι τούτοις εἰς πρᾶγμα κέρδος φέρον, μὴ δύνηται διὰ τὴν τῆς γυναικὸς πολυτέλειαν, ἀλλ' ἀναγκάζηται λιμώττειν καὶ στενοχωρεῖσθαι, κἀκείνην ὁρᾶν χρυσοφοροῦσαν, οὐχὶ ζημία τὸ πρᾶγμα; Χρήματα γὰρ διὰ τοῦτο εἴρηται, οὐχ ἵνα οὕτω χρώμεθα αὐτοῖς, καθάπερ αἱ προθῆκαι τῶν χρυσοχόων, ἀλλ' ἵνα ἐργαζώμεθά τι καλὸν ἐν αὐτοῖς. Ὅταν οὖν ὁ τοῦ

ρισσότερον δὲν προσέφερεν εἰς τὴν ἀνάγκην καὶ τὴν ὑπηρεσίαν σου, ἀλλ' ἔχει ἀφαιρέσει ἀπὸ σὲ περισσότερα χρήματα· καὶ τὴν ἰδίαν ἀνάγκην καὶ ὑπηρεσίαν σὺ μὲν ὁ πλούσιος ἠγόρασες ἀντὶ ἑκατὸν ἢ περισσοτέρων χρυσῶν νομισμάτων, ὁ δὲ πτωχὸς ἀντὶ ὀλίγων ἀργυρῶν.

Εἶδες τὴν ζημίαν; Ἀλλ' ἡ ἀλαζονεία δὲν σὲ ἐπιτρέπει νὰ ἰδῇς. Θέλεις νὰ παραβάλωμεν τοῦτον τὸν λόγον καὶ εἰς τὰ χρυσᾶ, τὰ ὁποῖα φοροῦν καὶ εἰς τοὺς ἵππους καὶ εἰς τὰς γυναῖκας; Διότι ἐκτὸς τῶν ἄλλων ὁ πλοῦτος καθιστᾷ καὶ ἀνοήτους τοὺς ἀνθρώπους. Τιμοῦν μὲ τὴν ἰδίαν τιμὴν καὶ τὰς γυναῖκας καὶ τοὺς ἵππους, καὶ καλλωπίζουν μὲ τὸν αὐτὸν τρόπον καὶ τοὺς δύο. Καὶ ἐπιθυμοῦν νὰ φαίνωνται λαμπρότεραι ἀπὸ τὰ ἴδια, ἀπὸ τὰ ὁποῖα καὶ τὰ ζῶα καὶ τὰ δέρματα τῶν παραπετασμάτων, ὅπου φέρονται. Εἰπέ, ποῖον τὸ κέρδος νὰ στολίζωμεν ὑπερβολικὰ μὲ χρυσὸν τὸν ἡμίονον ἢ τὸν ἵππον; καὶ ἡ γυναῖκα, ποὺ φορεῖ τόσον πολλὰ χρυσᾶ κοσμήματα καὶ πολυτίμους λίθους, τί τὸ περισσότερον ἔχει; Ἀλλ' ὅμως δὲν καταστρέφονται τὰ χρυσᾶ, θὰ εἰπῇ κάποιος. Μάλιστα δὲ καὶ τοῦτο λέγουν, ὅτι ἀποθέτουν καὶ πολυτίμους λίθους καὶ χρυσᾶ κοσμήματα εἰς τὰ λουτρὰ καὶ εἰς πολλὰ μέρη. Ἀλλ' ὅμως ἔστω ὅτι συμβαίνει αὐτὸ καὶ εἰς τίποτε δὲν βλάπτεται· εἰπέ μου, ποῖον τὸ κέρδος; καὶ τί, ὅταν πέσῃ καὶ ἀπολεσθῇ, δὲν εἶναι ζημία; καὶ τί, ὅταν προκαλέσῃ τὸν φθόνον καὶ τὴν σκευωρίαν, δὲν εἶναι ζημία; Διότι ὅταν μὲν δὲν ὠφελῇ καθόλου ἐκείνην ποὺ τὸ φορεῖ, ἀλλ' ἐξοργίζῃ τοὺς ὀφθαλμοὺς τῶν φθονερῶν, καὶ παρακινεῖ τοὺς ληστάς, δὲν γίνεται ζημία;

Καὶ τί, εἰπέ μου, ὅταν ἐνῷ εἶναι δυνατὸν νὰ χρησιμοποιήσῃ αὐτὰ ὁ ἄνδρας εἰς κάτι ποὺ ἀποφέρει κέρδος, δὲν θὰ ἠμπορέσῃ ἐξ αἰτίας τῆς πολυτελείας τῆς γυναικός, ἀλλ' ἀναγκάζεται νὰ ὑποφέρῃ ἀπὸ πεῖναν καὶ νὰ στενοχωρῆται, καὶ νὰ βλέπῃ ἐκείνην νὰ φορῇ χρυσᾶ κοσμήματα, δὲν εἶναι αὐτὸ ζημία; Διὰ τοῦτο βέβαια ἔχουν ὀνομασθῆ χρήματα, ὄχι διὰ νὰ τὰ χρησιμοποιοῦμεν ἔτσι, ὅπως ἀκριβῶς αἱ προθῆκαι τῶν χρυσοχόων, ἀλλὰ διὰ νὰ κάμνωμεν μὲ αὐτὰ κάτι τὸ καλόν. Ὅταν λοιπὸν δὲν ἀφήνῃ ἡ ἐπιθυμία

χρυσοῦ πόθος μὴ ἀφῇ, οὐχὶ ζημία ἐστὶ τὸ πᾶν; Ὁ γὰρ μὴ τολμᾶν αὐτοῖς χρήσασθαι, ὥσπερ ἀλλοτρίοις, οὐ κέχρηται, καὶ οὐκ ἔστι χρῆσις οὐδαμῶς. Τί δέ, ὅταν οἰκίας οἰκοδομῶμεν καὶ λαμπρὰς καὶ μεγάλας, καὶ κίοσι καὶ μαρμάροις καὶ στοαῖς καὶ περιπάτοις καὶ παντοίως ταύτας κατακοσμῶμεν, εἴδωλα πανταχοῦ καὶ ξόανα ἱστῶντες; Πολλοὶ μὲν οὖν ἀπὸ τούτων καὶ δαίμονας καλοῦσι· πλὴν ἀλλὰ μὴ ταῦτα ἐξετάσωμεν. Τί βούλεται καὶ ὁ χρυσοῦς ὄροφος; οὐχὶ τὴν αὐτὴν τῷ μετὰ συμμετρίας οἰκίαν ἔχοντι παρέχεται τὴν χρῆσιν; Ἀλλ' ἔχει τέρψιν πολλήν. Ἀλλὰ μέχρις ἡμέρας μιᾶς καὶ δευτέρας, λοιπὸν δὲ οὐκέτι, ἀλλ' ἁπλῶς ἵσταται. Εἰ γὰρ ὁ ἥλιος ἡμᾶς οὐκ ἐκπλήττει διὰ τὸ ἐν συνηθείᾳ εἶναι, πολλῷ μᾶλλον τὰ ἔργα τῆς τέχνης· ἀλλ' ὁμοίως τοῖς πηλίνοις, αὐτοῖς προσέχομεν. Τί γάρ, εἰπέ μοι, εἰς ἀρίστην οἴκησιν κιόνων πλῆθος, καὶ ξοάνων κάλλη, καὶ χρυσὸς τοῖς τοίχοις διεσπαρμένος συμβάλλεται; Οὐδέν, ἀλλὰ βλακείας καὶ ὕβρεως καὶ τύφου περιττοῦ καὶ ἀνοίας ἐστί. Πανταχοῦ γὰρ τῶν ἀναγκαίων εἶναι χρὴ καὶ τῶν ἐν χρείᾳ, οὐ τῶν περιττῶν.

Ὁρᾷς ὅτι ζημίᾳ τὸ πρᾶγμα; ὁρᾷς ὅτι περιττὸν καὶ ἀνόνητόν ἐστιν; Εἰ γὰρ μήτε χρείαν παρέχει πλείονα, μήτε τέρψιν· προσκορὴς γὰρ τῷ χρόνῳ γίνεται· οὐδὲν ἕτερόν ἐστιν ἢ ζημία. Ἀλλ' οὐκ ἀφίησι τοῦτο δρᾶν ἡ κενοδοξία κωλύουσα. Εἶτα ὁ μὲν Παῦλος ἅπερ ἐνόμιζεν εἶναι κέρδη, ταῦτα εἴασεν, ἡμεῖς δὲ οὐδὲ τὴν ζημίαν ἀφῶμεν διὰ τὸν Χριστόν; Μέχρι πότε τῇ γῇ προσηλώμεθα; μέχρι τίνος οὐκ ἀναβλέπο-

τοῦ χρυσοῦ, δὲν εἶναι ζημία τὸ πᾶν; Διότι ἐκεῖνος ποὺ δὲν τολμᾷ νὰ χρησιμοποιήσῃ αὐτά, ὅπως ἀκριβῶς δὲν χρησιμοποιεῖ τὰ ἀνήκοντα εἰς ἄλλους, δὲν εἶναι καθόλου ὠφέλιμα. Καὶ τί, ὅταν κτίζωμεν σπίτια πολυτελῆ καὶ μεγάλα, μὲ κίονας καὶ μὲ μάρμαρα καὶ μὲ στοὰς καὶ μὲ χώρους διὰ περιπάτους, καὶ μὲ κάθε μέσον στολίζωμεν αὐτά, τοποθετοῦντες παντοῦ εἴδωλα καὶ ξύλινα ἀγάλματα; Ἀπ' αὐτοὺς πολλοὶ μὲν καλοῦν καὶ δαίμονας, ἀλλ' ὅμως ἂς μὴ ἐξετάσωμεν αὐτά. Τί χρειάζεται καὶ ἡ χρυσῆ στέγη; Δὲν παρέχει τὴν ἰδίαν χρησιμότητα εἰς αὐτὸν ποὺ ἔχει κατασκευασμένον σπίτι μὲ κοινὰ ὑλικά; Ὅμως εἶναι πολὺ εὐχάριστον. Ἀλλὰ διὰ μίαν καὶ δύο ἡμέρας, εἰς τὸ ἑξῆς ὅμως ὄχι πλέον, ἀλλ' ἁπλῶς ὑπάρχει. Διότι ἐὰν ὁ ἥλιος δὲν μᾶς προκαλῇ κατάπληξιν, ἐπειδὴ τὸν ἔχομεν συνηθίσει, πολὺ περισσότερον τὰ ἔργα τῆς τέχνης, διότι ὁμοίως μὲ τοὺς πηλίνους ἀνδριάντας, προσέχομεν αὐτά. Διότι, εἰπέ μου, τί προσφέρουν εἰς μίαν ἐξαίρετον κατοικίαν τὸ πλῆθος τῶν κιόνων, τὰ κάλλη τῶν ξυλίνων ἀγαλμάτων καὶ ὁ χρυσὸς ποὺ εἶναι διασκορπισμένος εἰς τοὺς τοίχους; Τίποτε, ἀλλὰ τοῦτο εἶναι χαρακτηριστικὸν τῆς βλακείας καὶ τῆς ὕβρεως καὶ τῆς περιττῆς ἀλαζονείας καὶ τῆς ἀπογνώσεως. Βέβαια παντοῦ εἶναι ἀνάγκη νὰ ὑπάρχουν τὰ ἀπαραίτητα εἰς τὴν ζωὴν καὶ αὐτὰ ποὺ χρησιμοποιοῦνται, ὄχι τὰ περιττά.

Βλέπεις ὅτι τὸ πᾶγμα εἶναι ζημία; βλέπεις ὅτι εἶναι περιττὸν καὶ ἀνωφελές; Διότι ἐὰν δὲν παρέχῃ περισσοτέραν χρησιμότητα, οὔτε εὐχαρίστησιν, ἐπειδὴ μὲ τὴν πάροδον τοῦ χρόνου γίνεται ἐνοχλητική, τίποτε ἄλλο δὲν εἶναι παρὰ ζημία. Ἀλλὰ δὲν ἐπιτρέπει νὰ τὸ ἰδῇς αὐτὸ ἡ κενοδοξία, ποὺ παρεμβάλλει ἐμπόδια. Ἔπειτα ὁ μὲν Παῦλος ἐκεῖνα ποὺ ἐνόμιζεν ὅτι εἶναι κέρδη, αὐτὰ τὰ ἄφησεν, ἡμεῖς ὅμως δὲν θὰ ἀφήσωμεν οὔτε τὴν ζημίαν διὰ τὸν Χριστόν; Μέχρι πότε θὰ εἴμεθα προσηλωμένοι εἰς τὴν γῆν; ἕως πότε δὲν θὰ ἀναβλέπωμεν εἰς τὸν οὐρανόν; Δὲν βλέπετε αὐτοὺς ποὺ ἔχουν γίνει γέροντες, πῶς δὲν ἔχουν καμμίαν αἴσθησιν τῶν παρελθόντων; δὲν βλέπετε αὐτοὺς ποὺ ἀποθνήσκουν κατὰ τὰ γηρατεῖα καὶ κατὰ τὴν νεανικὴν ἡλι-

μεν εἰς τὸν οὐρανόν; Οὐχ ὁρᾶτε τοὺς γεγηρακότας, πῶς οὐδεμίαν τῶν παρελθόντων ἔχουσιν αἴσθησιν; οὐχ ὁρᾶτε τοὺς τελευτῶντας, τοὺς ἐν γήρᾳ, τοὺς ἐν νεότητι; οὐχ ὁρᾶτε τοὺς ἐν τῷ ζῆν ἀπεστερημένους αὐτῶν; Τί τοῖς ἀστάτοις προστετήκαμεν, τί προσδεδέμεθα τοῖς ἀβεβαίοις; μέχρι τίνος οὐκ ἀντιλαμβανόμεθα τῶν μενόντων; Τί οὐκ ἂν ἔδωκαν οἱ γέροντες, εἴγε ἐνῆν ἀποξέσαι τὸ γῆρας; Εἶτα πόσης οὐκ ἔστιν ἀλογίας, βούλεσθαι μὲν ἐπὶ τὴν νεότητα τὴν προτέραν ἐπανελθεῖν, καὶ πάντα εὐκόλως ἂν ὑπὲρ τούτου δοῦναι, ὥστε γενέσθαι νεώτερον, παρὸν δὲ νεότητα λαβεῖν οὐδέποτε γῆρας ἔχουσαν, καὶ νεότητα μετὰ πλούτου πολλοῦ πολὺ πνευματικωτέραν, μηδὲ μικρὸν βούλεσθαι προέσθαι, ἀλλὰ κατέχειν τὰ μηδὲν εἰς τὸ παρὸν ὠφελοῦντα; Θανάτου σε ἐξελέσθαι οὐ δύναται, νόσον ἀπελάσαι οὐκ ἰσχύει, γῆρας κωλῦσαι, οὐδὲν τούτων τῶν ἀναγκαίων καὶ κατὰ τὸν τῆς φύσεως νόμον παραγινομένων· καὶ ἔτι αὐτῶν ἔχῃ; Τί τὸ κέρδος, εἰπέ μοι; Μέθη, γαστριμαργία, ἡδοναὶ ἄτοποι καὶ παντοδαπαί, πικρῶν δεσποτῶν μᾶλλον ἡμᾶς κατατείνουσαι. Ταῦτα ἀπὸ τοῦ πλούτου κερδαίνειν ἐστὶ μόνον, ἕτερον δὲ οὐδέν, ἐπειδὴ οὐ βουλόμεθα· ἐπεὶ εἴγε ἠθέλομεν, τὸν οὐρανὸν αὐτὸν ἂν ἐκληρονομήσαμεν ἀπὸ πλούτου.

Οὐκοῦν καλὸν ὁ πλοῦτος, φησίν. Οὐχ ὁ πλοῦτος τοῦτο ποιεῖ, ἀλλ' ἡ τοῦ κεκτημένου προαίρεσις. Ὅτι γὰρ προαίρεσις τοῦτο ποιεῖ, ἔνεστι καὶ τὸν πένητα κατακληρονομῆσαι τὸν οὐρανόν. Ὅπερ γὰρ πολλάκις εἶπον, οὐ τῷ μέτρῳ τῶν διδομένων ὁ Θεὸς προσέχει, ἀλλὰ τῇ προαιρέσει τῶν παρεχόντων. Ἔνεστι καὶ ἐν πενίᾳ ὄντα, καὶ ὀλίγα δόντα, τὸ πᾶν ἀπενέγκασθαι· τὰ γὰρ κατὰ δύναμιν ὁ Θεὸς ἀπαιτεῖ. Οὔτε πλοῦτος προξενεῖ τὸν οὐρανόν, οὔτε πενία τὴν γέενναν, ἀλλ' ἑκάτερα προαίρεσις ἀγαθὴ καὶ μοχθηρά. Ταύτην οὖν

κίαν; δὲν βλέπετε αὐτοὺς ποὺ εὑρίσκονται εἰς τὴν ζωὴν καὶ στεροῦνται αὐτά; Διατί ἔχομεν προσκολληθῆ εἰς τὰ ἀσταθῆ πράγματα, διατί εἴμεθα προσδεδεμένοι εἰς τὰ ἀβέβαια; μέχρι πότε δὲν θὰ ἀντιλαμβανώμεθα αὐτὰ ποὺ παραμένουν ἀμετάβλητα; Τί δὲν θὰ ἔδιδον οἱ γέροντες, ἐὰν βεβαίως ἦτο δυνατόν, νὰ ἀπομακρύνουν τὰ γηρατεῖα; Ἔπειτα πόσης παραφροσύνης δὲν εἶναι δεῖγμα τὸ νὰ θέλῃ μὲν κανεὶς νὰ ἐπανέλθῃ εἰς τὴν προηγουμένην νεότητα, καὶ δι' αὐτὸ τὰ πάντα εὐκόλως νὰ ἠμπορῇ νὰ δώσῃ, ὥστε νὰ γίνῃ νεώτερος, ἐνῷ ἠμπορεῖ νὰ λάβῃ νεότητα ποὺ δὲν ἔχει ποτὲ γηρατεῖα καὶ μὲ πολὺν πλοῦτον καὶ περισσότερον πνευματικωτέραν, ὅμως νὰ μὴ θέλῃ οὔτε δι' ὀλίγον νὰ ἀφήσῃ ἀλλὰ νὰ κατέχῃ αὐτὰ ποὺ δὲν ὠφελοῦν καθόλου εἰς τὴν παροῦσαν ζωήν; Δὲν ἠμποροῦν νὰ σὲ σώσουν ἀπὸ τὸν θάνατον, δὲν εἶναι εἰς θέσιν νὰ ἀποτρέψουν τὴν ἀσθένειαν, νὰ ἐμποδίσουν τὰ γηρατεῖα, τίποτε ἀπ' αὐτὰ ποὺ εἶναι ἀναγκαῖα καὶ ἔρχονται κατὰ τὸν νόμον τῆς φύσεως, καὶ ἀκόμη ἀκολουθεῖς αὐτά; Εἰπέ μου, ποῖον τὸ κέρδος; Ἡ μέθη, ἡ γαστριμαργία, αἱ ἄσεμνοι καὶ αἱ παντὸς εἴδους ἡδοναί, ποὺ μᾶς βασανίζουν περισσότερον ἀπὸ τοὺς σκληροὺς κυρίους μας. Αὐτὰ μόνον εἶναι δυνατὸν νὰ κερδίσωμεν ἀπὸ τὸν πλοῦτον, τίποτε δὲ ἄλλο, ἐπειδὴ δὲν θέλομεν. Διότι ἐὰν πράγματι ἠθέλαμεν, θὰ ἠμπορούσαμεν νὰ κληρονομήσωμεν ἀπὸ τὸν πλοῦτον τὸν οὐρανὸν τὸν ἴδιον.

Ἐπομένως, λέγει, ὁ πλοῦτος εἶναι καλὸν πρᾶγμα. Δὲν ἐπιτυγχάνει αὐτὸ ὁ πλοῦτος, ἀλλ' ἡ προαίρεσις ἐκείνου, ποὺ ἔχει τὸν πλοῦτον. Ἀφοῦ λοιπὸν ἐπιτυγχάνῃ αὐτὸ ἡ προαίρεσις, εἶναι δυνατὸν καὶ ὁ πτωχὸς νὰ κληρονομήσῃ τὸν οὐρανόν. Αὐτὸ βεβαίως ποὺ εἶπα πολλὰς φοράς, ὁ Θεὸς δὲν προσέχει εἰς τὴν ποσότητα αὐτῶν ποὺ δίδονται, ἀλλ' εἰς τὴν προαίρεσιν ἐκείνων ποὺ δίδουν. Εἶναι δυνατὸν καὶ ὅταν εἶσαι πτωχὸς καὶ ἔδωσες ὀλίγα, νὰ κερδίσῃς τὸ πᾶν, διότι ὁ Θεὸς ἀπαιτεῖ ἀπὸ τὸν καθένα τὸ κατὰ δύναμιν. Οὔτε ὁ πλοῦτος γίνεται αἴτιος διὰ τὸν οὐρανόν, οὔτε ἡ πτωχεία διὰ τὴν γέενναν, ἀλλὰ καὶ διὰ τὰ δύο ἡ ἀγαθὴ καὶ ἡ πονηρὰ προαίρεσις. Ἂς διορθώσωμεν λοιπὸν αὐτήν, ἂς

διορθώσωμεν, ταύτην ἀνακτησώμεθα, ταύτην ρυθμίσωμεν, καὶ πάντα ἡμῖν ἔσται εὔκολα. Καθάπερ γὰρ ὁ τεχνίτης, ἄν τε σιδηροῦν, ἄν τε χρυσοῦν σκέπαρνον ἔχῃ, ὁμοίως ἐργάζεται τὰ ξύλα, μᾶλλον δὲ ἐν τῷ σιδηρῷ πλέον, οὕτω καὶ ἐνταῦθα, εὐκολώτερον μᾶλλον διὰ τῆς πενίας ἡ ἀρετὴ κατορθοῦται. Περὶ μὲν γὰρ τοῦ πλούτου φησίν, «Εὐκολώτερον κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Περὶ δὲ τῆς πενίας οὐδὲν τοιοῦτον ἀπεφήνατο, ἀλλὰ καὶ τοὐναντίον· «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι»· ὡς ἐκ τῆς πράσεως τῆς ἀκολουθήσεως οὔσης.

Μὴ τοίνυν φεύγωμεν τὴν πενίαν, ὡς πονηρόν· βασιλείας γάρ ἐστι πρόξενος· καὶ πάλιν μὴ διώκωμεν τὸν πλοῦτον, ὡς ἀγαθόν· τοὺς γὰρ μὴ προσέχοντας ἀπόλλυσιν· ἀλλὰ πανταχοῦ τὸ ὄμμα πρὸς τὸν Θεὸν ἀνατείνοντες, χρώμεθα εἰς δέον τοῖς ὑπηργμένοις ἡμῖν παρ' αὐτοῦ, καὶ δυνάμει σώματος, καὶ περιουσίᾳ χρημάτων, καὶ τοῖς ἄλλοις ἅπασιν. Καὶ γὰρ ἄτοπον ὑπ' αὐτοῦ γενομένους, ἑτέροις ταῦτα παρέχειν χρήσιμα, ἀλλὰ μὴ τῷ πεποιηκότι ἡμᾶς. Ἐποίησέ σοι ὀφθαλμόν; Τοῦτον αὐτῷ πάρεχε χρήσιμον, μὴ τῷ διαβόλῳ. Πῶς δὲ αὐτῷ παρέξεις; Τὰ κτίσματα αὐτοῦ θεωρῶν, καὶ αἰνῶν αὐτὸν καὶ δοξάζων καὶ ἀπάγων τῆς τῶν γυναικῶν ὄψεως. Ἐποίησέ σοι χεῖρας; Ταύτας αὐτῷ κέκτησο, μὴ τῷ διαβόλῳ, μὴ εἰς ἁρπαγὰς καὶ πλεονεξίας, ἀλλ' εἰς ἐντολὰς καὶ εὐποιΐας, καὶ εἰς εὐχὰς ἐκτενεῖς ἀνατείνων αὐτάς, εἰς τὸ τοῖς πεπτωκόσιν ὀρέγειν χεῖρα. Ἐποίησέ σοι ὦτα; Ταῦτα αὐτῷ πάρεχε, μὴ τοῖς διακεκλασμένοις μέλεσι, μηδὲ ταῖς αἰσχραῖς ἀκοαῖς, ἀλλὰ «Πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου». «Ἐν πλήθει» γάρ, φησί, «πρεσβυτέρων στῆθι,

---

10. Ματθ. 19, 24. 21

ἐνδυναμώσωμεν αὐτήν, ἂς διαμορφώσωμεν αὐτήν, καὶ ὅλα θὰ εἶναι εὔκολα εἰς ἡμᾶς. Ὅπως ἀκριβῶς ὁ τεχνίτης, εἴτε ἔχῃ σιδηροῦν εἴτε χρυσὸν σκεπάρνι, κατεργάζεται κατὰ τὸν ὅμοιον τρόπον τὰ ξύλα, μάλιστα δὲ καλύτερον μὲ τὸ σιδηροῦν, ἔτσι καὶ ἐδῶ, ἡ ἀρετὴ κατορθώνεται εὐκολώτερον μᾶλλον μὲ τὴν πτωχείαν. Διότι διὰ μὲν τὸν πλοῦτον λέγει ὁ Χριστός· «Εὐκολώτερον εἶναι νὰ εἰσέλθῃ ἡ κάμηλος ἀπὸ τὴν ὀπὴν τῆς βελόνης, παρὰ ὁ πλούσιος νὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν», διὰ δὲ τὴν πτωχείαν δὲν διεκήρυξε τίποτε τὸ παρόμοιον, ἀλλὰ καὶ τὸ ἀντίθετον· «Πώλησε τὰ ὑπάρχοντά σου, καὶ μοίρασέ τα εἰς τοὺς πτωχούς, καὶ ἔλα νὰ μὲ ἀκολουθήσῃς»[10], ἐπειδὴ ἐξηρτᾶτο ἡ ἀκολούθησις ἀπὸ τὴν πώλησιν τῶν ὑπαρχόντων.

Ἂς μὴ ἀποφεύγωμεν λοιπὸν τὴν πτωχείαν ὡς κακόν, διότι γίνεται πρόξενος τῆς Βασιλείας τῶν Οὐρανῶν. Καὶ πάλιν ἂς μὴ ἐπιδιώκωμεν τὸν πλοῦτον ὡς ἀγαθόν, διότι καταστρέφει ἐκείνους ποὺ δὲν προσέχουν. Ἀλλὰ παντοῦ, ὑψώνοντες τὸ βλέμμα πρὸς τὸν Θεόν, ἂς χρησιμοποιοῦμεν ὅπως πρέπει αὐτά, ποὺ ἔχουν δημιουργηθῆ ἀπὸ τὸν Θεὸν πρὸς χάριν μας, καὶ τὴν σωματικήν μας δύναμιν, καὶ τὴν ἀφθονίαν τῶν χρημάτων, καὶ ὅλα τὰ ἄλλα. Καὶ πράγματι εἶναι ἄτοπον, ἐνῷ ἔχομεν γίνει ἀπ' αὐτόν, εἰς ἄλλους νὰ παρέχουν αὐτὰ ὠφελείας, ἀλλ' ὄχι εἰς τὸν δημιουργόν μας. Ἐδημιούργησεν εἰς σὲ ὀφθαλμόν; Πρόσφερε αὐτὸν ὠφέλιμον εἰς αὐτόν, ὄχι εἰς τὸν διάβολον. Πῶς δὲ θὰ τὸν προσφέρῃς εἰς αὐτόν; Ὅταν παρατηρῇς τὰ κτίσματα αὐτοῦ, καὶ ὑμνῇς καὶ δοξάζῃς αὐτόν, καὶ ὅταν ἀπομακρύνῃς αὐτὸν ἀπὸ τὸ πρόσωπον τῶν γυναικῶν. Ἐδημιούργησεν εἰς σὲ τὰ χέρια; Νὰ ἔχῃς αὐτὰ διὰ τὸν Θεόν, ὄχι διὰ τὸν διάβολον, ὄχι διὰ ἁρπαγὰς καὶ πλεονεξίας, ἀλλὰ διὰ τὴν τήρησιν τῶν ἐντολῶν καὶ τὰς ἀγαθοεργίας καὶ νὰ ὑψώνῃς αὐτὰ εἰς ἐκτενεῖς προσευχάς, διὰ νὰ βοηθῇς τοὺς πεπτωκότας. Ἐδημιούργησεν εἰς σὲ τὰ αὐτιά; Πρόσφερέ τα εἰς αὐτόν, ὄχι εἰς τὰ ἀνήθικα ᾄσματα, οὔτε εἰς τοὺς αἰσχροὺς λόγους, ἀλλὰ «Κάθε συνομιλία σου ἂς ἀναφέρεται εἰς τὸν νόμον τοῦ Ὑψίστου». «Εἰς συγκέντρωσιν πρεσβυτέρων, λέγει, στά-

καὶ τίς σοφός, αὐτῷ προσκολλήθητι». Ἐποίησέ σοι στόμα; Τοῦτο μηδὲν πραττέτω τῶν μὴ δοκούντων αὐτῷ, ἀλλὰ ψαλμῳδίας, ὕμνους, ᾠδὰς πνευματικὰς ᾀδέτω· «Ἵνα δῶ χάριν», φησί, «τοῖς ἀκούουσιν», εἰς οἰκοδομήν, καὶ μὴ εἰς καταστροφήν, εἰς εὐφημίαν, καὶ μὴ εἰς κακηγορίαν, μὴ εἰς ἐπιβουλάς, ἀλλὰ πᾶν τοὐναντίον. Ἐποίησέ σοι πόδας, οὐχ ἵνα τρέχῃς ἐπὶ κακίαν, ἀλλ' ἐπὶ ἀγαθά. Ἐποίησέ σοι γαστέρα, οὐχ ἵνα διαρρηγνύῃς αὐτήν, ἀλλ' ἵνα φιλοσοφῇς. Ἔθηκεν ἐπιθυμίαν πρὸς παιδοποιΐαν, ἀλλ' οὐ πρὸς πορνείαν καὶ μοιχείαν. Ἔδωκέ σοι νοῦν, οὐχ ἵνα αὐτὸν βλασφημῇς, οὐχ ἵνα λοίδορος ἧς, ἀλλ' ἵνα ἄψευστος.

Ἔδωκε καὶ χρήματα, ἵνα εἰς δέον αὐτοῖς χρώμεθα· καὶ ἰσχύν, ἵνα καὶ ταύτῃ εἰς δέον ὦμεν κεχρημένοι. Ἐποίησε τέχνας, ἵνα βίος συνεστήκῃ, οὐχ ἵνα τῶν πνευματικῶν ἀπαρτήσωμεν ἑαυτούς, οὐχ ἵνα ταῖς βαναύσοις προσέχωμεν τέχναις, ἀλλὰ ταῖς ἀναγκαίαις, ἵνα ἀλλήλοις ὑπηρετῶμεν, οὐχ ἵνα ἀλλήλοις ἐπιβουλεύωμεν. Ἔδωκεν ὄροφον, ἵνα στέγῃ τὸν ὑετόν, τοσοῦτον μόνον, οὐχ ἵνα καλλωπίζηται οὗτος μὲν τῷ χρυσῷ, ὁ δὲ πένης διαφθείρηται τῷ λιμῷ. Ἔδωκεν ἱμάτια, ἵνα σκεπώμεθα, οὐχ ἵνα ἐπιδεικνώμεθα, οὐχ ἵνα ταῦτα μὲν ᾖ πολὺ ἔχοντα χρυσίον, ὁ δὲ Χριστὸς γυμνὸς ἀπολύηται. Ἔδωκε στέγην, οὐχ ἵνα μόνος ἔχῃς, ἀλλ' ἵνα καὶ ἄλλοις παρέχῃς. Ἔδωκε γῆν, οὐχ ἵνα σὺ τὸ πλέον αὐτῆς ὑποτεμνόμενος, εἰς πόρνας καὶ ὀρχηστὰς καὶ μίμους καὶ αὐλητὰς καὶ κιθαρῳδοὺς ἀναλίσκῃς τὰ τοῦ Θεοῦ ἀγαθά, ἀλλ' εἰς πεινῶντας καὶ δεομένους. Ἔδωκέ σοι θάλαττον, ἵνα πλέῃς, ἵνα μὴ κάμνῃς ὁδοιπορῶν, οὐχ ἵνα περιεργάζῃ αὐτῆς τὰ βάθη, καὶ λίθους καὶ ὅσα τοιαῦτα ἐκεῖθεν ἀναφέρῃς, οὐδ' ἵνα ἔργον τοῦτο ποιῇ.

---

11. Σοφ. Σειρ. 9, 15· 6, 34.
12. Ἐφ. 4, 29

σου ὄρθιος καὶ ἐξέτασε ποῖος εἶναι ὁ σοφώτερος καὶ εἰς αὐτὸν προσκολλήσου»[11]. Ἐδημιούργησεν εἰς σὲ τὸ στόμα; Ἄς μὴ κάνῃ τοῦτο τίποτε ἀπ' αὐτὰ ποὺ δὲν ἀρέσουν εἰς τὸν Θεόν, ἀλλ' ἄς ψάλλῃ ψαλμωδίας, ὕμνους, ᾠδὰς πνευματικάς. «Διὰ νὰ μεταδώσῃ χάριν», λέγει, «εἰς τοὺς ἀκούοντας»[12], διὰ νὰ οἰκοδομήσῃ καὶ ὄχι νὰ καταστρέψῃ, δι' ἔπαινον καὶ ὄχι δι' ἐξύβρισιν, ὄχι διὰ σκευωρίας, ἀλλὰ διὰ κάθε τὸ ἀντίθετον. Ἐδημιούργησε τὰ πόδια εἰς σέ, ὄχι νὰ τρέχῃς διὰ τὸ κακόν, ἀλλὰ διὰ τὰ ἀγαθά. Ἐδημιούργησε τὴν κοιλίαν εἰς σέ, ὄχι διὰ νὰ διασπᾷς αὐτὴν ἀπὸ τὴν πολυφαγίαν, ἀλλὰ διὰ νὰ φιλοσοφῇς. Ἔθεσε τὴν ἐπιθυμίαν διὰ τὴν γέννησιν τῶν τέκνων, ὄχι ὅμως διὰ τὴν πορνείαν καὶ τὴν μοιχείαν. Ἔδωσεν εἰς σὲ νοῦν, ὄχι διὰ νὰ βλασφημῇς αὐτόν, ὄχι διὰ νὰ ὑβρίζῃς, ἀλλὰ διὰ νὰ ἐπαινῇς.

Ἔδωσε καὶ χρήματα, διὰ νὰ χρησιμοποιοῦμεν αὐτὰ ὅπως πρέπει, καὶ δύναμιν, διὰ νὰ χρησιμοποιοῦμεν καὶ αὐτὴν δεόντως. Ἐδημιούργησε καὶ τὰς τέχνας, διὰ νὰ ὑπάρχουν τὰ πρὸς τὸ ζῆν μέσα, ὄχι διὰ νὰ ἀπομακρύνωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὰ πνευματικά, διὰ νὰ μὴ προσέχωμεν εἰς τὰς χυδαίας τέχνας, ἀλλὰ εἰς τὰς ἀναγκαίας, διὰ νὰ ἐξυπηρετούμεθα μεταξύ μας καὶ ὄχι διὰ νὰ ἐπιβουλευώμεθα. Ἔδωσε τὴν στέγην, διὰ νὰ μᾶς προφυλάσσῃ ἀπὸ τὴν βροχήν, δι' αὐτὸ μόνον καὶ ὄχι διὰ νὰ στολίζεται μὲ χρυσόν, ὁ δὲ πτωχὸς νὰ ἐξολοθρεύεται ἀπὸ τὴν πεῖναν. Ἔδωσε τὰ ἱμάτια, διὰ νὰ καλυπτώμεθα, ὄχι διὰ νὰ ἐπιδεικνυώμεθα, ὄχι διὰ νὰ κοστίζουν αὐτὰ πολλὰ χρήματα, ὁ δὲ Χριστὸς νὰ ἀποθνήσκῃ γυμνός. Ἔδωσε κατάλυμα, ὄχι διὰ νὰ τὸ ἔχῃς μόνος σου, ἀλλὰ διὰ νὰ τὸ χορηγῇς καὶ εἰς ἄλλους. Ἔδωσε τὴν γῆν, ὄχι διὰ νὰ ἀναλίσκῃς τὰ ἀγαθὰ τοῦ Θεοῦ, ἀποκόπτων τὸ περισσότερον τμῆμα αὐτῆς, εἰς τὰς πόρνας καὶ χορευτὰς καὶ μίμους καὶ αὐλητὰς καὶ κιθαρῳδούς, ἀλλ' εἰς ἐκείνους ποὺ πεινοῦν καὶ ἔχουν ἀνάγκην. Ἔδωσεν εἰς σὲ τὴν θάλασσαν, διὰ νὰ πλέῃς, διὰ νὰ κουράζεσαι μὲ τὰς ὁδοιπορίας, ὄχι διὰ νὰ περιεργάζεσαι τὰ βάθη αὐτῆς καὶ τοὺς λίθους καὶ ὅσα παρόμοια ἀπ' ἐκεῖ φέρεις ἐπάνω εἰς τὴν ξηράν, οὔτε διὰ νὰ κάμνῃς ἀσχολίαν τοῦτο.

Τίνος οὖν ἕνεκεν, φησίν, οἱ λίθοι; Εἰπὲ δή μοι σύ, τίνος δὲ ἕνεκεν οἱ λίθοι οὗτοι τοιοῦτοί εἰσι; κἀκεῖνοι τῇ δυνάμει βαρύτιμοι, μᾶλλον δὲ οὗτοι χρησιμώτεροι; Οὗτοι μὲν γὰρ κἂν πρὸς οἰκοδομὴν συμβάλλονται, ἐκεῖνοι δὲ πρὸς οὐδὲν καὶ οὗτοι ἐκείνων ἰσχυρότεροι. Ἀλλ' ἐκεῖνοι, φησί, κάλλος ἐργάζονται. Πῶς; ὑπολήψεώς ἐστι τὸ ἔργον. Λευκότεροί εἰσιν; Ἀλλ' οὐκ εἰσὶ μαρμάρου τοῦ σφόδρα λευκοῦ λευκότεροι, ἀλλ' οὐδὲ ἴσοι. Ἀλλ' ἰσχυρότεροι; Ἀλλ' οὐδὲ τοῦτο ἔχοι τις ἂν εἰπεῖν. Ἀλλὰ χρησιμώτεροι; ἀλλὰ μείζους; Ἀλλ' οὐδὲ τοῦτο. Πόθεν οὖν ἐθαυμάσθησαν, ἀλλ' ἢ ἀπὸ ὑπολήψεως; Εἰ γὰρ μήτε καλλίους εἰσὶν (εὑρήσομεν γὰρ αὐτῶν περιφανεστέρους, λευκοτέρους), μήτε χρήσιμοι, μήτε ἰσχυρότεροι, πόθεν οὕτως ἐθαυμάσθησαν; οὐχὶ ἀπὸ ὑπολήψεως μόνης; Τίνος οὖν ἕνεκεν ἔδωκεν; Οὐκ αὐτὸς ἔδωκεν ἀλλὰ σὺ ἐνόμισας μέγα τι εἶναι. Τί οὖν, φησίν, ὅτι καὶ ἡ Γραφὴ τούτους θαυμάζει; Πρὸς τὴν ὑπόληψιν λοιπὸν διαλέγεται τὴν σήν. Ἐπεὶ καὶ διδάσκαλος παιδίῳ διαλεγόμενος, τὰ αὐτὰ ἐκείνῳ πολλαχοῦ θαυμάζει, ὅταν αὐτὸ βούληται ἐπισπάσασθαι καὶ ὑπαγαγέσθαι. Τί κάλλος ἐπιζητεῖς ἱματίων; Ἱματίῳ σε περιέβαλε καὶ ὑποδήματι· ταῦτα δὲ ποῦ λόγον ἂν ἔχοι; «Ἐπιθυμητὰ ὑπὲρ χρυσίον», φησί, «καὶ λίθον τίμιον πολὺν τὰ κρίματα τοῦ Θεοῦ». Οὐκ ἔστι ταῦτα, ἀγαπητοί, χρήσιμα· εἰ χρήσιμα ἦν, οὐκ ἂν ἐκέλευσεν αὐτῶν καταφρονεῖν· ἀλλὰ πρὸς τὴν ὑπόληψιν τὴν ἡμετέραν φθέγγεται ἡ θεία Γραφή. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

Τίνος οὖν ἕνεκεν, φησίν, ἔδωκε πορφύραν, καὶ ὅσα τοιαῦτα; Τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστιν ἔργα ταῦτα. Καὶ γὰρ καὶ ἀπὸ ἑτέρων τὸν πλοῦτον ἠθέλησε δεῖξαι τὸν αὐτοῦ· ἐπεὶ καὶ σῖτον ἔδωκε μόνον· σὺ δὲ πολλὰ ἀπὸ τούτου κατα-

13. Ψαλμ. 18, 11.

Διὰ ποῖον λόγον λοιπόν, λέγει, ὑπάρχουν οἱ λίθοι; Εἰπέ μου λοιπὸν σύ, διὰ ποῖον λόγον οἱ λίθοι αὐτοὶ εἶναι τέτοιου εἴδους; καὶ ἐκεῖνοι βαρύτιμοι, μᾶλλον δὲ αὐτοὶ χρησιμώτεροι; Διότι αὐτοὶ μὲν συμβάλλουν εἰς τὴν κατασκευὴν οἰκοδομῶν, ἐκεῖνοι δὲ εἰς τίποτε, καὶ αὐτοὶ εἶναι ἰσχυρότεροι ἀπ' ἐκείνους. Ὅμως ἐκεῖνοι, λέγει, προξενοῦν τὸ κάλλος. Πῶς; τὸ ἔργον εἶναι γνώρισμα τῆς ἐκτιμήσεως. Εἶναι λευκότεροι; Ὅμως δὲν εἶναι λευκότεροι ἀπὸ τὸ μάρμαρον, ποὺ εἶναι πολὺ λευκότερον ἀπὸ τὸ λευκόν, ἀλλ' οὔτε ἴσοι πρὸς αὐτό. Μήπως εἶναι ἰσχυρότεροι; Ὅμως οὔτε αὐτὸ θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς. Μήπως εἶναι χρησιμώτεροι; μήπως μεγαλύτεροι; Ὅμως οὔτε αὐτό. Ἀπὸ ποῦ λοιπὸν ἐθαυμάσθησαν, ἐκτὸς ἀπὸ τὴν ὑπόληψίν μας; Διότι ἐὰν δὲν εἶναι οὔτε οἱ καλύτεροι διότι θὰ εὑροῦμεν λαμπροτέρους καὶ λευκοτέρους τούτων, οὔτε χρήσιμοι, οὔτε ἰσχυρότεροι, ἀπὸ ποῦ ἐθαυμάσθησαν τόσον πολύ; ὄχι ἀπὸ τὴν ὑπόληψίν μας μόνην; Διατί λοιπὸν ἔδωσεν αὐτούς; Δὲν ἔδωσεν ὁ Θεός, ἀλλὰ σὺ ἐνόμισες ὅτι εἶναι κάτι σπουδαῖον. Τί λοιπόν, λέγει, διότι καὶ ἡ Γραφὴ θαυμάζει αὐτούς; Πρὸς τὴν ὑπόληψίν σου βέβαια ἀπευθύνει τὸν λόγον. Διότι καὶ ὁ διδάσκαλος, ὅταν συνομιλῇ μὲ παιδί, τὰ ἴδια μὲ ἐκεῖνο θαυμάζει εἰς πολλὰ σημεῖα, ὅταν θέλῃ νὰ παρακινήσῃ αὐτὸ καὶ νὰ τὸ φέρῃ ὑπὸ τὴν ἐξουσίαν του. Διατί ἐπιζητεῖς τὸ κάλλος τῶν ἱματίων; Ὁ Θεὸς σὲ ἐνέδυσε μὲ τὰ ἱμάτια καὶ τὰ ὑποδήματα. Ποίαν ἀξίαν θὰ ἠμποροῦσαν αὐτὰ νὰ ἔχουν; «Αἱ κρίσεις τοῦ Θεοῦ», λέγει, «ὁ Δαυΐδ, εἶναι ἐπιθυμηταὶ περισσότερον ἀπὸ τὸν χρυσὸν καὶ ἀπὸ πλῆθος πολυτίμων λίθων»[18]. Δὲν εἶναι αὐτά, ἀγαπητοί, χρήσιμα. Ἐὰν ἦσαν χρήσιμα, δὲν θὰ προέτρεπε νὰ τὰ περιφρονοῦμεν. Ἀλλ' ἡ ἁγία Γραφὴ ὁμιλεῖ πρὸς τὴν ἰδικήν μας ἀντίληψιν. Καὶ τοῦτο δὲ εἶναι ἐκδήλωσις τῆς φιλανθρωπίας τοῦ Θεοῦ.

Διὰ ποῖον λόγον, λέγει, ἔδωσε τὴν πορφύραν καὶ ὅλα τὰ παρόμοια; Αὐτὰ εἶναι ἔργα τῆς δωρεᾶς τοῦ Θεοῦ. Καὶ πράγματι ἠθέλησε νὰ ἀποδείξῃ ἀπὸ τὸν πλοῦτον τῶν ἄλλων τὸν ἰδικόν του· λοιπὸν ἔδωσε μόνον τὸ σιτάρι· σὺ ὅ-

σκευάζεις, πλακοῦντας, πέμματα διάφορα καὶ παντοδαπά, πολλὴν ἔχοντα τὴν ἡδονήν. Ἡ ἡδονὴ καὶ ἡ κενοδοξία πάντα ταῦτα ἐξεῦρεν· ἔδοξέ σοι πάντων αὐτὰ προθεῖναι. Ἐπεὶ εἴ τις σε ἔροιτο ξένος ἀνὴρ ἢ γεωργός, καὶ ἄπειρος ὢν τῆς γῆς, καὶ ἰδών σε θαυμάζοντα εἴποι, διὰ τί ταῦτα θαυμάζεις; τί ἔχεις εἰπεῖν; ὅτι καλὸν ἰδεῖν; Ἀλλ' οὐχ οὕτως. Παυσώμεθα τοίνυν τῆς τοιαύτης ὑπολήψεως· τῶν ὄντως ἀληθινῶν ἀντεχώμεθα. Ταῦτα γὰρ οὐκ ἔστιν, ἀλλ' ἁπλῶς παρέρχεται μόνον ποταμοῦ δίκην παραρρέοντα. Διό, παρακαλῶ, ἐπὶ τῆς πέτρας ἑαυτοὺς στήσωμεν, ἵνα καὶ τὸ εὐκόλως περιτρέπεσθαι φύγωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μως παρασκευάζεις άπ' αύτό πίττας, γλυκύσματα διάφορα καί ποικίλα, πού έχουν εύχάριστον γεύσιν. Ἡ ήδονή καί ή κενοδοξία άνεκάλυψαν ὅλα αύτά, καί σοῦ έφάνη καλόν νά τά προτιμήσης άπό ὅλα. Διότι, έάν θά σέ έρωτήση κάποιος ἄσχετος καί ὄχι γεωργός, καί ὁ όποῖος δέν γνωρίζει άπ' αύτά, καί ὅταν σέ ἴδῃ νά θαυμάζῃς θά εἰπῇ, διατί θαυμάζεις αύτά; τί θά ήμπορέσῃς νά άπαντήσῃς; ὅτι εἶναι εύχάριστα εἰς τήν ὅρασιν; Δέν εἶναι ὅμως ἔτσι τό πρᾶγμα. Ἄς παύσωμεν λοιπόν νά ἔχωμεν αύτά εἰς τέτοιαν ύπόληψιν, ἄς έπιδιδώμεθα εἰς τά πραγματικῶς άληθινά. Διότι αύτά δέν ύπάρχουν, άλλ' άπλῶς παρέρχονται μόνον καί ὡς ποταμός πού ρέει φεύγουν καί χάνονται. Διά τοῦτο, παρακαλῶ, ἄς σταθοῦμεν σταθερά έπάνω εἰς τήν πέτραν, διά νά άποφύγωμεν καί τήν εὔκολον παρεκτροπήν, καί διά νά έπιτύχωμεν τά άγαθά τῆς μελλούσης ζωῆς, μέ τήν χάριν καί φιλανθρωπίαν τοῦ Κυρίου ήμῶν Ἰησοῦ Χριστοῦ, μετά τοῦ όποίου άνήκει εἰς τόν Πατέρα καί εἰς τό ἅγιον Πνεῦμα ή δόξα, ή δύναμις, ή τιμή, τώρα καί πάντοτε, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΒ΄

Φιλιπ. 3, 7 - 12

«Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην».

Τοῖς πρὸς τοὺς αἱρετικοὺς ἀγῶσιν ἀκμαζούσαις χρὴ προσβάλλειν ταῖς διανοίαις, ἵνα δύνωνται προσέχειν ἀκριβῶς. Διὰ τοῦτο ἐντεῦθεν ποιούμεθα ταύτης τῆς διαλέξεως τὴν ἀρχήν, ἀπὸ τοῦ τέλους τῆς παρελθούσης. Τί δὲ ἦν ἐκεῖνο; Καταλέξας πάντα τὰ καυχήματα τὰ Ἰουδαϊκά, τὰ ἀπὸ φύσεως, τὰ ἀπὸ προαιρέσεως, ἐπήγαγεν· «Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι ζημίαν πάντα εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω». Ἐπιπηδῶσιν ἐνταῦθα οἱ αἱρετικοί. Καὶ γὰρ καὶ τοῦτο τῆς σοφίας ἐστὶ τοῦ Πνεύματος, ἐλπίδας αὐτοῖς ὑποθέσθαι νίκης, ἵνα καταδέξωνται τὴν μάχην. Εἰ γὰρ φανερῶς εἴρητο, ὅπερ ἐπὶ τῶν ἄλλων ἐποίησαν, ἐποίη-

---

1. Φιλιπ. 3, 7 - 9

ΛΟΓΟΣ ΙΒ΄

Φιλιπ. 3, 7 - 12

«'Αλλ' αὐτά, ποὺ ἦσαν εἰς ἐμὲ κέρδη, αὐτὰ ἔχω θεωρήσει ζημίαν, προκειμένου νὰ ἀρέσω εἰς τὸν Χριστόν. 'Αλλ' ὅμως καὶ τώρα νομίζω, ὅτι ὅλα εἶναι ζημία συγκρινόμενα πρὸς τὴν ὑπεροχὴν τῆς γνώσεως τοῦ Κυρίου μου 'Ιησοῦ Χριστοῦ, διὰ τὸν ὁποῖον τὰ πάντα ἐζημιώθην, καὶ τὰ θεωρῶ ὅλα σκύβαλα διὰ νὰ κερδίσω τὸν Χριστόν, καὶ διὰ νὰ εὑρεθῶ κατὰ τὴν ἡμέραν τῆς κρίσεως ἑνωμένος μὲ αὐτόν, ὄχι μὲ τὴν δικαιοσύνην μου, ποὺ πηγάζει ἀπὸ τὸν Νόμον, ἀλλὰ μὲ τὴν δικαιοσύνην, ποὺ ἀποκτᾶται διὰ τῆς πίστεως εἰς τὸν Χριστόν, ποὺ προέρχεται ἀπὸ τὸν Θεόν»[1].

Εἶναι ἀνάγκη νὰ προσβάλλωμεν τοὺς ἀγῶνας κατὰ τῶν αἱρετικῶν μὲ διαυγεῖς τὰς διανοίας, διὰ νὰ ἠμποροῦν νὰ προσέχουν μὲ ἀκρίβειαν. Διὰ τοῦτο ἀρχίζομεν αὐτὴν τὴν ὁμιλίαν ἀπὸ τὸ σημεῖον τοῦτο, δηλαδὴ ἀπὸ τὸ τέλος τῆς προηγουμένης. Ποῖον λοιπὸν ἦτο ἐκεῖνο; 'Αφοῦ ἀνέφερεν ὅλα τὰ ἰουδαϊκὰ ἀντικείμενα τῆς καυχήσεώς του, καὶ αὐτὰ ποὺ προήρχοντο ἀπὸ τὴν φύσιν καὶ αὐτὰ ἀπὸ τὴν προαίρεσίν του, προσέθεσεν˙ «'Αλλ' αὐτά, ποὺ ἦσαν εἰς ἐμὲ κέρδη, αὐτὰ ἔχω θεωρήσει ὅτι εἶναι ζημία, συγκρινόμενα πρὸς τὴν ὑπεροχὴν τῆς γνώσεως τοῦ Κυρίου μου 'Ιησοῦ Χριστοῦ, διὰ τὸν ὁποῖον τὰ πάντα ἐζημιώθην, καὶ τὰ θεωρῶ ὅλα σκύβαλα, διὰ νὰ κερδίσω τὸν Χριστόν». 'Επιτίθενται ἐδῶ οἱ αἱρετικοί. Καὶ πράγματι καὶ τοῦτο εἶναι χαρακτηριστικὸν τῆς σοφίας τοῦ Πνεύματος, νὰ ὑπόσχεται εἰς αὐτοὺς ἐλπίδας νίκης, διὰ νὰ ἀποδεχθοῦν τὴν μάχην. Διότι, ἐὰν εἶχε λεχθῆ φανερῶς, ἐκεῖνο ποὺ ἔπραξαν εἰς τὰ ἄλλα, θὰ ἠμποροῦσαν νὰ πρά-

σαν ἂν καὶ ἐπὶ τούτων· ἐξήλειψαν ἂν τὰ γράμματα, παρῃτήσαντο τὴν γραφήν, οὐ δυνάμενοι ὅλως ταύτῃ ἀντιβλέπειν. Ἀλλ' ὅπερ ἐπὶ τῶν ἰχθύων γίνεται, τὸ δυνάμενον αὐτοὺς ἑλεῖν κρύπτεται, ὥστε αὐτοὺς ἐπιδραμεῖν, καὶ οὐ πρόδηλον κεῖται, οὕτω δὴ καὶ ἐνταῦθα. Σκύβαλα εἴρηται ὁ νόμος, φησί, ζημία εἴρηται· λέγει, οὐκ ἐνῆν Χριστὸν κερδᾶναι, εἰ μὴ τοῦτον ἐζημιώθην. Ταῦτα πάντα ἐπεσπάσατο τοὺς αἱρετικοὺς δέξασθαι τὸ χωρίον, νομίζοντας ὑπὲρ αὐτῶν εἶναι· ἐπειδὴ δὲ ἐδέξαντο, τότε αὐτοὺς περιέβαλε τοῖς δικτύοις πάντοθεν.

Τί γάρ φασιν αὐτοὶ ἐκεῖνοι; Ἰδοὺ ζημία ὁ νόμος, ἰδοὺ σκύβαλα· πῶς οὖν αὐτὸν Θεοῦ λέγετε εἶναι; Αὐτὰ μὲν οὖν ταῦτα ὑπὲρ τοῦ νόμου ἐστί· καὶ πόθεν, ἐκεῖθεν δῆλον. Πρόσχωμεν ἀκριβῶς τοῖς λεγομένοις. Οὐκ εἶπε, ζημία ἐστὶν ὁ νόμος, ἀλλ', ἥγημαι αὐτὸν ζημίαν. Καὶ ὅτε μὲν περὶ κέρδους ἔλεγεν, οὐκ εἶπεν, ἥγημαι, ἀλλ', ἦν κέρδος· ὅτε δὲ περὶ ζημίας, εἶπεν, ἥγημαι, εἰκότως· ἐκεῖνο μὲν γὰρ ἦν φύσει, τοῦτο δὲ λοιπὸν γέγονεν ἀπὸ τῆς ἡμετέρας ὑπολήψεως. Τί οὖν; οὐκ ἔστι, φησίν; Ἔστι διὰ τὸν Χριστὸν ζημία. Καὶ πῶς κέρδος γέγονεν ὁ νόμος; καὶ οὐκ ἐνομίζετο κέρδος, ἀλλὰ ἦν; Ἐννόησον γὰρ ὅσον ἦν ἀνθρώπους ἐκτεθηριωμένους τὴν φύσιν, εἰς τὸ τῶν ἀνθρώπων σχῆμα καταστῆσαι. Εἰ μὴ ὁ νόμος ἦν, οὐδ' ἂν ἡ χάρις ἐδόθη. Διὰ τί; Ὅτι καθάπερ τις γέφυρα γέγονεν. Ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἀπὸ τῆς πολλῆς ταπεινώσεως εἰς τὸ ὕψος ἀνελθεῖν, γέγονε κλῖμαξ. Ἀλλὰ τῆς κλίμακος οὐκέτι δέεται ὁ ἀνελθών, οὐ μὴν αὐτὴν ὑπερορᾷ ἀλλὰ καὶ χάριν αὐτῇ οἶδεν. Αὕτη γὰρ αὐτὸν εἰς τὸ μηκέτι δεῖσθαι αὐτῆς κατέστησε· καὶ ὅμως ὑπὲρ τούτου αὐτοῦ, ὅτι οὐ δεῖται αὐτῆς, αὐτῇ χάριν ὁμολογεῖν δίκαιον· οὐ γὰρ ἂν ἀνέπτη.

ξουν καὶ εἰς αὐτά, θὰ ἠμποροῦσαν νὰ ἐξαλείψουν τὰ γράμματα, νὰ ἀποτρέψουν τὴν κατηγορίαν, μὴ δυνάμενοι τελείως ν' ἀτενίζουν πρὸς αὐτήν. Ἀλλ' ὅπως εἰς τοὺς ἰχθῦς, ἐκεῖνο ποὺ ἠμπορεῖ νὰ συλλάβῃ αὐτοὺς κρύπτεται, ὥστε ἐκεῖνοι νὰ προσεγγίζουν, καὶ δὲν εἶναι φανερόν, ἔτσι λοιπὸν συνέβη καὶ ἐδῶ. Ὁ Μωσαϊκὸς Νόμος ἔχει λεχθῆ ὅτι εἶναι σκύβαλα, λέγει, καὶ ζημία. Λέγει ὁ Παῦλος, δὲν ἦτο δυνατὸν νὰ κερδίσω τὸν Χριστόν, ἐκτὸς ἐὰν ἐζημιώθην δι' αὐτόν. Μὲ ὅλα αὐτὰ προσεπάθησε νὰ παρακινήσῃ τοὺς αἱρετικοὺς νὰ δεχθοῦν τὸ χωρίον, νομίζοντες ὅτι εἶναι ὑπὲρ αὐτῶν. Ὅταν ὅμως τὸ ἐδέχθησαν, τότε ἀπὸ παντοῦ περιέβαλεν αὐτοὺς μὲ τὰ δίκτυα.

Τί λοιπὸν λέγουν αὐτοὶ οἱ ἴδιοι; Ἰδοὺ ὁ νόμος εἶναι ζημία, ἰδοὺ εἶναι σκύβαλα. Πῶς λοιπὸν λέγετε ὅτι αὐτὸς εἶναι τοῦ Θεοῦ; Αὐτὰ λοιπὸν εἶναι ὑπὲρ τοῦ νόμου· καὶ πῶς εἶναι φανερὸν ἀπὸ ἐκεῖνο. Ἂς προσέξωμεν ἀκριβῶς τὰ λεγόμενα. Δὲν εἶπεν, ὁ νόμος εἶναι ζημία, ἀλλ' ἔχω θεωρήσει αὐτὸν ὅτι εἶναι ζημία. Καὶ ὅταν μὲν ἔλεγε περὶ τοῦ κέρδους, δὲν εἶπεν, ἔχω θεωρήσει, ἀλλ' ἦτο κέρδος. Ὅταν δὲ ἔλεγε περὶ τῆς ζημίας, εἶπεν, ἔχω θεωρήσει, καὶ εὐλόγως. Διότι ἐκεῖνο μὲν ἦτο ἐκ φύσεως, τοῦτο δὲ ἔχει γίνει ἔπειτα ἀπὸ τὴν ἰδικήν μας ὑπόληψιν. Τί λοιπόν, λέγει, δὲν εἶναι; Εἶναι ζημία διὰ τὸν Χριστόν. Καὶ πῶς ὁ νόμος ἔχει γίνει κέρδος; καὶ δὲν ἐνομίζετο κέρδος, ἀλλ' ἦτο πράγματι; Σκέψου λοιπόν· ὅσον ἦσαν οἱ ἄνθρωποι ἐξηγριωμένοι κατὰ τὴν φύσιν, ὁ νόμος ἀπέβλεπεν εἰς τὸ νὰ διατηρήσῃ τὸ σχῆμα τῶν ἀνθρώπων. Ἐὰν δὲν ὑπῆρχεν ὁ νόμος, δὲν θὰ ἐδίδετο οὔτε ἡ χάρις. Διατί; Διότι ἔχει γίνει ὅπως ἀκριβῶς ἡ γέφυρα. Ἐπειδὴ βέβαια δὲν ἦτο δυνατὸν νὰ ἀνέλθωμεν ἀπὸ τὴν μεγάλην ταπείνωσιν εἰς τὸ ὕψος, ἔχει γίνει κλῖμαξ. Ἀλλ' ἐκεῖνος ποὺ ἀνῆλθε, δὲν χρειάζεται πλέον ἡ κλίμακα, δὲν τὴν περιφρονεῖ ὅμως, ἀλλὰ καὶ εὐγνωμονεῖ αὐτήν. Αὐτὴ βέβαια ἔκαμεν αὐτὸν διὰ νὰ μὴ τὴν χρειάζεται πλέον· καὶ ὅμως δι' αὐτὸ ἀκριβῶς, ἐπειδὴ δηλαδὴ δὲν χρειάζεται αὐτήν, εἶναι δίκαιον νὰ εὐγνωμονῇ αὐτήν, διότι δὲν θὰ ἠμποροῦσε νὰ ἀνέβῃ.

Οὕτω καὶ ἐπὶ τοῦ νόμου· ἀνήγαγεν ἡμᾶς εἰς ὕψος· οὐκοῦν κέρδος ἦν· ἀλλὰ λοιπὸν ζημίαν αὐτὸν νομίζομεν. Πῶς οὐκ ἐπειδὴ ζημία ἐστίν, ἀλλ' ἐπειδὴ πολὺ μείζων ἡ χάρις. Ὥσπερ γὰρ ὁ ἐν λιμῷ ὢν πένης, ἕως μὲν ἂν ἔχῃ ἀργύριον, διαφεύγει τὸν λιμόν· ἐπειδὰν δὲ χρυσίον εὕρῃ, καὶ μὴ ἐξῇ ἀμφότερα κατασχεῖν, ζημίαν ἡγεῖται τὸ ἐκεῖνο κατέχειν, καὶ ἀφεὶς αὐτό, λαμβάνει τὸ χρυσίον, οὕτω καὶ ἐνταῦθα· οὐκ ἐπειδὴ ζημία τὸ ἀργύριον, οὐ γάρ ἐστι, ἀλλ' ἐπειδὴ οὐκ ἔνι ὁμοῦ τὰ δύο λαβεῖν, ἀλλ' ἀνάγκη τὸ ἓν καταλιπεῖν. Ζημία οὖν οὐχ ὁ νόμος ἐστίν, ἀλλὰ τὸ τῷ νόμῳ προσκαθήμενον ἀφίστασθαι τοῦ Χριστοῦ. Ὥστε, ὅταν ἀπάγῃ ἡμᾶς τοῦ Χριστοῦ, τότε ζημία· ἂν δὲ παραπέμπῃ, οὐκέτι. Διὰ τοῦτό φησι, «διὰ τὸν Χριστὸν ζημία». Εἰ διὰ τὸν Χριστόν, οὐ φύσει ζημία. Διὰ τί δὲ οὐκ ἀφίησι τῷ Χριστῷ προσελθεῖν ὁ νόμος; Καὶ μὴν εἰς τοῦτο, φησίν, ἐδόθη, καὶ πλήρωμα νόμου Χριστός, καὶ τέλος νόμου Χριστός. Ἀφίησιν, ἐὰν θέλωμεν· «Τέλος γὰρ νόμου Χριστός». Ὁ τῷ νόμῳ πειθόμενος, αὐτὸν ἀφίησι τὸν νόμον; Ἀφίησιν, ἐὰν προσέχωμεν· ἐὰν μέντοι μὴ προσέχωμεν, οὐκ ἀφίησιν. «Ἀλλὰ μὲν οὖν καὶ ἥγημαι πάντα ζημίαν εἶναι». Τί λέγω, φησί, τοῦτο περὶ τοῦ νόμου; οὐχὶ καλὸν ὁ κόσμος; οὐχὶ καλὸν ἡ παροῦσα ζωή; Ἀλλ' ἐάν με ἀπάγῃ τοῦ Χριστοῦ, ζημίαν ταῦτα τίθεμαι. Διὰ τί; «Διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου». Τοῦ γὰρ ἡλίου φανέντος, προσκαθῆσθαι τῷ λύχνῳ ζημία. Ὥστε ἀπὸ τῆς παραβολῆς ἡ ζημία γίνεται, ἀπὸ τοῦ ὑπερέχοντος.

Ὁρᾷς ὅτι σύγκρισιν ποιεῖται; «Διὰ τὸ ὑπερέχον», φησίν, οὐ διὰ τὸ ἀλλότριον· τὸ γὰρ ὑπερέχον τοῦ ὁμογενοῦς ὑπερέχει. Ὥστε ἀφ' ὧν ποιεῖται τὴν κατὰ σύγκρισιν ὑπεροχήν, ἀπὸ τούτων δείκνυσι τὴν οἰκείωσιν τῆς γνώσεως.

2. Ρωμ. 10, 4

Ἔτσι συμβαίνει καὶ μὲ τὸν νόμον· μᾶς ἀνεβίβασεν εἰς τὸ ὕψος· συνεπῶς ἦτο κέρδος· ἀλλ' εἰς τὸ ἑξῆς νομίζομεν ὅτι αὐτὸς εἶναι ζημία. Πῶς; Ὄχι ἐπειδὴ εἶναι ζημία, ἀλλ' ἐπειδὴ εἶναι πολὺ μεγαλυτέρα ἡ χάρις. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ εἶναι πτωχὸς εἰς περίοδον μεγάλης πείνης, ἐν ὅσῳ μὲν θὰ ἔχῃ χρήματα, ἀποφεύγει τὴν πεῖναν, ὅταν ὅμως εὕρῃ χρυσόν, καὶ δὲν εἶναι δυνατὸν νὰ κατέχῃ καὶ τὰ δύο, θεωρεῖ ὅτι τὸ νὰ κατέχῃ ἐκεῖνα εἶναι ζημία, καὶ ἀφοῦ ἀφήσῃ αὐτά, λαμβάνει τὸν χρυσόν, ἔτσι συμβαίνει καὶ ἐδῶ· ὄχι ἐπειδὴ εἶναι ζημία τὸ ἀργύριον, διότι δὲν εἶναι, ἀλλ' ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ λάβῃ μαζί του καὶ τὰ δύο, εἶναι ἀνάγκη νὰ ἐγκαταλείψῃ τὸ ἕνα. Ὁ νόμος λοιπὸν δὲν εἶναι ζημία, ἀλλὰ τὸ νὰ ἀποφεύγῃ κανεὶς τὸν Χριστὸν στηριζόμενος εἰς τὸν νόμον. Συνεπῶς, ὅταν μᾶς ἀπομακρύνῃ ἀπὸ τὸν Χριστόν, τότε εἶναι ζημία· ἂν ὅμως μᾶς ἀποστέλλῃ εἰς αὐτόν, δὲν εἶναι πλέον. 5 Διὰ τοῦτο λέγει, «διὰ τὸν Χριστὸν ζημία». Ἐὰν εἶναι διὰ τὸν Χριστόν, δὲν εἶναι ἐκ φύσεως ζημία. Διατί ὅμως δὲν ἀφήνει ὁ νόμος νὰ προσέλθωμεν εἰς τὸν Χριστόν; Καὶ ἀληθῶς διὰ τοῦτο ἐδόθη, λέγει, καὶ τὸ πλήρωμα τοῦ νόμου εἶναι ὁ Χριστός, καὶ τὸ τέλος τοῦ νόμου ὁ Χριστός. Ἀφήνει, ἐὰν θέλωμεν· «διότι ὁ Χριστὸς ἔδωσε τέλος εἰς τὸν νόμον»[2]. Ἐκεῖνος ποὺ πείθεται εἰς τὸν νόμον, ἐγκαταλείπει τὸν ἴδιον τὸν νόμον; Τὸν ἐγκαταλείπει, ἐὰν προσέχωμεν· ἐὰν ὅμως δὲν προσέχωμεν, δὲν τὸν ἐγκαταλείπει. «Ἀλλ' ὅμως καὶ τώρα νομίζω, ὅτι ὅλα εἶναι ζημία». Διατί λέγω, λέγει, τοῦτο περὶ τοῦ νόμου; δὲν εἶναι καλὸν ὁ κόσμος; δὲν εἶναι καλὸν ἡ παροῦσα ζωή; Ἀλλ' εἶναι ζημία. Διατί; «Συγκρινόμενα πρὸς τὴν ὑπεροχὴν τῆς γνώσεως τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ». Διότι ὅταν φανῇ ὁ ἥλιος, εἶναι ζημία τὸ νὰ στηριζώμεθα εἰς τὸ λυχνάρι. Ὥστε ἡ ζημία προκύπτει ἀπὸ τὴν σύγκρισιν, ἀπὸ τὴν ὑπεροχήν.

Βλέπεις ὅτι κάνει σύγκρισιν; «Συγκρινόμενα πρὸς τὴν ὑπεροχήν», λέγει, ὄχι πρὸς κάτι ποὺ ἀνήκει εἰς ἄλλον· διότι ἐκεῖνο ποὺ ὑπερέχει, ὑπερέχει ἀπὸ κάτι τὸ ὅμοιον. Ὥστε ἀπ' ἐκεῖνα ποὺ συγκρίνει διὰ νὰ φανῇ ἡ ὑπεροχή,

«Δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω». Σκύβαλα οὔπω μὲν δῆλον, εἰ περὶ τοῦ νόμου φησίν· εἰκὸς γὰρ αὐτὸν περὶ κοσμικῶν πραγμάτων λέγειν. Εἰπὼν γάρ, «Ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν», «ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι», φησί, «πάντα ζημίαν». Καίτοι πάντα εἶπεν, ἀλλὰ τὰ παρόντα. Εἰ δὲ βούλει καὶ τὸν νόμον, οὐδὲ οὕτως ὕβρισται. Τὸ γὰρ σκύβαλον ἀπὸ τοῦ σίτου ἐστί, καὶ τὸ ἰσχυρὸν τοῦ σίτου τὸ σκύβαλόν ἐστι, τὸ ἄχυρον λέγω. Ἀλλ' ὥσπερ πρὸ τούτου χρήσιμον τὸ σκύβαλον ἦν, ὥστε μετὰ τοῦ σίτου αὐτὸ ἐκλέγομεν, καὶ εἰ μὴ τὸ σκύβαλον ἦν, οὐκ ἂν ὁ σῖτος ἐγένετο· οὕτω καὶ ἐπὶ τοῦ νόμου.

Ὁρᾷς πῶς πανταχοῦ οὐκ αὐτὸ τοῦτο ζημίαν τὸ πρᾶγμα καλεῖ, ἀλλὰ διὰ τὸν Χριστόν; «Ἀλλὰ μὲν οὖν καὶ πάντα ἡγοῦμαι ζημίαν». Διὰ τί πάλιν; «Διὰ τὸ ὑπερέχον τῆς γνώσεως, δι' ὃν τὰ πάντα ἐζημιώθην». Πάλιν, «δι' ὃ καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι, ἵνα Χριστὸν κερδήσω». Ὁρᾷς πῶς ἐπιλαμβάνεται πάντοθεν τοῦ ἐρείσματος τοῦ Χριστοῦ, καὶ οὐκ ἀφίησιν οὐδαμοῦ γυμνωθῆναι τὸν νόμον, οὐδὲ πληγὴν λαβεῖν, ἀλλὰ περιβάλλει πάντοθεν αὐτόν; «Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου». Εἰ ὁ δικαιοσύνην ἔχων, διὰ τὸ μηδὲν αὐτὴν εἶναι, πρὸς ταύτην τὴν δικαιοσύνην ἔδραμεν, οἱ μὴ ἔχοντες πῶς οὐ πολλῷ μᾶλλον ὀφείλουσι προστρέχειν αὐτῷ; Καὶ καλῶς εἶπεν, «ἐμὴν δικαιοσύνην», οὐχ ἣν διὰ πόνων καὶ ἱδρώτων ἐκτησάμην, ἀλλὰ τὴν ἀπὸ τῆς χάριτος, φησίν. Εἰ τοίνυν ὁ κατορθώσας ἀπὸ χάριτος σώζεται, πολλῷ μᾶλλον ὑμεῖς. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι μείζων αὕτη ἡ δικαιοσύνη ἡ διὰ πόνων, δείκνυσιν ὅτι σκύβαλον τουτό ἐστι πρὸς ἐκείνην. Οὐ γὰρ ἄν ποτε ἐγὼ κατορθώσας, αὐτὴν ῥίψας ταύτῃ προσέ-

ἀπ' αὐτὰ ἀποδεικνύει τὴν οἰκείωσιν τῆς γνώσεως. «Διὰ τὸν ὁποῖον τὰ πάντα ἐζημιώθην, καὶ θεωρῶ ὅτι εἶναι σκύβαλα, διὰ νὰ κερδίσω τὸν Χριστόν». Δὲν εἶναι ἀκόμη φανερόν, ἐὰν λέγῃ τὸ «σκύβαλα» περὶ τοῦ νόμου· διότι εἶναι φυσικὸν νὰ λέγῃ τοῦτο περὶ τῶν κοσμικῶν πραγμάτων. Διότι εἶπεν, «Ἐκεῖνα ποὺ ἦσαν εἰς ἐμὲ κέρδη, αὐτὰ ἔχω θεωρήσει ζημία, προκειμένου νὰ ἀρέσω εἰς τὸν Χριστόν», «ἀλλ' ὅμως καὶ τώρα νομίζω», λέγει, «ὅτι ὅλα εἶναι ζημία». Ἂν καὶ εἶπεν ὅλα, ὅμως ἐννοεῖ τὰ παρόντα. Ἐὰν δὲν θέλῃς καὶ τὸν νόμον, οὔτε ἔτσι ἔχει ἀτιμασθῆ. Διότι τὸ σκύβαλον παράγεται ἀπὸ τὸ σιτάρι, καὶ τὸ σκληρὸν μέρος τοῦ σιταριοῦ εἶναι τὸ σκύβαλον, ἐννοῶ τὸ ἄχυρον. Ἀλλ' ὅπως ἀκριβῶς πρὶν ἀπὸ τοῦτο τὸ σκύβαλον ἦτο χρήσιμον, ὥστε τὸ ἐκλέγομεν μαζὶ μὲ τὸ σιτάρι, καὶ ἐὰν δὲν θὰ ἦτο τὸ σκύβαλον, δὲν θὰ ἠμποροῦσε νὰ γίνῃ τὸ σιτάρι, ἔτσι συμβαίνει καὶ μὲ τὸν νόμον.

Βλέπεις πῶς δὲν καλεῖ τοῦτο τὸ πρᾶγμα πανταοῦ ζημίαν, ἀλλὰ διὰ τὸν Χριστόν; «Ἀλλ' ὅμως νομίζω ὅτι ὅλα εἶναι ζημία». Διατί πάλιν; «Διὰ τὴν ὑπεροχὴν τῆς γνώσεως, διὰ τὸν ὁποῖον τὰ πάντα ἐζημιώθην». Πάλιν λέγει, «διὰ τοῦτο καὶ θεωρῶ ὅτι ὅλα εἶναι ζημία, διὰ νὰ κερδίσω τὸν Χριστόν». Βλέπεις πῶς πιάνεται ἀπὸ παντοῦ ἀπὸ τὸ στήριγμα τοῦ Χριστοῦ, καὶ δὲν ἀφήνει πουθενὰ νὰ γυμνωθῆ ὁ νόμος, οὔτε νὰ λαβωθῆ, ἀλλὰ προστατεύει αὐτὸν ἀπὸ παντοῦ; «Καὶ θὰ εὑρεθῶ ἑνωμένος μὲ αὐτόν, ὄχι μὲ τὴν δικαιοσύνην μου ποὺ δίδει ὁ νόμος». Ἐὰν ὁ ἔχων δικαιοσύνην, ἐπειδὴ αὐτὴ δὲν εἶναι τίποτε, ἔτρεξε πρὸς τὴν δικαιοσύνην, αὐτοὶ ποὺ δὲν ἔχουν πῶς δὲν ὀφείλουν πολὺ περισσότερον νὰ τρέχουν πρὸς αὐτόν; Καὶ καλῶς εἶπε, «τὴν δικαιοσύνην μου», ὄχι ἐκείνην ποὺ ἀπέκτησα μὲ κόπους καὶ ἱδρῶτα, ἀλλ' ἐκείνην, λέγει, ποὺ δίδει ἡ χάρις τοῦ Θεοῦ. Ἐὰν λοιπὸν ἐκεῖνος ποὺ ἐπέτυχε κατορθώματα σώζεται ἀπὸ τὴν χάριν, πολὺ περισσότερον σεῖς. Ἐπειδὴ λοιπὸν ἦτο εὔλογον νὰ λέγουν αὐτοί, ὅτι εἶναι μεγαλυτέρα ἡ δικαιοσύνη αὐτὴ ποὺ ἐπιτυγχάνεται μὲ ἔργα, ἀποδεικνύει ὅτι αὐτὴ εἶναι σκύβαλον συγκρινομένη πρὸς ἐκείνην. Διότι

τρεχον. Ποία δέ ἐστιν αὕτη; Ἡ ἀπὸ πίστεως τοῦ Θεοῦ· τουτέστι, καὶ αὕτη παρὰ Θεοῦ δέδοται· Θεοῦ ἐστιν αὕτη ἡ δικαιοσύνη· δῶρόν ἐστιν αὕτη ὁλόκληρον. Τὰ δὲ τοῦ Θεοῦ δῶρα πολλῷ τῷ μέτρῳ ὑπερβαίνει τὴν εὐτέλειαν τῶν κατορθωμάτων τῶν διὰ τὴν ἡμετέραν σπουδὴν γινομένων.

Τί δέ ἐστιν, «Ἐπὶ τῇ πίστει τοῦ γνῶναι αὐτόν»; Ἄρα διὰ πίστεως ἡ γνῶσις, καὶ πίστεως ἄνευ γνῶναι αὐτὸν οὐκ ἔστι. Πῶς γάρ; Δι' αὐτῆς δεῖ γνῶναι τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. Ποῖος γὰρ λογισμὸς τὴν ἀνάστασιν ἡμῖν παραστήσει; Οὐδὲ εἷς, ἀλλὰ πίστις. Εἰ δὲ ἡ ἀνάστασις τοῦ κατὰ σάρκα Χριστοῦ πίστει γινώσκεται, πῶς ἡ γέννησις τοῦ Θεοῦ Λόγου λογισμοῖς καταλαμβάνεται; τῆς γὰρ γεννήσεως ἐλάττων ἡ ἀνάστασις. Διὰ τί; Ὅτι ἐκείνης μὲν πολλὰ τὰ ὑποδείγματα γέγονε, ταύτης δὲ οὐδέποτε. Νεκροὶ μὲν γὰρ ἀνέστησαν πολλοὶ πρὸ τοῦ Ἰησοῦ, εἰ καὶ ἐτελεύτησαν ἀναστάντες· ἀπὸ δὲ παρθένου οὐδεὶς ἐτέχθη ποτέ. Εἰ τοίνυν ὃ καὶ τῆς κατὰ σάρκα γεννήσεως εὐτελέστερον, τοῦτο πίστει δεῖ παραλαμβάνειν, τὸ πολλῷ μεῖζον, καὶ ἀπείρως μεῖζον καὶ ἀσυγκρίτως, πῶς λογισμῷ καταλαμβάνεται; Ταῦτα ποιεῖ τὴν δικαιοσύνην. Τοῦτο γὰρ δεῖ πιστεῦσαι, ὅτι ἐδυνήθη· τὸ δὲ πῶς ἐδυνήθη, οὐκέτι ἐστὶ παραστῆσαι. Ἀπὸ γὰρ πίστεως καὶ ἡ κοινωνία τῶν παθημάτων. Πῶς; Εἰ γὰρ μὴ ἐπιστεύομεν, οὐδ' ἂν ἐπάθομεν· εἰ μὴ ἐπιστεύομεν, ὅτι συνυπομένοντες συμβασιλεύσομεν, οὐδ' ἂν ἐπάθομεν τὰ παθήματα. Πίστει καὶ ἡ γέννησις καὶ ἡ ἀνάστασις καταλαμβάνεται.

Ὁρᾷς ὅτι οὐχ ἁπλῶς δεῖ τὴν πίστιν εἶναι, ἀλλὰ δι' ἔργων; Οὗτος γὰρ μάλιστα πιστεύει, ὅτι ἀνέστη Χριστός,

δὲν θὰ ἦτο δυνατὸν ἂν ἐγὼ ἐπετύγχανον κάποτε κατορθώματα, περιφρονῶν αὐτήν, νὰ ἔτρεχα πρὸς ἐκείνην. Ποία δὲ εἶναι αὐτή; Ἡ δικαιοσύνη ποὺ ἀποκτᾶται ἀπὸ τὴν πίστιν εἰς τὸν Θεόν, δηλαδή, καὶ αὐτὴ ἔχει δοθῆ ἀπὸ τὸν Θεόν. Ἡ δικαιοσύνη αὐτὴ εἶναι τοῦ Θεοῦ, αὐτὴ εἶναι ἐξ ὁλοκλήρου δῶρον. Τὰ δὲ δῶρα τοῦ Θεοῦ ὑπερβαίνουν κατὰ πολὺ τὴν εὐτέλειαν τῶν κατορθωμάτων, ποὺ γίνονται μὲ τὸν ἰδικόν μας ζῆλον.

Καὶ τί σημαίνει, «Στηριζόμενος ἐπὶ τῆς πίστεως διὰ νὰ γνωρίσω αὐτόν»; Ἄρα ἡ γνῶσις ἀποκτᾶται διὰ τῆς πίστεως, καὶ χωρὶς πίστιν δὲν εἶναι δυνατὸν νὰ γνωρίσωμεν αὐτόν. Πῶς συμβαίνει λοιπὸν τοῦτο; Διὰ τῆς πίστεως πρέπει νὰ γνωρίσωμεν τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. Διότι ποῖος λογισμὸς θὰ μᾶς παραστήσῃ τὴν ἀνάστασιν; Κανείς, μόνον ἡ πίστις. Ἐὰν δὲ γνωρίζωμεν διὰ τῆς πίστεως τὴν κατὰ σάρκα ἀνάστασιν τοῦ Χριστοῦ, πῶς κατανοοῦμεν μὲ λογισμοὺς τὴν γέννησιν τοῦ Λόγου τοῦ Θεοῦ; διότι ἡ ἀνάστασις εἶναι μικροτέρα ἀπὸ τὴν γέννησιν. Διατί; Διότι δι᾽ ἐκείνην μὲν ὑπάρχουν πολλὰ παραδείγματα, δι᾽ αὐτὴν δὲ ποτέ. Διότι νεκροὶ μὲν ἀνεστήθησαν πολλοὶ πρὸ Χριστοῦ, ἂν καὶ ἀπέθανον μετὰ τὴν ἀνάστασίν των· ἀπὸ παρθένον δὲ κανεὶς δὲν ἐγεννήθη ποτέ. Ἐὰν λοιπὸν ἐκεῖνο ποὺ εἶναι εὐτελέστερον καὶ ἀπὸ τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ, πρέπει νὰ τὸ κατανοοῦμεν διὰ τῆς πίστεως, τὸ πολὺ ἀνώτερον καὶ ἀπείρως καὶ ἀσυγκρίτως μεγαλύτερον, πῶς κατανοεῖται μὲ τὸν λογισμόν; Αὐτὰ κάνουν τὴν δικαιοσύνην. Διότι πρέπει νὰ πιστεύσωμεν αὐτό, ὅτι ἠμπόρεσε· τὸ πῶς δὲ ἠμπόρεσε, δὲν εἶναι δυνατὸν ἀκόμη νὰ ἀποδείξωμεν. Βεβαίως ἀπὸ τὴν πίστιν ἐξαρτᾶται καὶ ἡ συμμετοχή μας εἰς τὰ παθήματα. Πῶς; Διότι ἐὰν δὲν ἐπιστεύαμεν, οὔτε θὰ εἴχαμεν πάθει· ἐὰν δὲν ἐπιστεύαμεν, ὅτι ὑποφέροντες μαζὶ θὰ συμβασιλεύσωμεν, οὔτε θὰ εἴχαμεν πάθει τὰ παθήματα. Διὰ τῆς πίστεως κατανοεῖται καὶ ἡ γέννησις καὶ ἡ ἀνάστασις.

Βλέπεις ὅτι δὲν πρέπει νὰ ὑπάρχῃ μόνον ἡ πίστις, ἀλλ᾽ ἡ πίστις ποὺ συνοδεύεται μὲ ἔργα; Διότι αὐτὸς πρὸ

ὁ παραβόλως ἑαυτὸν τοῖς κινδύνοις ἐκδιδούς, ὁ κοινωνῶν αὐτῷ ἐν τοῖς παθήμασι· τῷ γὰρ ἀναστάντι κοινωνεῖ, τῷ ζῶντι. Διὰ τοῦτο ἔλεγε· «Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτόν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν». «Συμμορφούμενος», φησί, «τῷ θανάτῳ αὐτοῦ»· τουτέστι, κοινωνῶν. Καθάπερ γὰρ ἐκεῖνος ὑπὸ τῶν ἀνθρώπων ἔπαθεν, οὕτω κἀγώ· διὰ τοῦτο εἶπε, «συμμορφούμενος»· καὶ ἀλλαχοῦ πάλιν, «᾿Ανταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου». Τουτέστιν, οἱ διωγμοὶ καὶ τὰ παθήματα ταῦτα τὴν εἰκόνα δημιουργοῦσιν ἐκείνην τοῦ θανάτου. Οὐ γὰρ τὸ ἑαυτοῦ ἐζήτει, ἀλλὰ τὸ τῶν πολλῶν.

῞Ωστε καὶ οἱ διωγμοὶ καὶ αἱ θλίψεις καὶ αἱ στενοχωρίαι οὐ μόνον ὑμᾶς οὐκ ὀφείλουσι θορυβεῖν, ἀλλὰ καὶ εὐφραίνειν, ὅτι διὰ τούτων συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ· ὡς ἂν εἰ ἔλεγεν, ἐξεικονιζόμεθα· ὃ καὶ ἀλλαχοῦ λέγει γράφων, «Τὴν νέκρωσιν τοῦ Κυρίου ᾿Ιησοῦ ἐν τῷ σώματι περιφέροντες». Καὶ τοῦτο δὲ ἀπὸ πίστεως πολλῆς γίνεται. Οὐ γάρ, ὅτι ἀνέστη μόνον, πιστεύομεν, ἀλλ᾿ ὅτι καὶ μετὰ τὴν ἀνάστασιν πολλὴν ἔχει τὴν ἰσχύν. Διὰ τοῦτο τὴν αὐτὴν ὁδὸν ὁδεύομεν, ἥνπερ ὥδευσε, τουτέστιν, ἀδελφοὶ φαινόμεθα αὐτῷ καὶ κατὰ τοῦτο· ὡς ἂν εἰ ἔλεγε, χρηστοὶ γινόμεθα κατὰ τοῦτο. Βαβαί, πόσον τῶν παθῶν τὸ ἀξίωμα; πιστεύομεν ὅτι συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ διὰ τῶν παθημάτων. ῞Ωσπερ γὰρ ἐν τῷ βαπτίσματι συνετάφημεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, οὕτως ἐνταῦθα τῷ θανάτῳ

---

3. Φιλιπ. 3, 9 - 11
4. Κολοσ. 1, 24
5. Β' Κορ. 4, 10

πάντων πιστεύει, ὅτι ὁ Χριστὸς ἀνέστη, ὁ παραδίδων τὸν ἑαυτόν του εἰς παρατόλμους κινδύνους καὶ ὁ συμμετέχων μαζί του εἰς τὰ παθήματα· διότι ἐπικοινωνεῖ μὲ τὸν ἀναστάντα, μὲ τὸν ζῶντα. Διὰ τοῦτο ἔλεγε· «Καὶ διὰ νὰ εὑρεθῶ ἑνωμένος μὲ αὐτόν, ὄχι μὲ τὴν δικαιοσύνην μου, τὴν ὁποίαν δίδει ὁ νόμος, ἀλλὰ μὲ τὴν δικαιοσύνην, ποὺ ἀποκτᾶται διὰ τῆς πίστεως εἰς τὸν Χριστὸν καὶ προέρχεται ἐκ τοῦ Θεοῦ καὶ στηρίζεται ἐπὶ τῆς πίστεως, διὰ νὰ γνωρίσω αὐτόν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεώς του, καὶ τὴν συμμετοχὴν εἰς τὰ παθήματά του, καὶ ἐξομοιούμενος πρὸς τὸν θάνατόν του, μήπως φθάσω καὶ ἐγὼ εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν»[3]. «Ἐξομοιούμενος», λέγει, «πρὸς τὸν θάνατόν του», δηλαδή, συμμετέχων εἰς αὐτόν. Διότι ὅπως ἀκριβῶς ἔπαθεν ἐκεῖνος ἀπὸ τοὺς ἀνθρώπους, ἔτσι καὶ ἐγώ· διὰ τοῦτο εἶπεν, «ἐξομοιούμενος». Καὶ ἀλλοῦ πάλιν λέγει, «Ἀναπληρώνω τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ εἰς τὸ σῶμα μου»[4]. Δηλαδή, οἱ διωγμοὶ καὶ τὰ παθήματα αὐτὰ δημιουργοῦν ἐκείνην τὴν εἰκόνα τοῦ θανάτου. Διότι δὲν ἐζητοῦσε τὸ ἰδικόν του, ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν.

Συνεπῶς καὶ οἱ διωγμοὶ καὶ αἱ θλίψεις καὶ αἱ στενοχωρίαι ὄχι μόνον δὲν πρέπει νὰ σᾶς θορυβοῦν, ἀλλὰ καὶ νὰ σᾶς εὐφραίνουν, διότι μὲ αὐτὰ ἐξομοιούμεθα πρὸς τὸν θάνατον αὐτοῦ, ὡς ἐὰν ἔλεγεν, ἐξεικονιζόμεθα. Αὐτὸ ποὺ λέγει καὶ ἀλλοῦ, ὅταν γράφῃ, «Περιφέρομεν τὸ σῶμα μας κυκλωμένον ἀπὸ τὸν ἔσχατον κίνδυνον τοῦ νὰ ἀποθάνωμεν, ὅπως ἀπέθανεν ὁ Κύριος Ἰησοῦς»[5]. Καὶ αὐτὸ βεβαίως γίνεται ἐξ αἰτίας τῆς μεγάλης πίστεως. Διότι δὲν πιστεύομεν, ἐπειδὴ ἀνέστη μόνον, ἀλλὰ καὶ ἐπειδὴ μετὰ τὴν ἀνάστασιν ἔχει μεγάλην δύναμιν. Διὰ τοῦτο βαδίζομεν τὴν αὐτὴν ὁδόν, τὴν ὁποίαν ἐβάδισεν αὐτός, δηλαδή, καὶ κατὰ τοῦτο γινόμεθα ἀδελφοὶ πρὸς αὐτόν· ὡς ἐὰν ἔλεγε, γινόμεθα κατὰ τοῦτο Χριστοί. Πώ, πώ: πόση εἶναι ἡ ἀξία τῶν παθῶν! Πιστεύομεν ὅτι ἐξομοιούμεθα πρὸς τὸν θάνατον αὐτοῦ διὰ τῶν παθημάτων. Διότι ὅπως ἀκριβῶς διὰ τοῦ βαπτίσματος ἐτάφημεν μαζὶ μὲ αὐτὸν εἰς τὸ ὁμοίωμα τοῦ θανάτου του, ἔτσι καὶ ἐδῶ ἐξομοιούμεθα πρὸς τὸν θάνα-

αὐτοῦ. Ἐκεῖ εἰκότως εἶπε, «τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ»· οὐ γὰρ ὅλον τὸν θάνατον ἀπεθάνομεν· οὐ γὰρ σώματι καὶ σαρκὶ ἀπεθάνομεν, ἀλλ' ἁμαρτίᾳ. Ἐπεὶ οὖν θάνατος καὶ θάνατος λέγεται, ἀλλ' ἐκεῖνος μὲν σώματι, ἡμεῖς δὲ ἁμαρτίᾳ, καὶ ἐκεῖ ὁ ἄνθρωπος ἀπέθανεν, ὃν ἀνέλαβεν αὐτὸς ὁ ἐν σώματι ἡμῶν, ὧδε ὁ ἄνθρωπος τῆς ἁμαρτίας· διὰ τοῦτό φησι, «τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ», ἐνταῦθα δὲ οὐκέτι ὁμοιώματι θανάτου, ἀλλ' αὐτῷ τῷ θανάτῳ. Παῦλος γὰρ οὐκέτι ἁμαρτίᾳ ἀπέθανεν ἐν τοῖς διωγμοῖς, ἀλλ' αὐτῷ τῷ σώματι· ὥστε τὸν αὐτὸν ὑπέμεινε θάνατον.

«Εἴ πως καταντήσω», φησίν, «εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν». Τί λέγεις; καὶ μὴν πάντες αὐτῆς τυγχάνουσι· «Πάντες μὲν γὰρ οὐ κοιμηθησόμεθα», φησί, «πάντες δὲ ἀλλαγησόμεθα»· καὶ οὐκ ἀναστάσεως μόνης, ἀλλὰ καὶ ἀφθαρσίαν πάντες, οἱ μὲν εἰς τιμήν, οἱ δὲ εἰς ἐφόδιον κολάσεως. Εἰ τοίνυν πάντες τῆς ἀναστάσεως τυγχάνουσι, καὶ οὐ τῆς ἀναστάσεως μόνης, ἀλλὰ καὶ ἀφθαρσίας, πῶς ὡς μέλλων ἐξαιρέτου τινὸς τυγχάνειν ἔλεγεν, «εἴ πως καταντήσω»; «Διὰ τοῦτο ταῦτα πάσχω», φησίν, «εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν». Εἰ γὰρ μὴ ἀπέθανες, οὐκ ἀνίστασο; Τί οὖν ἐστι; Δοκεῖ μέγα τι ἐνταῦθα αἰνίττεσθαι· οὕτω γὰρ μέγα ἦν, ὅτι οὐδὲ ἐθάρρησεν ἀποφήνασθαι, ἀλλά φησιν, «εἴ πως». Ἐπίστευσα εἰς αὐτὸν καὶ τὴν αὐτοῦ ἀνάστασιν, ἀλλὰ καὶ πάσχω δι' αὐτόν, ἀλλ' οὔπω δύναμαι θαρρῆσαι περὶ τῆς ἀναστάσεως. Ποίαν ἐνταῦθα ἀνάστασίν φησι; Τὴν πρὸς αὐτὸν ἄγουσαν τὸν Χριστόν. Εἶπον ὅτι ἐπίστευσα αὐτῷ καὶ τῇ τῆς ἀναστάσεως αὐτοῦ δυνάμει, καὶ ὅτι κοινωνός εἰμι τῶν παθημάτων αὐτοῦ, καὶ ὅτι συμμορφοῦμαι τῷ θανάτῳ αὐτοῦ· ἀλλ' ὅμως μετὰ ταῦτα πάντα οὔπω θαρρῶ· ὅπερ ἀλλαχοῦ λέγει, «Ὁ δοκῶν

---

6. Ρωμ. 6, 4. 5
7. Α' Κορ. 15, 51

τον αὐτοῦ»[6]. Ἐκεῖ εὐλόγως εἶπεν, «εἰς τὸ ὁμοίωμα τοῦ θανάτου του». Διότι δὲν ἀπεθάναμεν ὅλον τὸν θάνατον˙ καθ' ὅσον δὲν ἀπεθάναμεν ὡς πρὸς τὸ σῶμα καὶ τὴν σάρκα, ἀλλ' ὡς πρὸς τὴν ἁμαρτίαν. Ἐπειδὴ λοιπὸν ὁ θάνατος καὶ θάνατος λέγεται, ἀλλ' ἐκεῖνος μὲν ἀπέθανεν ὡς πρὸς τὸ σῶμα, ἡμεῖς δὲ ὡς πρὸς τὴν ἁμαρτίαν, καὶ ἐκεῖ ἀπέθανεν ὁ ἄνθρωπος, τὸν ὁποῖον ἀνέλαβεν αὐτὸς ἀναλαβὼν τὸ σῶμα μας, ἐδῶ ὁ ἄνθρωπος τῆς ἁμαρτίας. Διὰ τοῦτο ἐκεῖ λέγει, «εἰς τὸ ὁμοίωμα τοῦ θανάτου αὐτοῦ», ἐδῶ δὲ ὄχι εἰς τὸ ὁμοίωμα τοῦ θανάτου, ἀλλ' εἰς αὐτὸν τὸν θάνατον. Διότι ὁ Παῦλος δὲν ἀπέθανε πλέον ὡς πρὸς τὴν ἁμαρτίαν εἰς τοὺς διωγμούς, ἀλλ' ὡς πρὸς τὸ ἴδιον τὸ σῶμα. Συνεπῶς ὑπέμεινε τὸν αὐτὸν θάνατον.

«Μήπως ἐπιτύχω καὶ ἐγώ», λέγει, «τὴν ἀνάστασιν τῶν νεκρῶν». Διατί λέγεις τοῦτο; καὶ βέβαια ὅλοι ἐπιτυγχάνουν αὐτήν. «Διότι ὅλοι μὲν δὲν θὰ ἀποθάνωμεν», λέγει, «ὅλοι ὅμως θὰ ἀλλάξωμεν σῶμα»[7]. Καὶ δὲν θὰ ἐπιτύχουν μόνον τὴν ἀνάστασιν, ἀλλὰ καὶ τὴν ἀφθαρσίαν ὅλοι, οἱ μὲν διὰ νὰ δοξασθοῦν, οἱ δὲ ὡς μέσον τιμωρίας. Ἐὰν λοιπὸν ὅλοι ἐπιτυγχάνουν τὴν ἀνάστασιν, καὶ ὄχι μόνον τὴν ἀνάστασιν, ἀλλὰ καὶ τὴν ἀφθαρσίαν, διατί ἔλεγεν, ὡς νὰ ἐπρόκειτο νὰ ἐπιτύχῃ κάτι τὸ ἐξαιρετικόν, «μήπως ἐπιτύχω»; Διὰ τοῦτο πάσχω αὐτά, λέγει, «μήπως ἐπιτύχω καὶ ἐγὼ τὴν ἀνάστασιν τῶν νεκρῶν». Ἐὰν λοιπὸν δὲν ἀπέθανες, δὲν θὰ ἀνίστασο; Τί λοιπὸν σημαίνει αὐτό; Φαίνεται ὅτι ὑπαινίσσεται ἐδῶ κάτι τὸ μέγα˙ διότι ἦτο τόσον μέγα, ὥστε δὲν ἐτόλμησε νὰ τὸ διακηρύξῃ, ἀλλ' ἁπλῶς λέγει, «μήπως». Ἐπίστευσα εἰς αὐτὸν καὶ τὴν ἀνάστασίν του, ἀλλὰ καὶ πάσχω δι' αὐτόν, ἀκόμη ὅμως δὲν ἠμπορῶ νὰ εἶμαι βέβαιος περὶ τῆς ἀναστάσεως. Ποίαν ἀνάστασιν ἐννοεῖ ἐδῶ: Ἐκείνην ποὺ ὁδηγεῖ πρὸς αὐτὸν τὸν Χριστόν. Εἶπα ὅτι ἐπίστευσα εἰς αὐτὸν καὶ εἰς τὴν δύναμιν τῆς ἀναστάσεώς του, καὶ ὅτι εἶμαι συμμέτοχος εἰς τὰ παθήματά του, καὶ ὅτι ἐξομοιοῦμαι πρὸς τὸν θάνατόν του˙ ἀλλ' ὅμως ὕστερα ἀπ' αὐτὰ ὅλα λέγει, δὲν εἶμαι βέβαιος ἀκόμη˙ πρᾶγμα ποὺ λέγει ἀλλοῦ, «Ἐκεῖνος ποὺ ἔχει τὴν ἰδέαν, ὅτι στέκεται καλά,

ἑστάναι, βλεπέτω μὴ πέσῃ»· καὶ πάλιν, «Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». «Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ Ἰησοῦ». «Οὐχ ὅτι ἤδη ἔλαβον».

Τί ἐστιν, «ἤδη ἔλαβον»; Τὸ βραβεῖον, φησίν. Εἰ δὲ ὁ τοσαῦτα παθών, εἰ δὲ ὁ διωκόμενος, εἰ δὲ ὁ τὴν νέκρωσιν ἔχων, οὔπω ἐθάρρει περὶ τῆς ἀναστάσεως ἐκείνης, τί ἂν εἴποιμεν ἡμεῖς; Τί ἐστιν, «εἰ καταλάβω»; Ὅπερ πρότερον ἔλεγεν, «εἰ καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν». Τὴν αὐτοῦ, φησίν, ἀνάστασιν ἐὰν καταλάβω. Τουτέστιν, ἐὰν δυνηθῶ τοσαῦτα παθεῖν, ἂν δυνηθῶ μιμήσασθαι αὐτόν, ἂν δυνηθῶ σύμμορφος αὐτῷ γενέσθαι. Οἷον, πολλὰ ἔπαθεν ὁ Χριστός, ἐνεπτύσθη, ἐρραπίσθη, ἐμαστιγώθη, ὕστερον ἔπαθεν ἅπερ ἔπαθε. Τοῦτο στάδιόν ἐστι· διὰ τούτων πάντων δεῖ πρὸς τὴν ἀνάστασιν αὐτοῦ φθάσαι πάντας τοὺς ἄθλους ἐνεγκόντας. Ἢ τοῦτό φησιν, ἐὰν καταξιωθῶ τῆς ἀναστάσεως τυχεῖν εὐδοκίμου, παρρησίαν ἐχούσης, εἰς τὴν ἐξανάστασιν τὴν αὐτοῦ. Ἂν γὰρ δυνηθῶ τοὺς ἀγῶνας πάντας ἐνεγκεῖν καὶ τὴν ἀνάστασιν αὐτοῦ δυνήσομαι σχεῖν, καὶ μετὰ δόξης ἀναστῆναι. Οὐδέπω γάρ, φησίν, ἄξιός εἰμι· «διώκω δέ, εἰ καὶ καταλάβω». Ἔτι ἐναγώνιός μοι ὁ βίος, ἔτι τοῦ τέλους εἰμὶ πόρρω, ἔτι τῶν βραβείων ἐφέστηκα, ἔτι τρέχω, ἔτι διώκω. Καὶ οὐκ εἶπε, τρέχω, ἀλλά, «διώκω». Ὁ διώκων ἴστε μεθ' ὅσου πόνου διώκει· οὐδένα ὁρᾷ, πάντας μετὰ πολλῆς τῆς ῥύμης τοὺς διακόπτοντας ἀπωθεῖται, καὶ διάνοιαν καὶ ὄμμα καὶ ἰσχὺν καὶ ψυχὴν καὶ σῶμα συστρέφει, πρὸς ἕτερον μὲν οὐδὲν ὁρῶν, πρὸς δὲ τὸ βραβεῖον μόνον. Εἰ δὲ ὁ διώκων Παῦλος, ὁ τοσαῦτα παθών, ἔτι φησίν, «εἰ καὶ κα-

8. Α΄ Κορ. 10, 12· 9, 27
9. Φιλιπ. 3, 12

ἂς προσέχῃ, μήπως πέσῃ»˙ καὶ πάλιν, «Φοβοῦμαι μήπως ἀποδειχθῶ ἀνάξιος ἐγὼ ὁ ἴδιος, ποὺ ἐκήρυξα εἰς ἄλλους»[8] «Δὲν λέγω, ὅτι ἔλαβον πλέον ἢ ὅτι ἔχω πλέον κατορθώσει τὴν πνευματικὴν τελειότητα, ἀλλὰ καταδιώκω μήπως καὶ πιάσω καλῶς ἐκεῖνο, διὰ τὸ ὁποῖον ἐπιάσθην ἀπὸ τὸν Ἰησοῦν Χριστόν»[9]. «Δὲν λέγω, ὅτι ἔλαβον πλέον».

Τί σημαίνει τό, «ἔλαβον πλέον»; Τὸ βραβεῖον, ἐννοεῖ. Ἐὰν δὲ ἐκεῖνος ποὺ ἔπαθε τόσον πολλά, ἐκεῖνος ποὺ διώκεται, ἐκεῖνος ποὺ ἔχει τὴν νέκρωσιν, δὲν ἦτο ἀκόμη βέβαιος περὶ τῆς ἀναστάσεως ἐκείνης, τί θὰ ἠμπορούσαμε νὰ εἰποῦμεν ἡμεῖς; Τί σημαίνει τό, «εἰ καταλάβω»; Ἐκεῖνο ποὺ ἔλεγε προηγουμένως, «ἐὰν φθάσω εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν». Ἐὰν πιάσω, λέγει, τὴν ἀνάστασίν του. Δηλαδή, ἐὰν ἠμπορέσω νὰ πάθω τόσον πολλά, ἐὰν ἠμπορέσω νὰ μιμηθῶ αὐτόν, ἐὰν ἠμπορέσω νὰ ἐξομοιωθῶ πρὸς αὐτόν. Ἤτοι, ὁ Χριστὸς ἔπαθε πολλά, ἐνεπτύσθη, ἐρραπίσθη, ἐμαστιγώθη, ἔπειτα ἔπαθεν ἐκεῖνα ποὺ ἔπαθε. Τοῦτο εἶναι τὸ στάδιον καὶ δι' ὅλων αὐτῶν πρέπει νὰ φθάσωμεν πρὸς τὴν ἀνάστασιν αὐτοῦ, ἀφοῦ ὑποφέρωμεν ὅλους τοὺς ἀγῶνας. Ἢ τοῦτο λέγει, ἐὰν ἀξιωθῶ νὰ ἐπιτύχω τὴν ἔνδοξον ἀνάστασιν, ποὺ ἔχει παρρησίαν, εἰς τὴν ἀνάστασίν του φθάνω. Διότι ἂν ἠμπορέσω νὰ ὑποφέρω ὅλους τοὺς ἀγῶνας, θὰ ἠμπορέσω νὰ ἐπιτύχω καὶ τὴν ἀνάστασιν, καὶ νὰ ἀναστηθῶ ἐνδόξως. Διότι μέχρι τώρα, λέγει, δὲν εἶμαι ἄξιος, «ἀλλὰ καταδιώκω, μήπως καὶ πιάσω». Ἀκόμη ὁ βίος μου εἶναι γεμᾶτος ἀπὸ ἀγῶνας, ἀκόμη εἶμαι μακρὰν ἀπὸ τὸ τέλος, ἀκόμη ἀπέχω ἀπὸ τὰ βραβεῖα, ἀκόμη τρέχω, ἀκόμη καταδιώκω. Καὶ δὲν εἶπε, τρέχω, ἀλλά, «καταδιώκω». Ἐκεῖνος ποὺ καταδιώκει γνωρίζετε μὲ πόσην ἐπιμονὴν καταδιώκει˙ κανένα δὲν βλέπει, ὅλους ἐκείνους ποὺ τὸν ἐμποδίζουν τοὺς ἀπωθεῖ μὲ πολλὴν ὁρμήν, καὶ συγκεντρώνει καὶ τὴν διάνοιάν του καὶ τὸ βλέμμα του καὶ τὴν δύναμίν του καὶ τὴν ψυχήν του καὶ τὸ σῶμα του, καὶ δὲν βλέπει πρὸς τίποτε ἄλλο, παρὰ μόνον πρὸς τὸ βραβεῖον. Ἐὰν λοιπὸν ὁ καταδιώκων Παῦλος, ποὺ ἔπαθε τόσον πολλά, ἀκόμη λέγει, «μήπως καὶ πιάσω», τί θὰ ἠμπορέσωμεν

ταλάβω», τί ἂν εἴποιμεν ἡμεῖς οἱ ἀναπεπτωκότες; Εἶτα δεικνύς, ὅτι ὀφειλῆς τὸ πρᾶγμά ἐστι, φησίν, «ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Ἰησοῦ Χριστοῦ». Τῶν ἀπολλυμένων ἤμην, φησίν, ἐπνιγόμην, ἔμελλον ἀπόλλυσθαι· κατέλαβέ με ὁ Θεός· καὶ γὰρ αὐτὸς ἡμᾶς ἐδίωκε φεύγοντας αὐτὸν μετὰ πολλῆς τῆς σπουδῆς. Ὥστε πάντα παρίστησι· τὸ γὰρ εἰπεῖν, ὅτι κατελήφθην, ἔδειξε καὶ τοῦ βουλομένου καταλαβεῖν τὴν σπουδήν, καὶ ἡμῶν τὴν ἀποστροφὴν τὴν πολλὴν καὶ τὴν πλάνην, ὅτι αὐτὸν ἐφεύγομεν.

Ὥστε πολλῆς ἐσμεν ὀφειλῆς ὑπεύθυνοι, καὶ οὐδεὶς πενθεῖ, οὐδεὶς δακρύει, οὐδεὶς στενάζει, πάντων εἰς τὴν προτέραν κατάστασιν ἐλθόντων. Ὥσπερ γὰρ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ τὸν Θεὸν ἐφεύγομεν, οὕτω καὶ νῦν. Φεύγειν γάρ ἔστι τὸν Θεόν, οὐ τόπῳ, πανταχοῦ γάρ ἐστι· καὶ ἄκουε τοῦ προφήτου λέγοντος, «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;». Πῶς οὖν ἔστι φυγεῖν τὸν Θεόν; Ὡς ἔστι πόρρω γενέσθαι τοῦ Θεοῦ, ὡς ἔστι μακρυνθῆναι· «Οἱ γὰρ μακρύνοντες ἑαυτούς», φησίν, «ἀπὸ σοῦ, ἀπολοῦνται»· καὶ πάλιν, «Οὐχὶ τὰ ἁμαρτήματα ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν;». Πῶς οὖν γίνεται τὸ μακρυνθῆναι; πῶς γίνεται διάστασις; Προαιρέσει καὶ ψυχῇ· τόπῳ γὰρ οὐκ ἔνι· πῶς γὰρ ἄν τις τὸν πανταχοῦ παρόντα φεύγοι; Ὁ τοίνυν ἁμαρτωλὸς φεύγει. Τοῦτό ἐστιν ὅ φησιν ἡ Γραφή, «Φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος». Σφόδρα φεύγομεν τὸν Θεόν, καίτοι ἀεὶ διώκοντα ἡμᾶς αὐτόν. Ὁ ἀπόστολος ἐδίωκεν, ἵνα ἐγγὺς αὐτοῦ γένηται· ἡμεῖς διώκομεν, ἵνα πόρρω γενώμεθα. Ἆρα οὐκ ἄξια ταῦτα θρήνων; ἆρα οὐκ ἄξια δακρύων; Ποῦ φεύγεις, ἄθλιε καὶ ταλαίπωρε; ποῦ φεύγεις τὴν ζωὴν καὶ τὴν σωτηρίαν τὴν σήν;

---

10. Ψαλμ. 138, 7
11. Ψαλμ. 72, 27 καὶ Ἠσ. 59, 2
12. Παροιμ. 28, 1

νὰ εἰποῦμεν ἡμεῖς οἱ ἀναπεπτωκότες; Ἔπειτα, ἀποδεικνύων ὅτι τὸ πρᾶγμα τοῦτο εἶναι χρέος μας, λέγει· «διὰ τὸ ὁποῖον καὶ συνελήφθην ἀπὸ τὸν Ἰησοῦν Χριστόν». Ἤμην ἀπολλυμένος, λέγει, ἐπνιγόμην, ἐπρόκειτο νὰ χαθῶ· ὁ Θεὸς μὲ συνέλαβε, διότι πράγματι αὐτὸς μᾶς κατεδίωκεν ὅταν ἡμεῖς ἐφεύγαμεν μακρὰν ἀπ' αὐτὸν μὲ πολλὴν βιασύνην. Ὥστε ἀποδεικνύει τὰ πάντα· διότι μὲ τὸ νὰ εἰπῇ, ὅτι συνελήφθην, ἔδειξε καὶ τὴν βιασύνην ἐκείνου ποὺ ἤθελε νὰ συλλάβῃ καὶ τὴν ἰδικήν μας μεγάλην ἀποστροφὴν καὶ τὴν πλάνην, διότι ἐφεύγαμεν μακρὰν ἀπ' αὐτόν.

Ὥστε εἴμεθα ὑπεύθυνοι μεγάλου χρέους, καὶ κανεὶς δὲν πενθεῖ, κανεὶς δὲν κλαίει, κανεὶς δὲν στενάζει, ὅταν ὅλα ἐπανέλθουν εἰς τὴν προηγουμένην κατάστασιν. Διότι ὅπως ἀκριβῶς πρὸ τῆς ἐλεύσεως τοῦ Χριστοῦ ἀποφεύγαμεν τὸν Θεόν, ἔτσι καὶ τώρα. Διότι εἶναι δυνατὸν νὰ ἀποφεύγωμεν τὸν Θεόν, ὄχι ὅμως εἰς τόπον, ἐπειδὴ ὑπάρχει παντοῦ. Ἄκουε τὸν προφήτην ποὺ λέγει· «Ποῦ νὰ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ποῦ νὰ φύγω ἀπὸ τὴν παρουσίαν σου;»[10]. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ ἀποφύγωμεν τὸν Θεόν; Ὅπως εἶναι δυνατὸν νὰ εὑρεθοῦμεν μακρὰν ἀπὸ τὸν Θεόν, ὅπως εἶναι δυνατὸν νὰ ἀπομακρυνθοῦμεν ἀπ' αὐτόν. «Διότι ἐκεῖνοι οἱ ὁποῖοι ἀπομακρύνονται, λέγει, ἀπὸ σέ, θὰ ἀφανισθοῦν»· καὶ πάλιν· «Τὰ ἁμαρτήματά σας δὲν ὑπῆρξαν φραγμὸς μεταξὺ ἐμοῦ καὶ ὑμῶν;»[11]. Πῶς λοιπὸν γίνεται ἡ ἀπομάκρυνσις; πῶς γίνεται ἡ διάστασις; Μὲ τὴν προαίρεσιν καὶ τὴν ψυχήν, διότι δὲν εἶναι δυνατὸν νὰ γίνῃ εἰς τόπον· διότι πῶς θὰ ἠμπορέσῃ κανεὶς νὰ ἀποφύγῃ τὸν πανταχοῦ παρόντα; Ὁ ἁμαρτωλὸς λοιπὸν φεύγει. Αὐτὸ σημαίνει ἐκεῖνο ποὺ λέγει ἡ Γραφή, «Ὁ ἀσεβὴς φεύγει, ἐνῷ κανεὶς δὲν τὸν διώκει»[12]. Ἀποφεύγομεν πολὺ τὸν Θεόν, ἂν καὶ αὐτὸς μᾶς καταδιώκει. Ὁ ἀπόστολος ἐπεδίωκε, διὰ νὰ εὑρεθῇ πλησίον αὐτοῦ. Ἡμεῖς ἐπιδιώκομεν, διὰ νὰ εὑρεθοῦμεν μακρὰν αὐτοῦ. Ἄρα αὐτὰ δὲν εἶναι ἄξια θρήνων; ἆρα δὲν εἶναι ἄξια δακρύων; Ποῦ φεύγεις, ἄθλιε καὶ ταλαίπωρε; ποῦ φεύγεις ἀπὸ τὴν ζωὴν καὶ τὴν ἰδικήν σου σωτηρίαν; Ἂν φύγῃς μακρὰν τοῦ Θεοῦ, εἰς

Ἂν τὸν Θεὸν φύγῃς, πρὸς τίνα καταφεύξῃ; ἂν τὸ φῶς φύγῃς, ποῦ διαβλέψεις; ἂν τὴν ζωὴν φύγῃς, πόθεν ζήσῃ λοιπόν;

Φύγωμεν τὸν ἐχθρὸν τῆς σωτηρίας τῆς ἡμετέρας. Ὅταν ἁμαρτάνωμεν, φεύγομεν ἀπὸ τοῦ Θεοῦ, δραπετεύομεν, εἰς ἀλλοτρίαν ἀπερχόμεθα γῆν, καθάπερ ἐκεῖνος ὁ καταφαγὼν τὰ ὑπάρχοντα τὰ πατρῷα, καὶ ἀπελθὼν εἰς ἀλλοτρίαν γῆν, ὁ καταναλώσας πᾶσαν τὴν πατρικὴν οὐσίαν, καὶ ἐν λιμῷ ζῶν. Ἔχομεν οὖν πατρικὴν αἰτίαν καὶ ἡμεῖς. Ποίαν δὴ ταύτην; Ἀπήλλαξεν ἡμᾶς τῶν ἁμαρτημάτων, ἐχαρίσατο ἡμῖν δύναμιν, ἰσχὺν πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν, ἐχαρίσατο ἡμῖν προθυμίαν, ὑπομονήν, ἐν τῷ βαπτίσματι ἐχαρίσατο ἡμῖν Πνεῦμα ἅγιον. Ἂν ταῦτα καταναλώσωμεν, ἐν λιμῷ λοιπὸν ἐσόμεθα. Καθάπερ γὰρ οἱ νοσοῦντες, ἕως μὲν ἂν πυρετοῖς ἐνοχλοῦνται καὶ χυμῶν κακίᾳ, οὐδὲ διαναστῆναι, οὐδὲ ἐργάσασθαι, οὐδὲ πρᾶξαί τι δύνανται· ἂν δέ τις αὐτοὺς ἀπαλλάξῃ καὶ εἰς ὑγείαν ἀγάγῃ, εἶτα μὴ ἐργάζωνται, παρὰ τὴν οἰκείαν αὐτῶν τοῦτο γίνεται ῥᾳθυμίαν· οὕτω δὴ καὶ ἐφ' ἡμῶν. Καὶ γὰρ ἡ νόσος χαλεπή, καὶ ὁ πυρετὸς σφοδρός· καὶ ἐκείμεθα οὐκ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ τῆς κακίας αὐτῆς, καθάπερ ἐν κοπρίᾳ τῇ πονηρίᾳ ἐρριμμένοι, ἡλκωμένοι, δυσωδίας ἀνάπλεοι, αὐχμῶντες, κατατρυχόμενοι, εἴδωλα μᾶλλον ἢ ἄνθρωποι. Περιειστήκεσαν ἡμᾶς δαίμονες πονηροί, ὁ ἄρχων τοῦ κόσμου τούτου, γελῶν, ἐπεμβαίνων. Ἦλθεν ὁ τοῦ Θεοῦ μονογενής, ἀφῆκε τὰς ἀκτῖνας τῆς παρουσίας αὐτοῦ, καὶ τὸν ζόφον εὐθέως ἀπήλασεν. Ἦλθε πρὸς ἡμᾶς ὁ βασιλεὺς ὁ ἐν τῷ θρόνῳ τῷ πατρικῷ, τὸν θρόνον ἀφεὶς τὸν πατρικόν· ὅταν δέ, ἀφείς, εἴπω, μὴ πάλιν μετάστασιν νομίσῃς· τὸν γὰρ οὐρανὸν καὶ τὴν γῆν αὐτὸς πληροῖ· ἀλλὰ τὴν οἰκονομίαν φημί. Ἦλθε πρὸς ἐχθρὸν τὸν μισοῦντα αὐτόν, τὸν ἀποστρε-

ποῖον θὰ καταφύγῃς; ἂν φύγῃς ἀπὸ τὸ φῶς, ποῦ θὰ βλέπῃς καλύτερα; ἂν φύγῃς ἀπὸ τὴν ζωήν, πῶς θὰ ζήσῃς εἰς τὸ ἑξῆς;

Ἂς ἀποφύγωμεν τὸν ἐχθρὸν τῆς ἰδικῆς μας σωτηρίας. Ὅταν ἁμαρτάνωμεν, φεύγομεν ἀπὸ τὸν Θεόν, δραπετεύομεν, μεταβαίνομεν εἰς ξένην χώραν, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ κατέφαγε τὰ ὑπάρχοντα τοῦ πατρός του, καὶ μετέβη εἰς ξένην χώραν καὶ ἐδαπάνησε τελείως τὴν πατρικὴν περιουσίαν καὶ ζῇ μὲ μεγάλην πεῖναν. Ἔχομεν βεβαίως καὶ ἡμεῖς πατρικὴν περιουσίαν. Ποία λοιπὸν εἶναι αὐτή; Ἐσυγχώρησε τὰ ἁμαρτήματά μας, ἐχάρισεν εἰς ἡμᾶς τὴν δύναμιν, τὴν ἰσχὺν διὰ τὰ ἔργα τῆς ἀρετῆς, ἐχάρισεν εἰς ἡμᾶς τὴν προθυμίαν, τὴν ὑπομονήν, κατὰ τὸ βάπτισμα ἐχάρισε τὸ ἅγιον Πνεῦμα. Ἂν θὰ καταναλώσωμεν αὐτά, εἰς τὸ ἑξῆς θὰ ζῶμεν εἰς κατάστασιν λιμοῦ. Ὅπως ἀκριβῶς οἱ ἀσθενεῖς, ἐν ὅσῳ μὲν ἐνοχλοῦνται ἀπὸ πυρετοὺς καὶ παθήσεις τῶν ὑγρῶν συστατικῶν τοῦ σώματος, δὲν ἠμποροῦν οὔτε νὰ σηκωθοῦν, οὔτε νὰ ἐργασθοῦν, οὔτε νὰ πράξουν κάτι, ἂν ὅμως τοὺς ἀπαλλάξῃ κανεὶς ἀπὸ τὴν ἀσθένειαν καὶ τοὺς ἀποκαταστήσῃ τὴν ὑγείαν, ἔπειτα ἂν δὲν ἐργάζωνται, τοῦτο γίνεται παρὰ τὴν ἰδικήν των ραθυμίαν· ἔτσι λοιπὸν συμβαίνει καὶ εἰς ἡμᾶς. Καὶ πράγματι ἡ ἀσθένεια εἶναι δύσκολος καὶ ὁ πυρετὸς ἔντονος· καὶ εἴμεθα ἐξηπλωμένοι ὄχι ἐπάνω εἰς τὸ κρεββάτι, ἀλλ' ἐπάνω εἰς αὐτὴν τὴν κακίαν, ὡσὰν ἐπάνω εἰς κοπριάν, ἐγκαταλελειμμένοι εἰς τὴν πονηρίαν, γεμᾶτοι πληγάς, γεμᾶτοι δυσωδίαν, ρυπαροί, καταπονούμενοι, φαντάσματα μᾶλλον, παρὰ ἄνθρωποι. Μᾶς ἔχουν περικυκλώσει οἱ πονηροὶ δαίμονες, ὁ ἄρχων τοῦ κόσμου τούτου, περιγελῶν, ἐπικρίνων. Ἦλθεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἐξέπεμψε τὰς ἀκτῖνας τῆς παρουσίας του, καὶ ἀμέσως διέλυσε τὸ σκοτάδι. Ἦλθε πρὸς ἡμᾶς ὁ βασιλεύς, ὁ εὑρισκόμενος εἰς τὸν πατρικὸν θρόνον, ἀφοῦ ἄφησε τοῦτον· ὅταν δὲ λέγω, ἀφοῦ ἄφησε, μὴ νομίσῃς πάλιν μετάστασιν, διότι αὐτὸς γεμίζει ἐντελῶς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀλλ' ἐννοῶ τὴν μέριμναν τοῦ Θεοῦ. Ἦλθεν πρὸς ἐχθρόν, ὁ ὁποῖος μισεῖ αὐτόν, τὸν ἀ-

φόμενον, τὸν οὐδὲ ἰδεῖν αὐτὸν ἀνεχόμενον, τὸν καθ᾽ ἑκάστην αὐτὸν βλασφημοῦντα τὴν ἡμέραν.

Εἶδεν ἐν κοπρίᾳ κείμενον, σκώληξιν ἡλκωμένον, πυρετοῖς, λιμῷ κατεχόμενον, πᾶν εἶδος ἔχοντα νόσου. Καὶ γὰρ πυρετὸς ἠνώχλει, τοῦτο γὰρ ἐπιθυμία πονηρά· καὶ φλεγμοναὶ ἐπέκειντο, τοῦτο γὰρ ἡ ἀπόνοια· καὶ βουλιμία τις ἡ λεγομένη κατεῖχε, τοῦτο γὰρ ἡ πλεονεξία· καὶ σηπεδόνες πάντοθεν, τοῦτο γὰρ ἡ πορνεία· καὶ πήρωσις ὀφθαλμῶν, τοῦτο γὰρ εἰδωλολατρεία· καὶ κώφωσις καὶ παραπληξία, τοῦτο γὰρ τὸ προσκυνεῖν λίθοις καὶ ξύλοις, καὶ ἐκείνοις προσφθέγγεσθαι· καὶ δυσείδεια πολλή, τοῦτο γὰρ ἡ κακία, ἀηδές τι, καὶ νόσος χαλεπωτάτη. Καὶ χεῖρον πάλιν τῶν μαινομένων φθεγγομένους ἡμᾶς, καὶ τὸ ξύλον θεὸν καλοῦντας, καὶ τὸν λίθον ὁμοίως· εἶδεν ἐν τοσαύτῃ κακίᾳ, οὐκ ἐβδελύξατο, οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεστράφη, οὐκ ἐμίσησε· δεσπότης γὰρ ἦν, καὶ τὸ ἴδιον πλάσμα οὐκ ἂν ἐμίσησεν. Ἀλλὰ τί ποιεῖ; Καθάπερ ἄριστος ἰατρὸς κατασκευάζει φάρμακα πολλοῦ ἄξια, καὶ πρῶτος αὐτῶν ἀπογεύεται· τὴν γὰρ ἀρετὴν αὐτὸς πρῶτος μετῆλθε, καὶ οὕτως ἡμῖν ἔδωκε. Καὶ πρῶτον καθάπερ ἀντίδοτόν τι φάρμακον ἔδωκε τὸ λουτρόν, καὶ οὕτω πᾶσαν ἠμέσαμεν κακίαν, καὶ πάντα ἐφυγαδεύθη ἀθρόον, καὶ ἡ φλεγμονὴ ἐπαύσατο, καὶ ὁ πυρετὸς ἐσβέσθη καὶ αἱ σηπεδόνες ἐκαύθησαν· πάντα γὰρ καὶ τὰ ἀπὸ πλεονεξίας, καὶ τὰ ἀπὸ θυμοῦ, καὶ τὰ ἄλλα κακὰ ἐκενώθη διὰ τοῦ πνεύματος· ἀνεῴχθησαν οἱ ὀφθαλμοί, ἀνεῴγει τὰ ὦτα, ἐλάλησεν εὔφημον φωνὴν ἡ γλῶσσα, ἔλαβεν ἰσχὺν ἡ ψυχή, ἔλαβε κάλλος καὶ ἄνθος τὸ σῶμα τοιοῦτον, οἷον εἰκὸς Υἱὸν Θεοῦ τεχθέντα κάλλος ἔχειν

ποστρέφεται, οὔτε νὰ τὸν ἰδῇ ἀνέχεται καὶ τὸν βλασφημεῖ καθημερινῶς.

Εἶδεν αὐτὸν ἐξηπλωμένον εἰς τὴν κοπριάν, γεμᾶτον πληγὰς ἀπὸ τοὺς σκώληκας, κατεχόμενον ἀπὸ πυρετούς, πεῖναν, νὰ ἔχῃ κάθε εἶδος ἀσθενείας. Διότι πράγματι ὁ πυρετὸς ἠνωχλοῦσε, τοῦτο βέβαια εἶναι ἡ πονηρὰ ἐπιθυμία˙ καὶ φλεγμοναὶ ἐπέκειντο, τοῦτο βέβαια εἶναι ἡ ἀπόνοια˙ καὶ κατεῖχε κάποια λεγομένη βουλιμία, τοῦτο βέβαια εἶναι ἡ πλεονεξία˙ καὶ ἀπὸ παντοῦ σῆψις, τοῦτο βέβαια εἶναι ἡ πορνεία˙ καὶ βλάβη ὀφθαλμῶν, τοῦτο βέβαια εἶναι ἡ εἰδωλολατρεία˙ καὶ κώφωσις καὶ παραλυσία, τοῦτο βέβαια εἶναι τὸ νὰ προσκυνοῦν τοὺς λίθους καὶ τὰ ξύλα καὶ τὸ νὰ ὁμιλοῦν μ' ἐκεῖνα˙ καὶ ἀσχημία πολλή, τοῦτο βέβαια εἶναι ἡ κακία, κάτι τὸ ἀηδὲς καὶ ἀσθένεια δυσκολωτάτη. Καὶ εἶδε νὰ ὁμιλοῦμεν ἡμεῖς χειρότερον πάλιν ἀπὸ τοὺς μαινομένους, καὶ νὰ ὀνομάζωμεν Θεὸν τὸ ξύλον, καθὼς καὶ τὸν λίθον. Εἶδεν ἡμᾶς εἰς τόσον μεγάλην κακίαν, καὶ δὲν ᾐσθάνθη ἀπέχθειαν, δὲν ἐδυσφόρησε, δὲν μᾶς ἀπεστράφη, δὲν μᾶς ἐμίσησε, διότι ἦτο ὁ Κύριός μας καὶ δὲν θὰ ἠμποροῦσε νὰ μισήσῃ τὸ ἰδικόν του πλάσμα. Ἀλλὰ τί κάνει; Ὡσὰν ἄριστος ἰατρὸς παρασκευάζει φάρμακα πολὺ ἀποτελεσματικά, καὶ πρῶτος αὐτὸς τὰ δοκιμάζει˙ διότι αὐτὸς πρῶτος ἤσκησε τὴν ἀρετήν, καὶ ἔτσι μᾶς τὴν ἔδωσε. Καὶ κατὰ πρῶτον μᾶς ἔδωσεν ὡς ἀντίδοτον φάρμακον τὸ βάπτισμα˙ καὶ κατ' αὐτὸν τὸν τρόπον ἀπεβάλαμεν ὅλην τὴν κακίαν, καὶ ὅλα ἀμέσως ἀπεμακρύνθησαν, καὶ ἡ φλεγμονὴ ἐσταμάτησε, καὶ ὁ πυρετὸς ἔπαυσε, καὶ αἱ πληγαὶ ποὺ ἐσήποντο ἐκαυτηριάσθησαν˙ διότι ὅλα τὰ προερχόμενα ἀπὸ τὴν πλεονεξίαν καὶ τὸν θυμὸν κακά, καθὼς καὶ τὰ ἄλλα ἐξηφανίσθησαν διὰ τοῦ ἁγίου Πνεύματος˙ οἱ ὀφθαλμοὶ ἠνοίχθησαν, τὰ αὐτιὰ ἠνοίχθησαν, ἡ γλῶσσα ἐλάλησεν εὔφημον φωνήν, ἡ ψυχὴ ἔλαβε δύναμιν, τὸ σῶμα ἔλαβε τέτοιο κάλλος καὶ λαμπρότητα, κάλλος ποὺ ἦτο εὔλογον νὰ ἔχῃ ὁ γεννηθεὶς ἀπὸ τὴν χάριν τοῦ Πνεύματος Υἱὸς τοῦ Θεοῦ, δόξαν ποὺ ἦτο φυσικὸν νὰ ἔχῃ υἱὸς ποὺ ἐγεννήθη

ἀπὸ τῆς τοῦ Πνεύματος χάριτος, οἵαν εἰκὸς δόξαν ἔχειν υἱὸν ἄρτι τεχθέντα βασιλεῖ, καὶ ἐν ἁλουργίδι τρεφόμενον.

Οἴμοι, πόσην εὐγένειαν ἡμῖν ἐχαρίσατο; Ἐτέχθημεν, ἐτράφημεν· τί πάλιν φεύγομεν τὸν εὐεργέτην; Ὁ τοίνυν ταῦτα πάντα ποιήσας, καὶ ἰσχὺν δίδωσιν· οὐ γὰρ ἐνῆν κατεχομένην τῷ νοσήματι ἐνεγκεῖν, εἰ μὴ αὐτὸς ἡμῖν ἔδωκε τὴν ἰσχύν· καὶ τῶν ἁμαρτημάτων τὴν ἄφεσιν. Κατεφάγομεν ἅπαντα· ἔδωκεν ἡμῖν ἰσχύν, ἀνηλώσαμεν αὐτήν· ἔδωκεν ἡμῖν χάρισμα, ἐσβέσαμεν αὐτό. Πῶς; Ἀνηλώσαμεν αὐτὸ εἰς οὐδὲν δέον, ἐχρησάμεθα ἐν οὐδενὶ χρησίμῳ. Ταῦτα ἡμᾶς ἀπώλεσε, καὶ τὸ πάντων δεινότερον, ὅτι ἐν ἀλλοτρίᾳ ὄντες, καὶ κεράτια ἐσθίοντες, οὐ λέγομεν, ἐπιστρέψωμεν πρὸς τὸν πατέρα καὶ εἴπωμεν, ἡμάρτομεν εἰς τὸν οὐρανὸν καὶ εἰς σέ, καὶ πατέρα οὕτως ἔχοντες φιλόστοργον, σφόδρα ποθοῦντα ἡμῶν τὴν ἐπάνοδον.

Ἂν ἐπανέλθωμεν μόνον, οὐδὲ ἐγκαλέσαι ὑπὲρ τῶν προτέρων ἀνέχεται· μόνον ἀποστῶμεν· ἱκανὴ γὰρ ἀπολογία τὸ ἐπανελθεῖν. Οὐ μόνον αὐτὸς οὐκ ἐγκαλεῖ, ἀλλά, κἂν ἕτερος ἐγκαλῇ, ἐπιστομίζεται, κἂν εὐδοκιμηκὼς ᾖ ὁ ἐγκαλῶν. Ἐπανέλθωμεν· μέχρι τίνος ἀφιστάμεθα; Λάβωμεν αἴσθησιν τῆς ἀτιμίας, λάβωμεν αἴσθησιν τῆς εὐτελείας. Ἡ κακία χοίρους εἶναι ποιεῖ, ἡ κακία λιμὸν ἐμποιεῖ τῇ ψυχῇ. Ἀνακτησώμεθα ἑαυτοὺς καὶ ἀνανήψωμεν, καὶ ἐπανέλθωμεν ἐπὶ τὴν προτέραν εὐγένειαν, ἵνα τύχωμεν τῶν μελλόντων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μόλις πρὸ ὀλίγου ἀπὸ βασιλέα καὶ τρέφεται ἐντὸς βασιλικῆς πορφύρας.

Ἀλλοίμονον, πόσην εὐγένειαν μᾶς ἐχάρισεν; Ἐτέχθημεν, ἐτράφημεν· διατί πάλιν ἀποφεύγομεν τὸν εὐεργέτην; Αὐτὸς λοιπὸν ἀφοῦ ἔπραξεν ὅλα αὐτά, καὶ δύναμιν μᾶς δίδει· διότι δὲν εἶναι δυνατὸν νὰ ὑποφέρωμεν ὅταν μᾶς κατέχῃ τὸ νόσημα, ἐὰν αὐτὸς δὲν μᾶς ἔδιδε τὴν δύναμιν· καὶ μᾶς ἐχορήγησε τὴν ἄφεσιν τῶν ἁμαρτημάτων. Ὅλα τὰ ἐδαπανήσαμεν· μᾶς ἔδωσε δύναμιν, ἐσπαταλήσαμεν αὐτήν· μᾶς ἔδωσε χάρισμα, ἐσβήσαμεν τοῦτο. Πῶς; Δὲν ἐσπαταλήσαμεν τοῦτο εἰς κάτι τὸ ἀναγκαῖον, δὲν τὸ ἐχρησιμοποιήσαμεν εἰς τίποτε τὸ χρήσιμον. Αὐτὰ μᾶς κατέστρεψαν, καὶ τὸ φοβερώτερον ὅλων, ἐνῷ εἴμεθα εἰς ξένην χώραν καὶ τρώγομεν ξυλοκέρατα, δὲν λέγομεν, 'ἂς ἐπιστρέψωμεν πρὸς τὸν πατέρα μας καὶ νὰ εἰποῦμεν, ἡμαρτήσαμεν εἰς τὸν οὐρανὸν καὶ εἰς σέ', ἂν καὶ ἔχομεν πατέρα τόσον φιλόστοργον καὶ ὁ ὁποῖος ποθεῖ πάρα πολὺ τὴν ἐπιστροφήν μας. Ἂν ἐπανέλθωμεν μόνον πρὸς αὐτόν, οὔτε θὰ ἀνεχθῇ νὰ μᾶς κατηγορήσῃ διὰ τὰ προηγούμενα σφάλματά μας· μόνον ἂς ἀπομακρυνθοῦμεν, διότι εἶναι ἀρκετὴ ἀπολογία τὸ ὅτι ἐπεστρέψαμεν πρὸς αὐτόν. Ὄχι μόνον αὐτὸς δὲν κατηγορεῖ, ἀλλὰ καὶ ἂν ἀκόμη κατηγορῇ ἄλλος, ἀποστομώνεται, ἔστω καὶ ἂν ὁ κατήγορος ἔχει εὐδοκιμήσει εἰς τὴν ζωήν.

Ἂς ἐπιστρέψωμεν· μέχρι πότε θὰ ἀπομακρυνώμεθα; Ἂς ἀντιληφθοῦμεν τὴν ἀτιμίαν, ἂς ἀντιληφθοῦμεν τὴν εὐτέλειαν. Ἡ κακία μᾶς μετατρέπει εἰς χοίρους, ἡ κακία προκαλεῖ εἰς τὴν ψυχὴν τὸν λιμόν. Ἂς ἀνακτήσωμεν τοὺς ἑαυτούς μας καὶ ἂς ἀνανήψωμεν καὶ ἂς ἐπιστρέψωμεν εἰς τὴν προηγουμένην μας εὐγένειαν, διὰ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν βοήθειαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς*

* Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰν διὰ μὲν τὰ χωρία εἰς τὸ κεφάλαιον, τὸν στίχον καὶ τὴν σελίδα ποὺ εὑρίσκεται τὸ χωρίον, διὰ δὲ τὰ ὀνόματα τοῦ κειμένου παραπέμπουν ἁπλῶς εἰς τὴν σελίδα.

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Ζ

Η

Θ

Ι

Κ

Π

Ρ

Σ

Τ

Υ

Φ

Χ

Ψ

Ω

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Στοιχειοθεσία, Ἐκτύπωσις

TYPO EXPRESS

Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος Ἐπιστολαὶ
» 2ος Ἐπιστολαὶ
» 3ος Ἐπιστολαὶ
» 4ος Ὁμιλίαι εἰς Ἑξαήμερον
» 5ος Ὁμιλίαι εἰς Ψαλμοὺς
» 6ος Ὁμιλίαι ἠθικαὶ καὶ πρακτικαὶ
» 7ος Ὁμιλίαι δογματικαὶ - περιστατικαὶ - ἐγκωμιαστικαὶ - παιδαγωγικαὶ
» 8ος Ἀσκητικὰ (Ὅροι κατὰ πλάτος)
» 9ος Ἀσκητικὰ (Ὅροι κατ' ἐπιτομὴν)
» 10ος Δογματικὰ ἔργα

Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως)
» 2ος Δογματικὰ Α΄ (Λόγοι κατὰ Ἀρειανῶν Α—Β)
» 3ος Δογματικὰ Β΄ (Λόγοι κατὰ Ἀρειανῶν Γ—Δ).
» 4ος Δογματικὰ Γ΄
» 5ος Ἑρμηνευτικὰ Α΄
» 6ος Ἑρμηνευτικὰ Β΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)
» 7ος Ἑρμηνευτικὰ Γ΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)
» 8ος Ἱστορικοδογματικὰ Α΄
» 9ος Ἱστορικοδογματικὰ Β΄
» 10ος Ἱστορικοδογματικὰ Γ΄
» 11ος Ἀσκητικὰ
» 12ος Διάφορα ἀμφιβαλλόμενα

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α΄
» 2ος Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β΄ (ὑπὸ ἔκδοσιν)
Τόμος 3ος Ἀπολογητικὰ ἔργα
» 4ος Δογματικὰ
» 5ος Ἑορταστικοὶ - Ἠθικολογικοὶ Λόγοι
» 6ος Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι
» 7ος Ἐπιστολαὶ (ὑπὸ ἔκδοσιν)
» 8ος Ἔπη Δογματικὰ
» 9ος Ἔπη Ἠθικὰ (ὑπὸ ἔκδοσιν)
» 10ος Ἔπη εἰς Ἑαυτὸν (ὑπὸ ἔκδοσιν)
» 11ος Ἔπη εἰς Ἑτέρους (ὑπὸ ἔκδοσιν)

Δ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικὰ Α΄ (Ἔκδ. ἀκριβὴς τῆς Ὀρθ. πίστεως)

Ε' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 3ος Ὁμιλίαι εἰς τὴν Γένεσιν (ΚΔ' – ΜΑ').
» 9ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Α' (Ὁμιλίαι Α' – Κ').
» 10ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Β' (Ὁμιλίαι ΚΑ' – ΜΗ').
» 11ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Γ' (Ὁμιλίαι ΜΘ' – ΟΕ').
» 12ος α) Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Δ' (Ὁμιλίαι ΟΣΤ' – ϞΑ')
β) Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Α' – ΙΘ')
» 13ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Κ' – ΝΔ').
» 14ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι ΝΕ' – ΠΗ') (ὑπὸ ἔκδοσιν).
» 18ος Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Α' (Ὁμιλίαι Α' – ΚΒ').
» 18Α Ὑπόμνημα εἰς τὴν Α' πρὸς Κορινθίους (Ὁμιλίαι ΚΒ' – ΜΔ').
» 20ὸς Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Β', (Ὁμιλίαι ΚΕ' – Λ'), εἰς τὴν πρὸς Γαλάτας καὶ εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι Α' – ΙΑ').
» 21ος Ὑπόμνημα εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι ΙΒ' – ΚΔ'), εἰς τὴν πρὸς Φιλιππησίους (Ὁμιλίαι Α' – ΙΒ').
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α'.
» 31ος Κατηχητικαὶ καὶ ἠθικὰ Β' - Περιστατικὰ Α'.
» 32ος Ὁμιλίαι Περιστατικαὶ Β'.

ΣΤ' ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 22ος Νικ. Καβάσιλα, Ἑρμηνεία εἰς τὴν Θ. Λειτουργίαν - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.

Ζ' ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α' – Γ')
» 2ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ' – ΣΤ')
» 3ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ' – Ι').

Η' ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

Θ' ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α' (Πῶς τρία πρόσωπα λέγοντες, Κατὰ Εἱμαρμένης, Διάλογος περὶ ψυχῆς καὶ Ἀναστάσεως, Λόγος Κατηχητικὸς μέγας).